1 tert. δὲ om. RP 2 νοούμενον] λεγόμενον RP, prius C 4 τὸ om. CRP καὶ om. C 4. 5 καταγράμμα C 5 εἴρηται] p. 10,9 6 σκαληνὲς CR 9 τῇ om. a 10 ἂν ante ἦν add. RP αὐτῷ S, prius R 10. 11 ἡ φαντασία om. RP 12 οὐδὲ RP μεγέθει C 13 αὐτοῦ ἡ νόησις ἀεὶ CRP 15 οὐδ' Sa: τουτέστιν οὐχ CRP 16 ἀμεγέθους CR παραπίπτει S 19 νοεῖν SCRP (Arist. E): νοεῖν οὐδ' a (νοεῖν οὐδὲν Arist. praeter E) 19. 20 ἄνευ τοῦ συνεχῶς Arist. EY 21 λέγεται CRP δὲ πᾶν ὅτι ἂν Sa 26 prius καὶ om. RP μηδὲ] οὐδὲ conicio 27 τὸ] τοῦ a, fort. recte; v. Ind. ἀκριβέστερον C, prius P: ἀκριβέστερα R εἴρηται—δὲ (καὶ add. a) ἐν ἄλλοις ἀκριβέστερον (28) Sa: om. CRP 30 δὲ] διὰ RP 31 ἵν'—συνεχοῦς om. RP

μὲν οὖν αἰτίαν οὐ δύναται νοεῖν τὰ μὴ ἐν χρόνῳ ἄνευ χρόνου, | ἄλλος λόγος. 129v
ζητεῖται γὰρ τοῦτο.

p. 450a9 Μέγεθος δ' ἀναγκαῖον γνωρίζειν καὶ κίνησιν, ᾧ καὶ χρόνον.

Τοῦτο συνεχὲς ἂν οἶμαι εἴη τῷ τίθεται πρὸ ὀμμάτων ποσόν, 11
νοεῖ δ' οὐχ ᾗ ποσόν. εἰπὼν γὰρ ὅτι ὁ νοῦς τίθεται πρὸ ὀμμάτων τὸ μὴ ποσὸν ὡς ποσόν, ὅμως οὐχ ᾗ ποσὸν νοεῖ αὐτὸ (οὐδὲ γάρ ἐστι τὴν ἀρχὴν ποσόν), ἀλλ' ᾗ ἄποσον, περὶ ὧν ἀκριβέστερον εἴρηται ἐν τῷ τρίτῳ λόγῳ τῶν Περὶ ψυχῆς, ὅτε ἐζητεῖτο πῶς ὁ νοῦς νοεῖ τὰ νοητά. ἐπειδὴ οὖν γνῶσις ἡμῖν γίνεται καὶ μεγέθους καὶ κινήσεως, ἅπερ ἐστὶ καὶ κυρίως ποσά, λέγει ὅτι ταῦτα γνωρίζει τῷ μορίῳ τῆς ψυχῆς ᾧ καὶ τὸν χρόνον· γνωρίζει δὲ τὸν χρόνον τῇ πρώτῃ αἰσθήσει. τὸ δὲ καὶ τὰ φαντάσματα τῆς κοινῆς αἰσθήσεως πάθος ἐστίν οὕτως ἐπῆκται, ὡς εἰ ἔλεγεν· ἐν ἐκείνῳ τῷ μορίῳ τῆς ψυχῆς γινώσκει μέγεθος καὶ κίνησιν, ᾧ καὶ χρόνον· ἔστι δὲ τὸ μόριον ἐκεῖνο ἡ κοινὴ αἴσθησις, ἧς πάθος ἐστὶν ἡ φαντασία. εἰ δὲ πάντα, ἀφ' ὧν ὁ νοῦς τὰ καθόλου συνάγει, φανταστά (χωρὶς γὰρ φαντασίας οὐδὲν ὁ νοῦς νοεῖ ἢ συνεργούσης ἢ ἐμποδιζούσης, τὰ μὲν συνεργούσης ὡς ἐπὶ τῶν μαθημάτων — οἷον γὰρ ἀβάκιον τοῦ νοῦ ἐστιν ἐπὶ τούτων ἡ φαντασία· καὶ εἰς ἄλλα δὲ πολλὰ συνεργεῖ —, τὰ δὲ καὶ ἐμποδιζούσης, ὡς ἐπὶ τῆς τῶν νοητῶν τε καὶ θείων θεωρίας· ἐν γὰρ τῇ τούτων θεωρίᾳ περιέλκεται ὁ νοῦς ὑπὸ τῆς φαντασίας σχήματα καὶ μεγέθη φανταζομένης καὶ μὴ συγχωρούσης ἐκείνων εἰλικρινῶς ἀντιλαμβάνεσθαι), εἰ δὴ πάντα, ἀφ' ὧν ὁ νοῦς τὰ καθόλου συνάγει, φανταστά, ἡ δὲ φαντασία καὶ ἡ μνήμη αἱ αὐταὶ τῷ ὑποκειμένῳ καὶ πάθη τῆς κοινῆς αἰσθήσεως, δηλονότι τῷ πρώτῳ αἰσθητικῷ τούτων ἡ γνῶσίς ἐστι. καὶ δῆλον τοῦτο ἐκ τοῦ μνημονεύειν καὶ πολλὰ τῶν ἀλόγων ζῴων. τὸ δὲ ἡ δὲ μνήμη καὶ τῶν νοητῶν οὐκ ἄνευ φαντάσματός ἐστιν ἴσον ἐστὶ τῷ 'ταῦτα δέ, ὧν ὡς νοητῶν μνημονεύει, οὐκ εἰσὶ νοητά, ἀλλὰ φανταστά'. λέγομεν δὲ αὐτὰ νοητὰ καὶ μνήμην νοητῶν ἢ διὰ τὸ τὸν νοῦν περὶ αὐτὰ ἐνεργεῖν, ὡς εἶναι φανταστὰ μὲν ἁπλῶς, ὅταν ἡ αἴσθησις ἡ πρώτη περὶ αὐτὰ ἐνεργῇ, νοητὰ δέ, ὅταν ὁ νοῦς μετὰ τῆς φαντασίας, ὡς ἡ ὄψις μετὰ τοῦ βιβλίου· ἢ καὶ διὰ τὸ ἀπ'

---

5 οἶμαι Sa: om. CRP 6 νοεῖ] ἐννοεῖ S ὅτι, ⟨εἰ καὶ⟩ e. gr. conicio
7 οὐδὲν S 8 ᾗ om. RP 9 λόγῳ τῶν scripsi: λόγῳ τῷ RP: τῶν a: λόγῳ SC, v. De an. Γ 4—6 ἐζήτει SR 10 ἐπιγίνεται CRP ὥσπερ a
καὶ (ante κυρίως) Sa: om. CRP 11 ᾧ Sa: ἐν ᾧ CRP 12 καὶ τὰ] κατὰ C
τὸ φάντασμα Arist. 13 ἐν vid. del. 14 ante γινώσκει add. ἐν ᾧ καὶ τὸν χρόνον RP ᾧ καὶ χρόνον om. RP 16 πάντα CRP Soph. (cf v. 22): τὰ πάντα Sa
τὰ Sa (cf. v. 23): τὸ CRP Soph. 17 alt. συνεργούσης SC Soph.: ὡς ἐνεργούσης RP: ὡς συνεργούσης a 19 alt. καὶ Sa: om. CRP 20 τῆς om. RP
22 συγχωρουμένης C ἐκείνω RP 23. 24 τῷ ὑποκειμένω αἱ αὐταὶ CRP: τῷ ὑποκειμένῳ ταὐτό Soph. 26 δὲ (ante μνήμη) om. RP καὶ ἡ τῶν Arist.
26. 27 οὐκ ἄνευ τῆς φαντασίας Arist. EY 27 ἐστὶ om. S 29 ἢ καὶ διὰ Sa
31 τῆς om. CRP

αὐτῶν συνάγεσθαι τὰ νοητά, αὐτούς φημι τοὺς καθόλου λόγους. εἰ δὲ τοῦτο, 129v
φανερὸν ὅτι ἡ μνήμη τοῦ νοουμένου, τουτέστι τοῦ νοητοῦ, κατὰ συμ- 30
βεβηκὸς ἂν εἴη, καθ' αὑτὸ δὲ τοῦ πρώτου αἰσθητικοῦ, τουτέστι τῆς
πρώτης καὶ κοινῆς αἰσθήσεως. εἰ δ' ἦν ἡ μνήμη πάθος τοῦ νοῦ, ἦν ἂν
5 καθ' αὑτὸ καὶ τῶν νοητῶν. φανερὸν δέ, ὡς καὶ πρότερον εἴρηται, ὅτι τοῦ
πρώτου αἰσθητικοῦ πάθος ἢ ἕξις ἐστὶν ἡ μνήμη, καὶ ἐκ τοῦ πολλοῖς τῶν
ἀλόγων ζῴων ὑπάρχειν καὶ μὴ μόνοις τοῖς ἀνθρώποις τοῖς ἔχουσι δόξαν
καὶ φρόνησιν. εἰ γὰρ μὴ ἦν τοῦ πρώτου αἰσθητικοῦ, ἀλλά τινος τῶν νοητι- 35
κῶν μερῶν, οὐδενὶ ἄλλῳ ἂν ὑπῆρχε πλὴν ἀνθρώποις· μόνοι γὰρ οὗτοι νοῦν
10 ἔχουσιν. εἰπὼν δὲ ὅτι οὐκ ἂν ὑπῆρχεν πολλοῖς τῶν ἄλλων ζῴων, ἐπήγαγεν
ἴσως δε οὐδενὶ τῶν θνητῶν, ὡς ταὐτὸν τῷ 'ἴσως δὲ οὐδενὶ τῶν ἀλόγων'
διὰ τὸ μηδενὶ τούτων ὑπάρχειν νοῦν. εἰπὼν δὲ ὅτι αἰσθάνεται χρόνου πολλὰ
τῶν ἀλόγων ζῴων (οὐ γὰρ πάντα αἴσθησιν ἔχει χρόνου), κατασκευάζων τοῦτο
ἐπήγαγεν· ἀεὶ γὰρ ὅταν ἐνεργῇ τῇ μνήμῃ, καθὼς καὶ πρότερον
15 εἴπομεν. ὁ γὰρ πεπτωκὼς ἐν τῷ βόθρῳ ὄνος, ὅταν ἐνεργῇ τῇ μνήμῃ, 40
ὅτι πέπτωκέ που ἢ φωνῆς ἤκουσε φθοροποιοῦ τινος ζῴου οἷον λύκου, προσαι-
σθάνεται ὅτι πρότερον ταῦτα πέπονθε. τὸ δὲ πρότερον καὶ ὕστερον ἐν χρόνῳ·
αἰσθάνεται ἄρα χρόνου. ταῦτα εἰπὼν λέγει· τίνος μὲν οὖν ἐστι μνήμη
φανερόν, ὅτι τοῦ πρώτου αἰσθητικοῦ· τούτου γὰρ καὶ ἡ φαντασία πάθος.
20 καὶ ἔστι μνημονευτὰ μὲν ὧν ἐστι φαντασία, κατὰ συμβεβηκὸς δὲ τὰ νοητά·
ταῦτα γὰρ εἶπεν ὅσα μὴ ἄνευ φαντασίας· μετὰ φαντασίας γὰρ καὶ ἡ
τούτων, ὡς εἴρηται, γνῶσις. εἰ δὲ κατὰ συμβεβηκός ἐστι τούτων ἡ μνήμη,
δῆλον ὡς οὐκ ἂν εἴη ἡ μνήμη ἕξις ἢ πάθος νοῦ· εἰ γὰρ ἦν ἕξις τούτου, 45
ἦν ἂν καὶ τῶν νοητῶν καθ' αὑτό.

25 p. 450a25 Ἀπορήσειε δ' ἄν τις, πῶς ποτε τοῦ μὲν πάθους παρ-
όντος, τοῦ δὲ πράγματος ἀπόντος μνημονεύει τὸ μὴ παρόν.

Πάθος λέγει τὸν τύπον καὶ τὸ ἐγκατάλειμμα τὸ ἐν τῷ πρώτῳ αἰσθη- 130r
τηρίῳ ἐγγραφὲν ἐκ τῆς κατ' ἐνέργειαν αἰσθήσεως, πρᾶγμα δὲ τὸ αἰσθητόν,
ἀφ' οὗ ὁ τύπος οὗτος καὶ τὸ ἐγκατάλειμμα. ἀπορεῖ δὲ ταύτην τὴν ἀπο- 5
30 ρίαν πάνυ ἀναγκαίως· ἡ λύσις γὰρ αὐτῆς τὴν φύσιν ἡμῖν τῆς μνήμης τίς
ἐστιν ἀριδήλως παραστήσει. τίνος μὲν γὰρ μορίου τῆς ψυχῆς ἐστιν ἡ
μνήμη, εἴρηται αὐτῷ· τίς δὲ ἡ φύσις αὐτῆς, οὔπω. ἔστι δὲ τὸ ἀπορού-

---

4 εἰ δ' ἦν] ἦν δὲ ἦν γε R: ἦν δὲ ἦν γε P ἂν om. S 5 εἴρηται] p. 449b25
8 legit τι, quod om. Arist. MY 8. 9 νοητῶν RP 9 ἂν Ca: om. SRP
10 ὑπῆρχον RP 11 post ταὐτὸν add. ὂν CRP alt. δὲ om. a οὐδὲν S
14 καθάπερ a 16 τινος om. a 16. 17 προαισθάνεται CRP 18 χρόνου] χρόνω C μνήμη legit cum Arist. LSU Soph. (ἡ μνήμη EMY) 20 post μνημονευτὰ add. in mg. καθ' αὑτὰ S (Arist.) ὧν ἐστι φαντασία legit cum Arist. LSU Soph. (ἡ φαντ. EMY) τὰ νοητά scripsi: τῶν νοητῶν libri 21 prius γὰρ om. P
24 καθ' αὑτὴν Sa 26 μνημονεύει cum Arist. LSU Soph. (μνημονεύεται MEY)
28 γραφὲν C 29 οὗτος om. CRP 29. 30 τὴν ἀπορίαν ταύτην CRP
31 παρίστησι CRP 32 αὐτῆς] αὐτοῦ R

μενον τοιοῦτον, πῶς τοῦ πάθους καὶ τοῦ τύπου παρόντος καὶ περὶ αὐτὸ 130r
ἐνεργούσης τῆς μνήμης μνημονεύει τὸ μὴ παρόν. ἔδει γὰρ περὶ ὃ ἐνεργεῖ,
τοῦτο καὶ μνημονεύειν. ἀπορήσας δὲ πρὸ τοῦ τὴν λύσιν ἐπενεγκεῖν, πρό-
τερον ὑπομιμνήσκει, πῶς γίνονται οἱ τύποι ἐν ἡμῖν, καί φησιν· ὥσπερ
5 οἱ σφραγιζόμενοι τοῖς δακτυλίοις ἐνσημαίνουσι τῷ κηρῷ τὸ τῆς σφραγῖδος 10
ἐκτύπωμα, τοιοῦτόν τι γίνεται ἐκ τῆς κατ' ἐνέργειαν αἰσθήσεως ἐν τῷ
πρώτῳ αἰσθητηρίῳ· ὑπὲρ οὗ ἐπὶ πλέον εἴπομεν πρότερον, ἡνίκα τὰ περὶ τὴν
φαντασίαν διηρθρούμεν. γίνεται οὖν οἷον ζωγράφημά τι, οὗ ζωγραφήματος
τὴν ἕξιν καὶ μονὴν μνήμην εἶναι λέγομεν. καὶ διὰ τὸ ἐνσημαίνεσθαι τοὺς
10 τύπους ἐν τῷ πρώτῳ αἰσθητηρίῳ, ἂν τύχῃ τὸ τοιοῦτον αἰσθητήριον ἐν
κινήσει ὄν (ἔστι δὲ ἐν κινήσει αὐξανόμενον ἢ φθίνον), οὐ γίνεται μνήμη. 15
ὥσπερ γὰρ οὐκ ἐνσημαίνεται ἐν ὕδατι ῥέοντι ἡ ἐν τῷ δακτυλίῳ σφραγίς,
οὕτως οὐδ' ἐν τῷ αἰσθητηρίῳ τῷ ἐν κινήσει ὄντι ἢ διὰ νόσον ἢ ἡλικίαν
ἐγγίνεσθαι δύναται τύπος τις. τοῖς μὲν οὖν πάμπαν νέοις οὐ γίνεται μνήμη
15 διὰ τὴν κίνησιν, ἣν κινεῖται αὐξανόμενον, τοῖς δὲ πάμπαν γηραιοῖς διὰ τὸ
ψύχεσθαι καὶ οἱονεὶ θρύβεσθαι καὶ ἀπαλείφεσθαι τοὺς τύπους, ὥσπερ καὶ
ἀπὸ τῶν παλαιῶν οἰκοδομημάτων τὴν ἀληλιμμένην τίτανον ἢ καὶ τὰ ἐν
αὐτοῖς γεγραμμένα ζῷα· ἀμαυρὰ γὰρ καὶ ταῦτα τῷ χρόνῳ καὶ οἱ ἐν τῇ 20
καρδίᾳ τύποι γίνονται. ἄλλοις δὲ πάλιν οὐκ ἐγγίνονται τύποι διὰ τὴν σκλη-
20 ρότητα τοῦ πρώτου αἰσθητηρίου, ὥσπερ οὐδ' ἐν τῷ λίθῳ ἡ τοῦ δακτυλίου
σφραγίς. οὐ γίνονται δὲ μνήμονες οὐδ' οἱ λίαν ταχεῖς· ὑγρότεροι γάρ εἰσι
τοῦ δέοντος καὶ ἐοικότες ὕδατι ῥέοντι.

p. 450ᵇ11 Ἀλλ' εἰ δὴ τοιοῦτόν ἐστι τὸ συμβαῖνον περὶ τὴν μνή-
μην, πότερον τοῦτο μνημονεύει τὸ πάθος;

25 Θεὶς τὴν ἀπορίαν καὶ πρὸ τῆς λύσεως εἰπὼν τὰ προσεχῶς ῥηθέντα,
τίθησι πάλιν αὐτὴν καί φησιν· εἰ δὴ τοιοῦτόν ἐστι τὸ συμβαῖνον περὶ τὴν 30
μνήμην, τὸ εἶναι αὐτὴν ἕξιν τινὸς ζωγραφήματος, πότερον τοῦτο τὸ ζωγρά-
φημα καὶ τὸν τύπον μνημονεύει ἢ τὸ αἰσθητὸν πρᾶγμα, ἀφ' οὗ ὁ τύπος
οὗτός ἐστιν; εἰ μὲν οὖν τὸν τύπον τοῦτον μνημονεύομεν, οὐδὲν ἂν τῶν
30 ἀπόντων μνημονεύοιμεν (ἀπόντα δὲ λέγει τὰ πράγματα, ἀφ' ὧν οἱ τύποι
ἐνεγράφησαν)· εἰ δὲ μὴ τὸ ζωγράφημα μνημονεύομεν, ἀλλὰ τὸ πρᾶγμα,
πῶς μνημονεύομεν τὸ ἀπόν, οὗτινος ἀπόντος οὐκ αἰσθανόμεθα; πῶς οὖν

---

1 τοιοῦτόν τι, ut vid., cum Arist. M (ceteri τ. τὸ) legit 7 ὑπὲρ] περὶ C εἴπομεν] p. 2,31 ss. 8 οὖν διαζωγράφημά τι, οὗ διαζωγραφήματος a, sed v. Arist.

9 τὴν ante μονὴν add. S 13 τὸ ἐν (ἐκ R) κινήσει (κιν ἡ R) ὂν RP 16 ψύχεσθαι (etiam Soph.) cum Arist. MY (ψήχεσθαι recte ceteri) legit θρύπτεσθαι R Soph., prius P 17 παλαιῶν Ca (Soph. Arist.): πάλαι SRP 18 αὐτῆς a (αὐτῇ Soph. Ca) ἐγγεγραμμένα RP τῷ χρόνῳ καὶ ταῦτα CRP 26 πάλιν τίθησι CRP (Soph. ?) 27 post μνήμην add. τουτέστι CRP 29 μνημονεύομεν scripsi: μνημονεύει μόνον libri 30. 31 ἀπόντα—ἀλλὰ τὸ πρᾶγμα (pro his οὐ μὴ αἰσθανόμεθα τουτέστι SC) SCa: εἰ δ' ἐκεῖνο τὸ ἀπόν, οὕτω γάρ ἐστι τὸ ἐφεξῆς τῆς λέξεως. πῶς αἰσθανόμενοι καὶ ἐνεργοῦντες περὶ τὸ ζωγράφημα τοῦτο μνημονεύοιμεν οὐ μὴ αἰσθανόμεθα· τουτέστι RP 31 μνημονεύοιμεν C 32 οὐκ SC: καὶ R, prius P: μὴ P²a post οὖν add. οὐ aC (?)

μνημονεύομεν τὸ ζωγράφημα, εἴτε ὅμοιόν ἐστι τῷ ἀπόντι, ὥσπερ τύπος 130r
ἡ γραφὴ ἐν ἡμῖν ὄν, εἴτε ἀνόμοιον; τοῦτο γὰρ δεῖ προσυπακούειν. 35
ταῦτα εἰπὼν πάλιν ἐπανέλαβε τὸν λόγον καί φησιν· εἰ τούτου αὐτοῦ
αἴσθησις, τουτέστιν εἰ ἔστιν ἡ αἴσθησις καὶ ἡ ἐνέργεια τούτου αὐτοῦ τοῦ
5 ζωγραφήματος καὶ τοῦ τύπου, διὰ τί οὐκ ἂν εἴη τούτου καὶ ἡ μνήμη, ἀλλ'
ἑτέρου, ἤτοι τοῦ ἀπόντος; ὁ γὰρ ἐνεργῶν τῇ μνήμῃ τὸ πάθος καὶ τὸν τύπον
θεωρεῖ καὶ τούτου αἰσθάνεται. εἰ δὲ τοῦτο, πῶς τὸ μὴ παρὸν μνημονεύει;
εἰ γὰρ μνημονεύει οὗπερ οὐκ αἰσθάνεται, ὄψεται καὶ ὅπερ οὐχ ὁρᾷ. 40

p. 450b20 Ἢ ἔστιν ὡς ἐνδέχεται καὶ συμβαίνει τοῦτο.

10 Τοῦτο ἅμα τε λύσις ἐστὶ τῆς ἀπορίας καὶ δήλωσις τῆς φύσεως τῆς 46
μνήμης. ἔστι δὲ τὸ ἐν πίνακι γεγραμμένον ζῷον καὶ ζῷον καὶ
εἰκὼν τὸν τρόπον τοῦτον· ὅταν μὲν γὰρ ὁρᾷ τοῦτο ὁ ὁρῶν καὶ ἐνεργῇ
περὶ αὐτὸ μόνον τὴν τέχνην θαυμάζων ἢ κακίζων, μηδὲν ὅλως προσεννοῶν,
ὅτι μίμημά ἐστι τοιουδὶ ζῴου, τότε λέγεται ζῷον· ὅταν δὲ πρὸς τῷ ὁρᾶν
15 προσλογίζηται καὶ ὅτι μίμημά ἐστι λέοντος ἢ λύκου ἢ ἄλλου τινὸς ζῴου,
λέγεται τότε εἰκών. καὶ ἔστι τὸ αὐτὸ καὶ ἓν καὶ εἰκὼν καὶ ζῷον, ἄλλως 50
μέντοι καὶ ἄλλως. ὡς οὖν ἐπὶ τούτων, οὕτω καὶ τὸ ἐν τῇ καρδίᾳ ἐγκατά-
λειμμα καὶ ζωγράφημα, ὅπερ αὐτὸς φάντασμα εἶπε, δεῖ ὑπολαβεῖν, ὡς ἔστι
καὶ αὐτό τι καθ' αὑτὸ καὶ φύσις τις καὶ πρᾶγμα καὶ ἄλλου φάντασμα,
20 ὥσπερ καὶ τὸ ἐν τῷ τοίχῳ γεγραμμένον· ἔστι γὰρ καὶ τοῦτο αὐτό τι καθ'
αὑτὸ καὶ φύσις τις καὶ προσέτι ἄλλου εἰκών. ὅταν οὖν ἐνεργῇ περὶ αὐτὸ
ᾗ αὐτό, θεώρημα τοῦτο ἢ φάντασμα· ὅταν δὲ ἐνεργοῦσα περὶ αὐτὸ ἡ κοινὴ
αἴ]σθησις προσαισθάνηται καὶ ὅτι καὶ ἄλλου ἐστὶν εἰκών, ἤδη τοῦτο καὶ 130v
μνημόνευμα, καὶ ἡ τοιαύτη ἐνέργεια τῆς ψυχῆς μνήμη.

25 p. 450b27 Ὥστε καὶ ὅταν ἐνεργῇ ἡ κίνησις αὐτοῦ.

Τουτέστιν ὥστε καὶ ὅταν ἡ φύσις αὐτοῦ κινῇ τὴν αἰσθητικὴν ψυχὴν 5
καὶ αἰσθάνηται αὐτοῦ, εἰ μὲν ᾗ τοιοῦτόν τι ἐκτύπωμά ἐστι καὶ ᾗ τοιοῦτον
ζωγράφημα, αἰσθάνηται αὐτοῦ, φάντασμα, καὶ ἡ τοιαύτη ἐνέργεια φαντασία
καλεῖται. τὸ γὰρ οἷον νόημά τι ἢ φάντασμα φαίνεται ἐπελθεῖν
30 ἴσον ἐστὶ τῷ 'οὕτως ἐπέρχεται καὶ αἰσθάνεται αὐτοῦ ἡ αἰσθητικὴ ψυχή,

---

2 τούτου conicio, v. Ind. 3 εἰ τούτου αὐτοῦ legit cum Arist. LS 4 alt. ἡ SC: om. RPa 6 οὐ γὰρ ἐνεργεῖ C 7 τοῦτο a μνημονεύσει CRP (Arist. EY LP, v. Bitterauf *Qu. cr. ad Ar. P. N.* p. 10) 10 λύσις] λόγος RP ἐστὶ hic habet a: post ἀπορίας CRP: om. S 11 ἐν τῷ πίνακι a (τῷ om. etiam Soph.) et Arist. MSU 12 ἐνεργῶν P: anceps R 13 αὐτὴν P: anceps R μόνην SRP (μόνον etiam Soph.) μὴ δὲ ὅλως S 15 ὅτι] ὅτε a ζῴου om. CRP 17 τούτου RP 19 καὶ αὐτό τι Sa Soph. (Arist.): τι καὶ αὐτὸ CRP 20 τοίχῳ Sa: τοίχω τω C: τοιούτω RP τι] τὲ C 21 καὶ (ante φύσις) om. CRP 22 alt. αὐτὸ] ἃ S 23 καὶ (ante ὅτι) om. a καὶ (post ὅτι) om. P 27 αἰσθάνηται legisse vid. cum Arist. (M)LSU (αἴσθηται EY) εἰ] ἂν ex Arist. conicio 29 ἐπελθὼν RP: ἐπελθὸν S

ὅταν ἁπλῶς, ᾗ τοιοῦτόν ἐστιν, ἐπέρχηται καὶ αἰσθάνηται αὐτοῦ, ὥσπερ 130v νόημά τι ἢ φάντασμα'.

p. 450b29 Ἂν δὲ ᾗ ἄλλου καὶ ὥσπερ ἐν τῇ γραφῇ ὡς εἰκόνα θεωρῇ.

Τουτέστιν ἂν δὲ ὡς ἀπ' ἄλλου τινὸς ἐγγενόμενον καὶ ὡς εἰκόνα τοῦ ἀφ' οὗ ἐγεγόνει καὶ ἐνεσημάνθη ὁρᾷ, οἷον εἰ ὡς εἰκόνα Κορίσκου ὁρᾷ καὶ μὴ ὁρῶσα τὸν Κορίσκον ὡς ἀπὸ Κορίσκου ἐγγραφὲν ὁρᾷ, ἐνταῦθά τε ἕτερον τὸ πάθος τῆς θεωρίας ταύτης καὶ ὅταν ὡς ζῷον γεγραμμένον θεωρῇ. ἔστι δὲ τὸ λεγόμενον· ἄλλο τὸ πάθος τοῦτο καὶ ἄλλη θεωρία αὕτη, ὅταν ὡς εἰκόνα καὶ ὡς ἀπ' ἄλλου ἐγγινόμενον ὁρᾷ (μνήμη γὰρ λέγεται ἡ τοιαύτη θεωρία καὶ μνημονευτὸν τὸ οὕτω θεωρούμενον), καὶ ἄλλο ὅταν ὡς ζῷον γεγραμμένον θεωρῇ καὶ μὴ ὡς ἄλλου εἰκόνα· νόησις γὰρ τοῦτο καὶ φαντασία, καὶ τὸ οὕτω θεωρούμενον φάντασμα.

p. 451a1 Ἐν τε τῇ ψυχῇ τὸ μὲν γίνεται ὥσπερ νόημα, τὸ δ' ὡς ἐκεῖ ὅτι εἰκών, μνημόνευμα.

Καὶ τοῦτο ταὐτόν ἐστι τῷ προσεχῶς ῥηθέντι. σαφηνίζει δὲ αὐτὸ πάλιν ἀπὸ τοῦ ἐν τῷ πίνακι γεγραμμένου ζῴου. ἐλλιπῶς δὲ ῥηθὲν καὶ συντόμως εἴη ἂν τὸ λεγόμενον δυνάμει τοιοῦτον· ὥσπερ ἐκεῖ τὸ γεγραμμένον εἰς πίνακα ζῷον ὁτὲ μὲν ὁρᾷ ἡ ὄψις ὡς ζῷον τοιονδί, ὁτὲ δὲ ὡς μίμημα ζῴου τοιουδί, οὕτω καὶ ἐν τῇ ψυχῇ τὸ μὲν γίνεται ὥσπερ νόημα καὶ φάντασμα, τὸ δὲ ὡς μνημόνευμα· τὸ μὲν γὰρ φάντασμα ἀναλογεῖ τῷ γεγραμμένῳ, ὅταν ὡς ζῷον μόνον ὁρᾶται, τὸ δὲ μνημόνευμα τῷ ὁρωμένῳ, ὡς εἰκὼν καὶ ὡς μίμημά τινος.

p. 451a2 Καὶ διὰ τοῦτο ἐνίοτε οὐκ ἴσμεν, γινομένων ἐν τῇ ψυχῇ τοιούτων κινήσεων.

Τὸ μὲν τῆς λέξεως συνεχὲς τοιοῦτόν ἐστι· καὶ διὰ τοῦτο ἐνίοτε οὐκ ἴσμεν, εἰ κατὰ τὸ ᾐσθῆσθαι συμβαίνει, γινομένων ἡμῖν ἐν τῇ ψυχῇ κινήσεων ἀπὸ τοῦ αἰσθέσθαι πρότερον. τὸ δὲ λεγόμενόν ἐστι· καὶ διὰ τὸ εἶναι τὴν φύσιν καὶ τὴν οὐσίαν τῆς μνήμης ἐν τῷ μὴ ἁπλῶς γίνεσθαι περὶ τὸ τοιοῦ-

---

1 καὶ post ἁπλῶς add. CRP ἐπέρχεται καὶ αἰσθάνεται CRP 3 ἄλλου καὶ scripsi cum Arist. SU, cf. v. 4: ἄλλο (τιadd. P) καὶ SCRP: ἄλλου a (Arist. EMY) εἰκός P θεωρεῖ Arist. libri praeter LM 4 ἐγγινόμενον CRP εἰκόνα] εἰκός RP 5 ἐγεγόνει S: γεγόνει a: γέγονε CRP ἐνσημανθῇ RP εἰ om. CRP 6 ἐγγραφεῖσαν a 8 ὅτι ante ἄλλο add. CRP ἄλλη ⟨ἡ⟩ conicio 9 γινόμενον Sa 11 ὡς (ante ἄλλου) om. Sa 13 μόνον post νόημα ex Arist. add. a 18 ἐν πίνακι CRP ποτὲ μὲν CRP 22 ὡς (ante μίμημα) om. CRP 23 γινομένων cum Arist. LS (ἐγγιν. ceteri) ἡμῖν post γινομένων ex Arist. add. a, cf. v. 26 et p. 17,16 24 τοιούτων om. S 25 τὸ μὲν—κινήσεων (26) om. RP 26 ἡμῖν om. C τοιούτων post ψυχῇ add. C 27 αἰσθέσθαι cum Arist. SU (αἰσθάνεσθαι ceteri), sed v. ad p. 17,18 τοιοῦτον post ἐστι add. C

τον ἐκτύπωμα ᾗ τοιοῦτον, ἀλλ' ὡς ἀπ' ἄλλου τινὸς ἐγγινόμενον, ἐνίοτε οὐκ 130v
ἴσμεν, εἰ κατὰ τὸ ᾠσθῆσθαι συμβαίνει. οἷον εἰδόν ποτε ζῷον ἢ ἤκουσα
φωνῆς ἢ λόγου ὑπό τινος σοφοῦ. ὕστερον δὲ μετὰ πολὺν χρόνον μέμνημαι
τοῦ λόγου, μὴ ἐνθυμούμενος ὑφ' οὗ τοῦτον ἤκουσα, καὶ διὰ τὸ μὴ ἐνθυ- 35
5 μεῖσθαι ἀπορῶν λέγω· πότερον ἐγὼ τοῦτον νοῶ καὶ ἀπ' ἐμαυτοῦ προ-
βάλλομαι τὸν λόγον ἢ ἄλλου του ἤκουσα τοῦτον λέγοντος; καὶ ταλαντεύομαι,
εἴτε μνήμη ἐστὶ καὶ μνημονευτὸς ὁ λόγος, εἴτε μή, ἀλλ' ἐμὸν διανόημα.
οὐ γὰρ ἐνθυμοῦμαι ὑφ' οὗ τοῦτον ἤκουσα, ἵνα εἴπω, ὅτι ἀπὸ τοῦ δεῖνος
τοῦτον ἀκούσας νῦν μέμνημαι αὐτοῦ. ὁτὲ δ' ἐννοῶ καὶ ἐνθυμοῦμαι, ὅτι
10 οὐκ ἀπ' ἐμαυτοῦ τὸν λόγον τοῦτον προεβαλόμην οὐδ' αὐτὸς ἐγὼ τούτου
πατήρ εἰμι, ἀλλ' ἤκουσα τοῦτον παρὰ τοῦ δεῖνος. τοῦτο δὲ συμβαίνει, του- 40
τέστι τὸ ἐννοῆσαι καὶ ἐνθυμηθῆναι, ὅτι οὐ νῦν τοῦτον ἐγὼ πρῶτος τὸν λόγον
ἐνόησα, ἀλλὰ πρότερον ἤκουσα, ὅταν θεωρῶν ὡς αὐτό, τουτέστιν ὅταν
ὡς νόημα καὶ φάντασμα ὁρῶν μεταβάλλω καὶ θεωρῶ ὡς εἰκόνα ἄλλου.
15 ἡ μὲν οὖν τῶν λεγομένων διάνοια αὕτη, τὴν δὲ λέξιν τὴν καὶ διὰ τοῦτο
ἐνίοτε οὐκ ἴσμεν γινομένων ἡμῖν ἐν τῇ ψυχῇ τοιούτων κινήσεων
οὕτως ἄν τις, οἶμαι, συμβιβάσειε· κινουμένης τῆς ψυχῆς ὑπό τινων τύπων
ἐξ αἰσθήσεως ἐγγινομένων (τούτου γάρ ἐστι δηλωτικὸν τὸ ἀπὸ τοῦ αἰσθέ- 45
σθαι πρότερον) ἐνίοτε οὐκ ἴσμεν, εἰ κατὰ τὸ αἰσθέσθαι συμβαίνει, του-
20 τέστιν εἰ ἀπό τινος αἰσθήσεως γέγονε, καὶ διὰ τοῦτο ταλαντευόμεθα καὶ
ἀμφιβάλλομεν, εἰ μεμνήμεθα ἢ οὔ.

p. 151a8 Γίνεται δὲ καὶ τοὐναντίον ἐνίοτε, οἷον συνέβη Ἀντιφέροντι τῷ Ὠρείτῃ.

Τοῦτο συνεχὲς ἂν εἴη τῷ καὶ εἰ ἔστιν ἡ μνήμη ἢ οὔ, διστά- 50
25 ζομεν ἐνίοτε. εἰπὼν γὰρ ὅτι μνημονεύοντες δοκοῦμεν αἰσθάνεσθαι (δοκεῖ
γὰρ ἡμῖν ἐνίοτε, ὡς εἴρηται, ὅτι νῦν πρώτως ἡμεῖς αἴσθησιν τούτου
λαμβάνομεν, καίτοι μὴ νῦν αἰσθανόμενοι, ἀλλὰ πάλαι αἴσθησιν λαβόντες
αὐτοῦ νῦν μνημονεύομεν), ἐπάγει· γίνεται δὲ καὶ τοὐναντίον ἐνίοτε, καὶ δοκεῖ
ἡμῖν τὰ αἰσθήματα, ἅπερ οὗτος φαντάσματα εἴρηκεν, ὡς μνημονευτά.
30 ὁ γὰρ Ἀντιφέρων ὁ Ὠρείτης, οὗ καὶ ἐν τοῖς Μετεώροις ἐμνήσθη διὰ τὴν

---

3 λόγον S 5 πρότερον S νοῶ Sa: νῦν CRP 5. 6 ἀπ' ἐμαυτοῦ προβάλλομαι a: ἀφ' ἑαυτοῦ προεβαλόμην ceteri 8 εἴπω] εἰ ἔσω RP ἀπὸ Sa: ὑπὸ CRP 10 ἀπ' ἐμαυτοῦ a: om. ceteri τοῦτον om. RP: ante τὸν C αὐτὸς Sa Soph.: αὖ CRP 11. 12 τουτέστι om. CRP 12 πρῶτον post νῦν add. RP ἐγὼ πρῶτος om. RP πρώτως C 13 ἐγέννησα CRP ὅταν om. CRP 15 οὖν om. SC αὕτη] τοιαύτη RP, e corr. C 17 καὶ post οἶμαι add. P 18 ἐξ αἰσθήσεως] ἔξωθεν a ἐγγενομένων S ἔσται CRP 18. 19 αἰσθάνεσθαι Sa, sed v. p. 16,26 22 ἐνίοτε (cf. Soph. p. 6,30) cum Arist. L hic posuit (post δὲ Arist. MSU, om. EY) 23 Ὠρείτῃ S Soph. (cf. v. 30. p. 18,12 et ad p. 2,2): ὀρείτῃ ceteri (Arist. EY) 24. 25 διστάζομαι R 25 ἐνίοτε cum Arist. U (cf. SM) legit 27. 28 αὐτοῦ λαβόντες CRP 28 νῦν om. C 30 ὁ Ὠρείτης SPa: ὁ ὀρείτης C: ὀρείτης R ἐν τοῖς Μετεώροις] Γ 4 p. 373b4, cf. Comm. III 2 p. 148,5; XII 2 p. 232,9 ἐμνήσθην C

ἀσθέ|νειαν τῆς ὄψεως, ἐναντίως αὐτῷ φερόμενον ὁρῶν ἄνθρωπον ὑπενόει 131r
ὡς οὐ νῦν τοῦθ' ὁρᾶ, ἀλλ' ὅτι πάλαι τοῦτον ἰδὼν νῦν μνημονεύει αὐτό.
τοῦτο δὲ συνέβη καὶ ἄλλοις ἐξισταμένοις, λέγων ἐξισταμένους τοὺς
παράφρονας· οὗτοι γὰρ ἁπλῶς ἅπαντες τὰ φαντάσματα, ἤτοι τὰ ὁρώμενα
5 αὐτοῖς, ὡς πάλαι γενόμενα λέγουσι καὶ ὡς μνημονεύοντες.

p. 451ᵃ11 Τοῦτο δὲ γίνεται.

Τουτέστι τόδε τὸ φάντασμα καὶ τὸ νῦν ὅλως ὁρώμενον λέγειν ὅτι μνη- 10
μονεύομεν γίνεται, ὅταν τις τὴν μὴ εἰκόνα ὡς εἰκόνα θεωρῇ. ἡ γὰρ εἰκών
ἐστιν, ὡς εἴρηται, τὸ ὁρώμενον ὡς ἀπ' ἄλλου ἐγγενόμενον ἐγκατάλειμμα
10 καὶ ἀναζωγράφημα, μὴ εἰκὼν δὲ ἀλλὰ πρᾶγμα ἢ φάντασμα τὸ μὴ τοιοῦτον.
ὅταν τις τὴν μὴ εἰκόνα ὡς εἰκόνα θεωρῇ. ὁποῖόν τι συνέβαινε τῷ
Ὠρείτῃ· οὗτος γὰρ τὸ ἐναντίον ἔπασχεν τοῖς μνημονεύουσι μέν, δοκοῦσι δὲ
φαντάζεσθαι.

Λέγει δὲ καὶ τὰς μελέτας σῴζειν τὴν μνήμην. τὸ γὰρ μελετᾶν οὐδὲν 15
15 ἄλλο ἐστὶν ἢ τὸ θεωρεῖν πολλάκις τοὺς τόπους ὡς εἰκόνας καὶ μὴ
καθ' ἑαυτούς· τὸ γὰρ καθ' αὐτοὺς ὁρᾶν φάντασμα καὶ οὐ μνήμη. ταῦτα
εἰπὼν συμπεραίνεται τὸν περὶ μνήμης λόγον καί φησι· τί μὲν οὖν ἐστι
μνήμη καὶ τί τὸ μνημονεύειν, εἴρηται. ἔστι γάρ, φησί, μνήμη φαντά-
σματος, ὡς εἰκόνος οὗ φάντασμα, ἕξις. ἔστι δὲ τὸ λεγόμενον· μνήμη
20 ἐστὶ φαντάσματος ἕξις, ὄντος τοῦ τοιούτου φαντάσματος εἰκόνος πράγματός
τινος, ἀφ' οὗ γέγονε τὸ φάντασμα. ὅταν γὰρ τὸ φάντασμα ὡς εἰκόνα 20
τινὸς ὁρᾷ, τότε μέμνηται, καὶ ἡ τοιαύτη ἐνέργεια μνήμη ἐστίν. ἔστιν οὖν
μνήμη ἕξις φαντάσματος, ὡς εἰκόνος οὗ ἐστι φάντασμα. οὐ γὰρ ἱκανὸς ὁ
τύπος ὁ κατὰ τὴν φαντασίαν, ἀλλὰ δεῖ τὴν περὶ αὐτὸν ἐνέργειαν καὶ ὥσπερ
25 εἰκόνα γίνεσθαι. τί μὲν οὖν ἐστι μνήμη εἴρηται, καὶ τίνος μορίου τῶν
ἐν ἡμῖν, ὅτι τοῦ πρώτου αἰσθητικοῦ. τοῦτο δ' ἐστὶν ἡ πρώτη καὶ
κοινὴ αἴσθησις, ἧς αἰσθητήριον ἡ καρδία· διὰ ταύτης γὰρ τῆς πρώτης
αἰσθήσεως καὶ χρόνου αἰσθανόμεθα.

p. 451ᵃ18 Περὶ δὲ τοῦ ἀναμιμνήσκεσθαι λοιπὸν εἰπεῖν. πρῶτον 25
30 μὲν οὖν, ὅσα ἐν τοῖς ἐπιχειρηματικοῖς λόγοις ἐστὶν ἀληθῆ, δεῖ
τιθέναι ὡς ὑπάρχοντα.

Εἰπὼν περὶ μνήμης νῦν λέγει περὶ ἀναμνήσεως. ἔστι δὲ ἀνάμνησις 30

---

1 ὁρῶν hic habet S: post ἄνθρωπον CRP: om. a 2 αὐτοῦ CRP 5 γινόμενα CRP (Arist. M) 7 prius τὸ a: om. ceteri 11 θεωρῇ Sa: ὁρᾷ CRP τι Sa: δὴ CRP συνέβη RP 12 ὀρείτῃ CRP γὰρ a: om. ceteri ἔπασχεν a: πάσχει ceteri 16 αὐτοὺς] ἑαυτοὺς RP 18 τί Sa: om. CRP (Arist.) 19. 20 ὡς εἰκόνος — φαντάσματος om. P 21 εἰκόνα] εἰκόνος S 22 τινὸς Sa: τις CRP 23 φάντασμα] φαντασία S 25 τῶν] τοῦ a 27 γὰρ ταύτης RP 31 τιθέναι (etiam Soph.) legit cum Arist. LSU (τίθεσθαι EMY) 32 δὲ om. RP

ἀνανέωσις προτέρας μνήμης, ἐπὰν λήθη γενομένη τὸ συνεχὲς ἀναλύσῃ. 131r
ὥστε ἡ ἀνάμνησίς ἐστι μνήμη τις. ἔσται δὲ σαφὲς τὸ λεγόμενον ὧδε·
ὅταν ὁ τύπος ὅλος καὶ τὸ ἀναζωγράφημα τὸ ἐν τῷ πρώτῳ αἰσθητηρίῳ
ἀπὸ τῆς κατ' ἐνέργειαν αἰσθήσεως ἐνυπάρχον ὑπομένῃ καὶ σῴζηται τρανές
5 τε καὶ φαιδρὸν καὶ καθαρὸν οὕτως, ὥστε ὅλον αὐτὸ δύνασθαι τὴν ψυχὴν
κινεῖν καὶ ὅλον ὑπ' αὐτῆς ὁρᾶσθαι καὶ προβάλλεσθαι ὡς εἰκών τινος, τοῦτο 35
μνήμη ἐστίν. ὅταν δὲ μέρος μέν τι τοῦ ὅλου ἀναζωγραφήματος μένῃ
τρανὸν καὶ καθαρόν, τὸ δὲ λοιπὸν πάμπαν ἀμυδρὸν καὶ ἐπιπόλαιον, ὥστε
μήτ' αὐτὸ δύνασθαι τὴν ψυχὴν κινεῖν μήτ' ἐκείνην ὑπ' αὐτοῦ κινεῖσθαι,
10 καὶ ἐκ τοῦ μέρους τοῦ τρανοῦ καὶ καθαροῦ τινας κινηθεῖσα κινήσεις τὸ
συνεχὲς τῷ καθαρῷ (τοῦτο δὲ ἦν τὸ ἀμυδρὸν καὶ πάμπαν ἐζοφωμένον)
ἀναλύσῃ καὶ οἷον εὑρήσῃ, τοῦτο ἀνάμνησις, οἱονεὶ ἀναζωγράφησις τῆς προ-
τέρας μνήμης, οὐ πάσης (τοῦτο γὰρ μάθησις), ἀλλά του μέρους. ὅταν γὰρ ἐκ 40
τοῦ μέρους ἀναλύσαντες εὑρήσωμεν τὸ μέρος, ἀνάμνησις τοῦτο· ὅταν δὲ
15 ὅλον ἀναλάβωμεν δηλονότι ὅλον ἀπολέσαντες, μάθησις· οὐδὲν γὰρ διαφέρει
τοῦ ἐξ ἀρχῆς καὶ πρώτως μαθεῖν τὸ μαθόντα καὶ ἀπολωλεκότα πάλιν μαν-
θάνειν. ὁ γὰρ πρώτως τι μανθάνων ὁ αὐτός ἐστι τῷ ἐν παντελεῖ τούτου
λήθῃ γεγονότι καὶ πάλιν μανθάνοντι. ἐν παντελεῖ δὲ λήθῃ γίνεται ὁ τὸ
πᾶν ἀποβαλὼν καὶ μὴ ἔχων τι μέρος τοῦ παντός. ῥητέον δὲ περὶ ἀνα-
20 μνήσεως καὶ ὧδε· ἐκ τῆς κατ' ἐνέργειαν ἀκοῆς ἢ ὁράσεως γέγονεν ἐν τῇ
ψυχῇ· τύπος τοῦ "μῆνιν ἄειδε θεὰ Πηληϊάδεω Ἀχιλῆος" (ἔστω δὲ ἐπὶ 45
ἑνὸς στίχου τὸ ὑπόδειγμα· ὃ γὰρ ἐφ' ἑνός, τοῦτο καὶ ἐπὶ πολλῶν)· οὗτος
δὴ ὅλος ὁ τύπος εἰ μὲν μένει ἰσχυρός τε καὶ καθαρός, ὥστε ἀνεμποδίστως
ὅλον ἡμᾶς αὐτὸν δύνασθαι ἀπαγγέλλειν καὶ ὅλον προβάλλεσθαι, τοῦτο μνήμη·
25 εἰ δὲ τὸ μὲν "μῆνιν ἄειδε θεὰ" ἐμμένει τε καὶ σῴζεται, τὸ δὲ λοιπὸν τὸ
"Πηληϊάδεω Ἀχιλῆος" οὐ μένει, εἶτα ἐκ τοῦ μένοντος κινηθεῖσα ἡ ψυχὴ ὑπό
τινων τύπων καὶ ἀναζωγραφημάτων ὁμοίων ἢ καὶ ἐναντίων (γίνεται γὰρ 50
καὶ τοῦτο) εὑρήσει καὶ τὸ λοιπόν, ἀνάμνησις τοῦτο. καὶ δῆλον ἐκ τούτων,
ὅτι τῶν ἁπλῶν ὀνομάτων οὐκ ἔστιν ἀνάμνησις, ἀλλ' ἢ μνήμη ἢ μάθησις,
30 εἰ μὴ πολλάκις καὶ ἐν ἐκείνοις μενούσης τῆς πρώτης συλλαβῆς προσεξ-
ευρίσκομεν καὶ τὰ λοιπά. τοιοῦτον δέ τί ἐστι τὸ περὶ ἀνάμνησιν συμβαῖνον,
ὥσπερ ἐπὶ τοῦ αὐτοῦ καὶ ἑνὸς γεγραμμένου ἐν τῷδε τῷ τοίχῳ ζῴου
πολλάκις μέρος μέν τι ἢ μέρη τινὰ αὐτοῦ μένει καθαρὰ καὶ κινεῖ τὴν

---

1 τῆς post ἀνανέωσις add. a, sed v. p. 4,17. 21,1 λήθης γενομένης P γινομένη C ἀναλύσῃ] ἀναλόγον cum compendio RP 2 ἔσται] ἔστι C 4 τρανὸν CR, e corr. P (τρανές etiam Soph.) 6 εἰκόνα P: εἰκὼ R Soph. 8 post τρανόν add. τε CRP 9 τὴν ψυχὴν δύνασθαι CRP 10 τρανοῦς CRP (nonnulli libri Soph.) κινηθεῖσα a: κινηθείσας SC: κινηθεὶς RP 11 καὶ ὅλως ζεζοφωμένον CRP (καὶ ὅλως ἐζοφωμένον Soph.) 12 ἀναλύσει C (RP compend.) εὑρήσει CRP ἀνάμνησιν RP ἀναζωγράφημα RP Soph. 13 τοῦ ut vid. libri 14 εὑρήσομεν SR 15 alt. ὅλον om. C: ὅλην S 16 τοῦ μαθόντος καὶ ἀπολωλεκότος RP 17. 18 τούτου λήθῃ RP: τούτω λήθη S: λήθῃ τούτου a: λήθη τούτω C 19 μέρος τί CRP 20 ὧδε Sa: ὡς ὧδε CRP 23 οὖν post μὲν add. CRP 24 αὐτὸν om. P καὶ ὅλως CRP 26 κινηθῇ RP 33 αὐτοῦ τινα CRP

ὄψιν καλῶς, τὰ δὲ ἀμυδρά, | ὥστε ἢ μηδ' ὅλως ἢ οὐ καλῶς ὁρᾶν αὐτὴν 131v
αὐτά. τοῦτο συμβαίνει καὶ ἐπὶ τῶν ἐν τῷ πρώτῳ αἰσθητηρίῳ τύπων.
καὶ ὥσπερ ἐπὶ τοῦ γεγραμμένου ζῴου ἐκ τῶν φανοτάτων προσευρίσκομεν
καὶ τὰ ἀμυδρά, οὕτω καὶ ἐπὶ τῶν ἐν τῇ καρδίᾳ τύπων ἐκ τῶν ἐνόντων
5 καὶ μενόντων προσευρίσκομεν τὰ ἀποπαλθέντα. ἔστιν οὖν ἡ ἀνάμνησις
οὔτε ἡ γενομένη ἤδη τύπωσις (ἡ κατ' ἐνέργειαν γὰρ αἴσθησίς ἐστι τοῦτο,
λέγω δὴ τὸ ἤδη τυποῦμενον) οὔτε ἡ γεγονυῖα καὶ σῳζομένη ὅλη τρανής, 5
ἀλλ' ἡ γεγονυῖα μέν, μέρος δέ τι αὐτῆς μένον τρανές, μέρος δέ τι οὐ μένον,
ἀλλ' ἐπιπόλαιον καὶ ὡς εἰπεῖν συγκεχυμένον. οἷά εἰσι καὶ τὰ ἀπὸ τῶν
10 δακτυλίων ἐν τοῖς κηροῖς ἐντυπωθέντα ἐκσφραγίσματα, ὅταν προστριβῶσιν
ἔν τισι στερροῖς· ἀμαυρὰ γὰρ καὶ ταῦτα καὶ ἀσαφῆ. ἕπεται δὲ ἐξ ἀνά-
γκης τῇ ἀναμνήσει μνήμη. ὁ γὰρ ἀναμνησθεὶς τρόπον τινὰ ἐμνήσθη·
μέρους γάρ τινος τῆς προτέρας μνήμης ἐπανάληψιν ποιεῖται.

Περὶ δὲ τοῦ ἀναμιμνήσκεσθαι λοιπὸν εἰπεῖν. πρῶτον μὲν 10
15 οὖν ὅσα ἐν τοῖς ἐπιχειρηματικοῖς λόγοις ἐστὶν ἀληθῆ, δεῖ τι-
θέναι. ἐπιχειρηματικοὺς λόγους λέγει τὰ προβλήματα. ἔστι δὲ τὸ λεγό-
μενον· ὅσα ἐν τοῖς Προβλήμασιν ἡμῖν εἴρηται καὶ δέδεικται ἀποδεικτικῶς
περὶ ἀναμνήσεως, δεῖ ἐνταῦθα ὡς ὁμολογούμενα λαμβάνειν καὶ μὴ ζητεῖν
καὶ νῦν αὐτῶν ἀποδείξεις. τὸ γὰρ ἅπαξ δειχθὲν οὐ δεῖ πάλιν ἀποδεικνύναι.
20 δέδεικται δὲ ἐν τοῖς Προβλήμασιν, ὅτι οὔτε μνήμης ἐστὶν ἀνάληψις ἡ ἀνά-
μνησις, ὡς ἔλεγόν τινες, οὔτε λῆψις. τινὲς μὲν γὰρ ἔλεγον τὴν ἀνάμνησιν 15
ἀνάληψιν μνήμης, τινὲς δὲ ἔλεγον, ὅτι ἀνάμνησίς ἐστι μνήμης λῆψις. οὐκ
ἔστι δὲ οὐδέτερον τούτων ἡ ἀνάμνησις. ὁ γὰρ ἀναμιμνησκόμενος οὐ τὴν
μνήμην ἀναλαμβάνει ἢ λαμβάνει, ἀλλὰ τὸ συνεχὲς τοῦ ἐνόντος καὶ μένοντος
25 ἐν τῇ καρδίᾳ τύπου· τὸ γὰρ ἐνὸν ἔχει καὶ μέμνηται. ἀναλαμβάνει δὲ τὸ
συνεχὲς αὐτῷ ἐν τῇ ἀναμνήσει. εἰπὼν δὲ ὅτι οὔτε λῆψις οὔτε ἀνάληψις
μνήμης ἐστὶν ἡ ἀνάμνησις καὶ λαβὼν ὡς ἀληθὲς διὰ τὸ δεδεῖχθαι ἐν τοῖς
Προβλήμασιν, ἐπάγει· ὅταν γὰρ τὸ πρῶτον πάθῃ ἢ μάθῃ, οὔτε ἀνα- 20
λαμβάνει μνήμην οὐδεμίαν. ἔστι δὲ τὸ λεγόμενον ἴσον τῷ 'οὔτε ἀνα-
30 μιμνήσκεται'· οὔτε γὰρ ἀναμιμνήσκεσθαι λέγομεν τὸν νῦν πρώτως λαμβάνοντα
καὶ μανθάνοντα, ὃ οὐδέποτε ἔλαβεν ἢ μεμάθηκεν, ἀλλὰ μᾶλλον μανθάνειν
(ὃ γὰρ νῦν πρώτως λαμβάνει, τοῦτο νῦν πρώτως μανθάνει, ἀναμιμνήσκεται

---

2 αἰσθητικῷ RP 3 καὶ ὥσπερ— ζῴου om. RP φανοτάτων Sa: ἐνόντων καὶ μενόντων CRP 4 καὶ (post προσευρίσκομεν) om. Sa 5 ἀπαλειφθέντα RP: ἀπολειφθέντα C 7 τρανής] τε ἂν RP 11 στερεοῖς C καὶ ἀσαφῆ ταῦτα CRP 11. 12 τῇ ἀναμνήσει ἐξ ἀνάγκης μνήμη RP 15 οὖν om. CRP 17 ὅτι post λεγόμενον add. RP ἐν τοῖς Προβλήμασιν] sed v. Bonitz, Index p. 99 a 38; Freudenthal, Rh. M. XXIV 204 18 post δεῖ add. ἡμᾶς CRP λαβεῖν CRP 19 καὶ (post ζητεῖν) om. CRP 20 μνήμη RP¹, prius S 21 τινες ἔλεγον CRP τινὸς μὲν R ἔλεγε R, prius P 26 αὐτῷ] αὐτῶν C: αὐτὸ a 27 ἢ ἀναμνήσεως RP¹ 28 τὸ om. CRP ἢ μάθῃ ἢ πάθῃ Arist. (prius ἢ om. EMY) 28. 29 λαμβάνει a 29 οὐδεμίαν] οὐδενὸς in ras. S 30. 31 μανθάνοντα καὶ λαμβάνοντα CRP 31 μανθάνει RP 32 πρώτως (ante μανθάνει) om. CRP

δὲ οὐδαμῶς, εἴπερ ἀνάμνησίς ἐστιν ἀνανέωσις προτέρας μνήμης, ἐπὰν λήθη 131v
γενομένη τὸ συνεχὲς ἀναλύσῃ), οὔτε οὖν ὅπερ ἔμαθε καὶ ἔτι φέρει ἐν 25
τῇ μνήμῃ, λήθης μηδὲν ὅλως μεσολαβησάσης, ἀναμιμνήσκεσθαι λέγομεν,
οὔτε ἐξ ἀρχῆς λαμβάνει, τουτέστιν οὔτε νῦν ἐξ ἀρχῆς λαμβάνει ὁ ἀνα-
5 μιμνησκόμενος. εἰ γὰρ νῦν πρώτως ἐλάμβανε, μανθάνειν ἂν ἐλέγετο, ἀλλ'
οὐκ ἀναμιμνήσκεσθαι. τὸν γὰρ νῦν μανθάνοντα "ἥκω νεκρῶν κευθμῶνα
καὶ σκότου πύλας λιπὼν" οὔ φαμεν ἀναμιμνήσκεσθαι, ἀλλὰ μανθάνειν.
οὐ λαμβάνει οὖν νῦν πρώτως ὁ ἀναμιμνησκόμενος, ἀλλ' ἔχει μέν τι, λαμ-
βάνει δὲ τὸ συνεχὲς τοῦ ἐχομένου· ὅπερ καὶ αὐτὸ εἶχεν, ἀπέβαλε δὲ τῷ 30
10 χρόνῳ ἢ ἄλλῳ τινὶ συμπτώματι. ἔστι δὴ τὸ οὔτε ἐξ ἀρχῆς λαμβάνει
ἴσον τῷ 'οὔτε μὴν νῦν πρώτως λαμβάνει ὅπερ ἀναμιμνήσκεται'. ὅταν δὲ
ληφθῇ καὶ γένηται ἕξις τούτου, ὥστε δύνασθαι ἡμᾶς, ὅταν βουληθῶμεν,
προβάλλεσθαι ὅλον ἀπροσπταίστως, τότε μνήμη ἐστὶ τοῦτο, ἀλλ' οὐκ ἀνά-
μνησις. τοῦτο γὰρ πάλιν ἐδήλωσε διὰ τοῦ ὅταν γένηται ἡ ἕξις ἢ τὸ
15 πάθος, τότε μνήμη ἐστίν. ἔστι δὲ λίαν ἐλλιπὴς ἡ λέξις. ἦν γὰρ ἂν
κατάλληλος, εἰ οὕτω πως εἶχεν· ὅταν γὰρ γένηται ἡ ἕξις ἢ τὸ πάθος οὕτως, 35
ὥστε ἀποδιδόναι δύνασθαι ἡμᾶς αὐτό, μηδ' ὅλως περιμένοντας ἐκ τοῦ
μέρους ἀθροῖσαι καὶ τὸ λοιπόν, μνήμη τοῦτο καὶ οὐκ ἀνάμνησις. καὶ
ἐπεὶ τότε ἐστὶ μνήμη, ὅταν ἡ ἕξις ἢ τὸ πάθος γένηται, μετὰ τοῦ πάθους
20 ἐγγινομένου οὐκ ἐγγίνεταί, τουτέστιν οὐκ ἐγγίνεται ἡ μνήμη γινομένου
τοῦ πάθους. οὐ γὰρ γίνεται ἡ μνήμη σὺν τῷ γινομένῳ τύπῳ καὶ πάθει
ἐν τῷ πρώτῳ αἰσθητηρίῳ ὑπὸ τῆς κατ' ἐνέργειαν αἰσθήσεως, ἀλλ' ὅταν
ἐν τῷ πρώτῳ αἰσθητηρίῳ κάλλιστα ἐγγραφῇ τὸ τοιοῦτον πάθος καὶ ὁ τύπος
ἐκ τῆς συνεχοῦς περὶ τὰ αἰσθητὰ τῶν αἰσθήσεων ἐνεργείας. διαρθροῖ δὲ 40
25 καὶ νῦν τὰ περὶ μνήμης, ἵνα τὴν φύσιν τῆς ἀναμνήσεως διὰ τούτων παρα-
στήσῃ καὶ τὴν διαφορὰν τῆς τε μνήμης καὶ τῆς ἀναμνήσεως.

p. 451ª25 Ἔτι δὲ ὅτε πρῶτον ἐγεγόνει ἐν τῷ ἀτόμῳ καὶ ἐσχάτῳ.

Ἄτομον καὶ ἔσχατον τὸ ἀμερὲς λέγει νῦν τὸ ἀνάλογον τῇ στιγμῇ. 47

---

1 τῆς ante προτέρας add. CRP, sed v. ad p. 19,1 1. 2 λήθη γενομένη scripsi (v. p. 19,1): λήθης γενομένης libri 3 μεσοσυλλαβησάσης S 6 v. Eur. Hecubae init. 7 μανθάνειν] λαμβάνειν RP 8 οὐ] οὔ R, prius P οὖν om. CRP 9 τοῦ ἐρχομένου R, prius P: τῷ ἐχομένῳ a, sed v. p. 20,24 ἀπέβαλε] ἀπόλωλε P: ἀπ-'ολε sic R 10 λαμβάνειν P 11 λαμβάνειν RP ὅτε SRP δὲ] δὴ S 12 γένηται cum Arist. LS (ἐγγένηται EMYU) legit cf. v. 16 et 19 τούτων a 13 μνήμη cum Arist LSU legit (ἡ μνήμη EMY) 14 ἢ cum Arist. LSU legit (καὶ EMY), cf. v. 16 16 εἶχεν Sa: ἐκφέρεται C: ἐκφύεται R: ἐμφύεται P 17 ὥστε] ὡς τὸ RP ἡμᾶς αὐτὸ δύνασθαι a μηδὲν ὅλως CRP 18 συναθροίζεσθαι CRP 19 ἐγγένηται CRP, v. ad. v. 12 20 ἐγγινομένη CRP 21 πάθει] πάθος RP 24 δὲ om. RP 25 τῆς ἀναμνήσεως—παραστήσῃ S: διὰ τούτων τῆς ἀν. παρ. a: διὰ τούτων παρ. τῆς ἀν. CRP 26 τῆς (post καὶ) om. CRP 27 τὸ ante πρῶτον cum Arist. add. a, cf. p. 22,3 ἐγεγόνει ἐν cum Arist. LSU (ἐγγέγονε EM, γέγονε Y) καὶ om. P 28 λέγει νῦν τὸ ἀμερές CRP

εἰ γὰρ καὶ χρόνῳ καὶ τέχνῃ τὰ φυσικὰ καὶ τεχνητὰ γίνεται, ἀλλ' οὖν τὸ 132r
οἰκεῖον τέλος ἐν τῷ νῦν ἑκάστῳ παραγίνεται, ὁμοίως δὲ καὶ αἱ ἀποδείξεις
καὶ ἐπιστῆμαι. ἔστι δὲ τὸ τῆς λέξεως συνεχὲς τοιοῦτον· ἔτι δὲ ὅτε τὸ
πρῶτον ἐγεγόνει ἐν τῷ ἀτόμῳ καὶ ἐσχάτῳ, τὸ μὲν πάθος ἐνυ- 50
5 πάρχει ἤδη τῷ παθόντι καὶ ἡ ἐπιστήμη, εἰ δεῖ καλεῖν ἐπιστήμην
τὴν ἕξιν ἢ τὸ πάθος, τὸ δὲ μνημονεύειν καθ' αὑτὸ οὐχ ὑπάρχει
πρὶν χρονισθῆναι. τὰ δ' ἄλλα μεταξὺ παρέρριπται. διαφέρει δὲ τὸ
δεύτερον ἐπιχείρημα τοῦ προτέρου· ἐν ἐκείνῳ μὲν γὰρ ἔλεγεν, ὅτι οὐκ
ἔστι μνήμη οὐδὲ μνημονεύειν λεγόμεθα, ὅτε τὰ πάθη καὶ τοὺς τύπους
10 λαμβάνομεν, οὔπω δὲ τελέως ἐλάβομεν, ἐν τούτῳ δὲ λέγει, ὅτι οὐδὲ ἐν τῷ
νῦν, ἐν ᾧ ἤδη τελέως τὸν τύπον ἐλάβομον, μνημο|νεύειν λέγομεν. οὐ 132r
γὰρ λέγομεν μνημονεύειν ὅπερ νῦν ἐμάθομεν, ἀλλ' ὅπερ πρότερον. ὑπάρ-
χει γὰρ ἐν ἐμοὶ τῷ παθόντι τὸ πάθος καὶ ἡ ἐπιστήμη, ἥτις μοι νῦν
ἐγεγόνει. καὶ οὐκ ἔστι τοῦτο μνήμη, ἀλλ' ὅταν χρονίσαν ἐν ἐμοὶ
15 δύνωμαι ἀπταίστως προβαλέσθαι αὐτό, τότε ἐστὶ μνήμη. ὃ γὰρ εἶδεν
ἢ ἔμαθε πρότερον, τοῦτο μνημονεύει νῦν· ὃ δὲ νῦν ἔμαθε, πῶς ἂν λέγοιτο
μνημονεύειν; τὸ δὲ οὐδὲν γὰρ κωλύει κατὰ συμβεβηκὸς μνημονεύειν 5
ἔνια ὧν ἐπιστάμεθα μεταξὺ παρεμβέβληται· εἴρηται δέ, ὅτι τῶν ἐπι-
στημῶν κατὰ συμβεβηκός ἐστι μνήμη.

20 p. 451a31 Ἔτι δὲ φανερόν ὅτι μνημονεύειν ἐστὶ μὴ νῦν ἀναμνη-
σθέντα, ἐξ ἀρχῆς αἰσθόμενον ἢ παθόντα.

Ἦν ἂν σαφέστερον, εἰ οὕτως πως εἶχεν ἡ λέξις· δῆλον τοίνυν ἐκ τού- 10
των, τί ποτ' ἐστὶν ἡ ἀνάμνησις. διαρθρώσας γὰρ τὰ περὶ μνήμης, νῦν
λέγει καὶ τίς ἐστιν ἡ ἀνάμνησις. ἀσαφῶς δὲ πάντα ἀπαγγέλλει. ἔτι δὲ
25 φανερὸν ὅτι μνημονεύειν ἐστί. τὸ μὲν ὅτι ἀντὶ τοῦ τί ἐστι, τὸ δὲ
μνημονεύειν ἀντὶ τοῦ ἀναμιμνήσκεσθαι εἴληπται, εἴ τι χρὴ τῇ ἐμῇ προσέ-
χειν μαντείᾳ. φανερὸν οὖν, φησί, τί ἐστι τὸ ἀναμιμνήσκεσθαι. καὶ δεῖ
ἐνταῦθα τελείαν στίξαντας ἀπ' ἄλλης ἀρχῆς ἀναγινώσκειν τὸ μὴ νῦν ἀνα-
μνησθέντα, ἐξ ἀρχῆς αἰσθόμενον ἢ παθόντα, προσυπακούοντας τοῦ 15
30 ἔστι ῥήματος καὶ τοῦ τοίνυν ἐπιρρήματος. ὁμοίως δὲ καὶ τὸ ἀναμνησθέντα
ἀντὶ τοῦ ἀναμιμνήσκεσθαι, ὡς εἶναι τὴν λέξιν τοιαύτην· ἔστι τοίνυν μὴ
νῦν ἀναμιμνήσκεσθαι ἐξ ἀρχῆς αἰσθόμενον ἢ παθόντα. οὕτω μὲν οὖν,

---

1 γίνεται] λέγεται RP 2 ἐν τῷ om. S post τῷ add. ἀτόμω CRP
4 καὶ ante ἐν add. CRP 5 ἡ om. P 6 οὐχ om. RP¹ 7 πλὴν R, prius P 9 ὅταν CRP 10 λαμβάνωμεν CRP 11 νῦν] νῶ RP τελείως SP 15 δύναμαι SRP προβάλλεσθαι CRP 17 οὐδὲ RP γὰρ] δὲ Arist. μνημονεύειν κατὰ συμβεβηκός S καὶ cum Arist. post συμβεβηκὸς add. a 18 ἔνια] ἐνίων S παρεμβέβληνται S δέ] γὰρ a
19 ἐστὶν ἡ μνήμη P 21 ἐξ] ἀλλ' ἐξ Arist. EMY αἰσθανόμενον CRP
22 πως om. CRP 23 τῆς μνήμης a 24 δὲ (post ἔτι) om. RP 26 εἴληπται Sa: εἴρηται CRP, sed v. p. 23,23 τι] γε a 27 ἐστὶ ante φησι add. CRP
28 τέλειον C: τελείως RP τὸ] τῷ R 29. 30 τὸ ἔστι ῥῆμα CRP
30 καὶ τὸ νῦν ἐπίρρημα RP: καὶ τοίνυν C 31 ὡς] καὶ RP

οἶμαι, χρὴ τὴν λέξιν καθιστάνειν, ἀναγινώσκειν δὲ ὑπερβατῶς οὕτως· ἔστι 132r
τοίνυν ἀναμιμνήσκεσθαι μὴ νῦν ἐξ ἀρχῆς αἰσθόμενον ἢ παθόντα, ἵν' ᾖ
τὸ μὲν ἔτι δὲ φανερὸν ὅτι μνημονεύειν ἐστὶν ὡς ἀποφαινομένου καὶ
λέγοντος· φανερὸν τοίνυν, τί ἐστιν ἀνάμνησις, εἶτα τὰ λοιπὰ δίδαξις τοῦ τίς 20
5 ἐστιν ἀνάμνησις. οὕτως δὲ ἐπαχθέντα, ὡσεὶ ἔλεγεν· ἔστι τοίνυν τὸ ἀναμι-
μνήσκεσθαι μὴ νῦν ἐξ ἀρχῆς αἰσθόμενον (τουτέστιν οὐχ ὅπερ νῦν καὶ
πρώτως· τὸ γὰρ ἐξ ἀρχῆς ἴσον ἐστὶ τῷ νῦν καὶ πρώτως), οὐκ ἔστιν οὖν
ἀναμιμνήσκεσθαι τὸ νῦν αἰσθάνεσθαί τι ἢ μανθάνειν, ἀλλ' ὅταν ἦν εἶχε
πρότερον ἐπιστήμην ἢ αἴσθησιν ἢ ὅτι ἂν εἴη, οὗ τὴν ἕξιν φαμὲν μνήμην,
10 ὅταν οὖν ἐκ τοῦ ἐνόντος μέρους τῆς ἐπιστήμης ζητήσας εὑρήσῃ καὶ ἀνα-
λάβῃ καὶ τὸ λοιπόν, τοῦτό ἐστι τὸ ἀναμιμνήσκεσθαι τῶν εἰρημένων τι καὶ 25
τότε. οὕτω γὰρ δεῖ τὴν λέξιν ἀναγινώσκειν τὴν τοῦτό ἐστι καὶ τότε
ἀναμιμνήσκεσθαι τῶν εἰρημένων τι· τότε γάρ ἐστι τὸ ἀναμιμνήσκε-
σθαι, ὅταν ἀναλαμβάνῃ καὶ τὸ λοιπόν. εἰρημένα δὲ λέγει τὴν ἐπιστήμην,
15 τὴν αἴσθησιν καὶ ὅλως οὗ τὴν ἕξιν λέγομεν μνήμην. δεῖ δὲ καὶ ἐν τῇ
λέξει τῇ ἀλλ' ὅταν ἀναλαμβάνῃ ἣν πρότερον εἶχεν ἐπιστήμην
προσυπακούειν τοῦ ἐκ τῆς ἐνούσης ἀρχῆς· ἐκ γὰρ τοῦ "μῆνιν ἄειδε θεὰ"
τοῦ ἐνόντος ἡμῖν ἀνέλαβε καὶ τὸ λοιπὸν τὸ "Πηληιάδεω Ἀχιλῆος". ἔτι
δὲ φανερὸν ὅτι μνημονεύειν ἐστί. φανερόν, φησίν, ὅτι ἀναμιμνήσκεσθαί 36
20 ἐστιν οὐχὶ τὸ νῦν μανθάνειν ἢ ἐπίστασθαι, ἀλλὰ τὸ ἀναλαμβάνειν διὰ τῆς
ἐνούσης ἀρχῆς τὸ διαρρεῦσαν καὶ διαφυγὸν τὴν μνήμην. πάλιν δὲ ἐν τῇ
λέξει τῇ τῷ δὲ μνημονεύειν συμβαίνει καὶ μνήμην ἀκολουθεῖν
τὸ μνημονεύειν ἀντὶ τοῦ ἀναμιμνήσκεσθαι εἴληπται. ἔστι δὲ τὸ λεγόμενον
ταὐτὸν τῷ 'τῇ δὲ ἀναμνήσει συμβαίνει ἀκολουθεῖν τὴν μνήμην'.

25 p. 451 b 6 Οὐδὲ δὴ ταῦτα ἁπλῶς, ἐὰν ἔμπροσθεν ὑπάρξαντα πάλιν ἐγγίνηται.

Ἐπειδὴ πολλάκις μαθόντες τι, οὕτω διαφεύγει ἡμᾶς, ὡς ἂν εἰ μηδὲ 37
ὅλως ἐμάθομεν, φησὶν ὅτι, ἂν συμβῇ τὸν τύπον οὗπερ ἐμάθομεν παντελῶς
ἀφανισθῆναι, εἶτα πάλιν ὕστερον μάθωμεν αὐτὸ ὥσπερ καὶ πρότερον, οὐκ
30 ἔστι τοῦτο ἀνάμνησις, ἀλλὰ μάθησις. οὕτω γὰρ καὶ νῦν μανθάνομεν αὐτό,
ὥσπερ καὶ πρότερον. καὶ οὐδὲν κωλύει τοῦτο μαθόντα πρότερον δὶς πάλιν 40
μαθεῖν αὐτό. οὐκ ἔστιν οὖν ἀνάμνησις, ἐὰν τὰ ἔμπροσθεν ὑπάρξαντα

---

2 μὴ] καὶ S 4. 5 τοῦ τίς ἔστιν (ἡ add. S, fort. recte v. p. 22,24. 24,15) Sa: τουτέστιν CRP
6 καὶ νῦν S 7 οὖν om. CRP 9 ἔφαμεν a (ἐλέγομεν Arist.), sed v. v. 15
10 εὑρήσῃ a: εὑρήσει ceteri 12 τότε] τότε τὸ Arist. EY 13 τότε] τοῦτο a
14 εἰρημένον CRP 15 alt. καὶ om. CRP 17 prius τοῦ Sa: τὸ CRP 18 ἐν ἡμῖν a,
cf. p. 28,24 19 alt. ὅτι] ὅτι τὸ C 20 οὐχὶ Sa: οὐ CRP 21 διαφυγεῖν C
22 τῷ a, e corr. C: τὸ SRP, prius C (Arist.) μνήμη C (Arist. libri praeter L)
ἀκολουθεῖ Arist. libri praeter L 23 τὸ λεγόμενον om. CRP 24 ἀκολουθεῖν συμ-
βαίνει CRP τῇ μνήμη RP 26 ἐγγίνεται a (ἐγγένηται Arist. EMY 27 cave μαθόντας
conicias, v. Ind. s. *nom. absol.* τι] ὅτι RP 29 μάθομεν C: ἐμάθομεν RP
αὐτὸν CRP 31 ὥσπερ—αὐτό (32) om. P 32 τὰ om. CRP

πάλιν ἐγγίνηται οὕτως, ὥσπερ καὶ πρότερον (οὔτε γὰρ τότε, ὅτε τὴν ἀρχὴν 132r
ἐμανθάνομεν, τύπους εἴχομεν τούτων, οὔτε νῦν διὰ τὸ παντελῶς ἠφανί-
σθαι τοὺς φθάσαντας γενέσθαι), ἀλλ' ὅταν ἐνούσης ἀρχῆς δι' αὐτῆς ἀνα-
λάβῃ καὶ τὰ λοιπά, τότε ἐστὶν ἀνάμνησις. δεῖ γὰρ διαφέρειν τὴν ἀνά-
5 μνησιν τούτων, τουτέστι τῶν μαθήσεων. εἰπὼν δὲ καὶ ἐνούσης
πλείονος ἀρχῆς, πάνυ ἀσφαλῶς ἐπήγαγε τὸ ἢ ἐξ ἧς μανθάνουσιν. 45
ἔστι δὲ τὸ ἢ παραδιαζευκτικόν· ἐπειδὴ γὰρ "πᾶσα διδασκαλία καὶ πᾶσα
μάθησις διανοητικὴ ἐκ προϋπαρχούσης γίνεται γνώσεως" καὶ ἀρχῆς, γίνεται
δὲ καὶ ἡ ἀνάμνησις ἐκ προϋπαρχούσης ἀρχῆς, ἐπήγαγε τὸ καὶ ἐνούσης
10 πλείονος ἀρχῆς, ὡς εἰ ἔλεγε· γίνεται μὲν καὶ ἡ μάθησις ἀπό τινος
ἐνούσης ἀρχῆς, ἀλλ' ἡ ἀρχή, ἀφ' ἧς ἡ ἀνάμνησις, πλείων ἐστὶ καὶ σφο-
δροτέρα, παρ' ὅπερ ἀφ' ἧς ἡ μάθησις.

p. 451b10 Συμβαίνουσι δὲ αἱ ἀναμνήσεις, ἐπειδὴ πέφυκεν ἡ 50
κίνησις ἥδε μετὰ τήνδε.

15 Εἰπὼν τίς ἐστιν ἡ ἀνάμνησις, νῦν λέγει καὶ πῶς γίνεται. ἐπειδὴ γάρ,
φησί, πέφυκε γίνεσθαι κίνησις ἐν | τῇ ψυχῇ ἥδε μετὰ τήνδε, διὰ τοῦτο 132v
συμβαίνει ἡμᾶς ἀναμιμνήσκεσθαι. ὥσπερ γὰρ καὶ ἐπὶ τῆς ἁλύσεως τοῦδε
τοῦ κρίκου ἀρθέντος ἢ κινηθέντος ἐξ ἀνάγκης συγκινεῖται καὶ ὁ ἐφεξῆς,
οὕτως εἰσὶ καὶ ἐν τῇ ψυχῇ τύποι· κινηθείσης οὖν ὑπό τινος τούτων τῆς
20 ψυχῆς, εὐθὺς κινεῖ αὐτὴν καὶ τὸ ἐφεξῆς. οἷον ἦν μουσικὸς Κορίσκος ἔχων
λύραν, καὶ γέγονεν ἐν τῇ ψυχῇ τύπος καὶ τῆς λύρας καὶ τοῦ Κορίσκου·
εἶδον μετὰ τοῦτο Σωκράτη φέρε εἰπεῖν βαστάζοντα λύραν, καὶ εὐθὺς ἀνε- 5
μνήσθην τὴν λύραν τοῦ Κορίσκου, ἐκ δὲ ταύτης Κορίσκον. πάλιν ἤκουσά
του ᾄδοντος "δύο ψυχαὶ ἐξήρχοντο, καὶ μία πρὸς ἄλλην ἔλεγε, ποῖ πορευ-
25 τέον". μετὰ δέ τινας χρόνους ἤκουσα ἄλλου ᾄδοντος τὸ μὲν μέλος καὶ
τὸν ῥυθμὸν ἐκεῖνον, καθ' ὃν ᾖδετο τὸ "δύο ψυχαὶ ἐξήρχοντο", ἡ δὲ λέξις
καὶ ἡ ἔννοια οὐκ ἐκείνη, ἀλλ' ἦν ὅτι "ὁ νοῦς ὁ πρῶτος ἄγει με καὶ πάλιν
κάτω φέρει". ᾖδετο οὖν, ὥσπερ εἶπον, τῷ αὐτῷ ῥυθμῷ καὶ ταῦτα καὶ
ἐκεῖνα· ἀφ' οὗ ῥυθμοῦ πρῶτον ἀνεμνήσθην κινηθεὶς ὧδε κἀκεῖσε τὸν τόπον, 10
30 ἐν ᾧ ἤκουσα τοῦ ῥυθμοῦ, εἶτα τὸν ᾄδοντα ἄνθρωπον, καὶ τότε τὸ "δύο

---

1 ἐγγένηται P 2 ἐμάθομεν RP νῦν] γοῦν a 4 γὰρ] οὖν Arist.
5 καὶ om. a 7 ἔστω S ἐπεὶ CRP 8 ex Anal. post. A 1 init.
12 παρ' ὅ CRP ante ἀφ' add. ἡ S 13. 14 ἥδε ἡ κίνησις Arist. MSU 14 γενέσθαι post ἥδε add. a (cum Arist. EY) 17 καὶ om. CRP 18 ἢ om. RP ἐκινῆ RP
ὁ] ἡ S 19 καὶ post τύποι add. C οὖν om. CRP 20 τὸ] ὁ e Soph. conicio, sed v. p. 26,30 23 τῆς λύρας CRP Soph. ταύτης] τούτου P
κορίσκου CRP Soph. πάλιν om. RP 24 sunt versus politici poetae mihi ignoti πρὸς ⟨τὴν⟩ poetae reddo ποῖ a Soph.: ποῦ ceteri 25. 26 καὶ τὸν] κατὰ RP Soph. 26 ἡ δὲ λέξις a: αἱ δὲ λέξεις ceteri (τὸν δὲ λόγον ἕτερον Soph.)
28 καταφέρει S φέρει a: φέρει με ceteri: variant Soph. libri ἀριθμῷ S
29 ἀνεμνήσθη CRP τῶν τόπων CRP 30 ἐν ᾧ] ἀφ' οὗ RP τὸν om. a (legit etiam Soph.)

ψυχαὶ ἐξήρχοντο" καὶ τὰ ἑξῆς. εἰσὶ μὲν οὖν τόποι τινὲς ἐξ ἀνάγκης ἀκο- 132v
λουθοῦντες ἀλλήλοις, ἐν οἷς ἀδύνατόν ἐστι τούτου κινηθέντος μὴ ἕπεσθαι καὶ τὸν ἑξῆς. οἷον εἰ Σωκράτης ἔτυψέ τινα, ἀδύνατόν ἐστιν ἀναμνησθῆναι Σωκράτην καὶ μὴ ἀναμνησθῆναι καὶ ὅτι ἐτύφθη ὑπὸ Σωκράτους. καὶ ἔτι
5 ἀδύνατόν ἐστιν ἀναμνησθῆναι τόδε τὸ θεώρημα καὶ μὴ ἀναμνησθῆναι καὶ ὑπὸ τίνος αὐτὸ μεμαθήκαμεν. ὅταν οὖν κινηθῇ τὴν τοῦ Σωκράτους κίνησιν 15
(τοῦτο δὲ ταὐτόν ἐστι τῷ ὅταν ἀναμνησθῇ Σωκράτην), δηλονότι καὶ τήνδε κινηθήσεται, τουτέστι δηλονότι ἀναμνησθήσεται, ὅτι ὑπὸ Σωκράτους ἐτύφθη. εἰ μὲν οὖν ἐστιν ἀναγκαία ἡ τῶν τύπων ἀκολούθησις καὶ αἱ ἀπ' αὐτῶν
10 κινήσεις, ὡς ἐξ ἀνάγκης τὴν μὲν ἡγεῖσθαι, τὴν δὲ ἕπεσθαι, ἀδύνατόν ἐστι τῆς ἡγουμένης γενομένης μὴ ἕπεσθαι καὶ τὴν λοιπήν. εἰ δὲ μὴ ἐξ ἀνάγκης ἀλλ' ἔθει, οὐκ ἀεὶ ἕπεται τῇ πρώτῃ ἡ δευτέρα, ἀλλ' ὡς ἐπὶ τὸ πολύ. συμβαίνει γάρ ποτε τῆς πρώτης γενομένης μὴ γίνεσθαι τὴν λοιπήν. 20
ἔσται δὲ τὸ λεγόμενον δῆλον ὧδε· πολλάκις ἐγὼ βουληθεὶς εἰπεῖν Λυκα-
15 βηττὸν οὐκ ἀνεμιμνησκόμην, ἐξ οὗ εἴθισα ἐμαυτὸν ἐνθυμεῖσθαι λύκον (ἄρχονται γὰρ ἀμφότερα ἐκ τῆς λυ συλλαβῆς)· ἀφ' οὗ δὴ λύκου ὁρμώμενος ἀνεμιμνησκόμην τὸν Λυκαβηττόν. ἄλλος δέ τις τοῦ Ταυρομενίτου ἐπιλανθανόμενος εἴθισεν εὐθὺς ἔρχεσθαι εἰς ἔννοιαν ταύρου, ἀφ' οὗ ἀνεμιμνήσκετο τὸν Ταυρομενίτην. καὶ ἄλλοι πολλοὶ ἐθίζουσιν ἑαυτοὺς ἀπό τινων προχεί-
20 ρων ἀναμιμνήσκεσθαι τὰ δυσεύρετα, οἷον ἀπὸ τῆς πλευρᾶς τὴν πλευρωνίαν. 25
ἐπὶ τούτων οὖν τῶν ἐξ ἔθους οὐκ ἀεὶ ἕπεται τῇ πρώτῃ ἡ λοιπή· ἀλλὰ πολλάκις τὴν μὲν πλευρὰν ἐνθυμοῦμαι, τὴν δὲ πλευρωνίαν οὐκ ἀναμιμνήσκομαι. τούτοις ἐπάγει ὅτι συμβαίνει ἐνίους ἅπαξ ἐθισθῆναι μᾶλλον ἢ ἑτέρους κινουμένους πολλάκις. εἰσὶ γάρ τινες ἐπιτηδείως ἔχοντες,
25 ὥστε ἐθισθέντες ἐκ τοῦδε ἀναμιμνήσκεσθαι τόδε ἅμα τῷ ἀναμνησθῆναι τὸ πρῶτον ῥᾷστα ἀναμιμνήσκεσθαι καὶ τὸ δεύτερον. τινὲς δὲ πολλάκις ἐθίσαντες ἑαυτοὺς ἐκ τοῦ ταύρου ἀναμιμνήσκεσθαι τὸν Ταυρομενίτην τὸ ταῦ- 30
ρος λέγουσι, πόρρω δ' οὐ προβαίνουσιν. ἢ τὸ ἐνίους ἐπὶ τῶν ἐν τῇ ψυχῇ τύπων εἴρηται· τινὲς γὰρ τῶν τύπων γίνονται εὐμνημόνευτοι, τινὲς δ' οὔ.

---

2 ἀλλήλοις Sa Soph.: ἄλλοις RP 3 καὶ τὸν ἑξῆς Sa: κἀκείνω (κἀκεῖνο RP) καὶ τὸ ἐφεξῆς ἐκείνω CRP post τινα add. ἐν τόπῳ τινὶ CRP 3. 4 ἀναμνησθῆναι Σωκράτην καὶ Sa: ἀναμνησθέντα σωκράτους (σωκράτην C) CRP 4 post Σωκράτους add. καὶ τὸ ἐφεξῆς τούτου, τὸ ἐν τῷ δεῖνι (ὁ δεῖνι R) τόπῳ CRP καὶ ἔτι] καίτοι C 5 ἀναμνησθέντα CRP 5. 6 μὴ καὶ ὑπὸ τίνος αὐτὸ μεμάθηκεν ἀναμνησθῆναι RP 5 prius καὶ om. C 6 μεμάθηκεν C 7 ἀναμνησθῇ Σωκράτους SRP 8 κινήσεται RP ὑπὸ] ὑπὸ τοῦ CRP 9 ἀνάγκη RP 11 καὶ τὴν λοιπὴν ἕπεσθαι CRP 13 γίνεσθαι a: γενέσθαι ceteri 14 ὧδε δῆλον RP 14. 15 et 17 Λυκαβηττὸν S: λυκαβητὸν Ca: λυκάβητον RP Soph. 15 ἐμαυτὸν] αὐτὸν R: αὐτὸν P 16 ἀμφότεροι a Soph. 17 ταυρομενείτου S, item v. 19. 27 17. 18 ἐπιλανθανόμενος SP (Soph. AB): ἐπιλαμβανόμενος R: ἐπιλαθόμενος Ca (Soph. C) 19 τὸν Ταυρομενίτην a: τὸ ταυρομενίτης ceteri ἀπό Sa: ἐπὶ CRP τινων—πλευρωνίαν (20) a: τινῶν προχ. οἷον—πλευρᾶς ἀναμ. τὰ δυσεύρετα οἷον τὴν πλευρωνίαν S: προχ. τ. cetera ut S, nisi quod πλευρόνην CRP 22 πλευρώνην Soph. 23 δ' ante ἐπάγει add. a ἐνίους Sa Soph. (Arist.): ἐνίοις CRP 24 ἑτέρους legit cum Arist. LSU (ἄλλους EMY) 27 ἀναμιμνήσκεσθαι a: ἀναμιμνήσκονται ceteri

p. 451b16 Ὅταν οὖν ἀναμιμνῃσκώμεθα, κινούμεθα τῶν προτέρων 132v
τινὰ κινήσεων.

Προτέρας κινήσεις λέγει τὰς ἡγουμένας. οἷον, ὡς αὐτὸς προϊὼν ἐρεῖ, 38
βουλόμενος ἀναμνησθῆναι, τίς καθ' οἷον καιρὸν ἔπραξε τόδε τι, ἀνεμνήσθη
5 γάλα, ἀπὸ γάλακτος λευκόν, ἀπὸ λευκοῦ ἀέρα, ἀπὸ ἀέρος ὑγρόν, ἀπὸ τούτου μετόπωρον· ἔστω δὲ οὗτος ὁ χρόνος, καθ' ὃν ἔπραξε τὴν πρᾶξιν. 40
ἢ εἶδε γεγραμμένην λύραν, ἀπὸ δὲ ταύτης ἀνεμνήσθη λύραν, καὶ ἀπὸ ταύτης τὸν μουσικόν, ἐκ δὲ τούτου ἦν ᾖσεν ᾠδήν, εἰ ταύτης ἔδει ἀνάμνησιν λαβεῖν. ἐκινήθη δὴ τὰς προτέρας κινήσεις, ἕως οὗ ἦλθεν εἰς τὸν μουσικόν,
10 μεθ' ὃν γέγονεν ἡ τῆς ᾠδῆς ἀνάμνησις· μετὰ γὰρ τὴν τοῦ μουσικοῦ κίνησιν εἰώθει γίνεσθαι ἡ τῆς ᾠδῆς ἀνάμνησις. ἀπὸ οὖν τοῦ νῦν, οἷον ἀπὸ τῆς νῦν ὁρωμένης λύρας, ἀνεμνήσθη τὴν ᾠδήν. πολλάκις δὲ καὶ ἀπό τινος ἄλλου· εἰ γὰρ τύχοι ἐφεξῆς ὢν τῷ τῆς ᾠδῆς τύπῳ ὁ τοῦ κίονος, ἀναμνη- 45
σθήσομαι αὐτὴν ἀπὸ τοῦ κίονος. εἰκὸς γὰρ τοῦ τόπου τοῦ κίονος κινη-
15 θέντος συγκινηθῆναι καὶ τὸν τῆς ᾠδῆς καὶ ἐξ αὐτοῦ ἀναμνησθῆναι αὐτήν. πολλάκις δὲ καὶ ἀπὸ τοῦ ὁμοίου ἢ ἐναντίου ἢ τοῦ σύνεγγυς· ἀπὸ μὲν ὁμοίου, ὅταν ἀπὸ τῆς τοῦ Σωκράτους εἰκόνος τὸν Σωκράτην, ἀπὸ δὲ ἐναντίου, ὅταν ἀπὸ λευκοῦ μέλαν, ἀπὸ δὲ τοῦ σύνεγγυς, ὅταν ἀπὸ τοῦ „ἀντὶ πολλῶν, ὦ ἄνδρες Ἀθηναῖοι" ἀναμνησθῶ „χρημάτων ὑμᾶς ἑλέσθαι νομίζω" (σύνεγγυς γὰρ τοῦτο
20 ἐκείνῳ), ἢ ἀπὸ κυνὸς λύκον· σύνεγγυς γὰρ ὁ κύων τῷ λύκῳ. γίνεται οὖν ἡ 50
ἀνάμνησις διὰ τοῦ ὁμοίου ἢ τοῦ ἐναντίου ἢ τοῦ σύνεγγυς διὰ τὸ τὰς κινήσεις τῶν μὲν ὁμοίων εἶναι τὰς αὐτάς (ὁ δὲ κινούμενος κατὰ τὸ εἴδωλον καὶ τὸν τύπον τρόπον τινὰ κατὰ τὸ πρᾶγμα, ἀφ' οὗ ὁ τύπος, κινεῖται. ὥστε ἀνάγκη εὐθὺς ἀναμιμνήσκεσθαι ἀπὸ τῆς εἰκόνος τὸ πρᾶγμα), τῶν δὲ ἐναντίων ἅμα
25 (ἅμα γὰρ τῇ διακρίσει συννοοῦμεν σύγκρισιν, καὶ ἅμα τῇ ψύξει θέρμην), τοῦ δὲ σύνεγγυς διὰ τὸ εἶναι μέρος τοῦ λοιποῦ· τοῦτο γὰρ | ἐδήλωσε 133r
διὰ τοῦ τῶν δὲ μέρος ἔχουσι. τὸ γὰρ "χρημάτων ὑμᾶς ἑλέσθαι νομίζω" μέρος ἐστὶ τοῦ "ἀντὶ πολλῶν, ὦ ἄνδρες Ἀθηναῖοι". κινουμένου οὖν τοῦ μέρους κινεῖται καὶ τὸ λοιπόν, ὥσπερ καὶ ἐπὶ τῆς ἁλύσεως τοῦ πρώτου
30 κρίκου κινηθέντος κινεῖται καὶ τὸ λοιπόν. οὐ δεῖ δὲ θαυμάζειν, εἰ ποτὲ μὲν τοῦ πρώτου μέρους κινουμένου κινεῖται καὶ τὸ ἐφεξῆς, ποτὲ δὲ οὔ·

---

2 τινὰς CRP κινήσεις RP: κινήσις C 3 οἷον om. CRP ἐρεῖ] p. 452a14 ss. 4 τόδε om. CRP 5 ἀέρος ὑγρὸν (ὑγρὸν om. C) ἀπὸ CRP (Arist. Soph.): om. Sa 7 ἢ Sa: πάλιν CRP δὲ om. CRP alt. λύρας prius P, e corr. C, Soph. καὶ om. RP 8 τῶν μουσικῶν R, e corr. C ᾖδεν a Soph. C 10 μετὰ—ἀνάμνησις (11) om. P 11 γοῦν CRP οἷον] ἤγουν P 13 τύχῃ CRP (Soph. B) ὁ om. R 14 αὐτῆς C (αὐτὴν etiam Soph.) 15 αὐτῆς C 16 ἢ ἐναντίου—ὁμοίου om. P τοῦ ante alt. ὁμοίου add. CP 17 μὲν ante τῆς add. CRP 18 Demosth. Olynth. I. init. 19 ὑμᾶς RPa Soph.: ἡμᾶς SC 20 ἐκείνου CRP λύκου a 21 τοῦ (ante σύνεγγυς) om. RP 23 τύπος] τόπος R, prius P 24 ἀπὸ om. RP 26 τοῦ δὲ Sa: τῶν δὲ CRP 27 ὑμᾶς a: ἡμᾶς ceteri 29 καὶ τὸ λοιπόν Sa: τὰ λοιπὰ CRP ὥσπερ — τὸ λοιπόν (30) om. C 30 τὸ λοιπὸν Sa: τὰ λοιπὰ CR

ὅταν γὰρ τέλεον ἀφανισθῇ, οὐ κινηθήσεται. εἰπὼν δὲ τῶν δὲ μέρος 133r
ἔχουσιν ἐπήγαγεν ὥστε τὸ λοιπὸν μικρόν, ὃ ἐκινήθη μετ' ἐκεῖνο. 6
ἢ οὖν διὰ τούτων τοῦτο λέγει, ὅτι παντὸς μείζων ἐστὶν ἡ ἀρχὴ τῶν μετ'
αὐτήν, καὶ ταύτης εὑρεθείσης τὰ μετ' αὐτὴν μικρά, καὶ ἐπὶ τούτῳ ἐκ τῆς
5 ἐνούσης ἀρχῆς συνείρει καὶ τὰ λοιπά (τῆς γὰρ ἀρχῆς εὑρεθείσης εἰκός
ἐστι τὸν νοῦν συναγαγεῖν καὶ τὰ λοιπά)· ἢ ὅτι, εἰ ἀνεμνήσθη εἴκοσι φέρε
εἰπεῖν στίχους, ὅτε ἀνεμνήσθη τοὺς δέκα καὶ ἕξ, τὸ λοιπόν, ἤγουν οἱ τέτταρες,
οὓς ἐκινήθη καὶ ἀνεμνήσθη μετὰ τὸ ἀναμνησθῆναι τοὺς δεκαέξ, μικρὸν ἦν, 10
καὶ οὐδὲν παρελυμήναντο τὴν διάνοιαν συναγαγεῖν καὶ αὐτούς. οὕτω μὲν
10 οὖν ζητοῦντες ἐκ τῶν ὁμοίων ἢ ἐναντίων ἢ τῶν σύνεγγυς ἀναμιμνησκό-
μεθα, ἀλλὰ καὶ οὕτω μὴ ζητοῦντες, τουτέστι μὴ ἐκ τῶν ὁμοίων
μηδὲ ἐκ τῶν ἐναντίων μηδὲ τῶν σύνεγγυς, πολλάκις ἀναμιμνήσκονται,
ὅταν ἄλλην τινὰ κίνησιν κινηθέντες ἐκείνη γένηται. οἷον πολλάκις ἀνα-
μνησθέντες ᾠδὴν ἀνεμνήσθησαν Σωκράτους· ἥτις ᾠδὴ οὔτε ὁμοία ἐστὶ
15 Σωκράτει οὔτ' ἐναντία οὔτε σύνεγγυς. γίνεται μὲν οὖν καὶ οὕτω, φησίν, 15
ἀνάμνησις· ἀλλὰ τὰ πολλὰ ἑτέρων γενομένων κινήσεων, ὁποίων
εἴπομεν, τουτέστιν ὁμοίων ἢ ἐναντίων ἢ σύνεγγυς, γίνεται ἡ ἀνάμνησις.

p. 451ᵇ25 Οὐδὲν δὲ δεῖ σκοπεῖν τὰ πόρρω, πῶς μεμνήμεθα, ἀλλὰ τὰ σύνεγγυς.

20 Πόρρω λέγει τὰ παλαιότερα καὶ χρονιώτερα, ἃ πρὸ πολλοῦ χρόνου 20
εἴδομεν ἢ ἠκούσαμεν ἢ ἐμάθομεν, σύνεγγυς δὲ ἃ χθὲς ἢ ὅλως πρὸ ὀλίγου.
ἀπὸ δὲ τῆς μνήμης σαφηνίζει καὶ τὰ περὶ τὴν ἀνάμνησιν. ἔστι δὲ τὸ
λεγόμενον δυνάμει τοιοῦτον· δεῖ ἡμᾶς ἐπὶ τῆς μνήμης ἰδεῖν, πῶς τοῦδέ
τινος μνησθέντες ἐκ τούτου συμβαίνει ἡμῖν καὶ ἄλλου μνησθῆναι. καὶ ὡς
25 ἐπὶ ταύτης ἔχει, οὕτως ἕξει καὶ ἐπὶ τῆς ἀναμνήσεως· ὥσπερ γάρ, φησίν,
ἐπὶ τῆς μνήμης συμβαίνει ἥδε ἡ κίνησις μετὰ τήνδε, τουτέστιν ἥδε ἡ
μνήμη μετὰ τήνδε, οὕτω καὶ ἐπὶ τῆς ἀναμνήσεως ἔσται. ἢ οὐ τοῦτο ἂν 25
εἴη τὸ λεγόμενον, ἀλλ' οἶμαι πάλιν κἀνταῦθα ἐν τῷ οὐδὲν δὲ δεῖ σκο-
πεῖν πῶς τὰ πόρρω μεμνήμεθα τὸ μεμνήμεθα ἀντὶ τοῦ ἀναμιμνη-
30 σκόμεθα εἴρηται. καὶ εἴη ἂν τὸ λεγόμενον· δεῖ δὲ θεωρεῖν πῶς ἀναμιμνη-
σκόμεθα, ὧν πρὸ ὀλίγου τὴν ἐπιστήμην λαβόντες καὶ ἀπολέσαντες· οὐδὲν
γὰρ κωλύει ἐπιλαθέσθαι τινὰ καὶ ὧν πρὸ ὀλίγου μεμάθηκεν. δεῖ οὖν θεω-

---

1 post δὲ add. τὸ S, fort. recte 2 ἐκεῖνον S 3 διὰ τοῦτον RP¹ ἐστὶν om. CRP
4 τῆς] τοῦ C 6 καὶ (ante τὰ λοιπά) om. CRP 6. 7 στίχους φέρε εἰπεῖν CRP
7 ὅτε a: ὅταν ceteri τέσσαρες R: δ^ες P 8 ῑς RP: δέκα καὶ ἕξ C
13 γένηται legit cum Arist. EMY (γίγνηται LSU) 14 ἀνεμνήσθησαν a: ἀνεμνήσθην S:
ἀνεμνήσθη RP: ἀνεμνήσθημεν C σωκράτην P 16 γινομένων RP (Arist. EY)
κινήσεων] κινήσει R, e corr. P 17 ἐναντίως a ἡ om. CRP 18 οὐδὲν]
οὐ C 20 λέγων C 24 μησθέντος S 25 οὕτως ἕξει CR, e corr. P: οὕτως ἔχει S:
οὕτω a 27 ἢ] καὶ RP 28 δὲ om. CP 30 δὲ SC: om. RPa 31 ἐλάβομεν
καὶ ἀπωλέσαμεν expectes, cf. ad p. 28,7 οὐδὲ RP 32 κωλύσει P: κωλ^υ^ R

ρεῖν ἐπὶ τούτων· καὶ ὡς ἐπὶ τούτων, οὕτως ἕξει καὶ ἐπὶ τῶν ἄλλων, ἤτοι 133ʳ
τῶν πόρρω, ἤτοι ὧν πάλαι τὴν ἐπιστήμην ἢ τὴν αἴσθησιν ἐλάβομεν. 30
δῆλον γὰρ ὡς ὁ αὐτός ἐστι τρόπος τῆς ἀναμνήσεως τῶν τε πάλαι
καὶ τῶν πρὸ ὀλίγου. ὥσπερ γὰρ ἐπὶ τῶν σύνεγγυς οὐ προζητήσας, ἀλλ'
5 ἀπὸ τινος ἀρχῆς, ἣν ἔχει, λέγει τε καὶ συνείρει τὸ ἐφεξῆς (ἀκολουθοῦσι
γάρ, ὡς εἴρηται, τῷ ἔθει αἱ κινήσεις, ἥδε μετὰ τήνδε), οὕτω καὶ ὅταν
ἀναμιμνήσκεσθαι βούληταί τι, ὧν πάλαι τὴν ἐπιστήμην ἔλαβέ τις (τούτου
γὰρ δεῖ προσυπακούειν), τοῦτο ποιήσει. εἰπὼν δὲ τοῦτο ποιήσει,
τί δεῖ ποιεῖν συντόμως ἐπήγαγεν εἰπὼν ζητήσει λαβεῖν ἀρχὴν κινή- 35
10 σεως, μεθ' ἣν ἐκείνη ἔσται. ὡς γὰρ ἐπὶ τῶν σύνεγγυς ἀπὸ τῆς ἐνούσης
ἀρχῆς ἀναμιμνήσκεται τὰ ἐφεξῆς, οὕτω καὶ ἐπ' ἐκείνων ζητήσει ἀρχήν,
ἀφ' ἧς εὑρήσει ὅπερ βούλεται εὑρεῖν.

p. 451ᵇ31 Διὸ κάλλιστα καὶ τάχιστα γίνονται ἀπ' ἀρχῆς αἱ ἀναμνήσεις.

15 Τουτέστι διὰ τὸ τὴν ἀρχὴν μεγάλα συντείνειν εἰς τὸ ἀναμιμνήσκεσθαι
τὰ ἐφεξῆς, διὰ τοῦτο ἐν οἷς εἰσιν ἀρχαί, εἴπερ ἕξομεν ταύτας, κάλλιστα 45
ἀνάμνησιν εὑρήσομεν τῶν ἐφεξῆς, ὥσπερ ἐπὶ τῶν γεωμετρικῶν θεωρημάτων·
ὡς γὰρ τὰ πράγματα ἔχει τῷ ἐφεξῆς, οὕτω καὶ αἱ κινήσεις καὶ αἱ ἀνα-
μνήσεις αὐτῶν. ὡς γὰρ ἐπὶ τῶν αἰσθητῶν, εἰ ἐφεξῆς κεῖνται καὶ τεταγ-
20 μένως, καλῶς ὁρᾷ ἡ ὄψις αὐτά, εἰ δὲ συγκεχυμένως, οὐ καλῶς, οὕτω καὶ
ἐπὶ τῶν ἐν τῇ ψυχῇ τύπων. καί εἰσιν εὐμνημόνευτα ὅσα τάξιν ἔχει καὶ
τὸ ἐφεξῆς, ὅσα δὲ μὴ τοιαῦτα δυσμνημόνευτα. εἰπὼν δὲ ταῦτα λέγει, τί
διαφέρει μάθησις ἀναμνήσεως· οὐ γάρ εἰσιν αἱ αὐταί, ὡς δοκεῖ Πλάτωνι. 50
ἀνάμνησις τοίνυν ἐστίν, ὅταν δι' ἑαυτοῦ καὶ τῆς ἐνούσης αὐτῷ ἀρχῆς
25 κινῆται ἐπὶ τὸ ἐφεξῆς τῇ ἀρχῇ· ὅταν δὲ μὴ δι' ἑαυτοῦ, ἀλλὰ δι' ἄλλου,
οἷον τοῦ διδασκάλου, μάθησις τοῦτο καὶ οὐκ ἀνάμνησις. πολλάκις δὲ ἤδη
μὲν ἀδυνατεῖ συντόμως ἀναμνησθῆναι, ζητεῖ δὲ καὶ εὑρίσκει· ἀλλ' οὐ συν-
τόμως, ἀλλὰ πολλὰς κινηθεὶς κινήσεις τέλος κινεῖται τοιαύτην κίνησιν, ᾗ
ἀκολουθεῖ τὸ ἐφεξῆς. ὥσπερ γὰρ αἱ πολλαὶ ῥανίδες ἐπιτήδειον ποιήσασαι
30 τὴν πέτραν, | τέλος ἡ ἐσχάτη ἐκοίλανεν αὐτήν, οὕτω καὶ ἐπὶ τῆς ἐν τῇ 133ᵛ
καρδίᾳ ὑγρότητος ἔχει. πολλάκις γὰρ κινηθεῖσα τέλος κινεῖται κίνησιν,
καθ' ἣν ἀνίσταται τὸ ζητούμενον· ὅπερ εὑροῦσα ἡ διάνοια παύεται. ἔστιν

---

3 ὡς] ὅτι Arist. EY 4 πρὸ ὀλίγων C λέγει cum Arist. LSU (λέγω EMY) 5 συνείρει Sa: Soph. p. 10,10: συνέχει CRP 7 τι] fort. τις legit Soph. ἔλαβε a Soph.: λάβοι S: λαβὼν CRP 7. 8 τοῦτο γὰρ CRP 13 τάχιστα καὶ κάλλιστα a (Arist.) 17 ἐπὶ τὰ γεωμετρικὰ θεωρήματα CRP 18 γὰρ om. RP τὸ ἐφεξῆς CRP αἱ (ante ἀναμνήσεις) om. RP 19 κινεῖται RP: κεῖνται, κινεῖται vel κεῖται Soph. libri 20 καὶ ante οὐ add. S 23 πλάτων R 24 ἐν ante αὐτῷ add. a (om. etiam Soph.), cf. p. 23,18. 29,7 25 κινεῖται S τὰ ἐφεξῆς a 28 τοιαύτην κινεῖται κίνησιν CRP 29 τὸ ἐφεξῆς ἀκολουθεῖ (ἀκολουθεῖν RP) CRP ἐποίησαν CRP Soph. 30 ἡ S: ἢ a: δὲ ἡ CRP Soph. 32 ἀνίστατο S (ἀνίσταται etiam Soph.)

οὖν τὸ ἀναμιμνῆσκεσθαι τὸ ἐνεῖναι δύναμιν τὴν κινοῦσαν, λέγων δύνα- 133v
μιν τὴν ἀρχήν (αὕτη γὰρ τὴν διάνοιαν ἐποξύνει καὶ ἀνεγείρει πρὸς ἀνάλυσιν καὶ τοῦ λοιποῦ), κινεῖσθαι δὲ ἐξ αὐτοῦ καὶ οὐχ ὑπὸ τοῦ διδασκάλου.

p. 452a12 Διὸ δεῖ λαβέσθαι ἀρχῆς, διὸ ἀπὸ τόπων δοκοῦσιν ἀνα-
5 μιμνῆσκεσθαι ἐνίοτε,

Λέγων τόπους ἢ τὰ ἐναντία τὰ σύστοιχα τὰ ὅμοια, ἢ τὰς ἀρχὰς τὰς ἐνούσας ἡμῖν. ὡς γὰρ ἀπὸ τῶν ἐν τοῖς Τοπικοῖς παραδοθέντων τόπων καὶ ἐν τῷ πρώτῳ τῆς Ῥητορικῆς αὐτοῦ στομούμενοι ἐπιχειροῦμεν πρὸς τὰ προκείμενα, οὕτω καὶ ἀπὸ τῶν ἐνουσῶν ἀρχῶν, ὡς ἀπό τινων τόπων,
10 εὑρίσκομεν τὰ ἐφεξῆς. ἢ οὖν τὰς ἀρχὰς λέγει τόπους, ἢ πολλάκις ἰδών τινα ἢ ἀκούσας τινὰ καὶ πάλιν ἰδὼν ἢ ἀκούσας διαλογίζομαι, ποῦ τοῦτο ἤκουσα, εἶτα ἐνθυμηθεὶς τὸν τόπον ἀνεμνήσθην, ὑπὸ τίνος τοῦτο ἤκουσα, καὶ πῶς καὶ τίνα τρόπον τοῦτο εἶδον ἢ ἤκουσα, πότερον κατὰ τύχην ἢ ἄλλως πως. τίθησι δὲ καὶ ὑπόδειγμα, οὗ ἡμεῖς πρὸ ὀλίγου ἐμνημονεύσαμεν.

15 p. 452a17 Ἔοικε δὲ τὸ καθόλου ἀρχῇ καὶ τὸ μέσον πάντων.

Τὸ καθόλου νῦν εἴληπται ἀντὶ τοῦ ὡς ἐπὶ τὸ πολύ. ἢ καθόλου λέγει τοὺς τόπους τοὺς ἐκ τῶν ὁμοίων καὶ συστοίχων καὶ ἐναντίων. ἐν δὲ τῷ καὶ τὸ μέσον πάντων παρέλκει ὁ καὶ σύνδεσμος. ἦν δ' ἂν σαφεστέρα ἡ γραφὴ χωρὶς τοῦ καὶ συνδέσμου ἔχουσα οὕτως· ἔοικε δὲ τὸ
20 καθόλου ἀρχῇ τὸ μέσον πάντων. ἔστι δὲ τὸ λεγόμενον· ὡς ἐπὶ τὸ πολὺ τὸ μέσον πάντων ἀρχῇ ἔοικε. τοῦτο δὲ ταὐτόν ἐστι τῷ 'ἡ εὕρεσις τοῦ μέσου ὠφελεῖ καὶ ποδηγὸς ἡμῖν γίνεται πρὸς εὕρεσιν τοῦ ζητουμένου'.

p. 452a19 Οἷον εἴ τις νοήσειεν, ἐφ' ὧν Α Β Γ Δ Ε Ζ Η Θ.

Τὸ λεγόμενόν ἐστι δυνάμει τοιοῦτον· ἔστω δὴ τὰ νοήματα, ἃ κινεῖται
25 ἡ ψυχὴ πρὸς εὕρεσιν τοῦ ζητουμένου, τὰ ἐκκείμενα στοιχεῖα. μέσον δὲ αὐτῶν ἔστω τὸ Ε. τοῦτο δὴ εὑρὼν ὁ ζητῶν, εἰ μὴ ἅμα τῷ εὑρηκέναι αὐτὸ εὑρήσει καὶ ὅπερ ἐζήτει, ἐπὶ τὸ Θ ἐλθὼν μνησθήσεται. ἐπεὶ γὰρ

---

1 ἀναμιμνῆσκεσθαι Aristoteli pro μεμνῆσθαι restitui vult Freudenthal, Rh. M. XXIV 403
2. 3 δυνάμει Arist. EMY 3 λοιποῦ, τοῦτο δὲ ὥστ' ἐξ Soph.(Arist.) ἐξ ἑαυτοῦ RP Soph. 4 δεῖ δὲ a (Arist., διὸ δεῖ etiam Soph.) 6 ἐναντία (ἢ add. P) τὰ σύστοιχα ἢ τὰ ὅμοια τὰς ἀρχὰς CRP 7 ἡμῖν CRP (Soph. p. 11,3?): ἐν ἡμῖν Sa 8 ὁρμώμενοι CRP 9 ἐνουσῶν S: ἐνόντων ceteri 11 ἀκούσας τινὸς καὶ CRP 12 τόπον] τρόπον R 14 καὶ (ante ὑπόδειγμα) a: om. ceteri πρὸ ὀλίγου] p. 26,5 15 δὴ Arist. τὸ om. Arist. EM ἀρχὴ S (Arist. ML, ἡ ἀρχὴ EY, ἀρχῇ etiam Soph.) 16 ὡς om. P ἐπιπολύ RP 17 τρόπους RP 18 καὶ τὸ] κατὰ S 19 οὕτως om. a δὲ] δὴ SR (Arist.) 20 ἀρχὴ S ἐπιπολὺ RP 22 γίνεται ἡμῖν S 26 ἔστω om. CRP 27 Θ cum Arist. L legit ($\bar{\epsilon}\bar{\theta}$ MSU, $\bar{\eta}\bar{\theta}$ Y, $\bar{\nu}\bar{\theta}$ E), v. Freudenthal, Arch. f. Gesch. d. Philos. II p. 10

τὸ μέσον εὗρεν, ἐνδέχεται καὶ ἐπὶ τὸ Ε καὶ ἐπὶ τὸ Δ κινηθῆναι. λέγει δὲ Ε 133v
τὰ ἐφεξῆς τῷ Ε, ταῦτα δέ ἐστι τὰ Ζ Η Θ. ὁμοίως δὲ Δ λέγει αὐτὸ τὸ 30
Δ καὶ ἔτι τὸ Γ Β Α. ἐλθὼν οὖν ἐπὶ τὸ Θ μνησθήσεται· οὐδὲν γὰρ κωλύει
μετὰ τὸ Ε ἀναμνησθῆναι τὸ Θ, εἶτα τὸ Ζ, καὶ οὕτως τὸ Η. ἔστω γὰρ
5 τὸ Ε συμπόσιον, τὸ Ζ Σωκράτης, τὸ Η τὸ ὑπὸ Σωκράτους τυφθῆναι, τὸ δὲ
Θ λύρα. οὐδὲν οὖν κωλύει συμπόσιον ἀναμνησθέντα εὐθὺς ἀναμνησθῆναι
λύραν, εἶτα ὅτι ἐτύφθη, καὶ οὕτως ὅτι ὑπὸ Σωκράτους (καίτοι ἀκόλουθον
ἦν μετὰ τὸ συμπόσιον εὐθὺς Σωκράτους ἀναμνησθῆναι, εἶτα ὅτι ἐτύφθη,
εἶτα λύραν)· ἔστω γὰρ ὅτι μετὰ τῆς λύρας ἀντὶ ῥάβδου ἔτυψε τὸν τυφθέντα. 35
10 εἰπὼν δὲ ὅτι τὸ μέσον ἀρχῇ ἔοικε, τὴν αἰτίαν τούτου τέθεικεν· ἐντεῦθεν
γὰρ ἐπ' ἄμφω κινηθῆναι ἐνδέχεται· τὸ γὰρ Ε ὁδός ἐστι καὶ πρὸς
τὰ ἐφεξῆς αὐτῷ τὰ Ζ Η Θ καὶ πρὸς τὰ ὄπισθεν τὰ Δ Γ Β Α, καὶ δυνατόν
ἐστιν ὥσπερ ἀπὸ τοῦ Θ ἢ τοῦ Η ἢ τοῦ Ζ ἀναμνησθῆναι ὃ βουλόμεθα,
οὕτω καὶ ἀπὸ τοῦ Α ἤ τινος τῶν ἐφεξῆς τῷ Α. εἰ δὲ μὴ τὸ Ε εἴη τὸ
15 μέσον, ἀλλὰ τὸ Γ, ἐπὶ τὸ Γ ἐλθὼν μνησθήσεται. εἰ δὲ ἐπὶ τούτου οὐκ
ἀνεμνήθη, ὥσπερ οὐδὲ ἐπὶ τοῦ Ε, ἐπὶ τὸ Α ἐλθὼν ὥσπερ ἐκεῖ ἐπὶ τὸ Θ 40
μνησθήσεται.

p. 452a24 Τοῦ δὲ ἀπὸ τοῦ αὐτοῦ ἐνίοτε μὲν μνησθῆναι, ἐνίοτε δὲ μὴ αἴτιον, ὅτι ἐνδέχεται ἐπὶ πλείω κινηθῆναι.

20 Ἐπειδὴ πολλάκις ἀναμνησθέντες πλευρὰν ἀναμιμνησκόμεθα θυάδα
πλευρωνίας, πολλάκις δὲ τὴν μὲν πλευρὰν ἀνεμνήσθημεν, τὴν δὲ πλευρωνίαν 50
οὐκέτι, καίτοι πολλὰ κινηθέντες καὶ ζητήσαντες, ἐζητεῖτο δὲ διὰ τίνα ποτὲ
αἰτίαν ὁτὲ μὲν τὸ αὐτὸ ἐκ τοῦ αὐτοῦ, οἷον τὴν πλευρωνίαν ἐκ τῆς πλευ-
ρᾶς, ἀναμιμνησκόμεθα, ὁτὲ δὲ οὔ, ἀπαντῶν πρὸς τὴν τοιαύτην ζήτησίν
25 φησι· τοῦ δὲ ἀπὸ τοῦ αὐτοῦ ἐνίοτε μὲν μνησθῆναι, ἐνίοτε δὲ μὴ
αἴτιον, ὅτι πλείω ἐνδέχεται κινηθῆναι ἀπὸ τῆς αὐτῆς ἀρχῆς,
οἷον ἀπὸ τοῦ Γ ἐπὶ τὸ Ζ ἢ τὸ Δ. ἔστω γὰρ μέσον τὸ Γ, ἄκρα δὲ τὸ
Ζ καὶ Δ. εἰ οὖν εἴη συνηθέστερον τὸ Ζ | τοῦ Δ, ἕλκει πρὸς ἑαυτὸ τὴν 134r
διάνοιαν τὸ Ζ, ὥσπερ καὶ τὰ λαμπρὰ τῶν χρωμάτων τὴν ὄψιν. εἰ γὰρ

---

1 καὶ (ante ἐπὶ) om. CR ἐπὶ (ante τὸ Δ) om. a κινεῖσθαι RP λέγει δὲ τὸ ε̄ CRP 2 ταῦτα—λέγει om. RP 3 γ̄ η̄ ᾱ RP 4 ἔστι S 5 τοῦ σωκράτους Sa, sed cf. v. 8 et p. 25,4, Soph. p. 11,21 5. 6 τὸ δὲ Θ Sa: τὸ θ̄ CRP 6 λύραν a 8 σωκράτην C 9 λύραν a: τὴν λύραν ceteri 10 τέθεικεν Sa: τίθησιν εἰπὼν CRP 11 καὶ om. RP 12 ᾱ β̄ γ̄ SCRP[1] 13 δ—τῷ A (14) om. RP 14 τὸ E—εἰ δὲ (15) om. RP εἴη a: ἤ S: ἢ C 15 μὴ post εἰ δὲ add. C 15. 16 οὐκ ἐμνήσθη RP: οὐκ ἐμνήσθην C 16 τὸ Θ a: τοῦ θ̄ SCP: τοῦ θεοῦ R 19 μὴ Sa (Arist.): οὔ CRP ὅτι om. S ἐπὶ πλείω ἐνδέχεται a (Arist.), fort. recte, cf. v. 26 20 θυάδον C: φυάδα RP 21 πλευρωνίας a: πλευρωνίαν S: πλευρονίαν CRP πλευρονίαν CRP 22. 23 αἰτίαν ποτὲ CRP 23 ὁτὲ om. CRP πλευρονίαν RP 24 ποτὲ CRP 25 prius τοῦ] τὸ P prius δὲ] οὐδὲ RP 25 μὴ] οὔ CRP 26 ὅτι ⟨ἐπὶ⟩ conicio 27 ἐπὶ ante τὸ Δ add. RP Δ] δ̄ ε̄ CRP 28 ἕλξει conicio πρὸς αὐτὸ S 29 τὸ Z a: τὸ δ̄ SC: τοῦ δ̄ RP καὶ om. RP λαμπρὰ a Soph.: λαμπρότερα S: λαμπρότατα CRP σωμάτων Soph.

εἴη τὸ Ζ πλευρῖτις, τὸ δὲ Γ πλευρόν, τὸ δὲ Δ πλευρωνία, κινήσει μᾶλλον 134r
ἀπὸ τοῦ Γ τὴν διάνοιαν τὸ Ζ παρ' ὅπερ τὸ Δ· συνηθέστερον γὰρ ἡ
πλευρῖτις τῆς πλευρωνίας. οὐ μόνον δὲ διὰ ταῦτα, ἀλλὰ κἂν εἴη ὁ μὲν
τῶν τύπων παλαιός, ὁ δὲ λοιπὸς χθιζός, κινήσει μᾶλλον ὁ χθιζός. οὐδὲν
5 δὲ κωλύει καὶ τὸν παλαιὸν μᾶλλον κινῆσαι τοῦ νέου, εἴπερ ἐστὶν ὁ μὲν 5
νέος ἀμαυρός, ὁ δὲ παλαιὸς εἰς βάθος ἐνσεσημασμένος· χρὴ γὰρ οὕτω
λέγειν διὰ σπάνιν κυρίων ὀνομάτων. ἐὰν μὲν οὖν μὴ διὰ παλαιοῦ
κινῆται, τουτέστιν ἐὰν μὲν οὖν μὴ εἴη παλαιὸς ὁ τύπος καὶ τὸ ἀναζω-
γράφημα καὶ προσέτι ἀσυνήθης (δεῖ γὰρ τούτου προσυπακούειν), ἐπὶ τὸ
10 νέον καὶ συνηθέστερον κινεῖται. ὥσπερ γὰρ φύσις ἤδη γέγονε τὸ
ἔθος, αὐτό φημι τὸ συνηθέστερον, καὶ ἐπὶ τούτῳ ταχὺ ἀναμιμνησκό-
μεθα, ἃ πολλάκις ἐννοούμεθα. δεῖ δὲ ἡμᾶς μᾶλλον προσδιορίσαι περὶ 10
τούτων διὰ τὸ παραλελοιπέναι τοῦτον ταῦτα διὰ συντομίαν. ἂν μὲν οὖν
μὴ εἴη παλαιὸς καὶ ἀσυνήθης ὁ τύπος ἢ νέος καὶ ἀσυνήθης, ἀλλὰ νέος
15 καὶ συνήθης, ἐπὶ τοῦτον κινηθήσεται· οὔτε γὰρ ἐπὶ τὸν νέον καὶ ἀσυνήθη
οὔτε ἐπὶ τὸν παλαιὸν καὶ ἀσυνήθη κινηθήσεται, ἀλλ' ἐπὶ τὸν νέον καὶ
συνήθη. ὁμοίως δὲ κἂν ὁ μὲν εἴη παλαιὸς καὶ συνήθης, ὁ δὲ νέος καὶ
ἀσυνήθης, ἐπὶ τὸν παλαιὸν καὶ συνήθη κινηθήσεται· ὁ γὰρ παλαιὸς καὶ
συνήθης ὥσπερ νέος ἐστὶ διὰ τὴν καθ' ἑκάστην μελέτην, ὥσπερ παλαιὸς 15
20 ὁ νέος καὶ ἀσυνήθης διὰ τὴν ἀμελετησίαν. ταῦτα μὲν οὖν οὕτως ἡμῖν
διηγήσθω, ἰτέον δὲ ἐπὶ τὰ ἐφεξῆς. ὥσπερ γάρ, φησίν, εἰσί τινα φύσει
τόδε μετὰ τόδε (φύσει γὰρ ἕπεται τῇ τοῦ πυρὸς ἀναμνήσει ἡ θερμότης·
ὁ γὰρ ἀναμνησθεὶς πῦρ εὐθὺς φύσει καὶ θερμότητα ἀνεμνήσθη), οὕτω καὶ
ἐνεργείᾳ, τουτέστιν ἔθει· εἰσὶ γὰρ καὶ ἐξ ἔθους τινά, ἅπερ ἀναμνησθέντες
25 εὐθὺς ἀναμιμνησκόμεθα καὶ τὰ μετ' αὐτὰ ὄντα. εἶπε δὲ τὸ ἔθος ἐνέρ-
γειαν, διότι ἐκ τῆς τοιαύτης ἐνεργείας συμβαίνει τὸ τοιόνδε ἔθος. τὸ δὴ 20
πολλάκις ἐθισθὲν φύσιν ποιεῖ. καὶ ἐπεὶ ἐν τοῖς φύσει γίνεται ἁμαρτία καὶ
παρὰ φύσιν, ἐνδέχεται τοῦτο συμβαίνειν καὶ ἐν τοῖς δι' ἔθος, καὶ μάλιστα
διὰ τὸ ὅμοια εἶναι τῷ βεβαίῳ τοῖς φύσει. εἰ δὲ τοῦτο, οὐδὲν κωλύει ἀνα-
30 μνησθέντα τοῦ πρότερον ἁμαρτάνειν περὶ τὸ ἑπόμενον καὶ κινηθῆναι ἄλλως
καὶ μὴ ὡς ἔδει, ἄλλως τε καὶ ὅταν ἀφέλκῃ ἐκεῖθεν αὐτόσε πῃ διὰ
τὸ συνηθέστερον, οἷον ὅταν ἀφέλκῃ ἀπὸ τῆς πλευρωνίας ἡ πλευρῖτις. καὶ

---

1 πλευρίτης CRP prius τὸ δὲ—πλευρῖτις (3) om. RP πλευρονία C 3 πλευρονίας CRP ἀλλὰ καὶ εἰ vel ἀλλ' εἰ καὶ Soph. 3. 4 τῶν τύπων παλαιὸς ὁ μὲν CRP. 7 μὴ om. Arist. EM 8 κινηθῇ Arist. EMY 9 ἀσύνηθες R: ἀσυνήθει C ante δεῖ add. ἀλλὰ νέος καὶ συνήθης CRP τοῦτο CRP 12 ἐννοοῦμεν Arist. EMY 13 ταῦτα τοῦτον CRP συντόμου CRP 16 παλαιὸν καὶ ἀσυνήθη] νέον καὶ συνήθη RP ἀλλ'—κινηθήσεται (18) om. RP 19 καθ' ἑκάστην SCa Soph.: καθ' ἕκαστα R: καθέκαστα P 20 ἡμῖν om. CRP 21 διηγήσθω a: διηγάσθω CRP: διηγήσθω S ἰτέον] ἰστέον R 23 πυρὸς P φύσει Sa: ἤδη CRP θερμότητα a: θερμότητος C: comp. anceps SRP 24 καὶ om. CRP Soph. 27 φύσιν] φύσει C ἐγγίνεται CRP Soph. AB 29 τὸ ⟨μὴ⟩ conicio τοῖς φύσει Sa: τῶν φύσει RP: τῶν φύσεων C 29. 30 ἀναμνησθέντας C 30 προτέρου CRP Soph. 31 ἔδει] δεῖ Soph.: ἤδη RP ἐφέλκῃ RP Soph.: ἐφέλκει C 32 πλευρονίας CRP

διὰ τὸ ἀφέλκειν ἄλλοτε ἡμᾶς ἄλλα, ὅταν δέῃ ὀνόματος μνημονεῦσαι, ἄλλου 134r
μὲν παρομοίου μνημονεύομεν, εἰς δ' ἐκεῖνο σολοικίζομεν· ὁ γὰρ βουλόμενος 26
ἀναμνησθῆναι Λεωφάνην, ἀναμνησθεὶς δὲ παρόμοιον οἷον Λεωσθένην ἐσο-
λοίκισεν ὡς πρὸς τὸν Λεωφάνην.

5 p. 452b7 Τὸ δὲ μέγιστον, γνωρίζειν δεῖ τὸν χρόνον, ἢ μέτρῳ ἢ ἀορίστως.

Ἡ ἀνάμνησις οὐ μόνον μαθημάτων ἐστίν, ἀλλὰ καὶ ἄλλων πολλῶν. 32
οἷον ἔπραξά τι ἐγώ, εἶτα ἀναμιμνήσκομαι τὸ πραχθέν. πότε δὲ ἐπράχθη
ἀγνοῶν, ἆρα, φημί, χθὲς τοῦτο ἔπραξα; εἶτα, εἰ τύχοι, λέγω· ἀλλὰ μὴν χθὲς
10 τόδε διεπραξάμην. τὸ δὲ μέγιστον, γνωρίζειν δεῖ τὸν χρόνον, ἢ μέτρῳ
ἢ ἀορίστως· εἰπὼν τί ἐστιν ἀνάμνησις, λέγει κοινῶς περὶ μνήμης καὶ ἀνα-
μνήσεως, ὅτι τὸ μέγιστον δεῖ ἡμᾶς γνωρίζειν τὸν χρόνον, ἐν ᾧ μαθόντες 35
τι ἢ ἰδόντες ἢ ἀκούσαντες ἀναμιμνησκόμεθα νῦν αὐτό, ἢ μέτρῳ, τουτέστιν
ὡρισμένως, οἷον ὅτι τρίτον μῆνα ἄγω τήμερον ἰδὼν ἢ μαθὼν ἢ ἀκούσας
15 ἢ γευσάμενος, ἢ ἀορίστως, τουτέστιν ὅλως ὅτι εἶδον τοῦτο ποτέ. εἰ γὰρ
μὴ τοῦτό ἐστι καὶ γνωρίζομεν, εἰ πρότερον ἠκούσαμεν ταῦτα, ἢ ἀορίστως
ἢ ὡρισμένως, συμβήσεται ἡμῖν ὑπολαμβάνειν, ὅτι οὐκ ἀναμιμνησκόμεθα,
ἀλλὰ νῦν πρώτως οἴκοθεν καὶ ἀφ' ἑαυτῶν ταῦτα προβαλλόμεθα. ὥστε
χρεία πολλὴ τοῦ χρόνου ἐν ταῖς ἀναμνήσεσιν, ὁμοίως δὲ καὶ ἐν ταῖς μνή- 40
20 μαις. εἰ γὰρ ἐνεργεῖ ἡ ψυχὴ περὶ φάντασμά τι ὡς εἰκόνα τινός, οὐ γινώσκει
δὲ ὡρισμένως ἢ ἀορίστως, ὅτι εἶδε τοῦτο ἢ ἤκουσε πρότερον, οἰηθήσεται,
ὅτι αὐτὴ τοῦτο νῦν ἀναπλάττει. εἰπὼν δὲ ὅτι δεῖ γνωρίζειν τὸν χρόνον,
ἐπήγαγεν· ἔστω δέ τι ᾧ κρίνει τὸν πλείω καὶ ἐλάσσω. ἔστι δὲ τὸ
λεγόμενον· ἀνάγκη δὲ εἶναί τι ἐν ᾧ κρίνει τὸν πλείω καὶ ἐλάσσω χρόνον·
25 ἔστι δὲ τὸ κρῖνον τὸν πλείω καὶ ἐλάσσω χρόνον ἡ πρώτη αἰσθητικὴ
ψυχὴ ἡ ἐν τῇ καρδίᾳ καθεδουμένη. εἰπὼν δὲ ἔστω δέ τι ὃ κρίνει τὸν
πλείω καὶ ἐλάσσω χρόνον λέγει καὶ τὸν τρόπον, καθ' ὃν κρίνεται,
καί φησιν, ὅτι, ὥσπερ ἡ διάνοια κρίνει τὰ μεγέθη οὐ τῷ ἀποτείνεσθαι ἔξω 45
πρὸς ἐκεῖνα, ἀλλὰ κινοῦσα τοὺς ἀπὸ τῶν μεγεθῶν τύπους καὶ τὰ ἀναζωγρα-

---

1 δέῃ a Soph.: δεῖ ceteri ὀνόματα C: ὄνομα Soph. μνημονεύομεν vix recte Aristoteli restitui vult Freudenthal, Rhein. Mus. XXIV p. 413 3 λεωφάνη Soph. A: λεωφάνους P¹ Soph. B: anceps R: λεοφάνην S λεοσθένην S cf. Comm. II 3 p. 186,6 ss. 4 ὥσπερ τὸν S 9 εἰ τύχη SR 10 τόδε] τοῦτο SRP 10. 11 τόδε—ἢ ἀορίστως om. a 11 post εἰπὼν add. οὖν a 12 δεῖ ἡμᾶς Sa: ἡμᾶς δεῖ CRP 14 ἄγω] ἐγὼ RP 15 τουτέστιν ἢ (ἢ delevi) ὅλως ὅτι C: τουτέστιν ὅτι ἢ ὅλως ὅτι RP: ὅτι ὅλως Sa ποτέ Sa: πρότερον CRP 16 καὶ] οὐδὲ a: μηδὲ conicio ταῦτα Sa: τοῦτο CRP 16. 17 ὡρισμένως ἢ ἀορίστως CRP 17 ἀπολαμβάνειν R 20 φάντασμά τι Sa: φαντάσματος CRP εἰκόνος CRP 21 δὲ] τὲ RP prius ἢ] καὶ RP τοῦτο] τοῦτον RP 22 αὐτὴ] αὐτὸ Ca χρονίζειν S 23 ἐλάττω P (Arist. praeter L) 24 δὲ om. CRP 25 ἔστι δὲ—χρόνον (27) CRP Soph. (nisi quod ἔστι — prius χρόνον om. P): om. Sa 26 ἡ om. P καθημένη Soph. δ] ὦ P 27 δὲ post λέγει add. Ca καθ' ὃν] ᾧ a

φήματα ἐν τῷ φανταστικῷ ὄντας (μετὰ φαντασίας γὰρ ἀεὶ ἡ διάνοια, ἡ 134r
γὰρ διάνοια οὐδὲν ἄλλο ἐστὶν ἢ νοῦ μετὰ φαντασίας ἐνέργεια· κρίνει οὖν
ταῦτα οὐ τῷ ἀποτείνεσθαι αὐτὴν ἐκεῖ, ὡς λέγουσιν ὁρᾶν ἡμᾶς οἱ δι' ἐκπομπὴν
ἀκτίνων λέγοντες τὸ ὁρᾶν γίνεσθαι· εἰ γὰρ ἀποτεινομένη πρὸς τὰ μεγέθη
5 ἔκρινεν αὐτά, ὅτε οὐ παρῆσαν, οὐκ ἂν ἠδύνατο κρίνειν, νῦν δὲ καὶ ἀπόντων
κρίνει αὐτά), ὥσπερ οὖν αὕτη κρίνει τὰ μεγέθη, οὕτως εὔλογον καὶ τὴν 50
αἰσθητικὴν ψυχὴν κρίνειν τὸν πλείω καὶ ἐλάσσω χρόνον οὐ τῷ ἀποτείνεσθαι
ἔξω, ἀλλὰ τῷ κινεῖν ἢ κινεῖσθαι ὑπὸ τῶν ἐνόντων τύπων.

p. 452b13 Τίνι οὖν διοίσει, ὅταν τὰ μείζω νοῇ ἢ ὅτι ἐκεῖνα νοεῖν
10 τὰ ἐλάσσω. |

Τὸ ἢ ὅτι ἐκεῖνα νοεῖν τὰ ἐλάσσω ἀπόκρισίς ἐστι τοῦ ἠρωτη- 134v
μένου· ἐρωτήσας γάρ τίνι οὖν διοίσει, ἀποκρίνεται, ὅτι ἐκεῖνα νοεῖν
τὰ ἐλάσσω. ἐπειδὴ δὲ τὸ ἀναμιμνήσκεσθαι μόνοις ὑπάρχει τοῖς ἀνθρώποις,
ὡς προϊὼν δείξει, δύναταί τις τὸ νοεῖν ἀκούειν καὶ ἐπὶ τῆς ἁπλῶς νοήσεως,
15 δύναται δὲ καὶ ἐπὶ τῆς ἀναμνήσεως, ἵν' ᾖ τὸ τίνι οὖν διοίσει, ὅταν τὰ
μείζω νοῇ ταὐτὸν τῷ 'ὅταν τὰ μείζω ἀναμιμνήσκηται'. ἔστω δὲ τὸ ἐν
τῷ Τιμαίῳ, τό "θεοὶ θεῶν, ὧν ἐγὼ δημιουργὸς πατήρ τε ἔργων", ἐλάττω,
τὰ δὲ ἐφεξῆς τούτῳ πάντα μείζονα αὐτοῦ. εἰσὶ δὲ τὰ ἐφεξῆς ταῦτα· "ἃ
δι' ἐμοῦ γενόμενα ἄλυτα ἐμοῦ γε θέλοντος. τὸ μὲν οὖν δὴ δεθὲν πᾶν
20 λυτόν, τό γε μὴν καλῶς ἁρμοσθὲν καὶ ἔχον εὖ λύειν ἐθέλειν κακοῦ. δι'
ἃ καὶ ἐπείπερ γεγένησθε, ἀθάνατοι μὲν οὐκ ἐστε οὐδ' ἄλυτοι τὸ πάμπαν, 5
οὔτι γε μὴν λυθήσεσθε οὐδὲ τεύξεσθε θανάτου μοίρας" καὶ τὰ ἑξῆς. ὅταν
οὖν, φησί, τὰ μείζω νοῇ ἢ ἀναμιμνήσκηται, τίνι διαφέρει τοῦ ὅτε τὰ
ἐλάσσω. καὶ ἐρωτήσας ἀποκρίνεται λέγων· ἢ τοσοῦτον διαφέρει, καθ' ὅσον
25 συμβαίνει ἐκεῖνα νοεῖν τὰ ἐλάσσω, καὶ προσυπακουστέον τοῦ πρότερον. τὰ
ἐντὸς γὰρ πρότερον νοεῖ ἢ ἀναμιμνήσκεται, καὶ οὕτως ἐκ τούτων διαβι-
βάζεται εἰς τὰ ἔσχατα καὶ μείζονα. πάντα οὖν, φησί, τὰ ἐντὸς ἐλάσσω
καὶ ἀνάλογον. τὰ γὰρ ἐντὸς τοῦ "οὐδὲ τεύξεσθε θανάτου μοίρας" (ταῦτα 10
δὲ τὰ ἐντὸς τούτου ἐστὶ τὸ "οὔτι γε μὴν λυθήσεσθε" καὶ τὸ „οὐδ' ἄλυτοι

---

1 ἀεὶ] ἂν S 3 ὁρᾶν ἡμᾶς Sa: ἡμᾶς ὁρᾶν CRP Soph. 3 respicere vid. Alex. Suppl. II 1 p. 127,27 5 ὅτε a: ὅταν ceteri: variant Soph. libri καὶ (ante ἀπόντων) Sa Soph.: om. CRP 8 τύπων] τρόπων S 9 τὰ (ante μείζω) om. CRP (Arist. LSU) νοῇ] νοεῖ P ἢ ὅτι—νοῇ ταὐτὸν (16) RP: om. SCa νοεῖν cum Arist. LSU (νοεῖ ἢ EY, νοῇ ἢ M) 11 Τὸ ἢ—ἐλάσσω R: om. P 14 δείξει] p. 453a8 καὶ (post ἀκούειν) P: om. R ἐπὶ R: ὑπὸ P 15 δὲ R: om. P 16 ante τῷ add. ἴσον S, τοῦτο ἴσον ἐστὶ a ἔστω Sa: ἐστὶ CRP 16. 17 ἐν τῷ Τιμαίῳ] p. 41 A, de textu cf. Rawack, *De Platonis Timaeo* p. 15 ss. 57 17 τῷ a Soph.: om. ceteri ἐλάττων S 18 τούτῳ om. CRP 19 ἐθέλοντος CRP Soph. δὴ om. a (habet etiam Soph. AB) 20 post λυτόν add. ἐστι CRP (om. etiam Soph.) γε a: δέ γε ceteri: variant Soph. libri 21 τὸ om. S 22 οὔτι CRP Soph.: οὔτε S: ὄντι a οὐδὲ Sa: οὔτε CRP: variant Soph. libri 23 ἢ a: καὶ CRP: om. S 25 τὸ πρότερον CRP 28 καὶ] ὥσπερ Arist. EY ἀναλόγως RP: ἀνάλογα C 29 τούτου] τοῦτό RP ἄλυτον CRP

τὸ πάμπαν" καὶ τὰ λοιπά), τὰ οὖν ἐντὸς πάντα ἐλάσσω καὶ ἀνάλογον. 134ᵛ
ἐπειδὴ γὰρ ἀνάλογόν ἐστιν ἡ τῶν λόγων ὁμοιότης, ἔχουσι δὲ καὶ ταῦτα
ὁμοιότητα τῷ ἔχεσθαι θάτερον θατέρου, εἶπεν αὐτὰ ἀνάλογον, ἴσον λέγων
τῷ 'ὅμοια ἀλλήλοις, ᾗ ἔχεται τόδε τοῦδε'. ἢ τὸ λεγόμενόν ἐστι· πάντα
5 γὰρ τὰ ἐντὸς τοῦ λόγου καὶ τὰ ἐκτός, νῦν ἐκτὸς λέγων ἅπερ ἔλεγε μείζω,
ἀνάλογόν ἐστι τοῖς ἐντὸς καὶ ἐκτὸς εἴδεσι. λέγοι δ' ἂν εἶδη τὸ γάλα, τὸ 15
λευκόν, τὸν ἀέρα, τὸ ὑγρόν, τὸ μετόπωρον. ὡς γὰρ ἀπὸ τοῦ γάλακτος
ἀνεμνήσθη λευκὸν καὶ ἀπὸ τούτου ἀέρα καὶ ἐκ τούτου ὑγρόν, εἶτ' ἐκ τού-
του μετόπωρον, οὕτω καὶ ἀπὸ τοῦ 'θεοὶ θεῶν' τὸ ἐφεξῆς τούτῳ, καὶ ἐκ
10 τούτου τὸ ἐφεξῆς αὐτῷ, καὶ ὡσαύτως ἐπὶ πάντων, ἕως οὗ ἦλθον ἐπὶ τὸ
ἔσχατον τὸ ἀναλογοῦν τῷ μετοπώρῳ. ὅπερ καὶ αὐτὸς οὗτος οἶμαι συνιδών,
τὸ ὅτι ἀσαφῶς ἀπήγγειλε ταῦτα, καὶ ἑαυτὸν σαφηνίσαι βουληθεὶς ἐπανέ- 20
λαβεν εἰπών· ἔστι δὴ ἴσως καὶ τοῖς εἴδεσιν ἀνάλογον λαβεῖν, ἀλλ'
ἐν αὐτῷ, τουτέστιν ἐν τῇ φαντασίᾳ, ἀλλ' οὐκ ἐν τῇ ἀποτάσει τῆς δια-
15 νοίας πρὸς ἐκεῖνα. φέρεται δὲ καὶ ἄλλη γραφὴ ἔχουσα οὕτως· ἢ ὅτι
ἐκεῖ ἀνανοεῖν τὰ ἐλάσσω ἐκ τοῦ ἀνανοῶ ῥήματος, καὶ εἴη ἂν λέγων,
ὅτι ὁ νοῶν ἢ ἀναμιμνησκόμενος τὰ ἐκτὸς ἀνανοεῖ καὶ ἀναμιμνήσκεται καὶ
τὰ ἐντός· ὁ γὰρ νοῶν δίπηχυ δηλονότι καὶ πηχυαῖον. ἀμείνων δὲ ἡ προ-
τέρα γραφή.

20 p. 452ᵇ17 Ὥσπερ οὖν εἰ τὴν A B B E κινεῖται, ποιεῖ τὴν A Δ. 25

Εἰπὼν ὅτι ἐν τῷ μεμνῆσθαι δεῖ γνωρίζειν τὸν χρόνον καὶ δηλονότι
καὶ ἐν τῷ ἀναμεμνῆσθαι (γινομένης γὰρ ἀναμνήσεως, ὡς εἶπε, συμβαίνει καὶ
μνήμην γίνεσθαι), εἰπὼν οὖν ὅτι δεῖ τὸν χρόνον γνωρίζειν ὡρισμένως ἢ ἀορί-
στως, εἰπὼν δὲ καὶ ὅτι τὰ ἐκτὸς ἀναμιμνησκόμενος ἢ νοῶν καὶ τὰ ἐντὸς ἀνα-
25 μιμνήσκεται καὶ νοεῖ (ἀνάλογον γάρ εἰσι, τῶν δ' ἀνάλογον ἅμα ἡ μνήμη καὶ 30
ἡ ἀνάμνησις καὶ ἡ νόησις· ὁ γὰρ μεμνημένος ἢ νοῶν ἢ ἀναμιμνησκόμενος,
ὅτι ὡς δύο πρὸς τέσσαρα ἢ ὡς χειμὼν πρὸς ἔαρ, ἅμα καὶ ἐκείνων μέμνηται
τῶν ἐχόντων τὸν λόγον, ὃν τὰ δύο πρὸς τὰ τέσσαρα ἢ ὁ χειμὼν πρὸς τὸ
ἔαρ. ἔστω δὲ χάριν λόγου ὡς δύο πρὸς τέσσαρα, τρία πρὸς ἕξ, καὶ ὡς
30 χειμὼν πρὸς ἔαρ, γῆρας πρὸς νεότητα), εἰπὼν δὴ ταῦτα πρῶτον μὲν δεί-

---

1 ἐντὸς οὖν CRP ἀνάλογα C 2 ἀναλογία C καὶ om. CRP
3 ὁμοιότητας RPC: anceps S τῷ] τὸ RP ἀνάλογα C 4 ᾗ Sa: ὦ RP: δ C 6 ἀναλογία C: ἀνάλογα RP ἐντὸς καὶ ἐκτὸς a: ἐκτὸς καὶ ἐντὸς ceteri
6 ss. cf. p. 26,5 9 post τούτῳ, καὶ add. οὕτως ἐπὶ πάντων RP e v. 10
10 καὶ—πάντων om. RP ὡσαύτως Sa: οὕτως C ἦλθεν conicio 11 οὗτος] οὕτως RP 13 δὴ] δὲ CRP (Arist. EMYU) post ἴσως add. ὥσπερ Arist.
ἄλλο Arist. praeter LU 15 δὲ a: om. ceteri 16 ἀνανοεῖν SCRP (e corr. Arist. U): ἀνανοεῖ a 17 νοεῖ P 19 ἡ ante γραφή add. a 20 prius τὴν Sa: τὸ C: τὰ RP 21 χωρίζειν RP 22 εἶπε] p. 451ᵇ5 23 μνήμη R
ὡρισμένως γνωρίζειν CRP 25 ἀνάλογα RP ἀναλόγων RP 27 δ̄ SP
28 ὃν SC: ὧν RP: ὡς a τὰ (ante τέσσαρα) om. C ἢ] καὶ RP ὁ] ὃν conicio τὸ prius om. C, fort. recte 29 δ̄ SC ἕξ] ἑπτά S
30 ὁ χειμὼν RPa

κνυσιν, ὅτι ἀνάλογόν εἰσι τὰ ἐντὸς καὶ ἐκτός· δεύτερον δὲ ὅτι τῇ τῶν 134v
πραγμάτων μνήμῃ καὶ ἡ τοῦ χρόνου συγγίνεται συναίσθησις. καὶ τρίτον 35
λέγει, ὅτι καὶ οἱ χρόνοι πρὸς ἀλλήλους ἀνάλογόν εἰσιν· ὡς γὰρ τὸ πρᾶγμα
τὸ ἔλαττον πρὸς τὸ μεῖζον, καὶ ὁ χρόνος τοῦ ἐλάττονος πρὸς τὸν χρόνον
5 τοῦ μείζονος πράγματος. ἀσάφειαν δὲ πολλὴν ἐνεποίησε διὰ τὸ συγκεχυ-
μένως τὴν τῶν στοιχείων ἔκθεσιν ποιήσασθαι καὶ διὰ τὸ τὴν ΛΘ ὀνο-
μάσαι Θ, ὁμοίως δὲ καὶ τὴν ΘΜ ποτὲ μὲν Θ, ποτὲ δὲ ΘΙ. ἀλλ' ἡ μὲν
τῶν λεγομένων πρόθεσις αὕτη ἂν εἴη, δεῖ δὲ ἡμᾶς πάλιν τὴν λέξιν ἐκθέντας
πειρᾶσθαι, ὡς δυνατόν, σαφηνίζειν. ὥσπερ οὖν εἰ τὴν ΑΒ ΒΕ κινεῖ- 40
10 ται, ποιεῖ τὴν ΑΔ. ἐλλιπὴς ἡ λέξις· ἔδει γὰρ εἰπεῖν 'ποιεῖ τὴν ΑΓ ΓΔ', αὐτὸς δὲ διὰ συντομίαν εἶπε τὴν ΑΔ. ἔστι δὲ ὡς μὲν ἡ ΑΒ πρὸς τὴν ΒΕ, οὕτως ἡ ΑΓ πρὸς τὴν ΓΔ. ὥστε ὥσπερ ὁ νοῶν τετράπηχυ καὶ δίπηχυ νοεῖ ἢ μέμνηται, οὕτω καὶ ὁ τῆς ΑΒ ΒΕ μεμνημένος ἢ ἀναμιμνησκόμενος ἢ νοῶν καὶ τὴν ΑΓ ΓΔ νοεῖ ἢ ἀναμιμνήσκεται ἢ μέμνηται.
15 αὐτὸς δὲ διὰ τοῦ κινεῖσθαι ἐδήλωσε καὶ τὸ νοεῖν καὶ τὸ μεμνῆσθαι καὶ τὸ ἀναμιμνήσκεσθαι. ὅτι δὲ τὸ ποιεῖ τὴν ΑΔ ὡς ἴσον ἔλαβε τῷ 'ποιεῖ τὴν 45
ΑΓ' ΓΔ, ἐδήλωσε διὰ τοῦ ἀνάλογον γὰρ ἡ ΑΓ καὶ ΓΔ. ἔστι δὲ δ λέγει· ἀνάλογον γὰρ ἡ ΑΓ καὶ ΓΔ τῇ ΑΒ καὶ ΒΕ. ὡς γὰρ ἡ ΑΓ πρὸς ΑΒ, οὕτως ἡ ΓΔ πρὸς ΒΕ, καὶ ἐναλλὰξ ὡς ἡ ΑΓ πρὸς ΓΔ, ἡ ΑΒ πρὸς
20 ΒΕ. τὸ δὲ τί οὖν μᾶλλον τὴν ΓΔ ἢ τὴν ΖΗ ποιεῖ ταὐτόν ἐστι τῷ 'ὥσπερ γὰρ ὁ τὴν ΑΒ ΒΕ νοῶν καὶ τὴν ΑΓ ΓΔ νοεῖ, οὕτω καὶ ὁ τὴν ΑΓ ΓΔ νοῶν νοεῖ τὴν ΑΖ ΖΗ'.

p. 452b19 Ἢ ὡς ἡ ΑΓ πρὸς ΑΒ ἔχει, οὕτως ἡ τὸ Θ πρὸς τὸ Μ ἔχει. 50

Θ λέγει τὴν ΚΘ, Μ δὲ τὴν ΘΜ. εἰπὼν δὲ πῶς ἀνάλογόν εἰσι τὰ
25 πράγματα, λέγει καὶ πῶς ἅμα ἥ τε τοῦ πράγματος καὶ ἡ τοῦ χρόνου κίνησίς τε καὶ συναίσθησις γίνεται. εἴληπται δὲ ὁ ἢ σύνδεσμος ἀντὶ τοῦ καί, ὡς ἂν εἰ ἔλεγε· καὶ ὥσπερ ἡ ΑΓ τοῦ πράγματος κίνησις ἔχει πρὸς τὴν τοῦ ΑΒ κίνησιν, οὕτως ἡ τὸ Θ πρὸς τὸ Μ, τουτέστιν οὕτως ὁ ΚΘ χρόνος πρὸς τὸν ΘΜ χρόνον. ἐν δὲ τῷ ταύτας οὖν ἅμα καὶ κινεῖται |
30 τὸ ταύτας ἐπὶ τῶν πραγμάτων καὶ ἐπὶ τοῦ χρόνου εἴρηκεν. ὡς γάρ, 135r

---

1 ἀνάλογα RP ἐκτὸς καὶ ἐντὸς CRP ὅτι a: ὅπως ceteri 2 συγγίνεται συναίσθησις a: γίνεται συναίσθησις S: συναίσθησις γίνεται CRP 3 ἀνάλογοι RP 6 ποιήσασθαι ἔκθεσιν CRP 7 δὲ om. RP 8 πάλιν om. CRP 9 τὴν om. S 11 ἡ μὲν S 12 post οὕτως add. καὶ C ὥσπερ ὁ νοῶν om. RP 16 ἔλαβεν τὸ ποιεῖν RP 17 ἀνάλογος RP καὶ om. P ἡ ΓΔ Arist. EY 18 λέγων C ἀνάλογος RP 19 ἐνάλλαξον C 19. 20 πρὸς τὴν γ̄ δ̄ et πρὸς τὴν β̄ ε̄ CRP 20 ἢ τὴν om. Arist. EMY 21 γὰρ ὁ a Soph.: γὰρ S: om. CRP alt. ὁ a Soph.: om. ceteri 22 AZ Sa Soph.: α β CRP 23 πρὸς τὴν α β̄ a (Arist. praeter S) ἡ θ̄ CRP τὸ M Sa (Arist. L): τὴν μ̄ CRP (Arist. SU, τὴν ῑ EMY) 24 ante λέγει add. δὲ P λέγων C ἀνάλογα RP 26 ὅτε ante ὁ add. RP 28 ἡ τοῦ θ CRP 29 καὶ om. Arist. EMY

εἰ βαδίζοι τις τὴν ΑΓ ΓΒ, ἀνάγκη τὴν ΚΘ ΘΜ κίνησιν ποιεῖν, οὕτως εἰ 135r
μέμνηται τῆς ΑΓ ΓΒ, ἀνάγκη συναισθάνεσθαι καὶ τοῦ ΚΘ ΘΜ χρόνου.

p. 452ᵇ20 Ἐὰν δὲ τὴν ΖΗ βούληται νοῆσαι.

Ὃ λέγει δυνάμει τοιοῦτόν ἐστι· ὥσπερ τὴν ΑΒ ΒΕ καὶ τὴν ΑΓ ΓΔ 6
5 κινουμένη ἡ διάνοια καὶ τὸν ΚΘ ΚΜ προσῃσθάνετο χρόνον, οὕτως ἂν τὴν ΖΗ, τουτέστιν ἂν τὴν ΑΖ ΖΗ βούληται νοῆσαι, τὴν μὲν ΒΕ, τουτέστι τὴν ΓΒ ΒΕ, ὁμοίως νοεῖ, ὥσπερ εἴπομεν, μετὰ τοῦ συναισθάνεσθαι τοῦ ΘΜ χρόνου. ἀντὶ δὲ τῶν ΘΙ, ἤτοι ἀντὶ δὲ τοῦ ΘΜ (μετέλαβε γὰρ ἀντὶ τοῦ Μ, ὡς εἴρηται, τὸ Ι), ἀντὶ οὖν τοῦ ΘΜ ἢ ἀντὶ τοῦ ΘΙ τὸ ΚΛ νοεῖ. ἐπειδὴ
10 γὰρ ὁ ΘΙ χρόνος τῆς ΓΒ ΒΕ ἦν, ὁ δὲ ΚΛ τῆς ΑΖ ΖΗ, κινεῖται δὲ τὴν 10
ΑΖ ΖΗ, δηλονότι τὴν ΚΛ κινηθήσεται, καὶ οὐ τὴν ΘΙ. τὸ δὲ κατάλληλον τῆς αὗται γὰρ ἔχουσιν ὡς ΖΑ πρὸς ΒΑ τοιοῦτον· αὗται γὰρ αἱ ΚΛ ἔχουσι πρὸς τὴν ΚΜ ἢ ΚΙ, ὡς ἡ ΑΖ πρὸς ΑΒ.

p. 452ᵇ23 Ὅταν οὖν ἅμα ἥ τε τοῦ πράγματος γίνηται κίνησις
15 καὶ ἡ τοῦ χρόνου, τότε τῇ μνήμῃ ἐνεργεῖ.

Ὅταν οὖν, φησίν, ἅμα τῷ πράγματι καὶ τοῦ χρόνου γίνηται ἔννοια μέτρῳ ἢ ἀορίστως, τότε ἔστι μνήμη ἢ ἀνάμνησις· ἁρμόττει γὰρ τοῦτο 15
λέγεσθαι κατ' ἀμφοτέρων.

p. 452ᵇ24 Ἂν δ' οἴηται μὴ ποιῶν μνημονεύειν.

20 Ἐπειδὴ ἐλλιπῶς καὶ ἔτι ἀκαταλλήλως ἀπήγγελται τὰ ῥητά, δέον ἡμᾶς 23
καταλλήλως παραγράψαι. ἔδει οὖν οὕτως ἔχειν· ἂν δ' οἴηται μὴ ποιῶν μνημονεύειν, οὐκ ἔστι μνήμη· οὐδὲν γὰρ κωλύει διαψευσθῆναί τινα καὶ δοκεῖν μνημονεύειν μὴ μνημονεύοντα, ὥσπερ οὐδὲ ἐνερ- 25
γοῦντα τῇ μνήμῃ μὴ οἴεσθαι, ἀλλὰ λανθάνειν μεμνημένον. τὸ

---

haec figura in R (cf. Soph.), similem figuram inveniri in Arist. E testatur Biehl



1 εἰ om. RP ᾱγ̄ γ̄δ̄ RP καὶ ante alt. τὴν add. P 3 ἂν a (Arist.) 5 τὸν] τῶν CRP KM] θ̄μ̄ CRP χρόνων CRP 6 μὲν om. CRP 7 ΓΒ] αβ̄ RP 8 χρόνος S μετέβαλε R: μετέβαλλε C 9 τοῦ ΘΜ a: τῆς θ̄μ̄ S: τῶν θ̄μ̄ CRP τῶν θ̄τ̄ RP τὸ ΚΛ Sa: τὰς κ̄λ̄ CRP (Arist.) 10 τοῦ γ̄β̄ S 13 ΑΖ a: ζ̄α ceteri πρὸς τὴν αβ̄ RP 14 et 15 πράγματος et χρόνου locum mut. in S 14 γένηται a (Arist. L) 16 γίνεται CR ἡ ante ἔννοια add. CRP 17 ἢ] ἡ a 19 post ποιῶν add. οἴεται a (Arist. EMYL) 20 δέον] δεῖ a 21 περιγράψαι C μὴ om CRP¹ 23 μὴ om. C

μὲν οὖν πλῆρες καὶ τὸ κατάλληλον τῆς λέξεως τοιοῦτον· καὶ γὰρ ἐν τῇ 135r
λέξει τῇ ἀλλὰ λανθάνειν μεμνημένον οὐκ ἔστι λείπει τὸ μνήμη, ἵν'
ᾖ· οὐκ ἔστι μνήμη. καὶ ἔστι τούτῳ συνεχὲς τὸ ἂν δ' οἴηται μὴ ποιῶν
μνημονεύειν, ὥσπερ καὶ παρεγράφη. ἐν δὲ τῇ λέξει τῇ ἐνεργοῦντα
5 δὲ τῇ μνήμῃ λείπει πάλιν τὸ ὥσπερ, ἵν' ᾖ 'ὥσπερ οὐδὲ ἐνεργοῦντα τῇ
μνήμῃ'. ἀλλὰ τὰ μὲν τῆς λέξεως τοιαῦτα. λέγει δὲ διττῶς γίνεσθαι τὴν 30
ἀπάτην ἐν τῇ μνήμῃ, ὥστε δοκεῖν ὅτι μνημονεύομεν μὴ μνημονεύοντες.
ἕνα μὲν τρόπον, ὅταν συγκατατίθηται ἡ ψυχή, ὅτι τοῦτο τὸ φάντασμα
Σωκράτους ἐστὶν εἰκών, μὴ ὂν Σωκράτους, ἀλλὰ Θεαιτήτου· ὅμοιος γὰρ
10 τῷ Σωκράτει Θεαίτητος. ἀλλὰ οἴεται μνημονεύειν, οὐ μνημονεύει δέ. οὐ
μόνον δὲ ἂν περὶ τὸ φάντασμα γένηται ἡ ἀπάτη, οὐκ ἔστι μνήμη, ἀλλὰ
καὶ περὶ τὸν τόπον ἢ τὸν χρόνον· οἷον ἀπὸ τοῦ Λυκείου πρὸ μηνός μοι
ἐγεγόνει ὁδοιπορῆσαι, ἐγὼ δὲ ἀπὸ τῆς Στοᾶς πρὸ ἑβδομάδος ὑπολαμβάνω. 35
οὐκ ἔστιν οὖν οὐδὲ τοῦτο μνήμη. ἕνα μὲν οὖν τρόπον οὕτως γίνεται ἡ
15 ἀπάτη, ἄλλον δὲ ὅταν οὔτε περὶ τὸν χρόνον οὔτε περὶ τὸν τόπον ἀπατῶμαι,
ἀλλὰ διὰ μόνον τὸ μὴ ἐννοεῖν ὅτι μνημονεύω. ὥσπερ γὰρ πολλάκις ἐννοῶν
καὶ διαλογιζόμενός τι οὐχ ὁρῶ τὸν ἱστάμενον πρός με, οὕτω πάλιν συμ-
βαίνει μεμνημένον μέ τινος μὴ ἐννοεῖν ὅτι μέμνημαι δι' ἄλλην τινὰ κίνησιν
καὶ ἐοικέναι με τότε τῷ ὀνειρώττοντι ἐν τοῖς ὕπνοις καὶ μὴ αἰσθανομένῳ
20 ὅτι ὀνειρώττει. ἔστι δὲ τὸ ἂν δ' οἴηται μὴ ποιῶν μνημονεύειν δηλω-
τικὸν τοῦ πρώτου τρόπου τῆς ἀπάτης. ἂν οὖν, φησίν, οἴηται μνημονεύειν 40
μὴ ποιῶν μνήμην, οὐκ ἔστι μνήμη· ὁ γὰρ διαψευδόμενος περὶ τὸ φάντασμα
ἢ τὸν τόπον ἢ τὸν χρόνον, μὴ ποιῶν μνήμην μηδ' ὅλως μνημονεύων,
οἴεται μνημονεύειν, οὐ μνημονεύει δέ. ὃ δὴ καὶ σαφηνίζων ἐπήγαγεν·
25 οὐδὲν γὰρ κωλύει διαψευσθῆναί τινα καὶ δοκεῖν μνημονεύειν μὴ
μνημονεύοντα. τὸ δὲ ἐνεργοῦντα δὲ τῇ μνήμῃ μὴ οἴεσθαι ἀλλὰ
λανθάνειν μεμνημένον δηλωτικόν ἐστι τοῦ δευτέρου τρόπου. δεῖ δέ,
ὡς εἴρηται, οὕτως ἀναγινώσκειν· ὥσπερ οὐδὲ ἐνεργοῦντα τῇ μνήμῃ. οὐδὲ 45
γὰρ τότε κωλύει μεμνημένον μὴ οἴεσθαι ὅτι μέμνηται ἀλλὰ λανθάνειν.

30 p. 452ᵇ27 Τοῦτο γὰρ ἦν αὐτὸ τὸ μεμνῆσθαι.

Τουτέστι 'τοῦτο γάρ ἐστι μνήμη τὸ μεμνημένον μὴ λανθάνειν, ἀλλ' εἰδέναι ὅτι μέμνηται'. οὐκ ἄρα οὖν ἐστι, φησί, μνήμη ἢ ἀνάμνησις, ἐὰν εἴτε ἡ τοῦ πράγματος γένηται κίνησις χωρὶς τῆς τοῦ χρόνου κινήσεως εἴτε

---

1 τὸ om. RP 2 τῇ om. C 3 τοῦτο συνεχὲς (τῷ add. C) ἂν CRP
4 παραγράφη C: παραγράφει RP 5 τὸ ὥσπερ πάλιν CRP 8 συγκατατίθηται Sa: συγκατάθηται CRP 9 cf. Plato, Theaet. p. 144 D. 188 B et Comm. II 3 p. 63,24 ss. 12 καὶ Sa: κἂν CRP οἰονεὶ CRP 13 ὁδοιπορῆσαι a: om. ceteri 14 οὖν a: om. ceteri 15 χρόνον—τόπον Sa: τόπον οὔτε περὶ τὸν χρόνον οὔτε περὶ τὸν τόπον (sic) CRP 18 μέμνημαι] μνημονεύω a διά τινα ἄλλην CRP 20 δ' om. P 21 οἴεται R 24 δὴ om. CRP
29 ἀλλὰ—μέμνηται (32) om. RP 31 τοῦτο γάρ—λανθάνειν om. C 32 φησί om. CRP ἢ Ca Soph.: ἡ SRP ἐὰν om. Sa, sed v. Arist.

ἡ τοῦ χρόνου χωρὶς τῆς τοῦ πράγματος. τὸν δὲ χρόνον ὁτὲ μὲν οὐ μεμνή- 135ᵛ
μεθα ἀορίστως, ἀλλ' ὡρισμένως, ὁτὲ δὲ οὐχ ὡρισμένως, ἀλλ' ἀορίστως.
τὸ δὲ πότε τῷ ποσῷ μέτρῳ ἴσον ἐστὶ τῷ 'ὡρισμένῳ μέτρῳ'. 50

p. 453ᵃ6 Διαφέρει δὲ τὸ μνημονεύειν τοῦ ἀναμιμνήσκεσθαι, οὐ
5 μόνον κατὰ τὸν χρόνον. |

Οὐ μόνον, φησί, κατὰ τὸν χρόνον διαφέρουσιν μνήμη καὶ ἀνάμνησις 135ᵛ
(πρότερον γὰρ τῷ χρόνῳ μνήμη ἀναμνήσεως τῷ ἀνανέωσιν μνήμης εἶναι
τὴν ἀνάμνησιν), ἀλλ' ὅτι καὶ μόνος ὁ ἄνθρωπος ἀναμιμνήσκεται. καὶ
δείκνυσιν ὅτι μόνος ὁ ἄνθρωπος ἀναμιμνήσκεται, οὕτω πως τὴν δεῖξιν
10 προάγων· ᾧ τὸ ἀναμιμνήσκεσθαί ἐστι, τούτῳ καὶ τὸ συλλογίζεσθαι· ὡς 5
γὰρ ὁ συλλογιζόμενος τήνδε τὴν πρότασιν συνάπτει μετὰ τῆσδε, οὕτω καὶ
ὁ ἀναμιμνησκόμενος τὰ ἐλάττονα τοῖς μείζουσιν. ᾧ δὲ τὸ συλλογίζεσθαι,
τούτῳ καὶ τὸ ζητεῖν· ὁ γὰρ συλλογιζόμενος ζητῶν τι συλλογίζεται. ᾧ δὲ
τὸ ζητεῖν, καὶ τὸ βουλεύεσθαι· ὁ γὰρ βουλευόμενος ζητεῖ. ᾧ ἄρα τὸ ἀνα-
15 μιμνήσκεσθαι, τούτῳ καὶ τὸ βουλεύεσθαι· μόνος δὲ ὁ ἄνθρωπος βουλεύεται,
μόνος ἄρα καὶ ἀναμιμνήσκεται.

p. 453ᵃ14 Ὅτι δὲ σωματικόν τι τὸ πάθος καὶ ἡ ἀνάμνησις ζήτησις 10
ἐν τοιούτῳ φαντάσματος.

Τὸ ἀναμιμνήσκεσθαι ὅτι τῆς διανοίας ἐστίν, ἤδη δέδεικται· τὸ γὰρ
20 βουλεύεσθαι νοῦ, οὗ καὶ τὸ ἀναμιμνήσκεσθαι. ἀλλ' ἐπεὶ χωρὶς φαντασίας 15
τοῦτο ποιῆσαι ἀδυνατεῖ (τὰ γὰρ ἐν τῇ καρδίᾳ εἴδωλα κινοῦσα, ἅπερ εἰσὶν
ἡ φαντασία, ἀναμιμνήσκεται), πάνυ ἀκριβῶς εἴρηται, ὅτι σωματικόν τι τὸ
πάθος· αὐτὴν γὰρ τὴν καρδίαν καὶ τὸ ἐν αὐτῇ πνεῦμα, ἐν οἷς τὰ εἴδωλα
ὡς εἴδη τρόπον τινὰ τυγχάνει ὄντα, κινοῦσα ἡ ἀνάμνησις γίνεται. ὅτι οὖν,
25 φησίν, ἡ ἀνάμνησις ζήτησίς ἐστι φαντάσματος ἐν τοιούτῳ, τουτέστι ἐν
σώματι ὄντι (ὡς γὰρ ὁ βουλόμενος ἀναγνῶναι τὸν τοιονδὶ λόγον ἐν τῷ
βιβλίῳ ζητεῖ τὰ ἐν τῷ χάρτῃ γράμματα, οὕτω καὶ ἡ διάνοια· ἀνάλογον 20
γὰρ ὁ χάρτης τῇ καρδίᾳ, τὰ δὲ γράμματα τοῖς φαντάσμασιν, ἡ δὲ διάνοια
τῷ ἀναγινώσκοντι), ὅτι οὖν σωματικὸν ἡ ἀνάμνησις, σημεῖον τὸ παρενο-
30 χλεῖν ἐνίους, ἐπειδὰν μὴ δύνωνται ἀναμνησθῆναι, τὸ παρενοχλεῖν ἀντὶ τοῦ
παρενοχλεῖσθαι νῦν ληφθέν· ἢ οὐκ ἀντὶ τοῦ παρενοχλεῖσθαι εἴληπται, ἀλλ'
οὕτως ἁπλῶς· παρενοχλεῖ γὰρ ἡμᾶς ἡ τοιαύτη κίνησις. κινεῖ γὰρ πολλάκις

---

1 τῆς τοῦ πράγματος χωρὶς S τοῦ δὲ χρόνου Sa αὐτόν cum Arist. SU (αὐτῶν LM, αὐτό EY) vid. legisse 2 ἀορίστων a 3 πότε τῷ ποσῷ cum LSU legit 5 κατὰ] τὰ a 6 διαφέρει CRP 7 προτέρα S alt. τῷ] τὸ RP 9 ὁ om. C 10 προσάγων S 11 συνάπτει CRP Soph.: συνάγει Sa 17 δὲ] δ' ἐστὶ Arist. EMY τι om. Arist. EMYS 18 ἐκ τοιούτου φαντάσματος RP: om. S φαντάσματι a Soph. (Arist. L) 19 τῆς om. a Soph. 20 φαντασίας SCRP Soph.: φαντάσματος a 22 ὅτι ante πάνυ a 26 ἀναγνῶσαι R τοιόνδε CRP 27 ἀνάλογος C 29 post ἀναγινώσκοντι add. ἐστὶν CRP σωματικὴ CRP

ἡ διάνοια βουλομένη ἀναμνησθῆναι τοὺς τόπους, καὶ πολλὰ πονήσασα καὶ 135v
μὴ δυνηθεῖσα εὑρεῖν παύεται τῆς ζητήσεως καὶ ἐπέχει ἑαυτήν, ὥστε μηκέτι 25
ζητεῖν, ὥσπερ τις ὅταν ἑαυτὸν κατάσχῃ μὴ φαγεῖν. ὅμως, καίπερ ἑαυτὴν
κατέχουσα, τὰ κινηθέντα οὐδὲν ἧττον αὐτὴν παρενοχλεῖ, ἀλλὰ καὶ μᾶλλον,
5 ὥσπερ ἡ πεῖνα τὸν πεινῶντα. μᾶλλον γὰρ τότε ἡμᾶς παρενοχλοῦσι, παρ'
ὅπερ ὅταν ἐπιχειρῶμεν ἀναμιμνήσκεσθαι, τοιοῦτόν τι πάσχοντες, ὁποῖον
καὶ ἐν ταῖς μελέταις· πολλάκις γὰρ εἰπὼν ὄνομα, οἷον χερμάδιον φέρε
εἰπεῖν, καὶ παυσάμενος τοῦ λέγειν καὶ μηκέτι βουλόμενος εἰπεῖν, ὅμως
ἐπέρχεταί μοι πάλιν λέγειν χερμάδιον. ὡς οὖν ἐπὶ τούτων, οὕτω καὶ ἐν 30
10 ταῖς ἀναμνήσεσι· παυσάμενοι γὰρ καὶ τὴν διάνοιαν ἐπέχοντες καὶ μὴ ὅλως
ἐπιχειροῦντες ἀναμνησθῆναι, ὅμως παρενοχλοῦσιν ἡμᾶς τὰ κινηθέντα καὶ
βιάζουσιν ἡμᾶς πρὸς αὐτὰ τρέπεσθαι. τοῦτο δ' οὐκ ἂν ἐγίνετο, εἰ μὴ
σωματικὸν ἦν τὸ πάθος· οὐδὲν γὰρ ἀσώματον κινεῖται καθ' αὑτό. κινη-
θείσης γὰρ τῆς καρδίας ἢ τοῦ ἐν αὐτῇ ὑγροῦ (οὐδὲν γὰρ διαφέρει ταύτης
15 ἢ τούτου λέγειν), κινηθείσης δ' οὖν ἢ κινηθέντος ἐν τῷ ἐπιχειρεῖν ἡμᾶς
ἀναμιμνήσκεσθαι (τρόπον δν καὶ τὸ βιβλίον ἐν τῇ ἀναπτύξει, ἐπειδὰν μέλλω- 35
μεν ἀναγνῶναι) οὐκέτι ῥᾳδίως καθίσταται καὶ εἰς ἠρεμίαν ἄγεται, ἀλλὰ
κινουμένη πάλιν παρενοχλεῖ καὶ βιάζεται πάλιν εἰς κίνησιν τοῦ πράγματος
τρέπεσθαι, καίτοι τὴν διάνοιαν ἐπέχοντες, τοιοῦτόν τι πάσχοντες, ὥσπερ
20 ἂν ἡμῶν μὴ ἐθελόντων ἕλκῃ τις ἡμᾶς πρὸς αὐτὸν ἐστράφθαι. μάλιστα
δὲ ἐνοχλοῦνται οἱ μελαγχολικοὶ διὰ τὸ εἶναι εὐκίνητοι· ἐν πολλῇ γὰρ ὄντες
κινήσει, ὡς ἐρεῖ ἐν τῷ Περὶ ὕπνου (ἡ γὰρ μελαγχολία πνεύματος πολλοῦ
καὶ παχέος ἐστὶ κίνησις), ἐπειδὰν ἑνὸς φαντάσματος κίνησις γένηται, εὐθὺς 40
σωρηδὸν ἀνεγείρονται πάμπολλα διὰ τὴν τοῦ ἐν τῇ καρδίᾳ ὑγροῦ εὐκινησίαν,
25 ἃ παρενοχλοῦντα τὴν διάνοιαν καίτοι ἐπέχοντας ἔπεισιν ἡμῖν πάλιν εἰς ζήτησιν
τρέπεσθαι.

p. 453a20 Αἴτιον δὲ τοῦ μὴ ἐπ' αὐτοῖς εἶναι τὸ ἀναμιμνήσκεσθαι, ὅτι καθάπερ τοῖς βάλλουσιν.

Ἐπειδὴ πολλάκις βουλόμεθα ἀναμνησθῆναι, οὐ δυνάμεθα δὲ καὶ ἢ 46
30 οὐδ' ὅλως ἀναμιμνησκόμεθα ἢ οὐ τότε, ὅτε βουλόμεθα, τὴν αἰτίαν διὰ
τούτων ἐπάγει καί φησιν· αἴτιον δὲ τοῦ βούλεσθαι πολλάκις ἡμᾶς ἀνα-
μνησθῆναι, μὴ δύνασθαι δὲ τό, ὥσπερ τοῖς βάλλουσι λίθον οὐκ ἔστιν ἐπ'
αὐτοῖς τὸ στῆναι ἢ ὅλως λήψεσθαι, εἰ μὴ κινηθεῖεν καὶ ἀπέλθοιεν πρὸς
ἐκεῖνον, οὕτω καὶ τῷ ἀναμιμνήσκεσθαι βουλομένῳ· σωματικὸν γάρ τι καὶ 50
35 οὗτος κινεῖ. ὡς γὰρ οὐ δυνάμεθα τόνδε τὸν λόγον ἀναγνῶναι, εἰ μὴ

---

3 ὥσπερ—φαγεῖν om. a 5 παρενοχλοῦσα RP 6 ἐπιχειροῦμεν CR 7 et 9 χερμάδα RP: anceps S 10 ὅσως CR 13 καθ' αὑτά R 14 οὐδὲ CRP διαφέρει om. RP 14. 15 ταύτην ἢ τοῦτο CRP 15 λέγει C: anceps RP δ' οὖν] γοῦν CRP 22 Περὶ ὕπνου] p. 457a27 24 πάμπολλα CRP Soph.: πάμπολλαι a: anceps S τῇ om. a 25 ἐπέχοντες a 31 τοῦ] τὸ C ἡμᾶς πολλάκις CRP 33 στῆσαι Soph. Arist. ἐπέλθοιεν RP 34 ἐκεῖνο CRP

ἀναπτύξομεν τὴν βίβλον, καὶ οὐδὲ τότε ἁπλῶς, ἀλλ' ὅταν εὑρήσωμεν τὸ χωρίον, ἐν ᾧ γέγραπται, οὕτως οὐδὲ τοῦτο, εἰ μὴ κινήσομεν τὸ αἰσθητήριον, ἐν ᾧ τυγχάνουσιν ὄντα τὰ ἀναζωγραφήματα καὶ οἱ τύποι. τὰ δ' ἑξῆς σαφῆ.

5 p. 453ª26 Διὸ καὶ ὀργαὶ καὶ φόβοι, ὅταν κινηθῶσιν, ἀντικινούντων πάλιν τούτων οὐ καθίστανται. |

Καὶ ἡ ἀνάμνησις καὶ ἡ ὀργὴ καὶ ὁ φόβος σωματικά εἰσι πάθη, ἡ 136r
μὲν ὀργὴ ζέσις τοῦ ἐν τῇ καρδίᾳ αἵματος, ὁ δὲ φόβος κατάψυξις τοῦ αὐτοῦ 10
τούτου αἵματος. καὶ διὰ τὸ εἶναι πάντα ταῦτα σωματικὰ πάθη, εἰπὼν διὰ
10 τί οὐκ ἀποκαθίστανται ῥᾳδίως οἱ ἀναμιμνησκόμενοι, ἀλλὰ παρενοχλοῦνται,
καίπερ πάνυ ἐπέχοντες τὴν διάνοιαν καὶ μὴ ἐῶντες αὐτὴν εἰς ζήτησιν
τρέπεσθαι τοῦ πράγματος, λέγει καί, διὰ τί οἱ ὀργιζόμενοι καὶ οἱ φοβούμενοι οὐ ῥᾳδίως ἀποκαθίστανται καὶ ἐπανέρχονται εἰς τὴν προτέραν κατάστασιν, ἐν ᾗ ἐτύγχανον ὄντες πρὸ τῆς ὀργῆς καὶ τοῦ φόβου, ἀλλ' ἐπὶ πολὺ
15 διαμένουσι τῇ ὀργῇ καὶ τῷ φόβῳ. φησὶν οὖν δι' ὃ καὶ ὀργαὶ καὶ φόβοι, 15
τουτέστι διὰ τὸ εἶναι καὶ τὴν ὀργὴν καὶ τὸν φόβον σωματικὰ πάθη (ζέσις γὰρ ἡ μὲν ὀργή, ὡς εἴρηται, τοῦ περὶ τὴν καρδίαν αἵματος, κατάψυξις δὲ ὁ φόβος) οὐ ῥᾳδίως ἀποκαθίστανται· ὅταν γὰρ κινηθῶσιν ἡ ὀργὴ καὶ ὁ φόβος, τοῦτο δὲ ταὐτόν ἐστι τῷ 'ὅταν γὰρ ζέσῃ ἢ τοὐναντίον πάθῃ τὸ περὶ
20 τὴν καρδίαν αἷμα', ἀντικινοῦσι τὴν καρδίαν καὶ ζεῖν ἢ ψυχρὰν εἶναι παρασκευάζουσι· δι' ὃ οὐ καθίστανται ῥᾳδίως. οὐ γὰρ ῥᾳδίως τὸ ζέσαν αἷμα ἢ ψυχθὲν ἀποκαθίσταται εἰς τὸ κατὰ φύσιν, ἀλλ' ἐπὶ τὸ αὐτὸ ἀντικινοῦσι, τουτέστιν ἀλλὰ θερμανθεῖσα ἡ καρδία ὑπὸ τοῦ αἵματος ἀντιθερ- 20
μαίνει αὐτό· τὸ γὰρ αἷμα θερμανθὲν καὶ τὴν καρδίαν θερμῆναν πάλιν ἀντι-
25 θερμαίνεται ὑπ' αὐτῆς. στερροτέρα γὰρ οὖσα καὶ σωματωδεστέρα ἡ καρδία μᾶλλον καὶ θερμαίνεται καὶ φυλάττει τὴν θερμότητα ἤπερ τὸ ἐν αὐτῇ αἷμα ἢ πνεῦμα. ἐκεῖνο μὲν γὰρ ὡς λεπτότερον θερμαίνεται ταχύτερον, αὕτη δὲ ὡς σωματωδεστέρα μᾶλλον. θερμαίνεται μὲν οὖν ἡ καρδία, ἡ

---

1 ἀναπτύξωμεν a εὑρήσωμεν a: εὑρήσομεν ceteri 2 τοῦτο Sa: τότε CRP κινήσαιμεν a 3 τύποι corr. ex τρόποι S 5 ὀργαὶ καὶ φόβοι S, cf. v. 15 (Arist. praeter U): αἱ ὀργαὶ καὶ οἱ φόβοι CRP: φόβοι καὶ ὀργαί a (Arist. U) ὅταν τι κινήσωσιν Arist. praeter SU 6 τούτων ἀντικαθίσταται S 8 ζέσις om. R s. s. P περὶ καρδίαν RP: περικαρδίου C, cf. Arist. De an. A 1 p. 403ª31 et Pohlenz, Suppl. XXIV Annal. philolog. p. 583 ss. ὁ δὲ φόβος Sa: ὁ δὲ C: ἡ δὲ RP 9 τὸ] τοῦτο C ταῦτα πάντα RP 11 ἐπέχοντας C, e corr. R ἐῶντας CR αὐτὴν om. S 12 καί (post λέγει) om. CRP οἱ (post καὶ) om. S 13 καὶ ἐπανέρχονται—ταὐτόν ἐστι τῷ (19) Sa: ὅταν γὰρ κινηθῶσιν ἡ ὀργὴ καὶ ὁ φόβος, τουτέστιν CRP 15 primum καὶ om. S φησὶν οὖν om. S 17 τὴν om. a 18. 19 οὐ ῥᾳδίως—ὁ φόβος S (cf. ad v. 13): om. a 21 καθίσταται C 22. 23 τὸ αὐτὸ ἀντικινοῦσι a (Arist. EMY), cf. p. 41,1: ταῦτά τί κινοῦσι S (cf. Arist. SU): ταῦτα κινοῦσα RP 23 τουτέστιν ἀναθερμανθεῖσα P 25 αὐτοῦ R: anceps P 25. 26 ἡ καρδία om. CRP 26 καὶ θερμαίνεται—μᾶλλον (28) om. CRP

δὲ πάλιν ἐπὶ τὸ αὐτὸ κινεῖ, τουτέστιν ἡ δὲ πάλιν ἀντιθερμαίνει. καὶ ἔοικε 136r
τὸ πάθος τό τε ἐν τῇ ἀναμνήσει καὶ τὸ ἐν ταῖς ὀργαῖς καὶ φόβοις τοῖς 25
ᾀδομένοις μέλεσι καὶ λεγομένοις ὀνόμασι.

Σαφῆ δὲ τὰ ἑξῆς, τὸ δὲ ἔτι δὲ τὰ παιδία καὶ νανώδη ἐστὶ
5 μέχρι πόρρω τῆς ἡλικίας ἴσον ἐστὶ τῷ 'διὰ τοῦτο τὰ παιδία μέχρι πόρρω ἐστὶν ἀμνήμονα, ὅτι καὶ νανώδη μέχρι πόρρω ἐστίν'.

---

4 τά] τά γε Arist. εἰσὶ CRP 6 τέλος τῶν σχολίων εἰς τὸ περὶ μνήμης καὶ ἀναμνήσεως ἀριστοτέλους add. a

p. 453b11 Περὶ δὲ ὕπνου καὶ ἐγρηγόρσεως ἐπισκεπτέον. 31

Μετὰ τὸ περὶ μνήμης καὶ τοῦ μνημονεύειν τὸν περὶ ὕπνου καὶ ἐγρη- 41
γόρσεως προχειρίζεται λόγον. σαφῆ δὲ ἃ καταλέγει, πλὴν τὸ ἢ συμβαίνει
5 μὲν ἀεὶ καθεύδουσιν ἐνυπνιάζειν οὐκ ἐστι λύσις τοῦ προαπορηθέντος
προσεχῶς, ἀλλ' ἔκθεσις καὶ αὐτό ἐστι τῶν μελλόντων ζητηθῆναι. τὸ δὲ
καὶ ὧν τὸ δαιμόνιον ἔχει τὴν αἰτίαν ταὐτόν ἐστι τῷ 'καὶ ἃ ὑπὸ τοῦ
δαιμονίου μέλλει πράσσεσθαι'.

p. 453b24 Πρῶτον μὲν τοῦτό γε φανερόν, ὅτι τῷ αὐτῷ τοῦ ζῴου 45
10 ᾗ τε ἐγρήγορσις ὑπάρχει καὶ ὁ ὕπνος.

Τὸ προκείμενόν ἐστι δεῖξαι, ὅτι οὗ μορίου πάθος ἐστὶν ὁ ὕπνος, τοῦ 50
αὐτοῦ τούτου ἐστὶ καὶ ἡ ἐγρήγορσις. οὐ γὰρ κατ' ἄλλο μὲν μέρος, οἷον
φέρε εἰπεῖν κατὰ τὴν καρδίαν, γίνεται ὁ ὕπνος, κατ' ἄλλο δέ, οἷον κατὰ
τὸν ἐγκέ|φαλον, γίνεται ἡ ἐγρήγορσις, ἀλλ' ἐν τῷ αὐτῷ καὶ ἑνὶ ἀμφότερα. 136v
15 μετὰ δὲ τὸ δεῖξαι ὅτι ἐν τῷ αὐτῷ καὶ ἑνί, τότε δείκνυσι καὶ τί ἐστι τοῦτο,
ἐν ᾧ γίνεται ὁ ὕπνος καὶ ἡ ἐγρήγορσις. ἔσχατα δὲ λέγει τὰ ἐναντία τὰ
πρός τι καὶ ὅλως πάντα τὰ ἀντικείμενα. τὸ δὲ καὶ ἐπὶ τῶν ἄλλων καὶ
ἐπὶ τῶν φυσικῶν ἴσον ἐστὶ τῷ καὶ ἐπὶ τῶν τεχναστῶν καὶ ἐπὶ τῶν φυσι-
κῶν. ἐν ᾧ γὰρ ἡ ἁρμονία ἐπὶ τῶν τεχναστῶν, ἐν τούτῳ καὶ ἡ ἀναρμοστία, 5
20 καὶ ἐν ᾧ ἡ τάξις καὶ ἡ σύνθεσις, ἐν τούτῳ καὶ ἡ ἀταξία καὶ ἡ ἀσυνθεσία·
ὥστε καὶ ἐν ᾧ ὁ ὕπνος, ἐν τούτῳ καὶ ἡ ἐγρήγορσις· ἀντίκειται γὰρ ὡς
στέρησις καὶ ἕξις.

---

1 tit. om., in mg. habet περὶ ὕπνου καὶ ἐγρηγόρσεως S εἰς τὸ RP: σχόλια εἰς τὸ a: τοῦ αὐτοῦ εἰς τὸ C in fine add. Ἀριστοτέλους a 2 ἐπισκεπτέον om. a: σκεπτέον Arist. EMY 3 τὸ] τὸν RP 5 τοῖς post ἀεὶ add. a (Arist. EMY) λύσις] λόγος RP ἀπορηθέντος RP 6 προσεχής RP 8 δαίμονος CRP 9 οὖν post μὲν add. a (Arist. praeter S) τὸ αὐτὸ S τοῦ ζῴου] ζῴῳ a (Arist. EY) 12 καὶ ἡ ἐγρήγορσίς ἐστι S μὲν om. a 13 τὴν om. RP 14 γίνεται om. CRP 16 ἔσχατα cum Arist. LSU (ἐναντία EMY) νῦν ante λέγει add. CRP 18 ἐν τοῖς φυσικοῖς Arist. ἐπὶ τῶν (ante alt. φυσικῶν) om. CRP 19 alt. ἐν] ἐπὶ CRP 20 καὶ (post τάξις) a: ἢ ceteri

p. 453ᵇ31 Ἔτι καὶ ἐκ τῶνδε δῆλον· ᾧ γὰρ τὸν ἐγρηγορότα γνωρίζομεν, τούτῳ καὶ τὸν κάθυπνον. 136ᵛ

Καὶ τοῦτο κατασκευαστικόν ἐστι τοῦ 'ἐν ᾧ ἡ ἐγρήγορσις, ἐν τούτῳ καὶ ὁ ὕπνος'. ἔστι δὲ τὸ λεγόμενον· τὸν αἰσθανόμενον νομίζομεν ἐγρηγορέναι, καὶ πάντα τὸν ἐγρηγορότα φαμὲν αἰσθάνεσθαι ἤ τινος τῶν ἔξωθεν κινήσεων ἢ τῶν ἐν αὐτῷ. ἐν αὐτῷ δ' ἂν εἶεν κινήσεις τὸ διαλογίζεσθαι, τὸ νοεῖν, τὸ φαντάζεσθαι, τὰ ὅμοια, ἐκτὸς δὲ τὰ αἰσθητά. εἰ οὖν ἡ ἐγρήγορσις ἐν οὐδενὶ ἄλλῳ τὸ εἶναι ἔχει ἢ τῇ αἰσθήσει, δῆλον ὡς ἐν ᾧ αἰσθάνεται τὰ ζῷα, ἐν τούτῳ καὶ ἐγρήγορεν. εἰ δὲ τοῦτο, δηλονότι καὶ ἐν τούτῳ καθεύδει. τῶν γὰρ ἀντικειμένων ἐν ᾧ θάτερον, καὶ τὸ λοιπόν.

p. 454ᵃ7 Ἐπεὶ δὲ οὔτε τῆς ψυχῆς ἴδιον τὸ αἰσθάνεσθαι οὔτε τοῦ σώματος.

Δείξας, ὅτι ἐν ᾧ ἐγρήγορε τὰ ζῷα, ἐν τούτῳ καὶ καθεύδει, ἐντεῦθεν συνάγει, ὅτι οὔτε τῆς ψυχῆς ἐστι μόνης τὸ ἐγρηγορέναι καὶ καθεύδειν οὔτε τοῦ σώματος μόνου, ἀλλὰ τοῦ ἐκ ψυχῆς καὶ σώματος. εἰπὼν δέ, ὅτι οὔτε τῆς ψυχῆς ἐστι μόνης τὸ αἰσθάνεσθαι οὔτε τοῦ σώματος, συντόμως τὴν αἰτίαν τούτου ἐπήγαγε διὰ τοῦ οὗ γὰρ ἡ δύναμις, τούτου καὶ ἡ ἐνέργεια. ἐν ᾧ γὰρ δυνάμεθα ὁρᾶν ἢ ἀκούειν ἢ γράφειν, ἐν τούτῳ καὶ ἐνεργοῦμεν, ὥστε καὶ ἀντιστρέψαντας ἀληθὲς εἰπεῖν, ὅτι ἐν ᾧ ἐνεργοῦμεν, ἐν τούτῳ καὶ δυνάμεθα. ἡ δὲ κατ' ἐνέργειαν αἴσθησις οὔτε τοῦ σώματός ἐστιν οὔτε τῆς ψυχῆς, ἀλλὰ τοῦ συναμφοτέρου, εἴπερ ἡ κατ' ἐνέργειαν αἴσθησις κίνησις ψυχῆς δι' αἰσθητηρίων γινομένη, ὡς ἐν τῷ Περὶ ψυχῆς εἴρηται. εἰ δὲ τοῦτο, φανερόν, ὅτι οὔτε τῆς ψυχῆς ἴδιον τὸ πάθος τοῦτ' ἐστί, τὸ αἰσθάνεσθαι, οὔτε τοῦ σώματος. εἰ δὲ μὴ τούτων τινὸς χωρίς, ἀλλὰ τοῦ συναμφοτέρου, δῆλον ὡς τὸ ἐγρηγορέναι καὶ καθεύδειν οὐδενὸς τούτων χωρίς, ἀλλὰ τοῦ συναμφοτέρου.

p. 454ᵃ13 Καὶ τοῦ μὲν θρεπτικοῦ χωριζομένου τῶν ἄλλων ἐν τοῖς ἔχουσι σῶμα.

Τὸ ἐν τοῖς ἔχουσι σῶμα ἢ παρέλκει ἤ, εἰ μὴ παρέλκει, ἴσον ἐστὶ τῷ 'ἐν τοῖς ἐμψύχοις σώμασιν'. τὸ δὲ οὔτε εἰ χωριστόν ἐστιν οὔτ' εἰ μὴ χωριστόν, ταὐτόν ἐστι τῷ 'εἴτε χωριστόν ἐστι τὸ αἰσθητικὸν τοῦ

---

1 ἔτι] ἔτι δὲ a (Arist.) 2 ἐν τούτω S κάθυπνον SCRP (Arist. LSU): ὑπνοῦντα a (Arist. Y, καθυπνοῦντα EM) 6 νοεῖσθαι R: διανοεῖσθαι C 7 ἡ om. RP 9 ἐγρηγοροῦσιν R: ἐγρηγορῶσιν P 11 τὸ ante τῆς add. a τῆς om. S 15 μόνον P καὶ om. RP 18 ὁρᾶν δυνάμεθα CRP 22 ψυχῆς κίνησις CRP ἐν τῷ Περὶ ψυχῆς] cf. B 5 ἐν τοῖς a 23 τοῦτ' ἐστί Sa: ἤτοι CRP 27 κεχωρισμένου a 27. 28 ἐν τοῖς ἔχουσι σῶμα om. a 28 σῶμα] σώμασι ζωὴν Arist. EM 29 παρέλκον bis CP εἰ om. C 30 prius οὔτε] εἴτε C, e corr. P οὔτ'] εἴτε RP 31 ἐστι ante ταὐτὸν add. a (om. etiam Arist.)

θρεπτικοῦ καὶ τῷ ὑποκειμένῳ, ὥσπερ καὶ τῷ λόγῳ'. ὅτι γὰρ τῷ λόγῳ 136v
ἕτερόν ἐστι τὸ αἰσθητικὸν τοῦ θρεπτικοῦ, φανερόν ἐστιν· εἰ δὲ καὶ τῷ ὑπο-
κειμένῳ, οὐ παντὶ δῆλον. εἴτε οὖν καὶ τῷ ὑποκειμένῳ ἐστὶ χωριστὸν εἴτε
καὶ μή, ἀλλ' οὖν τῷ λόγῳ καὶ τῇ φύσει ἕτερόν ἐστι τὸ αἰσθητικὸν τοῦ
5 θρεπτικοῦ.

p. 454a19 Ὁμοίως δὲ καὶ ὅτι οὐδέν ἐστιν, ὃ ἀεὶ ἐγρήγορεν ἢ 40
ἀεὶ καθεύδει.

Ἐντεῦθεν δείκνυσιν, ὅτι πᾶν ὃ ἐγρήγορεν καθεύδει καὶ πᾶν τὸ καθεῦδον 45
γρηγορεῖ, καὶ οὐδέν ἐστι τῶν ὑπὸ σελήνην ζῴων, ὅπερ ἢ ἀεὶ καθεύδει
10 ἢ ἀεὶ γρηγορεῖ, ἀλλὰ πᾶν τὸ ἐγρηγορὸς μεταβάλλει εἰς ὕπνον καὶ πᾶν τὸ
ὑπνῶττον εἰς ἐγρήγορσιν. τὸ δὲ οὔτε γὰρ εἴ τί ἐστι ζῷον ἔχον
αἴσθησιν, τοῦτο ἐνδέχεται οὔτε καθεύδειν οὔτε ἐγρηγορέναι, ὑπο-
δύσκολόν πως ὄν, τοιοῦτόν ἐστιν· οὐδὲν γάρ ἐστι ζῷον στερούμενον ἀμφοτέρων,
ὥστε μήτε ἐγρηγορέναι μήτε καθεύδειν· τοῦτο γὰρ τῶν ἀψύχων ἐστίν· τὰ γὰρ
15 ἄψυχα οὔτε γρηγοροῦσιν οὔτε καθεύδουσι, πᾶν δὲ ζῷον, ὡς δειχθήσεται, καὶ 50
ἐγρήγορε καὶ καθεύδει. εἰπὼν δέ, ὅτι οὐδέν ἐστι ζῷον ἐστερημένον τούτων,
τὴν αἰτίαν τούτου ἐπήγαγεν εἰπών· ἄμφω γάρ ἐστι πάθη ταῦτα περὶ
αἴσθησιν τοῦ πρώτου αἰσθητικοῦ, πάθη λέγων τὸ ἐγρηγορέναι καὶ
καθεύδειν, πρῶτον δὲ αἰσθητικὸν τὴν αἰσθητικὴν ψυχήν, ἥτις ἵδρυται περὶ
20 τὴν καρδίαν, ὡς ἐν ἄλλοις δέδεικται. εἰ οὖν τὸ ἐγρηγορέναι καὶ καθεύδειν
πάθη ἐστὶ τοῦ πρώτου αἰσθητικοῦ, οὐδὲν ἂν εἴη ζῷον μήτε ἐγρηγορὸς
μήτε ὑπνῶττον. |

p. 454a26 Ἔτι ὅσων ἐστί τι ἔργον κατὰ φύσιν, ὅταν ὑπερ- 137r
βάλλῃ ἤ τι ὧν δύναται τῷ χρόνῳ ποιεῖν.

25 Φέρεται καὶ ἄλλη γραφὴ ἔχουσα οὕτως· ἔτι ὅσων ἔστι τι ἔργον 5
κατὰ φύσιν, ὅταν ὑπερβάλλῃ τὸν χρόνον, ἐν ὅσῳ δύναταί τι
ποιεῖν, καὶ ἔστι σαφεστέρα αὕτη ἡ γραφή. δείκνυσι δὲ διὰ τούτων, ὅτι
πᾶν τὸ ἐγρηγορὸς καθεύδει, καὶ ἀδύνατόν ἐστί τι ἀεὶ ἐγρηγορέναι. προ-
λαμβάνει δὲ ἀξίωμα τοιοῦτον· ὅσων ἐστί τι ἔργον κατὰ φύσιν, ὅταν ὑπερ- 10
30 βάλλῃ τὸν χρόνον, καθ' ὃν πέφυκε τοῦτο ποιεῖν, ἀνάγκη κάμνειν καὶ μὴ

---

1 φανερόν ἐστι post θρεπτικοῦ add. C 2 ἐστιν om. CRP 4 καὶ (ante μή) om. CRP 6 ἢ Sa: καὶ CRP 8 καὶ post ἐγρήγορε add. CRP 9 οὐδὲ a (οὐδὲν etiam Soph.) τι ante τῶν add. a 11 ἐστι CRP (Arist.): om. Sa 13 οὐδὲ a 14 ἐστὶ τῶν ἀψύχων CRP 17 τούτων C τὰ πάθη Arist. 20 ἐν ἄλλοις] cf. Bonitz, Ind. p. 365b34 ss. 21 ἐστὶ] εἰσὶ RP 21. 22 οὔτ' ἐγρηγορὸς οὔθ' CRP 23 ἔργων Ca ἔργων τι κατὰ φύσιν ἐστὶν a 23. 24 ὑπερβάλῃ RP (Arist. MU) 24 ἢ τί ὧν δύναται τῷ χρόνῳ SCRP (τὸν χρόνον ἢ τί ὧν δύναται τῷ χρόνῳ τι Arist. LMSU): τὸν χρόνον ἐν ὅσῳ δύναται a (τὸν χρ. ᾧ δύναται χρόνῳ τι Arist. EY) 25 ἔργον τι CRP 26 ὅταν] ὃ RP ὑπερβάλῃ CR: ὑπερβάλλει P 27 αὕτη ἡ γραφὴ σαφεστέρα CRP 28. 29 προσλαμβάνει CRP 29 ἔστι τι ἔργον a: τί ἐστι ἔργον S: ἔστιν ἔργον τι CRP 29. 30 ὑπερβάλῃ CRP

δυνάμενον πρόσω προβαίνειν παύεσθαι. καὶ δῆλον τοῦτο ἐπὶ τῶν γινο- 137ʳ
μένων καθ' ἑκάστην. φέρουσι γὰρ τὰ ὑποζύγια φόρτον ἄχρι τινός· ἢν
δέ τις αὐτὰ περαιτέρω βιάσηται, πίπτουσι. καὶ ἀναγινώσκει τις ἄχρι τινός,
καὶ τέλος καταντᾷ εἴς τι μέρος χρόνου, οὗ περαιτέρω ἀδυνατῶν προβῆναι
5 παύεται τῆς ἀναγνώσεως. καὶ ὁ ἀνδριαντοποιὸς καὶ ὁ τέκτων καὶ πᾶς
ὁστισοῦν ἐνεργεῖ μέχρι τινός· ὅταν δ' ὑπερβάλλῃ τὸν χρόνον, ὃν ἐπεφύκει 15
ἐνεργεῖν, ἀδυνατεῖ καὶ παύεται. εἰ δὲ ἐπὶ πάντων οὕτως, δηλονότι καὶ
ἐπὶ τοῦ ἐγρηγορέναι οὕτως ἕξει. καὶ ἐπεὶ ἐνέργειά τίς ἐστιν ἡ ἐγρήγορσις,
ὅταν ὑπερβάλλῃ τὸν χρόνον, ἀδυνατεῖ καὶ παύεται τοῦ ἐγρηγορεῖν· ἐναντίον
10 δὲ τῷ ἐγρηγορέναι τὸ καθεύδειν. τῶν δ' ἀμέσων ἐναντίων, μᾶλλον δὲ τῶν
κατὰ στέρησιν καὶ ἕξιν ἂν θάτερον μὴ παρῇ, ἀνάγκη θάτερον εἶναι. ὥστε
τῆς ἐγρηγόρσεως μὴ οὔσης ἀνάγκη τὸν ὕπνον παρεῖναι· ἅπαν ἄρα τὸ ἐγρη-
γορὸς ἀναγκαῖόν ἐστι καθεύδειν. οὐδὲν ἄρα ἐστίν, ὅπερ ἀεὶ ἐγρήγορεν. ἡ 20
μὲν οὖν τῶν λεγομένων διάνοια αὕτη, τὰ δὲ κατὰ τὴν λέξιν ὧδέ πως ἔχει.
15 τὸ γὰρ ὅταν ὑπερβάλλῃ τὸν χρόνον ἤ τι ὧν δύναται ποιεῖν οὕτως
ἐπῆκται, ὡς εἰ ἔλεγεν· ὅταν ὑπερβάλλῃ τὸν χρόνον, καὶ τί δεῖ λέγειν τὸν
χρόνον, ὅταν ἁπλῶς ὑπερβάλλῃ κατά τι τῶν πραγμάτων, ὧν ἔχει δύναμιν
ἐργάζεσθαι. οὐ γὰρ πάντα δύναται ποιεῖν οὐδὲ πάντων ἔχει τέχνην ἢ ἐπιστή-
μην ἢ δύναμιν, ἀλλὰ τινῶν μὲν, τινῶν δ' οὔ. ὅταν οὖν κατά τι τούτων ὑπερ- 25
20 βάλλῃ, ἀνάγκη ἀδυνατεῖν. σαφεστέρα δὲ καὶ καταλληλοτέρα ἡ ἑτέρα γραφὴ
ἡ οὕτως ἔχουσα· ὅταν ὑπερβάλλῃ τὸν χρόνον, ἐν ὅσῳ δύναται ποιεῖν.
ὅταν γὰρ ὑπερβάλλῃ τὸν χρόνον, ἐν ᾧ πέφυκεν ἡ δύναμις αὐτοῦ ποιεῖν τι,
ἀδυνατεῖ. τὸ δὲ εἰ τοίνυν τὸ ἐγρηγορέναι ὥρισται τῷ λελύσθαι
τὴν αἴσθησιν ἴσον ἐστὶ τῷ 'εἰ τοίνυν ἡ ἐγρήγορσις ἕως τότε πάρεστι
25 καὶ ἕως τότε τὸ εἶναι ἔχει, ἕως ἂν λυθείη ἡ αἴσθησις'. τῆς γὰρ αἰσθή-
σεως καὶ τοῦ αἰσθάνεσθαι λυθέντος λύεται καὶ ἡ ἐγρήγορσις. ἢ ἀντὶ τοῦ 30
ὥρισται ληπτέον τὸ παύεται, καὶ εἴη ἂν τὸ λεγόμενον τοιοῦτον· εἰ τοίνυν
τὸ ἐγρηγορέναι παύεται τῷ λυθῆναι τὴν αἴσθησιν, ἀναγκαῖον ἂν εἴη καθεύδειν.

p. 454ᵇ4 Εἰ οὖν τὸ τοιοῦτον πάθος ὕπνος.

30 Τοιοῦτον πάθος λέγει τὸ καθεύδειν. ἔστι δὲ τὸ ἑξῆς τῆς λέξεως· 50
εἰ οὖν τὸ τοιοῦτον πάθος ὕπνος, ἀνάγκη πᾶν τὸ ἐγρηγορὸς καθεύ-
δειν· ἀδύνατον γὰρ ἀεὶ ἐνεργεῖν. τὰ δ' ἄλλα μεταξὺ παρέρριπται. ἔστι δὲ

---

1 βαίνειν RP Soph. 6 ὑπερβάλη CRP πέφυκεν RP 9 ὑπερβάλη CRP ἀδυνατήσει καὶ παύσεται CRP ἐνεργεῖν RP, e corr. C 12 οὔσης] παρούσης RP Soph. 12. 13 τὸ ἐγρηγορεῖν R 14 τὰ Sa: ἡ CRP 15 γάρ] μὲν a ὅτε CRP ὑπερβάλη CR 16 ὑπερβάλη CRP, item 17 16. 17 τὸν χρόνον λέγειν S 17 ἁπλῶς om. P 17. 18 ἐργάζεσθαι δύναμιν CRP 19. 20 ὑπερβάλη SRP 20 ἑτέρα om. CRP 21 ἡ om. CRP ἔχουσα οὕτως CRP ἢ ante ὅταν add. RP ὑπερβάλλῃ a: ὑπερβάλη ceteri δύναταί ⟨τι⟩ conicio 22 ὑπερβάλη SRP ἐν ὅσῳ δύναται ποιεῖν ante ἐν ᾧ add. RP αὐτῆς CRP 25 ἔχει om. S λυθῇ CRP 28 λελύσθαι RP ἂν om. S 32 ἐνεργεῖν CRP (Arist.): ἐγρηγορεῖν Sa

τὸ λεγόμενον διὰ τῶν μεταξὺ τοιοῦτον· τοῦτο δὲ τὸ ὑπνώττειν ἐστὶν ἀδυναμία δι' ὑπερβολὴν τοῦ ἐγρηγορέναι. ὅταν γὰρ ὑπερβάλλῃ τὴν οἰκείαν δύναμιν, καθ' ἣν τὸ ἐγρηγορὸς δύναται γρηγορεῖν, ἀδυνατεῖ καὶ παύεται. καὶ ἐπεί τινες ὑπερέβαλον καὶ διετέλεσαν ἐγρηγορότες καὶ πόρρω | τῆς 137v
5 οἰκείας δυνάμεως (πολλοὶ γὰρ καὶ εἰς ἓξ καὶ εἰς ἑπτὰ νυχθήμερα ἄυπνοι διετέλεσαν καὶ εἰς ἐννέα, καὶ τούτων οἱ μὲν διὰ νόσον, οἱ δὲ διὰ ἴσχνανσιν ἢ ξήρανσιν) καὶ τέλος ἡ ὕπνωσαν ἢ ἀπέθανον, διορίζεται καὶ περὶ τούτων λέγων· ἡ δὲ τοῦ ἐγρηγορέναι ὑπερβολή, τουτέστι ἡ δὲ μακρὰ ἐγρήγορσις, γίνεται ὁτὲ μὲν διὰ νόσον, ὁτὲ δὲ καὶ ἄνευ νόσου. ὥστε καὶ ἡ
10 ἀδυναμία, τουτέστιν ὥστε καὶ ὁ μακρὸς ὕπνος γίνεται διὰ νόσον (ὅπερ καὶ ἐγὼ ἐπεπόνθειν· πυρέξας γὰρ τρία διετέλεσα νυχθήμερα κοιμώμενος), ὁτὲ δὲ καὶ ἄνευ νόσου, ὡς τὰ βρέφη καὶ ἄλλοι τινὲς δι' ὑγρότητα πολλὴν τοῦ σώματος. ταῦτα δείξας, δείκνυσιν ὅτι οὐδὲ ἐνδέχεταί τι ἀεὶ καθεύδειν οὕτως. ἐπεὶ γὰρ ὁ ὕπνος πάθος τί ἐστι τοῦ αἰσθητικοῦ μορίου
15 καὶ οἷον δεσμός τις καὶ ἀκινησία, ὡς δέδεικται καὶ ἔτι δειχθήσεται, αἰσθητικὸν δὲ λέγεται οὐ μόνον τὸ ἐνεργοῦν κατὰ τὴν αἴσθησιν, ἀλλὰ καὶ τὸ μὴ ἐνεργοῦν δυνάμενον δὲ ἐνεργῆσαι, ὥσπερ καὶ γελαστικὸν τὸ δυνάμενον γελᾶν, πᾶσα δὲ δύναμις εἰς ἐνέργειαν ἄγεται, ὡς ἐν τῷ πρώτῳ τῆς Περὶ οὐρανοῦ πραγματείας δέδεικται, ἀνάγκη καὶ τὸ καθεῦδον καὶ δύναμιν ἔχον
20 γρηγορεῖν ἐγρηγορὸς γενέσθαι. καὶ ἐπεὶ τὸ καθεύδειν ἐστὶν ἀναισθητεῖν, ἀδύνατον τὸν καθεύδοντα αἰσθάνεσθαι· ἅμα γὰρ ἔσται ἐν ταὐτῷ τἀναντία. τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ ἐνεργεῖν δὲ τῇ αἰσθήσει κυρίως καὶ ἁπλῶς ἀδύνατον καθεῦδον ἅμα. τὸ δὲ κυρίως καὶ ἁπλῶς προσκειται διὰ τὰ ἐν τοῖς ὕπνοις φαντάσματα. αἰσθάνεται γὰρ τρόπον τινὰ καὶ
25 τότε, ὡς καὶ αὐτὸς ἐρεῖ, ἀλλ' οὐ κυρίως καὶ ἁπλῶς, ὥσπερ ὅταν γρηγορῇ. ὅτι δὲ ὁ ὕπνος ἀκινησία καὶ οἷον δεσμός τίς ἐστι τῆς αἰσθήσεως, εἴρηται καὶ πρὸ ὀλίγου, ἐν δὲ τῇ λέξει τῇ ἐν δὲ τοῖς φυτοῖς οὐδὲν ὑπάρχει τούτων τὸ τούτων περὶ τοῦ χαίρειν καὶ λυπεῖσθαι εἴρηται· τὰ γὰρ φυτὰ οὔτε χαίρει οὔτε λυπεῖται.

30 p. 454b32 Σημεῖον δ' ὅτι καὶ τὸ ἔργον τὸ αὐτοῦ ποιεῖ τὸ θρεπτικὸν μόριον ἐν τῷ καθεύδειν μᾶλλον.

Ἐπειδὴ τὰ φυτὰ καὶ τρέφεται καὶ αὔξεται καὶ ὅμοια ἑαυτοῖς γεννᾷ, 26

---

2 δι'] δ' S ὑπερβάλη CRP: ὑπερβάλ (sic) S 3 ἐγρηγορεῖν a 5 εἰς (ante ἑπτὰ) om. S 5. 6 διετέλεσαν νυχθήμερα ἄυπνοι CRP 9 καὶ (ante ἄνευ) om. CRP 11 καὶ (ante ἐγὼ) om. CRP πεπόνθειν C: πέπον RP
12 ὁτὲ] ἔτι P, corr. ex ὅτι R 14 πάθος τι (sic etiam Soph.) cum Arist. L legit
15 καὶ cum Arist. L (om. ceteri) legit τις hic cum Arist. LS (post ἀκινησία ceteri)
16 καὶ om. P 18 καὶ ante ὡς add. CRP ἐν τῷ πρώτῳ τῆς Περὶ οὐρανοῦ πραγματείας] c. 12 20 ἀναισθητεῖν ἐστὶν CRP 22 τοῦτο] τούτω R
κυρίως τῇ αἰσθήσει C 23 καθεύδων C, prius R 25 ἐρεῖ] p. 459a21
ὥσπερ om. C 25. 26 ἐγρηγορῇ S 26 δεσμός τις a: τις δερμός CRP: δεσμός S
27 ἐν δὲ τοῖς] τοῖς δὲ Arist. πρὸ ὀλίγου] p. 454a27 δὲ (ante τοῖς) om. RP
28 δὲ ante alt. τούτων add. R εἴρηκε CRP 30 αὐτοῦ] αὐτὸ P: αὐτῶν R

ἵνα μή τις τῶν ἐκ τοῦ Πλάτωνος (ὁ γὰρ Πλάτων ἥδεσθαι λέγει τὰ φυτά) 137ᵛ
εἴποι, ὅτι, εἰ μὴ ἔχοι αἴσθησιν καὶ δηλονότι καὶ ἡδονὴν καὶ λύπην, πῶς
τρέφεται, λέγει ὅτι τὰ ἔχοντα αἴσθησιν τότε μᾶλλον τρέφεται, ὅταν μὴ
ἐνεργῶσι κατὰ τὴν αἴσθησιν. εἰ δὲ τὰ ἔχοντα αἴσθησιν τότε μᾶλλον τρέ-
5 φεται, φανερόν, ὅτι οὐδὲ προσδεῖται ταύτης ἐν τῷ τρέφεσθαι. ὥστε οὐ δεῖ 30
λέγειν, ὅτι, ἐπειδὴ τρέφονται, ἔχουσι τὴν αἰσθητικὴν ψυχήν. εἰ δὲ μὴ
ἔχει αὐτήν, οὔτε ὑπνώττει οὔτε ἥδεται οὔτε λυπεῖται. ταῦτ' εἰπὼν λέγει,
ὅτι εἴτε διὰ πλειόνων αἰσθήσεων γίνεται ὁ ὕπνος εἴτε διὰ μιᾶς σκεπτέον.
δειχθέντος δὲ ὅτι ἅπαντα τὰ ζῷα καθεύδει, δηλονότι ἐκείνης τῆς αἰσθή-
10 σεως ὁ ὕπνος ἔσται πάθος, ἣν ἔχει πάντα τὰ ζῷα. αὕτη δ' ἐστὶν ἡ ἁφή·
οὐδὲν γὰρ ζῷόν ἐστι χωρὶς ἁφῆς. ἐν δὲ τῇ λέξει τῇ ἀδύνατον δ'
ἐστὶν ἁπλῶς ὁποιανοῦν αἴσθησιν αἰσθάνεσθαι τὸ καθεῦδον ζῷον
τὸ ἁπλῶς πάλιν πρόσκειται διὰ τὰ ἐνύπνια· εἰσὶ γὰρ τὰ ἐνύπνια τρόπον 35
τινὰ αἰσθήσεις. ἁπλῶς δὲ καὶ κυρίως οἷον ὁρᾶν ἢ ἀκούειν ἢ κατ' ἄλλην
15 τινὰ ἐνεργεῖν αἴσθησιν τὸ καθεῦδον ζῷον ἀδύνατόν ἐστιν. εἰ δὲ τοῦτο,
φανερόν, ὅτι πᾶσιν ἀναγκαῖον ὑπάρχειν τὸ αὐτὸ πάθος ἐν τῷ
καλουμένῳ ὕπνῳ, λέγων πάθος τὸ μὴ αἰσθάνεσθαι.

p. 455ᵃ11 Εἰ γὰρ τῇ μέν, τῇ δὲ μή, ταύτῃ καθεῦδον αἰσθήσεται.

Τουτέστιν εἰ δὲ κατά τι μὲν αἰσθάνεται, κατά τι δὲ ἀναισθητεῖ, ἔσται 45
20 ἅμα αἰσθανόμενον καὶ μὴ αἰσθανόμενον· ὅπερ ἀδύνατον. ᾗ μὲν γὰρ καθεύδει,
ἔσται ἀναίσθητον (δεσμὸς γὰρ ὁ ὕπνος αἰσθήσεως), ᾗ δὲ αἰσθάνεται, ὡς
ἡ ὑπόθεσις, ἔσται αἰσθανόμενον. τοῦτο δὲ ταὐτόν ἐστι τῷ 'ἔσται ἅμα
ἐγρηγορὸς καὶ μὴ ἐγρηγορός'· ὅπερ ἀδύνατον. ὅτι δὲ οὔτε τῇ ὄψει κρίνο-
μεν ὅτι ὁρῶμεν οὔτε τῇ ἀκοῇ ὅτι ἀκούομεν, ἀλλὰ τῇ κοινῇ, ἥτις ἵδρυται
25 περὶ τὴν καρδίαν, δέδεικται ἐν τῷ δευτέρῳ βιβλίῳ τῶν Περὶ ψυχῆς, ἥτις
κοινὴ αἴσθησις μία μέν ἐστι τῷ ὑποκειμένῳ, τῷ δὲ λόγῳ πλείους· ἐπεὶ 50
καὶ τὰ γένη, ἤτοι τὰ ὑποκείμενα, ἑκάστῃ αἰσθήσει πολλά, εἴπερ ἄλλα μὲν
τὰ χρώματα καὶ ἄλλοι οἱ ψόφοι καὶ ἕτεροι οἱ χυμοί.

p. 455ᵃ21 Τὸ δ' εἶναι αἰσθήσει τοῦ γένους ἑκάστου ἕτερον.

30 Τουτέστι τὸ δὲ εἶναι καὶ ὁ λόγος ἑκάστης αἰσθήσεως ἕτερος, ἐπειδὴ
καὶ ὁ λόγος ἑκάστου γένους τῶν αἰσθητῶν ἕτερος, ὥσπερ καὶ τὸ τοῦ κύκλου

---

1 Πλάτων] Tim. p. 77 B 2 ἔχει a ἡδονῇ καὶ λύπῃ S 4. 5 τρέφονται S
6 αἰσθητικὴν ψυχήν] αἴσθησιν τῆς ψυχῆς RP 7 ὑπνώττοντα ἥδεται CRP
10 ἔσται πάθος ὁ ὕπνος CRP 11 οὐθὲν RP δ' a: om. ceteri 13 πάλιν
om. S 14 οἷον] ἢ RP 18 μή] οὐ S καθεύδειν S 19 ἔσται
CRP: ἔστω Sa 22 τούτω RP 24 ὅτι (ante ὁρῶμεν) Sa, e corr. P: οὔτε CR,
prius P ὅτι (ante ἀκούομεν) SPa: om. CR 25 τῷ δευτέρῳ (immo Γ 2 p. 425ᵇ
12 ss.) βιβλίῳ τῶν] τοῖς a, fort. recte 26 αἴσθησις om. a ἐστι om. CRP
λόγῳ δὲ CRP 30 δὲ om. C ἕτερα RP 31 ἕτερον C τοῦ
om. CRP

κέντρον, ἀφ' οὗ πρὸς τὴν περιφέρειαν πολλαὶ πίπτουσι γραμ|μαί· τοῦτο 138r
γὰρ καὶ ἕν ἐστι καὶ πολλά, ὡς καὶ περὶ τούτου εἴρηται ἐν τῷ Περὶ ψυχῆς.

p. 455ª22 Τοῦτο δ ἅμα τῷ ἁπτικῷ μάλισθ' ὑπάρχει.

Τοῦτο λέγει τὴν κοινὴν αἴσθησιν· τῆς γὰρ ἁφῆς χωριζομένης τῶν 7
5 ἄλλων αἰσθήσεων (εἰσὶ γάρ τινα ζῷα, ὡς τὰ ὄστρεια, μόνην ἔχοντα τὴν ἁφήν· ἡ γὰρ γεῦσις ἁφή τίς ἐστι), χωριζομένης οὖν ταύτης τῶν ἄλλων δηλονότι ἅμα τῇ ἁφῇ ἐστιν ἡ κοινὴ αἴσθησις. εἰ δὲ χρὴ τἀληθὲς εἰπεῖν, ἁφὴ καὶ κοινὴ αἴσθησις ταὐτόν ἐστι· ταύτῃ γὰρ κοινωνεῖ πάντα τὰ ζῷα, 10
ἀλλ' οὐ τῇ ὄψει ἢ τῇ ἀκοῇ. ὥστε καὶ ὁ ὕπνος τῆς ἁφῆς ἐστι πάθος καὶ
10 οὐδεμιᾶς ἄλλης. εἰπὼν δὲ ὅτι τῆς ἁφῆς ἐστιν ὁ ὕπνος πάθος καὶ ἡ ἐγρήγορσις, ἐπήγαγεν· εἰ γὰρ τῷ πάσας τι πεπονθέναι τὰς αἰσθήσεις ἐγίνετο τὸ καθεύδειν, ἄτοπον, καὶ τὰ ἑξῆς τῆς λέξεως. εἰσὶ δὲ τὰ λεγόμενα κατασκευαστικὰ τοῦ ὅτι ὁ ὕπνος οὐκ ἐστι πάθος πασῶν τῶν αἰσθήσεων, ἀλλὰ μόνης τῆς ἁφῆς. κατασκευάζει δὲ αὐτὸ ἐκ τοῦ ἐναντίου
15 οὕτως· εἰ μή ἐστιν ἀνάγκη ἅμα πάσας ἐνεργεῖν τὰς αἰσθήσεις, οὐδὲ ἅμα 15
πᾶσαι ἀκινητίσουσιν. ἀλλὰ μὴν ἅμα πάσας ἐνεργεῖν οὐκ ἔστιν ἀνάγκη, ὥστε οὐδὲ ἅμα πᾶσαι ἀκινητίσουσιν. ὅτι δε οὐκ ἀνάγκη ἅμα πάσας ἐνεργεῖν, δῆλον· οὐδεμία γὰρ ἀνάγκη τῷ ὁρῶντι ἕπεσθαι καὶ τὸ ἀκούειν καὶ τὸ ἅπτεσθαι καὶ γεύεσθαι, οὐδὲ μὴν τῷ ἀκούοντι τὸ ὁρᾶν· τῷ μὲν γὰρ βαδί-
20 ζοντι ἀνάγκη πάντως ἀμείβειν τόπον, τῷ δ' ὁρῶντι οὐκ ἀνάγκη ἀκούειν. εἰ οὖν οὐκ ἐστιν ἀνάγκη, ναὶ μὴν οὐδὲ πάσας δυνατὸν ἅμα ἐνεργεῖν· ἐκκρούει γὰρ ἡ θατέρας ἐνέργεια τὴν θατέρας· ὁρῶντες γάρ τι μετ' ἐπιμελείας, 20
οὐδὲν ὅλως ἀκούομεν τῶν ὁμιλούντων, ἢ καὶ ἀκούοντές τινος ἐπιμελῶς οὐχ ὁρῶμεν τοὺς παριόντας. εἰ δὴ οὐκ ἔστιν ἀναγκαῖον οὐδὲ δυνατὸν πάσαις
25 ἅμα ταῖς αἰσθήσεσιν ἐνεργεῖν, δῆλον ὡς οὐδὲ ἀκινητίζειν. τίς γὰρ ἀνάγκη τὸν μὴ ὁρῶντα εὐθὺς μηδὲ ἀκούειν;

p. 455ª31 Τοὐναντίον γὰρ εὐλογώτερον συμβαίνει αὐταῖς τοῦ μὴ ἅμα ἠρεμεῖν.

Τὸ λεγόμενόν ἐστι· μᾶλλον γάρ ἐστιν εὔλογον ἅμα πάσαις ἐνεργεῖν
30 ἤπερ ἅμα πάσαις ἀκινητίζειν. εἰ δὲ ἅμα ἐνεργεῖν οὐχ ἐνδέχεται, ὅπερ 35
ἐστὶν εὐλογώτερον, πολλῷ μᾶλλον οὐκ ἐνδέχεται ἅμα ἀκινητίζειν, ὅπερ ἐστὶν οὐκ εὐλογώτερον. ὅτι δέ, φησίν, οὐκ ἔστιν ὁ ὕπνος ἐν τῷ τὰς

---

2 ἐν τῷ S: ἐν τῇ CRP: ἐν τοῖς a Περὶ ψυχῆς] immo haec sumpsit ex Alex.: cf. De sensu p. 165, 17 We. cum adnot. 7 ἐστιν] ἔσται a 9 prius καὶ om. a 12 τὸ om. CRP 15 καὶ ante εἰ add. RP 16 ἀκινητήσουσιν C, item 17 17 ὅτε C 18 ὁρατικῷ Sa: ὁρῶντι CRP 22 prius θατέρας SC: θατέρου RP: τῆς ἑτέρας a alt. θατέρας S: θατέρου RP: θατέραν C: τῆς ἑτέρας a 23 οὐδὲ R 24 παρόντας CP 26 μὴ ἀκούειν RP 27 συμβαίνει SCRP (Arist. U): συνέβαινεν ἂν a (Arist. EY, ἂν om. MLS) αὐτῇ S τοῦ SC (Arist. SU): τὸ Pa, e corr. R (Arist. EMYL) 30 πάσας Sa

αἰσθήσεις πάσας ἀργεῖν, δῆλον καὶ ἐκ τῶν λειποψυχούντων· ἐν γὰρ ταῖς 138r
λειποψυχίαις ἠρεμοῦσι μὲν πᾶσαι αἱ αἰσθήσεις, ὕπνος δὲ οὐκ ἔστιν· οὐδεὶς
γάρ φησι τὸν λειποψυχοῦντα ὑπνώττειν. ὁμοίως δὲ καὶ ἐν ταῖς ἐκνοίαις
(ἔκνοια δέ ἐστι μανία τις)· πολλοὶ γὰρ ἐν ταῖς ἐκνοίαις κατεσθίουσιν αὐτῶν
5 τὰς σάρκας καὶ οὐκ ἐπαισθάνονται. ἔστι δὲ καὶ τότε ἠρεμία πασῶν τῶν 40
αἰσθήσεων, ὕπνος δὲ οὐκ ἔστιν· οὔτε γὰρ ἀκούουσιν οὔθ' ὁρῶσιν οἱ μαινόμενοι οὔτε κατ' ἄλλην τινὰ αἴσθησιν αἰσθάνονται. πῶς γάρ, οἵτινες τὰς σάρκας ἐσθίοντες οὐδεμιᾶς ὀδύνης αἴσθησιν λαμβάνουσιν; ἀλλὰ καὶ τὰς ἐν τῷ αὐχένι δύο φλέβας εἴ τις δήσει, ἀναισθητεῖ τὸ ζῷον, ὕπνος δὲ οὐκ
10 ἔστιν. ἀλλ' ὅταν ἡ ἀδυναμία τοῦ αἰσθάνεσθαι μήτε ἕν τινι τῶν αἰσθητηρίων γένηται (ἐνδέχεται γὰρ πηρωθῆναι τὰ αἰσθητήρια, ἀλλ' ὅμως οὐδὲ ἡ ἀκινησία τῶν αἰσθήσεων ἡ διὰ πήρωσιν τῶν αἰσθητηρίων γινομένη ὕπνος ἐστίν), 45
ὅταν οὖν μήτε ἕν τινι τῶν αἰσθητηρίων μήτε δι' ἣν ἔτυχεν αἰτίαν γένηται, οἷον δι' ἐπίληψιν ἢ κατάληψιν τῶν ἐν τῷ αὐχένι φλεβῶν, ἀλλ' ἐν τῷ
15 πρώτῳ αἰσθητηρίῳ καὶ τῇ πρώτῃ αἰσθήσει, τότ' ἐστὶν ὁ ὕπνος.

p. 455ᵇ14 Ἐπεὶ δὲ τρόποι πλείους τῆς αἰτίας· καὶ γὰρ τὸ τίνος ἕνεκεν καὶ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως. |

Τίνος ἕνεκεν λέγει τὸ τελικόν, ὅθεν δὲ ἡ ἀρχὴ τῆς κινήσεως 138v
τὸ ποιητικόν. ἔστι δὲ ἡ τοῦ λόγου ἀπόδοσις εἰς τὸ ὥστε σωτηρίας
20 ἕνεκα τῶν ζῴων ὑπάρχει, καὶ εἴη ἂν τὸ ὥστε ἴσον τῷ δῆλον. ὅτι δὲ καὶ ἡ ἀνάπαυσις ἀναγκαία καὶ ὠφέλιμος τυγχάνει τοῖς μὴ δυναμένοις ἀεὶ καὶ συνεχῶς κινεῖσθαι, παντί που πάντως καταφανές ἐστι· διὰ γὰρ τὸ εἶναι ταύτην αὐτοῖς ὠφέλιμον ἀληθέστατα μεταφέρουσι καὶ καλοῦσι τὸν 5
μὲν ὕπνον ἀνάπαυσιν, τὸ δὲ ὑπνώττειν ἀναπαύεσθαι. ἐρωτώμενοι γὰρ περὶ
25 τοῦ ὑπνοῦντος τί ποιεῖ, ἀντὶ τοῦ εἰπεῖν, ὅτι ὑπνώττει, πολλάκις μεταφέροντές φαμεν ὅτι ἀναπαύεται. καὶ ἔστιν ὁ ὕπνος ὡς ἕνεκά του καὶ οὐχ ὡς τέλος· ἕνεκα γὰρ σωτηρίας ὁ ὕπνος, ἀλλ' οὐκ ἔστι τέλος· ἡ γὰρ ἐγρήγορσίς ἐστι τέλος. εἰπὼν δὲ ὅτι ἡ ἐγρήγορσις τέλος, κατασκευάζων τοῦτο ἐπήγαγε· τὸ γὰρ αἰσθάνεσθαι καὶ τὸ φρονεῖν πᾶσι τέλος, οἷς
30 ὑπάρχει θάτερον αὐτῶν. τὸ δὲ θάτερον πρόσκειται, διότι οἷς μὲν 10
ὑπάρχει τὸ φρονεῖν, τούτοις καὶ τὸ αἰσθάνεσθαι, οὐ μὴν καὶ ἀνάπαλιν. ὥστε ἐν τοῖς ἀλόγοις ζῴοις τὸ ἕτερον μόνον, τὸ αἰσθάνεσθαι, ὑπάρχει. ἔστι δὲ ὁ συλλογισμὸς ἐν πρώτῳ σχήματι τοιοῦτος· ἡ ἐγρήγορσις αἴσθησις

---

1 ἀργεῖν] ἐνεργεῖν C 2 αἱ om. RP οὐδεὶς] οὐδὲ RP 4 δέ om. P
5 καὶ οὐκ ἐπαισθάνονται om. CRP 8 λαμβάνουσιν αἴσθησιν CRP Soph.
9 ἀναισθητεῖν S 11 πληρωθῆναι CR, prius P 13 ἐτύγχανεν RP, sed v. Soph.
γένηται a Soph.: om. ceteri 14 ἔλλειψιν CRP 15 τότ' Sa: τοῦτ' CRP Soph.
ὁ om. S 17 ἕνεκα Arist. libri praeter SU 18 ἕνεκα C πόθεν RP
20 ἕνεκα Sa Arist.: ἕνεκεν CRP ὑπάρχειν RP (Arist. EMY): anceps S 22 που
πάντη RP καταφανής SC ἐστι om. CRP 24 ἐρωτώμενος γάρ τις περὶ CRP
25 τὸ ante τί add. CRP 25. 26 μεταφέροντες πολλάκις CRP 26 ὡς om. C
27 ἕνεκεν C 28 τὸ τέλος Arist. MSU 30 πρόκειται C 33 καὶ ante ὁ
add. CP ἐν] ἐν τῷ RP

ἢ φρόνησίς ἐστι· πᾶσα αἴσθησις καὶ πᾶσα φρόνησις τέλος· ἡ ἐγρήγο- σις 138ᵛ
ἄρα τέλος. καὶ τὴν μὲν ἐλάττονα πρότασιν ὡς δήλην οὖσαν οὐ κατεσκεύασεν
(τίς γὰρ οὐκ οἶδεν ὅτι ὁ ἐγρηγορὼς αἰσθάνεται ἢ φρονεῖ;), τὴν δὲ μείζονα
τὴν λέγουσαν ὅτι ἡ αἴσθησις καὶ ἡ φρόνησις τέλος κατεσκεύασε διὰ τοῦ 15
5 βέλτιστα γὰρ ταῦτα, τὸ δὲ βέλτιστον τέλος.

p. 455ᵇ25 Ἔτι δὲ ἀναγκαῖον πᾶσιν ὑπάρχειν τὸν ὕπνον. λέγω δὲ ἐξ ὑποθέσεως τὴν ἀνάγκην.

Εἰωθός ἐστιν αὐτῷ καὶ καταπεπατημένον τὸ λέγειν τὴν ὕλην ἐξ ὑπο- 26
θέσεως ἀνάγκην. ὑποτεθέντος γὰρ τοῦ εἶναι ζῷον ἕπεται ἐξ ἀνάγκης τὸ
10 τρέφεσθαι· τρεφομένου δὲ ἀνάγκη ἀναθυμίασιν γίνεσθαι περὶ τὸν ἐγκέφαλον·
τούτων γάρ ἐστι δηλωτικὸν τὸ ἐξ ἀνάγκης ὑπάρχειν τινὰ αὐτῷ δεῖ.
ἀναθυμιάσεως δὲ γενομένης ἀνάγκη, ὡς μετ' ὀλίγον ἐρεῖ, ὕπνον γίνεσθαι,
εἴπερ γίνεται ὅ ὕπνος ἐξ ἀναθυμιάσεως τροφῆς ἀντιπεριϊσταμένης τῆς ἀνα- 30
γούσης αὐτὴν εἰς τὴν κεφαλῆς θερμότητα καὶ πάλιν ἐπὶ τὸ στῆθος κατα-
15 γομένης. σαφῆ δὲ τὰ ἑξῆς. τὸ δὲ ὥστε ἐκ τούτων πάντων θεω-
ρητέον ἴσον ἐστὶ τῷ 'ὥστε ἐκ τῶν προσεχῶς ῥηθέντων δεῖ θεωρεῖν καὶ
τὴν αἰτίαν τοῦ ὕπνου ἀποδιδόναι'. τὸ δὲ αὐτὸ δ' ἐστὶ τριῶν διωρισ-
μένων τόπων ὁ μέσος κεφαλῆς καὶ τῆς κάτω κοιλίας ταὐτόν ἐστι
τῷ 'τὸ δὲ μέρος, ἀφ' οὗπερ ἡ τῆς αἰσθήσεως ἀρχὴ γίνεται, ὁ τόπος ἐστὶ
20 ὁ μεταξὺ κοιλίας καὶ κεφαλῆς'. καὶ τίς ἐστιν οὗτος ὁ τόπος ἐπήγαγε· 35
τοῖς μὲν οὖν ἐναίμοις τοῦτ' ἐστὶ τὸ περὶ τὴν καρδίαν μέρος,
τουτέστι τὸ δὲ μέρος, ὅθεν ἡ ἀρχὴ τῆς αἰσθήσεως καὶ δηλονότι καὶ τῆς
κινήσεως, ἡ καρδία ἐστίν. εἴρηται γὰρ καὶ δέδεικται ἐν τῷ Περὶ ζωῆς
καὶ θανάτου, ὅτι ἐν τῇ καρδίᾳ ἡ ἀρχὴ τοῦ ζῴου, ἤτοι τὸ θρεπτικὸν καὶ
25 αὐξητικὸν καὶ αἰσθητικόν· ἓν γὰρ ταῦτα πάντα τῷ ὑποκειμένῳ, καὶ ἔτι τὸ
λογικόν, κἂν τῷ λόγῳ διάφορα.

p. 456ᵃ6 Τῆς μὲν οὖν κινήσεως φανερὸν ὅτι καὶ ἡ τοῦ πνεύματος ἀρχή.

Ἐπειδὴ γὰρ τοῦ ἐν τῇ καρδίᾳ πνεύματος ὑπὸ ἡδονῶν καὶ λυπῶν 46
30 συστελλομένου καὶ ἀπὸ τούτου δυνάμεως ἢ δυνάμεων διαδιδομένων εἰς τὰ
νεῦρα, ἀφ' ὧν νεύρων κινεῖται τὰ ζῷα, ἐπειδὴ οὖν τούτου τοῦ πνεύματος
συστελλομένου καὶ ἐκτεινομένου, ὡς δείξει ἐν τῷ Περὶ ζῴων κινήσεως,

---

1 καὶ ante ἡ add. CRP 5 τέλος βέλτιστον CRP Soph. (Arist.) 6 ἔτι δὲ RPa (Arist. LS, ὥστε ceteri): ἔστι δὲ SC πᾶσιν] ἑκάστῳ τῶν ζῴων a (Arist.) 6. 7 λέγω δὲ τ. ἀ. ἐ. ὑ. CRP 8 ἐστιν] γὰρ C 9 ὑπ. ἀνάγκη C 10 γίνεσθαι ἀναθυμίασιν CRP, sed v. Soph. 11 τούτου a ἐστι om. C τιν' ὑπ. Arist. praeter U δεῖ] δή S 14 κεφαλὴν CRP 14. 15 καταγομένη a 17 τὸ αὐτὸ δέ ἐστι C αὐτὸ (Arist. SU)] αὕτη a, e corr. P (Arist. EMYL) 23. 24 Περὶ ζωῆς καὶ θανάτου] p. 469ᵃ4 ss 25 πρότερον ante ταῦτα add. C πάντα om. C ἔτι] ἔστι S 26 λογιστικόν RP 27 τῆς] τοῦ C 30 συνεσταλμένου RP 32 ἐν τῇ περὶ S Περὶ ζῴων κινήσεως] c. 10

κινεῖται τὰ ζῷα, τὸ δὲ τοιοῦτον πνεῦμα ἀπὸ τῆς καρδίας βλυστάνει καὶ 138v
ἐν τῇ καρδίᾳ ἐστί, φανερὸν ὅτι τῆς κινήσεως αἴτιον ἡ καρδία ἐστίν. οὐδὲν 50
γὰρ διαφέρει τὴν καρδίαν λέγειν ἢ τὸ πνεῦμα, ὥσπερ οὐδ' εἰ τὸ πνεῦμα
ἢ τὴν καρδίαν. εἰπὼν δὲ ὅτι καὶ τῆς αἰσθήσεως προσέθηκε τῆς κυρίας,
5 διὰ τὸ λέγεσθαι αἰσθήσεις καὶ τὰ ἐνύπνια, ὡς πολλάκις εἴρηται. ὅτι δὲ
καὶ ἡ τῆς καταψύξεως ἀρχὴ ἀπὸ τῆς καρδίας, εἴρηται πολλάκις, εἴπερ ὑπ'
αὐτῆς εὐρύνεται καὶ συστέλλεται ὁ πνεύμων. τὸ γὰρ ἐν αὐτῇ πνεῦμα
ἐκτεινόμενον καὶ συστελλόμενον συνεκτείνει διὰ τῶν ἀπ' αὐτῆς νεύρων καὶ
συστέλλει τὸν πνεύ|μονα. τὸ δὲ ῥηθήσεται δὲ περὶ αὐτῆς ὕστερον 139r
10 καθ' αὑτὴν περὶ τῆς ἀναπνοῆς εἴρηται. λέγει δὲ περὶ ἀναπνοῆς ἐν τῷ
Περὶ ζωῆς καὶ θανάτου. καὶ τοῖς μὲν ἐναίμοις ἡ τοῦ πνεύματος ἀρχὴ
ἐκ τῆς καρδίας ἐστί, τοῖς δ' ἀναίμοις ἐκ τοῦ ἀνάλογον. ἐν τούτοις γὰρ ἐν
τῷ ἀνάλογον φαίνεται τὸ πνεῦμα ἀναφυσώμενον καὶ συνιζάνον· ὁρῶμεν
γὰρ φανερῶς ἐν τοῖς ἐντόμοις τὸ μέρος τὸ ἐγγίζον τῇ ἐντομῇ εὐρυνόμενον 5
15 καὶ συστελλόμενον.

p. 456a15 Ἐπεὶ δὲ κινεῖν μὲν ἢ ποιεῖν τι ἄνευ ἰσχύος ἀδύνατον, ἰσχὺν δὲ ποιεῖ ἡ τοῦ πνεύματος κάθεξις.

Εἴρηται ἐπὶ πλέον ἐν τῷ Περὶ ζῴων γενέσεως, πῶς ἡ τοῦ πνεύματος 25
ἐποχὴ ἰσχὺν ποιεῖ. ὑποστικτέον δέ, μᾶλλον δ' ἀποδοτέον εἰς τὸ κάθεξις,
20 εἶτα ἐπακτέον τὸ τοῖς μὲν εἰσφερομένοις ἡ θύραθεν· ἔστι δὲ τὸ
εἰσφερομένοις ταὐτὸν τῷ τοῖς μὲν ἀναπνέουσιν. εἰσὶ δὲ τὰ λεγόμενα
ὥσπερ σαφηνιστικὰ τοῦ ὑπὸ ποίου πνεύματος ἔνεστιν ἡ ἰσχὺς τοῖς ζῴοις.
ἐπειδὴ οὖν, φησίν, ἰσχὺν ποιεῖ ἡ τοῦ πνεύματος κάθεξις καὶ ἐποχή, τοῖς
μὲν ἀναπνέουσι ποιεῖ καὶ παρέχεται τὴν ἰσχὺν ἡ ἀπὸ τοῦ θύραθεν εἰσιόντος
25 πνεύματος κάθεξις, τοῖς δὲ μὴ ἀναπνέουσιν ἡ σύμφυτος. δι' ὃ καὶ 30
προσπῖπτον τὸ σύμφυτον πνεῦμα ἐν ταῖς πτήσεσι διὰ τὸ κινουμένου αὐτοῦ
κινεῖσθαι τὰ ζῷα, προσπῖπτον οὖν τῷ ὑποζώματι καὶ προστριβόμενον
αὐτῷ βομβεῖ· οὐ γὰρ ὁ ἔξω ἀὴρ ὁ ψοφῶν ἐστίν, ἀλλὰ τὸ σύμφυτον
πνεῦμα. γίνεται δὲ καὶ διὰ τοῦ ἔξω ἐν τοῖς ἐντόμοις τοῖς ἔχουσι σχίσμα
30 ὑπὸ τὸ ὑπόζωμα, ὡς ἐν τῷ Περὶ ἀναπνοῆς ἐρεῖ. ἐπειδὴ γάρ, ὡς ἐν τῷ
Περὶ ζῴων κινήσεως δέδεικται, τούτου τοῦ πνεύματος κινουμένου κινεῖται
τὰ ζῷα, ἀνάγκη ἐν τῷ κινεῖσθαι αὐτό τε καὶ σὺν αὐτῷ τὸ πνεῦμα προσ- 35

---

1 τὰ ζῶα κινεῖται CRP βλαστάνει C 5 αἰσθήσεις] αἴσθησιν C πολλάκις εἴρηται] v. p. 46,23—25 6 εἴρηται πολλάκις] v. Zeller II 2 p. 518 9 δὲ περὶ] καὶ περὶ C 12 τούτω CRP ἐν (ante τῷ) a (Arist.): om. ceteri
13 τῷ] τὸ SC διαφυσώμενον CRP 14 τῇ ἐντομῇ ἐγγίζον CRP (Soph.)
16 ἐπεὶ δὲ] ἐπειδὴ C: ἐπειδὴ δὲ S μὲν ἢ ποιεῖν τι SC (Arist. SU), item, sed om. τι RP: μέντοι ἢ ποιεῖν a: μέν τι ἢ ποιεῖν Arist. EMYL 18 ἐν—γενέσεως (γενέσει CR) ἐπὶ πλέον CRP τῷ SP: τῇ CR: τοῖς a Περὶ ζῴων γενέσεως] B 4 p. 737b36
19 ἐποχὴ] ἀρχὴ S ποιεῖ ἰσχὺν CRP 20 τοῖς om. S 21 τοῖς μὲν om. CRP
23 ἐποχὴν RP¹ 28 ἐστιν ὁ ψοφῶν CRP Soph. 30 Περὶ ἀναπνοῆς] c. 9 p. 475a15, cf. Hist. anim. Δ 9 p. 535b4 ss. 31 Περὶ ζῴων κινήσεως] c. 10 κινήσεων C

τρίβεσθαι τῷ ὑποζώματι καὶ ποιεῖν ψόφον ἢ βόμβον. ἐν δὲ τῷ αἰσθή- 139r
σεως γενομένης ἢ οἰκείας ἢ ἀλλοτρίας τὸ μὲν οἰκείας εἴρηται διὰ
τὴν οἴκοθεν ὁρμήν (κινούμεθα γὰρ καὶ ἀπό τινων ἐν ἡμῖν φαντασιῶν
γινομένων), τὸ δὲ ἀλλοτρίας διὰ τὴν ἀπὸ τῶν αἰσθητῶν. διάδηλα δὲ τὰ
5 ἐφεξῆς λεγόμενα. ἐν δὲ τῇ λέξει τῇ ἐπεὶ δὲ ἀναγκαῖον τῷ ζώῳ,
ὅταν αἴσθησιν ἔχῃ, τότε πρῶτον τροφὴν λαμβάνειν τὸ πρῶτον
πάνυ ἀκριβῶς ἐπῆκται· τρέφεται γὰρ καὶ ἔμβρυον ὄν, ἀλλ' οὐχ ἧ ζῶον, 40
ἀλλ' ἧ φυτόν· ἐπειδὰν δ' αἴσθησιν λάβῃ, τότε πρῶτον τρέφεται ἧ ζῶον.
ἐγγίνεται δὲ αὐτῷ ἡ αἰσθητικὴ ψυχὴ ὕστερον ἀποτεχθέντι. αἱ γὰρ συστολαί
10 τε καὶ ἐκτάσεις μερῶν τινων, ἃς ποιεῖται κατὰ γαστρὸς ὄν, οὐ γίνονται
κατ' οἰκείαν αἴσθησιν αὐτῷ, ἀλλ' ὡς ἐμψύχου μέρος κατὰ ταῦτα κινεῖται.
ἰστέον δὲ ὅτι ἡ θύραθεν τροφὴ εἰσιοῦσα εἰς τὴν κοιλίαν καὶ τὰ ἔντερα
(ταῦτα γὰρ εἶπε δεκτικοὺς τόπους τῆς τροφῆς) γίνεται ἀναθυμίασις εἰς
τὰς ἐν τῷ ἥπατι φλέβας, ἐρριζωμένας οὔσας διὰ τῶν μεσεντέρων, ὡς ἐν τῇ 45
15 Περὶ ζῴων μορίων καὶ Περὶ ζῴων ἱστορίας εἴρηται, εἰς τὴν κοιλίαν καὶ
τὰ ἔντερα. ἐκεῖσε δὲ ἐν τῷ ἥπατι τρόπον τινὰ ἐξαιματουμένη ἡ ἀναθυ-
μίασις διαπέμπεται εἰς τὴν καρδίαν ὑπὸ τῶν φλεβῶν τῶν ἀπὸ τῆς καρδίας
εἰς τὸ ἧπαρ διαγινομένων, καὶ ἐν αὐτῇ τῇ καρδίᾳ κατεργάζεται καὶ πέττεται
καὶ κυρίως αἷμα γίνεται· τὸ γὰρ ἐν τῷ ἥπατι, ὡς εἴρηται, ἀκατέργαστον
20 ἔτι καὶ οὐδὲ κυρίως αἷμα, κἂν Γαληνῷ τῷ ἰατρῷ τοῦτο μὴ ἀρέσκῃ. 50
ἔχουσαι οὖν αἱ φλέβες, ὡς ἐν ἄλλοις εἴρηται, ἐκ τῆς καρδίας τὴν ἀρχήν,
αἱ μὲν τῶν φλεβῶν διακονοῦνται τῇ καρδίᾳ (κομίζουσι γὰρ ὥσπερ τινὲς
διάκονοι πρὸς αὐτὴν ἀπὸ τῶν περὶ τὸ ἧπαρ τόπων τὸ ἀκατέργαστον αἷμα
καὶ ἄπεπτον, ἥτις ὑπὸ τούτων δεχομένη πέσσει καὶ κατεργάζεται), αἱ δὲ
25 διακονοῦσι πρὸς τὴν τοὔμπαλιν μετὰ τὴν κατεργασίαν τε καὶ πέψιν ἐπὶ πᾶν
τὸ σῶμα παραπομπήν. δεκτικοὺς μὲν οὖν τόπους εἴρηκε τὴν κοιλίαν καὶ
τὰ ἔντερα, ἀρχὴν δὲ τὴν καρ|δίαν. ὅτι δὲ ὁ ὕπνος οὐκ ἐστιν ἡ τυχοῦσα 139v
τῶν αἰσθήσεων ἀδυναμία, ἀλλ' ὅταν περὶ τὴν ἀφὴν τὸ τοιοῦτον πάθος
γένηται, καὶ πρότερον εἴρηται καὶ νῦν πάλιν ἀναμιμνήσκει.

---

2 γινομένης RP (Arist. EY): γινομένω C ἢ (ante οἰκείας) om. a Soph. 3 ὑπό Soph. 4 τὴν Sa Soph.: τὰ CRP 5 ἐπεὶ a (Arist): ἐπειδὴ ceteri δὲ om. Arist. 6 τότε] τὸ RP post τροφὴν add. τε Arist. EMYL 7 cf. Porphyrius, Πῶς ἐμψυχοῦται τὰ ἔμβρυα p. 33 K. 8 λάβοι CR 9 αὐτοῦ RP ὑστέρα RP Soph. 10 αἱ ante ἐκτάσεις add. S γίνεται S 11 μέρη a κατὰ] καὶ S 14 μεσεντερίων CRP τῇ] τῷ RP 15 Περὶ ζῴων μορίων] B 3 p. 650ᵃ29 Περὶ ζῴων ἱστορίας] A 4 p. 514ᵇ11 16 ἐξαιματουμένου RP¹ post ἡ add. τοιαύτη CRP 18 διαγομένων CRP καὶ (ante ἐν) om. C διεργάζεται RP 20 ἐστιν ante ἔτι add. CRP Γαληνῷ] cf. V 572 K., in mg. πρὸς ταῦτα μὴ φῆς ἀριστότελες ἀνατομικὴν μηδαμῶς ᾠσκημένος· ὁ γὰρ γαληνὸς εὐστόχως οὐ προσμένει τοῖς οἷς μόνοις ἔχουσι πείθειν ἐν λόγοις. ἔχει δὲ τὴν αἴσθησιν ἀψευδεστάτην, ἥτις βεβαιοῖ τοὺς λόγους ὑπὲρ λόγον RP ἀρέσκῃ Sa: δοκῇ CRP 21 ἐν ἄλλοις] v. Bonitz, Ind. p. 824ᵇ32 ss. ἀρχήν] ἀφὴν R, prius P 23 περὶ] πρὸς Ca 25 διακονοῦσαι P: anceps R τὸ ἔμπαλιν C: ἔμπαλιν RP 26 οὖν om. CRP 29 πρότερον] p. 455ᵃ26

p. 456ᵇ11 Ἤδη γεγένηταί τισι καὶ φαντασία λειποψυχήσασιν 139ᵛ
ἰσχυρῶς.

Ὅτι μὲν οὖν φαντάσματά τινα ὁρῶσι, καὶ οὐ μόνον ὁρῶσιν ἀλλὰ καὶ 17
λέγουσιν οἱ λειποψυχήσαντες ἰσχυρῶς (λέγουσι δὲ ταῦτα οὐκ εἰδότες· οὐ
γὰρ οἶδασιν ἢ ὅλως αἰσθάνονται τί ὁρῶσιν ἢ λέγουσιν), δῆλον ἐκ τῆς
ἐπαγωγῆς· ὁρῶμεν γὰρ τοῦτο πολλοὺς πάσχοντας. ὅτι δὲ οὐκ ἐστιν ὁ
ὕπνος ἐπιληψία, εἴρηται πολλάκις. εἰσὶ δὲ τὰ λεγόμενα λύσις ἀπορίας 20
τινός· εἰπὼν γὰρ ὅτι ἤδη γεγένηταί τισι καὶ φαντασία λειποψυχήσασιν
ἰσχυρῶς, ὥσπερ ἀναμνησθεὶς ἐπήγαγε· τοῦτο μὲν οὖν ἔχει ἀπορίαν.
ἠπόρησε γὰρ ἄν τις, ὅτι, εἴπερ γίνονται φαντάσματα καὶ ἐν ταῖς λειπο-
ψυχίαις καὶ ἐν τοῖς ὕπνοις, ἀκόλουθόν ἐστι λέγειν τὴν λειποψυχίαν ὕπνον.
εἰ δὲ τοῦτο, ἔστιν ἄρα ὁ ὕπνος ἡ τυχοῦσα τῶν αἰσθήσεων ἀδυναμία. λύει
οὖν αὐτὴν λέγων· εἰ γὰρ ἐνδέχεται καταδαρθεῖν τὸν λειποψυχή-
σαντα καὶ τὰ ἑξῆς. ἔστι δὲ τὸ λεγόμενον· εἰ γὰρ ὑπνώττει ὁ λειποψυχῶν 25
καὶ ὅλως ὕπνος ἐστὶν ἡ λειποψυχία, ἔσται καὶ τὸ φάντασμα τοῦ λειποψυ-
χήσαντος ἐνύπνιον. ἀλλὰ τῶν μὲν ἐνυπνίων, εἰ καὶ μὴ πάντων, ἀλλὰ
τῶν πλείστων ἐγερθέντες μνημονεύομεν, οὐδενὸς δὲ τῶν ἐν ταῖς λειποψυ-
χίαις φαντασμάτων μετὰ τὴν ἀπαλλαγὴν μνημονεύουσι· πολλὰ γὰρ ἐν τῷ
πάθει λέγοντες οὐδενὸς ἐγερθέντες μνημονεύουσιν. οὐκ ἄρα τὰ φαντάσματα
ἐνύπνια. ὥστε οὐδ' ἡ ἐπίληψις ὕπνος. τὸ δὲ περὶ ὧν τὸν αὐτὸν λόγον
ὑπολεπτέον εἶναι πάντων ἴσον ἐστὶ τῷ 'τὰ αὐτὰ δεῖ λέγειν περὶ πνιγ- 30
μοῦ καὶ ἐκνοίας καὶ τῶν ὁμοίων'. ταῦτα μὲν οὖν οὕτω λέγεται· ὀλίγα
δέ τινα ἀναμνησθέντες, σαφῆ ἡμῖν ἔσται τὰ ἐφεξῆς λεγόμενα. ἀναμιμνη-
σκόμεθα οὖν, ὅτι πᾶν θερμὸν ἄνω φέρεται. ὥστε καὶ ἡ ἀπὸ τῆς τροφῆς
ἀναθυμίασις μέχρι τῆς κεφαλῆς ἄνεισι, συνάγουσα ἑαυτῇ καὶ περισσώματά
τινα. ἐκεῖσε δὲ γενομένη, διὰ τὴν τοῦ ἐγκεφάλου ψυχρότητα συστᾶσα
πάλιν καταφέρεται ὥσπερ εὔριπος ἐπὶ τὴν καρδίαν καὶ καταψύχει τὸ ἐν 35
αὐτῇ θερμόν. οὗ ψυχθέντος καθεύδει τὸ ζῷον, ἕως ἂν πεφθῇ καὶ κρατηθῇ
ὑπὸ τοῦ θερμοῦ. δι' ὃ γίνονται μὲν ὕπνοι καὶ πρὸ τῆς τροφῆς, ἀλλὰ
μάλιστα μετὰ τὴν τροφήν. τότε γὰρ ἀθρόον καὶ πολὺ τὸ ὑγρὸν καὶ σωμα-
τῶδες. ὅπερ ὑγρὸν καὶ σωματῶδες ἕως μὲν ἂν ἱστῆται ἐν τῇ κεφαλῇ,
βαρεῖ αὐτήν (δι' ὃ καὶ κινοῦμεν αὐτὴν τῇδε κἀκεῖσε νυστάζοντες· ἅμα γὰρ
τῇ τῶν ὑγρῶν συστάσει εὐθὺς καὶ νυσταγμὸς καὶ κεφαλῆς κίνησις)· ἡνίκα

---

1 ἤδη] ἤδη δὲ Ca (Arist. EMYL) 1. 2 λειποψυχήσασιν ἰσχυρῶς φαντασία a
4 οὐ] οὐδὲ RP 5 αἰσθάνονται ὅλως CRP λέγουσι καὶ δῆλον P 9 post
ἔχει add. τινὰ Arist. ἀπολογίαν R (P1?) 13 καταδαρθάνειν P, e corr. R:
καταδαρθῆναι C 14 γὰρ] δὲ CRP 15 ἔστι C post ἔσται add. δὴ CRP
καὶ cum Arist. EMY 18 μνημονεύουσι φαντάσματος μετὰ τὴν ἀπαλλαγὴν CRP Soph.
(hic φαντασμάτων) 20 οὐδ' ἡ] οὐδὲ RP 20. 21 λόγον ὑπολεπτέον εἶναι a
(Arist.): λόγον εἶναι S: εἶναι λόγον CRP 22 ἐκνοίας καὶ om. P οὖν om. RP
ὀλίγα] ὅλως RP 29 μὲν om. CRP 31 ὅπερ ὑγρὸν om. RP καὶ σωμα-
τῶδες om. CRP 33 συστάσει a: στάσει ceteri

δὲ ῥέψει ἀντιστρέψαν τὸ θερμὸν τὸ ἀγαθὸν τὰ ὑγρὰ καὶ σωματώδη, σὺν 139ʳ αὐτῷ ῥέουσι κάτω καὶ ταῦτα καὶ γίνεται ὕπνος. ὅτι δὲ τὰ σωματώδη καὶ ὑγρὰ βαρύνουσι τὴν κεφαλὴν καὶ ὅλως καρηβαρίας ποιοῦσι, μαρτύρεται καὶ ἀπὸ τῶν ὑπνωτικῶν. ταῦτα γὰρ ἐπιδήλως ἀναγωγά εἰσιν ἐπὶ τὴν κεφαλὴν ὑγρῶν τινῶν καὶ σωματωδῶν. εἰσὶ δὲ τῶν ὑπνωτικῶν ποτὰ μὲν οἶνος, βρωτὰ δὲ αἶραι, μήκων. ἐπεὶ οὖν ταῦτα φαγόντες καρηβαροῦμεν διὰ τὰ ἀπ' αὐτῶν ὑγρὰ καὶ σωματώδη, δηλονότι καὶ ὅταν νυστάζωμεν, δι' ἀναγωγὴν ὑγρῶν καὶ σωματωδῶν καρηβαροῦμεν.

p. 456ᵇ34 Ἔτι δὲ ἐκ κόπων ἐνίων· ὁ μὲν γὰρ κόπος συντηκτικόν. |

Λέγει γίνεσθαι ὕπνον καὶ ἐκ κόπων· συντήκει γὰρ διὰ τῆς ὑπ' αὐτοῦ 140ʳ γινομένης θερμότητος τὰ ἐν τῇ κοιλίᾳ καὶ τοῖς ἐντέροις ἐνόντα περιττώ- 7 ματα. ὥστε ἀνάγκη ἀναθυμιάσεις γίνεσθαι ἐχούσας μεθ' ἑαυτῶν καὶ παχέα τινὰ σώματα· ὡς γὰρ ἡ ξηρὰ μετὰ τῆς ὑγρᾶς ἀναθυμιάσεως ἀεὶ μεμιγμέναι ἀνέρχονται, οὕτω καὶ ἐν τῷ σώματι ἡμῶν ἀεὶ ἡ παχεῖα μετὰ τῆς λεπτῆς ἀναθυμιάσεως. εἰπὼν δὲ ὅτι ὁ κόπος συντηκτικόν, λέγει καὶ τί 10 ἐστι τὸ σύντηγμα, καί φησιν ὅτι τὸ σύντηγμά ἐστιν ὥσπερ τροφὴ ἄπεπτος, ἂν ᾖ θερμὸν καὶ μὴ ψυχρόν· ἂν γὰρ ᾖ ψυχρὸν τὸ ἀναχθέν, οὐκ ἐστι σύντηγμα. ἐπεὶ γὰρ ἀπὸ κόπου καὶ κινήσεως (τοῦτο δὲ ταὐτόν ἐστι τῷ ἀπὸ θερμότητος) ἀνάγεται, ἀναγκαῖον καὶ αὐτὸ θερμὸν εἶναι. ἰστέον δὲ ὅτι οὐκ ἐστι τὸ τοιοῦτον σύντηγμα, οἷον ἔλεγεν ἐν τῷ Περὶ γενέσεως ζῴων· σύντηξιν γὰρ ἐκεῖ ἔλεγε. τὸ δὲ ἔτι δὲ ἡ πρώτη ἡλικία ἴσον ἐστὶ τῷ 'ἔτι δὲ ἐν τῇ πρώτῃ ἡλικίᾳ γίνονται ὕπνοι'. τοῦ δὲ ἐν τῇ πρώτῃ ἡλικίᾳ φέρεσθαι τὴν τροφὴν ἄνω σημεῖον παρέθετο τὸ μείζονα εἶναι τότε τὰ ἄνω 15 μέρη τοῦ σώματος τῶν κάτω, ὡς ἄνω φερομένης τῆς τροφῆς. ἐν οἷς γὰρ πλείων ἡ τροφή, μείζονα ταῦτα. ἐπεὶ δὲ ἡ ἐπίληψις ἀργία ἐστὶ πασῶν τῶν αἰσθήσεων (ἀργοῦσι δ' αὗται καὶ ἐν τοῖς ὕπνοις), εἶπεν ὅτι ὅμοιον ὁ ὕπνος ἐπιλήψει. ὥστε οὐχ ἁπλῶς γίνονται ἐπιληπτικοί, εἰ καί ποτε συμβαίνει τοῦτο διὰ τὸ μάλιστα ἐν τοῖς ὕπνοις γίνεσθαι πολλὴν ἀναθυμίασιν, ἀλλὰ τρόπον τινά. ὡς γὰρ ὁ ὕπνος ὅμοιον ἐπιλήψει, οὕτω καὶ τὸ ἀκινητίζειν τὰ παιδία ὅμοιον ἐπιλήψει. καὶ ἐπεὶ πολλὴ γίνεται ἡ ἀπὸ τῆς τροφῆς 20

---

1 ῥέψει SC Soph.: ῥέψη RPa post ῥέψει add. καὶ SCa (om. etiam Soph.) ἀντιστρέψαν CRP Soph. (cf. Arist.): ἀντιστρέψει S: ἀντιστρέψῃ a τὸ ἀγαθὸν CRP Soph.: om. Sa 2 ῥέπουσι P, e corr. R ὁ ὕπνος CRP Soph. (Arist.) 4 ἀναγωγή RP: ἀναγωγαί C 5 ποτὸν CRP μὲν ⟨μανδραγόρας⟩ conicio 6 βρωτὸν RP: βρώματα Arist. praeter L 7 νυστάξωμεν CRP 8 ἀναγωγῆς RP 9 δὲ καὶ ἐκ a συντηκτικός S 10 λέγει γίνεσθαι Sa: γίνεσθαι λέγει CP: γίν. δὲ λέγει R post κόπων add. ἐνίων CRP 13 ἀεὶ μεμιγμέναι] ἀναμεμιγμέναι RP 14 ἀπέρχονται Sa 15 συντηκτικὸς CRP 17 ἀνενεχθὲν RP 18. 19 τοῦτο —θερμότητος om. Ca 20 ἐν τῇ περὶ CRP Περὶ ζῴων γενέσεως] A 18 p. 726ᵃ21 21 σύντηξιν—ἔλεγε om. Ca 22 τοῦ δὲ SPa: τῷ δὲ CR 23 τὸ (cf. Arist.)] τοῦ Sa, prius P 26 ὅτι om. S ὅμοιον CRP (Arist.): ὅμοιος S: ὁμοίως a 27 ἐπιληπτικὰ C

ἀναθυμίασις ἐν τοῖς ὕπνοις διὰ τὸ καὶ τότε μάλιστα ἐνεργεῖν τὸ θρεπτικόν, 140r
ὀλίγη δὲ ἐν τῇ ἐγρηγόρσει, εὐλόγως ἁλίσκονται ἐπιληψίαις καθεύδοντες οἱ
ἄνθρωποι μᾶλλον ἤπερ ἐγρηγορότες. πολὺ γάρ, ὡς εἴρηται, φερόμενον τὸ
πνεῦμα ἄνω ἐν τοῖς ὕπνοις, καταβαῖνον πάλιν ὥσπερ εὔριπος ὀγκοῖ τὰς
5 φλέβας· ἀνάγκη γὰρ τούτου μὲν κατιόντος, ἑτέρου δὲ ἀνιόντος, διὰ τὸ ἅμα
γίνεσθαι τὴν μὲν ἀπάτμισιν κάτω, τὴν δὲ κατάπτυξιν καὶ σύστασιν ἄνω 25
ἐξογκοῦσθαι τὰς φλέβας ὑπὸ τῆς διπλῆς ἀναθυμιάσεως, τῆς τε ἀνιούσης·
καὶ τῆς κατιούσης. φερόμενον οὖν ἄνω καὶ κατιὸν κάτω τὸ πνεῦμα ὀγκοῖ
τὰς φλέβας, αἷς συνθλίβει καὶ συστέλλει καὶ στενοῖ τὸ ἐν αὐταῖς πνεῦμα
10 τὴν τραχεῖαν ἀρτηρίαν· ταύτην γὰρ εἶπε πόρον, ᾗ ἡ ἀναπνοὴ γίνεται·
διὰ ταύτης γὰρ ἀναπνέομεν. ταύτης δὲ στενωθείσης ἀνάγκη μὴ γίνεσθαι
εἰσπνοήν, καὶ ταύτης μὴ γινομένης ἀναγκαῖον ἐπιλήψεις συμβαίνειν. καὶ
ἐπεὶ τῶν παίδων τὰ ἄνω πλήρη ἐστὶ τροφῆς, ταὐτὸν δ' εἰπεῖν πνεύματος 30
ἐκ τροφῆς ἀναχθείσης, πνευματώδης δὲ καὶ ὁ οἶνος, οὐ συμφέρει αὐτοῖς
15 ὁ οἶνος. καὶ γὰρ ὥσπερ τοῖς σφόδρα μεθύουσιν ὑγρότης ἀνα-
φέρεται πολλή, οὕτω καὶ τοῖς παιδίοις.

p. 457ᵃ21 Καὶ τὸ ὅλον δὲ φίλυπνοι οἱ ἀδηλόφλεβοι καὶ νανώδεις καὶ μεγαλοκέφαλοι.

Καὶ οἱ νανώδεις, φησί, καὶ οἱ μεγαλοκέφαλοι καὶ οἱ ἀδηλόφλεβοι 42
20 φίλυπνοί εἰσιν. ἀδηλοφλέβους δὲ λέγουσι τοὺς λεπτοτάτας ἔχοντας φλέβας·
διὰ γὰρ τὴν λεπτότητά εἰσιν ἄδηλοι. εἰσὶν οὖν, φησίν, οἱ ἀδηλόφλεβοι
φίλυπνοι διὰ τὴν στενότητα τῶν φλεβῶν· κατελθὸν γὰρ τὸ πνεῦμα ἀπὸ
τῆς κεφαλῆς καὶ πληρῶσαν αὐτὰς οὐ δύναται ῥᾳδίως διαπνεῦσαι καὶ δια- 45
σκεδασθῆναι διὰ τὴν στενότητα τῶν πόρων· τὸ γὰρ μικρὸν τάχιον πλη-
25 ροῦται. καὶ διὰ τοῦτο ψυχρῶν γινομένων διὰ τὴν πλήρωσιν (καὶ γὰρ καὶ
αἱ κοιλίαι πληρωθεῖσαι ψυχραί εἰσιν), ἀνάγκη χρονίζειν ἐν αὐταῖς τὸ πνεῦμα
(δεῖται γὰρ θερμότητος, ὥστε διαρρεῦσαι καὶ διασκεδασθῆναι), χρονίζοντος
δὲ ἐξ ἀνάγκης γίνεται καὶ ὁ ὕπνος χρονιώτερος. ἄλλως τε εἴπομεν ὅτι,
ὥσπερ τὰ ὕδατα διὰ τῶν στενῶν σωλήνων βραδέως ἐξέρχεται, διὰ δὲ τῶν 50
30 εὐρέων τάχιον, οὕτω καὶ τὸ πνεῦμα σωματῶδες ὂν βράδιον ἐξελεύσεται διὰ
τῶν στενῶν πόρων. οἱ μὲν οὖν ἀδηλόφλεβοι διὰ τοῦτό εἰσι φίλυπνοι, οἱ
δὲ νανώδεις καὶ οἱ μεγαλοκέφαλοι διὰ τὸ πολλὴν ἀνάγεσθαι ἄνω τὴν ἀνα-

---

3 μᾶλλον a: om. ceteri 6 μὲν om. CRP ἀπάτμησιν R (Soph. AC): ἀπότμησιν C 10 ᾗ cum Arist. SU (δι' ὃν EY, δι' οὗ L, om. M) 11 δὲ] γὰρ Ca 13 ἐπεὶ] ἐπὶ P, e corr. R ἔστι πλήρη CRP 14 ἀναδοθείσης CRP Soph. πνευματῶδες C (Arist. praeter L) δὲ post συμφέρει add. RP (om. etiam Soph.) 15. 16 πολλὴ ἀναφέρεται CRP 17 δὲ om. RP ἀδηλόφλεβοι καὶ νανώδεις a (Arist.): νανώδεις καὶ ἀδ. ceteri 17 et 18 articulum ante ναν. et μεγ. om. cum LSU 19 primum καὶ—μεγαλοκέφαλοι in mg. P² 20 φλέβας ἔχοντας CRP 23 οὐ δύναται] ἀδύνατον RP 24 post πόρων add. πληρωθεισῶν γὰρ τῶν φλεβῶν ῥαδίως διὰ τὴν στενότητα τῶν πόρων CRP 25 primum καὶ om. a 25. 26 γὰρ αἱ CRP Soph. 27 ὥστε] εἰς τὸ CRP Soph. 28 καὶ om. a (habet etiam Soph.) 28 εἴπομεν ὅτι] δὲ CRP: om. Soph. 29 τὸ ὕδωρ CRP

θυμίασιν· τὰ γὰρ μεγάλα πολλῆς δεῖται τροφῆς, ἵνα πληρωθῇ καὶ χορτασθῇ. ὥστε πολλῆς γινομένης ἄνω ἕπεται τὸ καὶ κάτω πολλὴν γίνεσθαι τὴν παλίρροιαν· τὸ δὲ πολὺ ἀπὸ τῆς αὐτῆς καὶ ἴσης θερμότητος βραδέως πέττεται καὶ κρατεῖται. |

Τὰ δὲ λοιπὰ σαφῆ. ὅτι δὲ σκληρὰ καὶ οἱονεὶ ξηρὰ τὰ τῶν μελαγ- 140ᵛ
χολικῶν σώματα, δῆλον. οὐ γὰρ τρέφονται καλῶς διὰ τὸ μὴ δύνασθαι πέττειν· ἐμποδίζει γὰρ τὴν πέψιν ἡ τοῦ σώματος ψυχρότης, καὶ ἔοικε τὰ τῶν μελαγχολικῶν σώματα ξύλοις ἐν ἀνίκμῳ χώρᾳ οὖσιν. ὅτι δ' ἡ χολὴ περίττωμά ἐστιν, εἴρηται πολλάκις. τὸ δὲ ὅπου ἂν ὑπάρχῃ δυνάμει τὸ τοιοῦτον περίττωμα ἴσον ἐστὶ τῷ 'ὅπου ἂν ἡ δύναμις τοῦ τοιούτου περιττώματος εὑρίσκηται'. οὐδὲν γὰρ κωλύει ἐν ἥπατι φέρε εἰπεῖν αὐτὴν οὖσαν, τὴν δύναμιν αὐτῆς ἐν τῇ κεφαλῇ φθάνειν· καὶ γὰρ καὶ τοῦ πυρὸς ἐνταῦθα κειμένου, ἡ θερμότης αὐτοῦ ἄχρι τινὸς διήκει· καὶ τοῦ ἀψινθίου ἐνταῦθα κειμένου, ἡ πικρότης αὐτοῦ ἐν αἰσθήσει γίνεται καὶ τοῖς πόρρω. ὥστε φανερόν, φησίν, ὅτι ὁ ὕπνος σύνοδός τίς ἐστι καὶ παλίρροια τοῦ θερμοῦ εἴσω, τουτέστιν ἐντὸς τῆς καρδίας· εἰς γὰρ τὰς κοιλίας αὐτῆς τὸ τοιοῦτον ὑποστρέφει, διότι καὶ ἐξ αὐτῶν ἄνεισιν. ἐπεὶ δὲ ἀναγινώσκοντες καὶ νοοῦντες πολλάκις νυστάζομεν, τὴν αἰτίαν τούτου συντόμως (δι' ὃ καὶ ἀσαφῶς) ἐπήγαγεν εἰπών· δι' ὃ πολλὴ κίνησις τοῦ νοοῦντος. ἐν γὰρ κινήσει καὶ πολλῇ φροντίδι οὔσης τῆς διανοίας ἐν τῇ ἀναγνώσει καὶ διὰ τοῦτο ἀπεπτούσης τῆς τροφῆς, ἀνάγκη παχεῖαν εἶναι τὴν κατιοῦσαν ἀτμίδα· γίνεται γὰρ καὶ ἐν ταῖς ἀναγνώσεσιν ἀπάτμισίς τις, παχεῖα δέ· ἥτις περὶ τὴν καρδίαν πίπτουσα, νυστάζειν ἡμῖν συμβαίνει. καὶ τοῦτο μὲν μεταξὺ παρέρριπται, τὸ δὲ τῆς λέξεως συνεχὲς τοιοῦτον· ὥστε φανερὸν ἐκ τῶν εἰρημένων, ὅτι ὁ ὕπνος σύνοδός τίς ἐστι τοῦ θερμοῦ εἴσω καὶ ἀντιπερίστασις φυσικὴ διὰ τὴν εἰρημένην αἰτίαν.

p. 457ᵇ3 Ὅθεν δ' ἐκλείπει, καταψύχεται.

Ὅταν γὰρ τὸ θερμὸν ῥεύσῃ κάτω, δηλονότι ἄνω ἐκλείπει. ἐκλείποντος δὲ ἀνάγκη ψύχεσθαι τὰ ἄνω. τούτων δὲ ψυχομένων ἀνάγκη συμπίπτειν τὰ βλέφαρα· τὸ γὰρ συνέχον πάντα τὰ μέρη τὸ θερμόν ἐστιν. ἔχομεν οὖν διὰ τούτου καὶ τίνος χάριν μύουσι τὰ ζῷα ἐν τοῖς ὕπνοις. εἰσὶ δὲ ἐν τοῖς ὕπνοις τὰ περὶ τοὺς πόδας καὶ τὰ εἴσω θερμὰ διὰ τὴν εἰς τὸ ἐντὸς καὶ εἰς τὸ κάτω τοῦ θερμοῦ σύρρευσιν.

---

1 τῆς τροφῆς CRP 2 καὶ τὸ S 3 ἀπὸ] οὐ C 6 καλῶς τρέφονται CRP 9 εἴρηται πολλάκις] v. Bonitz, Ind. p. 852ᵃ15 ὑπάρχει C 11 οὐδὲν] οὐδὲ RP 12. 13 τὸ πῦρ ἐνταῦθα κείμενον CRP 13 μέχρι RP 13. 14 τὸ ἀψίνθιον ἐ. κείμενον CRP 14 ψυχρότης RP 19 ἡ κίνησις a (Arist. LSU) ὑπνοῦντος Arist. praeter L 21 ταχεῖαν S 22 ἀπάτμησις CR ταχεῖα RP¹ 24 ἐστὶν post τοιοῦτον add. RP 25 ἐστὶ post ὕπνος Arist. 25. 26 κατὰ ἀντιπερίστασιν φυσικὴν a 27 καὶ καταψύχεται a 28 ῥεύσῃ] βαρήσῃ P, e corr. R 29 καταπίπτει Arist. EMY 30 post οὖν add. καὶ P

p. 457b6 Καίτοι τις ἀπορήσειεν ἄν, ὅτι μετὰ σῖτον ἰσχυρότατος 140v
ὁ ὕπνος γίνεται.

Τὸ ὅτι ἀντὶ τοῦ 'διὰ τί' εἴληπται. ἀπορήσειεν ἂν οὖν, φησί, τίς, διὰ 27
τί ὁ ὕπνος μετὰ σῖτον ἰσχυρότατος γίνεται. ἔστι δὲ ἡ ἀπορία τοιαύτη·
5 ἐπειδὴ ὁ οἶνος θερμὸς καὶ ἄλλα πολλὰ βρωτά, διὰ τί μετὰ πότον καὶ
βρῶσιν μάλιστα ὁ ὕπνος γίνεται, καὶ οὐ πρὸ τῆς βρώσεως καὶ πόσεως.
τοῦ γὰρ ὕπνου καταψύξεως ὄντος, τοῦ δὲ οἴνου θερμοῦ, οὐκ ἔδει μετὰ 30
πότον γίνεσθαι ὕπνον· οὐ γὰρ εἰκὸς τῆς καταψύξεως τὰ αἴτια εἶναι θερμά.
λύει δὲ τὴν ἀπορίαν τρισὶν ἐνδόξοις ἐπιχειρήμασιν, καὶ τέλος τίθησι τὴν
10 ἀληθεστάτην.

p. 457b10 Πότερον οὖν τοῦτο συμβαίνει, ὅτι, ὥσπερ ἡ κοιλία
κενὴ μὲν οὖσα θερμή ἐστιν.

Τοῦτο τὸ πρῶτον τῶν ἐπιχειρημάτων. ἦν δ' ἂν καταλληλοτέρα ἡ
λέξις, εἰ ἀντὶ τοῦ πότερον τὸ ἢ εἶχεν, ἵνα ἦν οὕτως· ἢ τοῦτο συμ-
15 βαίνει, ὅτι, ὥσπερ ἡ κοιλία κενὴ οὖσα θερμή ἐστιν, ἡ δὲ πλή-
ρωσις καταψύχει διὰ τὴν κίνησιν· ἐπιπνίγει γὰρ καὶ σβέννυσι τὸ θερμὸν 38
ἡ τῶν βρωμάτων πλήρωσις. ὥσπερ γὰρ καὶ τὸ πῦρ διὰ τὸ τῶν ξύλων
πλῆθος, οὕτω καὶ οἱ ἐν τῇ κεφαλῇ πόροι καταψύχονται διὰ τὸ πλῆθος τῆς
ἀναφερομένης ἀναθυμιάσεως. τούτων δὲ τῶν τόπων καὶ τῶν πόρων ψυχθέν-
20 των συνίσταται ἡ ἀναθυμίασις καὶ κάτω ῥεῖ. ἢ οὖν διὰ τοῦτο γίνεται ὁ ὕπνος
μετὰ πότον,

p. 457b14 Ἢ ὥσπερ τοῖς προσχεομένοις τὸ θερμὸν ἐξαίφνης 40
φρίκη γίνεται.

Τοῦ γὰρ θερμοῦ προσχεομένου τὸ ἐκτὸς ψυχρὸν ἀντιπεριϊστάμενον 49
25 εἰς ἓν καὶ ἀθροιζόμενον τῇ φυγῇ εἴσω, φρίκη γίνεται, κἀκεῖ ἀνιόντος ἐπὶ
τὴν κεφαλὴν τοῦ θερμοῦ ἀθροιζόμενον τὸ ἀπὸ τοῦ ἐγκεφάλου διαδιδόμενον
εἰς τοὺς τόπους ἐκείνους ψυχρὸν εἰς ἓν καὶ ἰσχυρότατον γινόμενον διὰ τὴν
εἰς ἓν ἄθροισιν καταψύχει καὶ τὸ κατὰ φύσιν ἐκεῖσε ὂν ὑγρὸν θερμὸν
ποιεῖ ἐξαδυνατεῖν καὶ συνίστασθαι καὶ ὑποχωρεῖν κάτω. ἢ οὖν διὰ ταῦτα
30 γίνεται ὁ ὕπνος μετὰ πότον, ἢ ὥσπερ τὸ πῦρ ἐπιτιθεμένων τῶν ξύλων
σβέννυται, οὕτω πολλῆς ἐμπιπτούσης τροφῆς καταψύχεται καὶ οἷον σβέν-

---

1 σῖτον] τὰ σιτία a (Arist. MY) 1. 2 ἰσχυρότατος—γίνεται Sa (Arist.): ὁ ἰσχ. ἐγγίν. ὕπνος CRP 3 οὖν om. CP 4 σῖτον] δεῖπνον CRP 5 βρωτὰ πολλὰ CRP 6 ὁ ὕπνος μάλιστα CRP 12 μὲν] μὴ a (Arist. S) 13 Τοῦτο—θερμή ἐστιν (15) om. Sa (legisse vid. Soph.) 15 ὅτι scripsi: ὅταν libri 16 αὐτὴν ante καταψύχη add. a (Arist. EY) 17 γὰρ et διὰ a: om. ceteri Soph. 19 δὲ] γὰρ a πόρων καὶ τῶν τόπων CRP (cf. Arist.) 24 προχεομένου C ἀντιπεριστάμενον C 25 εἴσω a Soph.: ἔσω CRP: ἔσωθεν S γίνεται φρίκη CRP 27 τοὺς om. R 28 ὂν] ἀναχθὲν Soph. ὑγρὸν καὶ θερμὸν Soph. ὑγρὸν fort. del.

νυται τὸ θερμόν, ἕως ἂν καταπεφθῇ ἡ τροφή. γίνεται γὰρ ὁ ὕπνος διὰ 141r
τοῦ ἀναγομένου καὶ πάλιν κατιόντος σωματώδους· ὅπερ σωματῶδες ὅταν
μηκέτι δύνηται ἄνω εἶναι ἢ διὰ πλῆθος ἢ διὰ ψυχρότητα, πάλιν ἀντ-
απωθεῖ, τουτέστι πάλιν κάτω βαδίζει καὶ ῥεῖ. δι' ὃ καὶ πίπτουσιν εἰς ὕπνον
5 οἱ ἄνθρωποι, ὑποσπωμένου καὶ κάτω ῥέοντος τοῦ θερμοῦ. ἀλλ' ὁ μὲν ἄνθρω-
πος καταχλιθεὶς ὑπνώττει διὰ τὸ μόνον τὸν ἄνθρωπον εἶναι ὀρθόν, τὰ δὲ 5
λοιπὰ ζῷα ὁτὲ μὲν ἱστάμενα, ὁτὲ δὲ κείμενα ὑπνώττει. ἔκνοιαν δὲ πάλιν
λέγει τὴν παντελῆ ἀναισθησίαν, ὅταν οὔτε κυρίως αἰσθάνηται οὔτε μὴν
κἂν ὀνειρώττῃ.

10 p. 457ᵇ28 Ἀλλὰ κυρίως γέ ἐστιν ὁ τόπος ὁ περὶ τὸν ἐγκέφαλον.

Λείπει ἐν τῇ λέξει τὸ αἴτιος, ἵν' ᾖ 'ἀλλὰ κυρίως τοῦ ὑπνώττειν αἴτιός 18
ἐστιν ὁ τόπος ὁ περὶ τὸν ἐγκέφαλον'. ἀλλὰ καὶ ἐν τῇ λέξει τῇ πάντων
δ' ἐστὶ τῶν ἐν τῷ σώματι ψυχρότατος ὁ δὲ σύνδεσμος ἀντὶ τοῦ
γὰρ εἴληπται. ἃ δὲ λέγει, πάντως δῆλα τοῖς ὁπωσοῦν συνορᾶν δυναμένοις. 20
15 ἀλλὰ καὶ ὅτι οἱ κατάρροι γίνονται ἀπὸ τῶν κατιόντων ἀπὸ τῆς κεφαλῆς
φλεγμάτων, μαρτυροῦσι παῖδες ἰατρῶν. ὅτι δὲ ἡ τροφὴ πρῶτον μὲν γίνεται
φλέγμα, εἶτα αἷμα καὶ πάλιν φθείρεται τὸ αἷμα εἰς φλέγμα, εἴρηται ἐν τοῖς
Περὶ ζῴων μορίων. καταψύχεται μὲν οὖν ῥαδίως διὰ τὴν τῶν φλεβῶν
λεπτότητα καὶ στενότητα· ὀλιγόθερμα γὰρ διὰ τὴν στενότητα, τὸ δ' ὀλίγον
20 εὐπαθέστατον.

p. 458ᵃ10 Ἐγείρεται δέ, ὅταν κρατήσῃ ἡ συνεωσμένη θερμότης. 25

Τουτέστι ἡ συμπιληθεῖσα καὶ συνωσθεῖσα ἐκ πολλοῦ εἰς ὀλίγον· πολλὴ
γὰρ οὖσα ἡ θερμὴ καὶ ὑγρὰ ἀναθυμίασις εἰς ὀλίγον τινὰ τόπον συνάγεται 40
ψυχθεῖσα, εἰς τὴν καρδίαν γάρ. ὅταν οὖν αὕτη κρατήσῃ καὶ πέψῃ τὸ
25 συνῶσαν αὐτὴν ψυχρόν, ἐγείρεται τὰ ζῷα. λέγει δὲ τὰς τῆς καρδίας
κοιλίας δέχεσθαι τὸ αἷμα ἐκ τῶν δύο φλεβῶν, τῆς μεγάλης καὶ τῆς ἀορτῆς·
χρῆται γάρ, ὡς εἴρηται, αὐταῖς διακόνοις. κομίζουσι γὰρ εἰς αὐτὴν τὸ ἀπὸ

---

1 ὁ om. a 3. 4 ἀνταπωθεῖ SRP (Arist.): καταπωθεῖ Pa 5 οἱ Ca: om. SRP
5. 6 οἱ μὲν ἄνθρωποι κείμενοι ὑπνώττουσι CRP (Soph.) 6 καταχλινθεὶς a 7 πάλιν
om. CRP 8 ὅτε CRP prius οὔτε CRP: οὐδὲ a: δὲ οὐ S αἰσθάνεται CRP
9 ὀνειρώττει RP 10 οὐ μὴν ἀλλὰ a κύριος Arist. EL γε] τε S: om. a
(Arist. L) ὁ—ἐγκ. om. Arist. EMY 11 prius αἴτιος S: αἴτιον ceteri 13 ἐστὶ
om. Sa ψυχρότατον Arist. EYL 14 πάντως om. CRP ὁρᾶν CRP 15 alt. ἀπὸ]
ἐκ CRP 17 τὸ αἷμα φθείρεται εἰς φλέγμα CRP ἐν τοῖς] ἐν τῇ CRP 18 Περὶ ζῴων
μορίων] B 6. 7 19 στενότητα καὶ λεπτότητα CRP, sed v. Arist. 20 ἀπαθέστατον C
21 πεφθῇ καὶ post ὅταν add. a (Arist.) 22 τουτέστι Sa: ἤτοι CRP συνωσθεῖσα
S: συνωθεῖσα a: συνωθισθεῖσα CRP ἐκ om. CRP πολλὴ—ὀλίγον (23) om. S
25 ψυχρόν] ὑγρὸν RP 26 τῶν φλεβῶν τῶν δύο τῆς τε μεγάλης CRP 27 εἴρηται]
p. 52,22 διακόνοις αὐταῖς CRP

τοῦ ἥπατος ἀκατέργαστον αἷμα καὶ οὐδὲ κυρίως αἷμα· ἐν ᾗ πέττεταί τε καὶ κυρίως αἷμα γίνεται.

Σαφῆ δὲ τὰ ἑξῆς. ἐν δὲ τῇ λέξει τῇ οὐ γὰρ ἐνδέχεται ζῷον 43
εἶναι μὴ συμβαινόντων τῶν ἀπεργαζομένων αὐτὸ τὸ λεγόμενόν
5 ἐστιν· οὐ γὰρ ἐνδέχεται ζῷον εἶναι μὴ γινομένων τῶν ἀπεργαζομένων καὶ συντηρούντων αὐτό. φθείρεται γὰρ μὴ συμβαινόντων τῶν, ὅσα πέφυκε διασῴζειν αὐτό. ἓν δὲ τῶν διασῳζόντων αὐτό ἐστι καὶ ἡ τροφή· ὥστε ταύτης γινομένης ἀνάγκη γίνεσθαι ἀναθυμίασιν καὶ ταύτης γινομένης ὕπνον. |

---

1 αἷμα Sa: ἔτι δν CRP 3 οὐ] οὐδὲ RP 4 συμβαινόντων] γινομένων P ἀπεργαζομένων—τῶν (6) om. S 6 τῶν a: om. CRP 7 ἐστιν ἡ CRP 8 γενομένης CRP ἀναθυμίασιν γίνεσθαι CRP σχόλια εἰς τὸ περὶ ὕπνου καὶ ἐγρηγόρσεως ἀριστοτέλους add. a

Μετὰ τὸ Περὶ ὕπνου καὶ ἐγρηγόρσεως προτίθεται περὶ ἐνυπνίων ζητῆσαι· τῷ γὰρ περὶ ὕπνου λόγῳ ὁ περὶ ἐνυπνίων ἀκολουθεῖ. πρῶτον οὖν ζητεῖ, ἐν τίνι μορίῳ τῆς ψυχῆς γίνεται τὸ ἐνύπνιον. ἐπεὶ δὲ δύο μόρια τῆς ψυχῆς ἐστὶν οἷς γνωρίζει, νοῦς δηλονότι καὶ αἴσθησις, ζητεῖ, πότερον τοῦ νοητικοῦ πάθος ἐστὶ τὸ ἐνύπνιον, ἢ τοῦ αἰσθητικοῦ.

p. 458b3 Εἰ δὴ χρῆσις ὄψεως τὸ ὁρᾶν καὶ ἀκοῆς τὸ ἀκούειν καὶ ὅλως δ' αἰσθήσεως τὸ αἰσθάνεσθαι.

Ὅτι μὲν ἡ χρῆσις καὶ ἡ ἐνέργεια τῆς ὄψεως καὶ τῆς ἀκοῆς ὅρασίς ἐστι καὶ ἄκουσις, ἴσμεν. δείκνυσι δὲ διὰ τούτων, ὅτι οὔτε τῆς κατ' ἐνέργειαν αἰσθήσεώς ἐστι πάθος τὰ ἐνύπνια, οὔτε τοῦ διανοητικοῦ μέρους. ἀλλὰ πρὸ τῆς τῶν κατὰ μέρος σαφηνείας δεῖ ἡμᾶς συντόμως εἰπεῖν, τίνα εἰσὶ καὶ πῶς γίνονται τὰ ἐνύπνια. τῶν ἐν τοῖς αἰσθητηρίοις ἀπὸ τῶν αἰσθητῶν ὑπολειμμάτων (λείπεται γὰρ εἴδωλα ἀπὸ τῶν αἰσθητῶν ἐν τοῖς αἰσθητηρίοις, ὡς προϊὼν αὐτὸς δείξει), τούτων δὴ τῶν ὑπολειμμάτων τὰ μὲν σῴζεται καθαρά, τὰ δὲ συγχεῖται διὰ πλῆθος ἀναθυμιάσεως, τὰ δὲ καὶ ἐπικρύπτεται ὑφ' ἑτέρων. τὰ οὖν μὴ τελείως ἐπισκοτηθέντα τῶν ὑπολειμμάτων, συγκατελθόντα εἰς τὴν καρδίαν τῇ κατιούσῃ ἀναθυμιάσει καὶ προσπίπτοντα τῇ αἰσθητικῇ ἀρχῇ κατὰ τοὺς ὕπνους, παραπλησίως τῇ κατ' ἐνέργειαν αἰσθήσει κινοῦντα αὐτὴν ποιεῖ τὰ ἐνύπνια. ταῦτα μὲν οὖν προλελέχθω, δείκνυσι δὲ πρῶτον ὅτι οὐκ εἰσι τῆς κατ' ἐνέργειαν αἰσθήσεως τὰ ἐνύπνια πάθη. πρότερον δὲ ἡμᾶς ὑπομιμνήσκει, τί τὸ ὁρᾶν καὶ τί τὸ ἀκούειν λέγων· εἰ δὴ ὄψεως ἐνέργεια

---

1 titulum praebet a: om. CRP: περὶ ἐνυπνίων in mg. S 2—6 solus a habet (om. ceteri); praecedunt in a Arist. verba p. 458a33—458b3 7. 8 εἰ δὴ — αἰσθάνεσθαι hic habet a: v. 10 post ἴσμεν ceteri 7 δὴ] δὲ Arist. EMY τὸ ὁρᾶν] ὅρασις Arist. 8 δ'] δι' S: om. Arist. EY 9 μὲν a: δὲ ceteri 10 δὲ a: om. ceteri 10. 11 ἐστι πάθος αἰσθήσεως RP 11 τῶν om. a 12 ἐστὶ Ca 13. 14 ἀπὸ—αἰσθητηρίοις om. RP 15 δείξει] p. 459a26 ss. 17 μὲν ante οὖν add. P τελέως CRP 21. 22 ὑπομιμνήσκει ἡμᾶς CRP

τὸ ὁρᾶν καὶ ἀκοῆς τὸ ἀκούειν καὶ ὅλως δὲ αἰσθήσεως τὸ αἰσθάνεσθαι, 141ᵛ
ταῦτα δ' ἐστὶ τά τε κοινὰ τῶν αἰσθήσεων, τουτέστι σχῆμα καὶ μέγεθος,
καὶ τὰ ἴδια, χρῶμα δηλονότι καὶ ψόφος (εἴρηται δὲ ἐν τοῖς Περὶ ψυχῆς
ἀκριβέστερον, τίνα τὰ κοινὰ αἰσθητὰ καὶ τίνα τὰ ἴδια), εἰ οὖν ταῦτά εἰσι
5 τὰ κοινὰ καὶ τὰ ἴδια αἰσθητά, μόνοντες δὲ καὶ κοιμώμενοι ἀδυνατοῦμεν ἐνερ- 30
γεῖν περὶ ταῦτα, οὐκ ἂν εἴη τὰ ἐνύπνια πάθος τῆς κατ' ἐνέργειαν αἰσθή-
σεως, εἴπερ ἐνεργεῖν αὐτήν ἐστιν ἐν τῷ προσβάλλειν τοῖς αἰσθητοῖς, ἐν δὲ
τοῖς ὕπνοις καὶ ὅλως μόνοις ἀδύνατόν ἐστιν ἐνεργεῖν περὶ αὐτά. ἔστι δ'
ὁ συλλογισμὸς τοιοῦτος· ὁ ἐνυπνιαζόμενος οὐκ ἐνεργεῖ περὶ τὰ αἰσθητά·
10 ὁ αἰσθανόμενος ἐνεργεῖ περὶ τὰ αἰσθητά· ὁ ἐνυπνιαζόμενος ἄρα οὐκ αἰσθάνε-
ται κυρίως· οὐδ' ἄρα τὰ ἐνύπνιά εἰσιν αἴσθησις. ἡ μὲν οὖν διάνοια αὕτη,
ἐν δὲ τῇ λέξει τῇ ἀδυνατεῖ δὲ πάντα μόνοντα καὶ καθεύδοντα 35
ὁρᾶν τὸ πάντα περὶ τῶν ζῴων εἴρηται· πᾶν γὰρ ζῷον ἀδυνατεῖ μόνον ὁρᾶν.

p. 458ᵇ10 Ἀλλὰ μὴν οὐδὲ τῇ δόξῃ.

15 Δείκνυσιν ὅτι οὐδὲ τῇ δόξῃ τὰ ἐνύπνια αἰσθανόμεθα, ἤτοι οὐδὲ τῆς
δόξης εἰσὶ πάθη. τοῦτο δὲ ταὐτόν ἐστι τῷ 'οὐδὲ τῆς διανοίας'· τὰ γὰρ
διανούμενα δοξάζει. ἐπεὶ γὰρ ἐν τοῖς ὕπνοις οὐ μόνον φαμὲν καὶ συγκατα-
τιθέμεθα, ὅτι τὸ προσιὸν ἄνθρωπός ἐστιν (τὸ δὲ συγκατατίθεσθαι δόξης
ἐστίν· ἡ γὰρ δόξα οὐδὲν ἄλλο ἐστὶν ἢ ὑπόληψις περὶ τὰ ἐνδεχόμενα καὶ
20 ἄλλως ἔχειν), οὐ μόνον οὖν φαμεν ὅτι τὸ προσιὸν ἄνθρωπός ἐστιν ἢ ἵππος 45
ἢ ὅλως οὐσία, ἀλλὰ καὶ ὅτι λευκὸν ἢ καλὸν τὸ προσιόν (ὁρῶν γὰρ ἐν τοῖς
ὕπνοις Σωκράτην οὐ μόνον φημὶ ὅτι Σωκράτης ἐστίν, ἀλλὰ καὶ ὅτι προ-
γάστωρ καὶ ὅτι λευκὸς ἢ καλός), εἰ δὲ τὸ λευκὸν ἢ καλὸν ἡ δόξα ἄνευ
αἰσθήσεως οὐχ ὑπολαμβάνει, ἡ δὲ αἴσθησις ἐν τοῖς ὕπνοις οὐκ ἐνεργεῖ, οὐκ
25 ἂν εἴη οὐδὲ τῆς δόξης τὸ ἐνύπνιον πάθος.

p. 458ᵇ15 Ἔτι παρὰ τὸ ἐνύπνιον ἐννοοῦμεν ἄλλο τι καθάπερ ἐν τῷ ἐγρηγορέναι αἰσθανόμενοί τι. |

Καὶ ταῦτα τὸ μὴ εἶναι τὰ ἐνύπνια τῆς δόξης κατασκευάζει. εἰ γὰρ 142ʳ
δοξάζοντες ἀεὶ ἐννοοῦμεν ὅτι δοξάζομεν, ἐν δὲ τοῖς ὕπνοις οὐκ ἀεί, δηλονότι
30 οὐκ ἔστι τὰ ἐνύπνια τῆς δόξης. ἔτι, φησί, καὶ τοῦτο δεῖ ἡμᾶς εἰδέναι,
ὅτι παρὰ τὸ ἐνύπνιον ἐννοοῦμεν ἄλλο τι. ἰδὼν γάρ τις ἐν ὕπνῳ Σωκράτην
ἐννοεῖ, ὅτι ἐν ὕπνῳ τοῦτον ὁρᾷ, ὥσπερ κἀγὼ ἰδὼν ὅτι εὗρον βιβλίον, ὅπερ 5

---

2 textum LSU sequitur τά τε a: om. ceteri 2. 3 σχῆμα—δηλονότι καὶ a: εἰσὶ δὲ κοινὰ τῶν αἰσθήσεων σχῆμα καὶ μέγεθος ἢ τὰ ἴδια, τουτέστιν ἴδια δὲ χρῶμα (καὶ add. S) SCRP
3 τοῖς] τῇ RP 6 πάθη CRP 7 εἴπερ ἡ ἐνέργεια αὕτη e corr. R² 12 τὰ post πάντα add. a 18 ὁ ἄνθρωπος Ca τὸ δὲ—ἄνθρωπός ἐστιν (20) Sa: om. CRP
21 ὁρῶντες PR² 22 φαμὲν CRP 23 εἰ δὲ CRP: εἴ γε τὰ πρῶτα Sa
26 τι ἄλλο a (Arist. LSU) 27 τι Sa: ἔτι CRP 30 post ἔτι add. δέ a
31 ἐν ὕπνῳ τις CRP Soph. 32 τοῦτο P: anceps R: variant Soph. libri
ὅπερ] ὃ RP Soph.

πάλαι ἐπόθουν, ἐνενόουν ὅτι τοῦτο τὸ δοκεῖν μοι εὑρεῖν βιβλίον ἐν ὀνείρῳ 142r
τοῦτο ὁρῶ. ὁρᾷ γάρ τις ἐνύπνιον καὶ ἐννοεῖ ἄλλο τι, τουτέστιν ὅτι τοῦτο, ὅπερ
ὁρῶ, ὄναρ ὁρῶ. ἰδὼν γὰρ ὁ ἐμὸς ἑταῖρος τὸν πάνσεπτον ἡμῶν καθηγεμόνα,
ὅτι ἀνέστη ἐκ τῶν νεκρῶν, ἔτι κοιμώμενος ἐνενόει, ὅτι ὄναρ ὁρᾷ τὸν διδάσκαλον
5 ἐγερθέντα. ἀλλὰ καί τις ἰδὼν ἐν ὕπνῳ, ὅτι εὗρε χρυσόν, ἔτι κατεχόμενος τῷ
ὕπνῳ ἐδόκει διηγεῖσθαι πρός τινα· οὐκ οἶσθα ὅτι εἶδον ὑπνώττων ὡς εὗρον 10
χρυσόν; ὥσπερ γὰρ ἐν τῷ ἐγρηγορέναι ὁρῶν τινα οὐ μόνον ὁρῶ, ἀλλὰ καὶ
ἐννοῶ ὅτι τοῦθ' ὅπερ ὁρῶ ἐγρηγορὼς ὧν ὁρῶ, οὕτω καὶ ἐν τοῖς ὕπνοις.
ἰδὼν γὰρ ἐνύπνιον, ἔτι ὑπνώττων ἐννοῶ, ὅτι τοῦτο, ὅπερ ὁρῶ, ἐνύπνιόν
10 ἐστιν. εἰ δὴ οὐ μόνον ὁρῶμεν ἐν τοῖς ὕπνοις τι, ἀλλὰ καὶ ὁρῶντες διανοούμεθά τι περὶ τοῦ ὁρωμένου, τουτέστιν ἀλλὰ καὶ ἐννοοῦμεν, ὅτι ἐνύπνιόν ἐστι τὸ ὁρώμενον, δηλονότι οὐ πᾶν τὸ ἐν ὕπνῳ φάντασμα ἐνύπνιόν ἐστιν. ἀλλ' ἐνύπνιον μέν ἐστιν, ὅταν τι ὁρῶν τις μὴ ἐννοῇ, ὅτι ὅπερ ὁρᾷ 15
ἐνύπνιόν ἐστιν· ὅταν δὲ ὁρῶν δύνηται ἐννοεῖν, ὅτι τὸ ὁρώμενον ἐνύπνιόν
15 ἐστιν, ἤδη τοῦτο φάντασμα, ἐνύπνιον δὲ οὐδαμῶς. δοκεῖ γὰρ ἐνύπνια εἶναι, οὐκ ὄντα ἐνύπνια, ἀλλὰ φαντάσματα τῶν κατ' ἐνέργειαν αἰσθημάτων ὑπὸ τῆς εἰς τὸν ὕπνον καταφορᾶς γινομένων ἰσχύσασιν ἡμῖν ἀντιλαβέσθαι, ὅτι ἐγρηγορόσιν ἐφαντάσθη. τρόπον γάρ τινα ἐγρήγορσίς ἐστι τὸ δύνασθαι ἐννοεῖν, ὅτι τὸ ὁρώμενον ἐνύπνιόν ἐστιν. ὅτι δὲ πολλάκις ἐννοοῦμεν ἄλλο
20 τι, δῆλόν ἐστι τοῖς πειρωμένοις μνημονεύειν τὰ ἐνύπνια ἀναστᾶσιν. ὥσπερ 20
γάρ τινες πειρώμενοι τὰ ἀποστοματισθέντα λόγια μνημονεύειν, μνημονεύουσι μᾶλλον τῶν ἀποστοματιζόντων μὴ πειρωμένων δὲ μνημονεύειν, οὕτω καὶ ἐπὶ τῶν ἐνυπνίων μᾶλλον μνημονεύουσιν ἀναστάντες ἃ εἶδον οἱ ἑαυτοὺς ἠσκηκότες μνημονεύειν τὰ ἐνύπνια. γίνεται δὲ τοῦτο, ὅταν τις ἅμα τῷ
25 ἀναστῆναι τοῦ ὕπνου εὐθὺς ἀνανεῶται ἃ ἑωράκει καθ' ὕπνους.

Ἀλλ' ἡ μὲν τῶν λεγομένων διάνοια αὕτη, ἐν δὲ τῇ λέξει τῇ ἤδη γάρ τινες ἑωράκασιν ἐνύπνια τοιαῦτα τὸ λεγόμενόν ἐστιν· ἤδη γάρ 25
τινες ἑωράκασι φαντάσματα τοιαῦτα ἐν ὕπνῳ, ἐν οἷς ἐνενόουν ἄλλο τι παρὰ τὰ φαντάσματα. ὥσπερ δέ, φησίν, οἱ δοκοῦντες κατὰ τὸ μνημονικὸν
30 παράγγελμα τίθεσθαι τὰ προβαλλόμενα, οὕτω καὶ τοῖς ἑωρακόσιν ἐνύπνια τοιαῦτα συμβέβηκεν ἄλλο τι παρὰ τὸ ἐνύπνιον τίθεσθαι πρὸ ὀμμάτων εἰς τὸν τόπον, ἐν ᾧ τὸ ἐνύπνιον γίνεται. οὕτω γάρ ἐστι τὸ τῆς λέξεως καταλληλον· τὸ γὰρ συμβαίνει γὰρ αὐτοῖς ἄλλο τι παρὰ τὸ ἐνύπνιον δηλωτικόν ἐστι τοῦ τίνα εἰσὶ τὰ ἐνύπνια, ἅπερ εἶπε τοιαῦτα.

---

1 τοῦτο δ δοκεῖ CRP 2 prius τοῦτο om. a ὁρᾷ] ὁρῶν RP καὶ om. RP 3 ὁρῶ bis] ὁρᾷ RP bis 4 ὁρᾷ] ὁρῶ S 6 ὡς] ὅτι a 8 ἐγρηγορὼς—ὁρῶ (9) om. RP 9 γὰρ om. SC 10 οὐκ ante ἐστιν add. P 11 τουτέστιν—ἐννοοῦμεν om. P ἀνανοοῦμεν R 12. 13 ἐστὶν ἐνύπνιον CRP 13 τι] τινὰ a ὁρᾷ] ὁρῶ S 14 δύνηται a: δύναται ceteri 15 εἶναι ἐνύπνια CRP 16 τῶν ante ὑπὸ add. RP 17 τὴν .. καταφορὰν CRP Soph. 20 ἀναστᾶσιν] μετὰ τὴν ἀνάστασιν CRP 25 ἀνανεῶται Soph.: ἀνανεοῦται RP: ἀνανοεῖται SCa 29 ὥσπερ] ὅπερ RP μνημονικὸν Sa (Arist.): μνημονευτικὸν CRP 32 τὸν om. RP οὕτω—τοιαῦτα (34) om. a γάρ ἐστι—δηλωτικόν (34) om. S 33 alt. γὰρ] τὲ C

τὸ δὲ πρὸ ὀμμάτων ἴσον ἐστὶ τῷ φανερῶς. τὸ δὲ οἷον οἱ δοκοῦντες 142r
κατὰ τὸ μνημονικὸν παράγγελμα τίθεσθαι τὰ προβαλλόμενα δῆλον 20
ἔσται ὧδε· εἴρηκεν αὐτὸς ἐν τοῖς Τοπικοῖς, ὅτι δεῖ τοὺς συλλογισμούς, οὓς
προβάλλονται οἱ προσδιαλεγόμενοι, τιθέναι ἐν τῷ μνημονικῷ, ὁμοίως δὲ
5 κἂν προβλήματα προβάληται, καὶ τούτων μνημονεύειν, πῶς τε προβληθέντα
καὶ πῶς συλλογισθέντα τὰ συλλελογισμένα διέλαθεν, ἵνα καὶ ἡμεῖς ὡς ἀπό
τινος τούτων κανόνος ὁρμώμενοι ὅμοια ποιεῖν δυνώμεθα. ὡς οὖν τούτοις
συμβαίνει ἀπό τινος συλλογισμοῦ ἢ προβλήματος ἀλλ' ἄττα συλλογίζεσθαι
καὶ προβάλλεσθαι, οὕτω καὶ τοῖς καθεύδουσιν ἄλλο τι παρὰ τὸ ἐνύπνιον 25
10 τίθεσθαι πρὸ ὀμμάτων, τουτέστιν ἐννοεῖν φανερῶς. τούτων οὕτως εἰρη-
μένων τὸ λεγόμενόν ἐστιν· ὥσπερ οἱ δοκοῦντες κατὰ τὸ παράγγελμα τὸ
λέγον 'δεῖ τιθέναι κατὰ τὸ μνημονικὸν τὰ προβαλλόμενα' ἄλλα προβάλλε-
σθαι ὡς ἀπό τινος ἀρχῆς τοῦ ἐν τῷ μνημονικῷ τύπου, οὕτω καὶ τούτοις.
τὸ δὲ καὶ ὅτι ἐννοοῦμεν ἃ τῇ δόξῃ ἐδοξάζομεν τοιοῦτόν ἐστι· δοξάζω
15 περὶ τοῦ ἡλίου, ὅτι μείζων ἐστὶ τῆς γῆς· συμβαίνει δὲ ἐν τοῖς ὕπνοις μὴ
μόνον ἥλιον ὁρᾶν, ἀλλὰ καὶ ἐννοεῖν, ὅτι μείζων ἐστὶ τῆς γῆς. 40

p. 458ᵇ25 Δῆλον δὲ περὶ τούτων ἁπάντων τοσοῦτον, ὅτι τῷ αὐτῷ ᾧ καὶ ἐγρηγορότες ἐν ταῖς νόσοις ἀπατώμεθα, ὅτι τοῦτ' αὐτὸ καὶ ἐν τῷ ὕπνῳ ποιεῖ τὸ πάθος.

20 Πάθος λέγει τὴν ἀπάτην. ὥσπερ γὰρ ἐν ταῖς νόσοις τὸ ἀνιὸν παχὺ
πνεῦμα (τὰ γὰρ ἐν τῇ νόσῳ πνεύματα παχέα καὶ σωματωδέστατα) συν- 45
ταράττει διὰ τὴν παχύτητα καὶ τὴν ἀπὸ τοῦ πυρετοῦ σφοδρὰν κίνησιν τὸ
ὀπτικὸν πνεῦμα καὶ ποιεῖ ἡμᾶς ἀπατᾶσθαι καὶ δοκεῖν τὸ ἓν δύο, ὁμοίως
δὲ καὶ τὰς ἐν τοῖς τοίχοις γραμμὰς ὅτι ζῷά εἰσι (τὰ γὰρ εἴδη τῶν γραμ-
25 μῶν χωρὶς ὕλης ἐν τῇ ὄψει ἐμπίπτοντα καὶ συνταραττόμενα καὶ ὡδί πως
συντιθέμενα διὰ τὴν τοῦ ὀπτικοῦ πνεύματος κίνησιν, ἣν κινεῖται ὑπὸ τοῦ
ἀνιόντος παχέος πνεύματος, ἔμφασιν ποιεῖ ζῴου), ὡς οὖν ἐν ταῖς νόσοις, 50
οὕτω καὶ ἐν τοῖς ὕπνοις τὸ τοιοῦτον πνεῦμα αἴτιον ἡμῖν γίνεται ἀπάτης.
τῶν γὰρ αἰσθητῶν ποιούντων εἰς τὰ αἰσθητήρια αἴσθησιν, καὶ τὸ γινόμενον
30 ἀπ' αὐτῶν εἰς τὰ αἰσθητήρια πάθος οὐ μόνον ἐνυπάρχει ἐν τοῖς αἰσθη-
τηρίοις ἐνεργουσῶν τῶν αἰσθήσεων περὶ τὰ αἰσθητά, ἀλλὰ καὶ ἀπελθόντων
τῶν αἰσθητῶν ἔτι μένει τὰ ἐγκαταλείμματα καὶ οἱ τύποι εἰς τὰ αἰσθητήρια,
ὡς προϊὼν ἐρεῖ. τούτων τῶν ὑπολειμμάτων ὅσα σῴζεται καὶ μὴ τέλεον
ἠφάνισται διὰ πλῆθος | ἀναθυμιάσεως, τῇ αἰσθητικῇ ἀρχῇ προσπίπτοντα 142v

---

2 μνημονευτικὸν CRP 3 Τοπικοῖς] Θ 14 p. 163ᵇ29 4 μνημονευτικῷ RP
5 προβάλληται CRP τε] γὰρ C 6 συλλελογισμένα a: σεσυλλογισμένα ceteri
8 ἀλλά τε S: ἀλλά τε a 12 λέγον] λεγόμενον RP δεῖ] δεῖν RP
μνημονευτικὸν RP ἀλλὰ Sa 13 τύπῳ CRP 14 καὶ om. P
ὅτι ὃ ἐννοοῦμεν τῇ Arist. EMY 15 δὲ om. CRP 17 τό γε τοσοῦτον EMY
τῷ αὐτῷ Pa, e corr. R: τὸ αὐτὸ SC, prius R 21 post πνεῦμα add. συνταράττει a
παχέα πνεύματα Sa σωματωδέστερα CRP 24 καὶ] κατὰ S 30 ἐν om. S
30. 31 αἰσθητοῖς RP 33 τῶν om. RP ἐρεῖ] v. ad. p. 60,15

κατὰ τοὺς ὕπνους διὰ τὴν τότε εἰς τὸ κάτω τοῦ πνεύματος παλίρροιαν καὶ 142ᵛ
κινήσαντα τὴν αἴσθησιν παραπλησίως τῇ κατ' ἐνέργειαν αἰσθήσει ποιεῖ
τὰ ἐνύπνια. ὅταν μὲν οὖν πολλὴ ᾖ ἡ ἀναθυμίασις ἡ κατελθοῦσα, ὥστε
λανθάνειν ἡμᾶς καὶ μὴ δύνασθαι ἀντιλαβέσθαι, ὅτι ἐγρηγόραμεν, ἀπατώ-
5 μεθα καὶ ὁρῶντες τὰ εἴδωλα καὶ ἐγκαταλείμματα τῶν αἰσθητῶν δοκοῦμεν 5
αὐτὰ ἐκεῖνα τὰ ἀληθῆ αἰσθητὰ ὁρᾶν. ὅταν δὲ μὴ οὕτως ᾖ πολλὴ ἡ
αἱματικὴ ἀναθυμίασις, ἀλλὰ σύμμετρος, ὥστε μὴ λανθάνειν, οὐκ ἀπατώ-
μεθα, ἀλλὰ λέγομεν ὑπνώττοντες, ὅτι φαίνεται μὲν τὸ εἴδωλον τοῦτο ὅτι
Κορίσκος ἐστίν, οὐκ ἔστι δὲ Κορίσκος, ἀλλὰ τὸ ἐγκατάλειμμα καὶ ὁ τύπος
10 τοῦ Κορίσκου. πολλάκις γὰρ ἐγὼ εἶδον ὄναρ, καὶ ὁρῶν διενοούμην ὅτι
τοῦθ' ὅπερ ὁρῶ ὄναρ ἐστίν. καὶ ὁ ἐμὸς ἑταῖρος ἰδὼν ὅτι εὗρε βιβλίον,
ἐδόκει λέγειν ὅτι ὄναρ ἐστίν, ἀλλ' οὐκ ἀληθὲς τὸ ὁρώμενον. τούτων οὕτως 10
ἐχόντων, δῆλον ὅτι τὸ κατιὸν πνεῦμά ἐστι τοῦ τε ἀπατᾶσθαι ἡμᾶς καὶ μὴ
ἀπατᾶσθαι αἴτιον, ὅπερ ἄνω ὂν αἴτιον ἡμῖν ἐν ταῖς νόσοις ἀπάτης γίνεται.
15 ἂν δὴ ὁρῶντες τὸν τύπον καὶ τὸ εἴδωλον ἐν τοῖς ὕπνοις οὕτω κατεχώμεθα
ὑπὸ τοῦ πνεύματος, ὥστε μὴ δύνασθαι κρίνειν, ὅτι τύπος ἐστὶν ὅδε τοῦ
Καλλίου, ἀλλὰ δοκεῖν ὅτι ἐκεῖνος αὐτὸς ὁ Καλλίας ἐστίν, ἀπατώμεθα. εἰ
δὲ πρὸς τῷ ὁρᾶν ἔτι καὶ κρίνομεν, ὅτι οὐκ ἔστιν ὁ Καλλίας, ἀλλ' ὁ τύπος,
οὐκ ἀπατώμεθα. εἰπὼν δὲ τῷ αὐτῷ ᾧ καὶ ἐγρηγορότες ἐν ταῖς 15
20 νόσοις ἀπατώμεθα ἐπήγαγε· καὶ ὑγιαίνουσι δὲ καὶ εἰδόσιν ὁμοίως
ὁ ἥλιος ποδιαῖος εἶναι δοκεῖ, δυνάμει λέγων, ὅτι καὶ ὑγιαίνοντες
πολλάκις ἀπατώμεθα εἴτε διὰ τὴν πολλὴν ἀπόστασιν, καθ' ἣν ἀφέστηκεν
ἡμῶν τὸ ὁρώμενον, ἢ καὶ διὰ τὸ τὴν ὄψιν πάσχειν τι· δοκεῖ γὰρ ἡμῖν
ἐν τῷ πλοίῳ οὖσι κινεῖσθαι ἡ γῆ. εἰ δὲ καὶ ὑγιαίνοντες ἀπατώμεθα, πολλῷ
25 μᾶλλον ἐν ταῖς νόσοις ἀπατηθησόμεθα πολλῆς τῆς κινήσεως οὔσης.

p. 458ᵇ29 Ἀλλ' εἴτε δὴ ταὐτὸν εἴθ' ἕτερον τὸ φανταστικὸν τῆς 20
ψυχῆς καὶ τὸ αἰσθητικόν. |

Τὸ λεγόμενον τοιοῦτόν ἐστιν· εἴτε ταὐτόν ἐστιν αἴσθησις καὶ φαντα- 143ʳ
σία εἴθ' ἕτερα (εἴρηται δὲ περὶ αὐτῶν, πῶς ἕτεραι καὶ πῶς αἱ αὐταί), 16
30 οὐδὲν ἧττον οὐ γίνεται ἄνευ τοῦ ὁρᾶν καὶ αἰσθάνεσθαί τι, τουτέστιν οὐδὲν
ὅλως γίνεται ἀπάτη ἐν τοῖς ὕπνοις χωρὶς τοῦ ὁρᾶν ἀληθές τι. ὥσπερ
γὰρ ἡ παρόρασις γίνεται ἐκ τοῦ ὁρᾶν τι καὶ ἡ παράκουσις ἐκ τοῦ ἀκούειν
τινός (ὁρῶ γάρ τι ἀληθές· ὃ γὰρ ὁρῶ, οὐκ ἔστι μὴ ὄν, ἀλλ' ὄν τι καὶ

---

3 πολλὴ ἡ ἀναθυμίασις ᾖ κατελθοῦσα a 4 ἐπιλαβέσθαι RP Soph. ἐγρηγοροῦμεν a (ἐγρηγόραμεν etiam Soph.) 6 πολλὴ om. C 11 post ἐστίν ras. 18 litt. S 12 λέγων C 13 τε] γε C 14 prius αἴτιον om. CRP (habet etiam Soph.) 15 κατεχόμεθα CR 16 καὶ post ὥστε add. C 17 δοκεῖ RP (corr. in δοκῇ P) αὐτὸς ἐκεῖνος CRP 18 καὶ ante ὅτι add. RP 19 τῷ αὐτῷ] τὸ αὐτὸ R, e corr. S ταῖς] τοῖς CP 20 ὅμως Arist. 24 τὴν γῆν C 25 καὶ post μᾶλλον add. CR post οὔσης add. τότε CRP 28 ἐστι τοιοῦτον CRP 29 ἕτερον CRP εἴρηται] p. 2,21 ss. καὶ ante περὶ add. RP ἕτερα καὶ πῶς ταὐτὰ CRP 30 alt. οὐδὲν] οὐδὲ conicio 33 οὐκέτι P

ἀληθές, οὐ μέντοι ἐκεῖνο, ὃ οἶμαι, ἐστίν, ἀλλ' ἕτερόν τι· ὁρῶν γὰρ 143r
Πλάτωνα φαίνεταί μοι Σωκράτην ὁρᾶν, οὐ μέντοι ἐστὶ Σωκράτης, ὃν οἶμαι 20
ὁρᾶν, ἀλλὰ Πλάτων), οὕτω καὶ ἐν τοῖς ὕπνοις. ἔστι γὰρ ἡ ἐν τοῖς ὕπνοις
ἀπάτη οἷον παρόρασις καὶ παράκουσις. τοῦτο εἰπών, ὥσπερ ἐνστὰς αὐτὸς
5 πρὸς ἑαυτὸν ἐπήγαγεν· ἐν δὲ τῷ ὕπνῳ ὑπόκειται μηδὲν ὁρᾶν μηδὲ
ἀκούειν, δυνάμει λέγων· ἢ οὐ καλῶς λέγομεν, ὅτι ἡ ἐν τοῖς ὕπνοις ἀπάτη
ὁμοία ἐστὶ παροράσει· ἡ μὲν γὰρ παρόρασις γίνεται ἐκ τοῦ ὁρᾶν τι, ἐν
δὲ τοῖς ὕπνοις οὐδὲν ὁρῶμεν. καὶ ἐνστὰς λύει λίαν σαφέστατα.

Ἐν δὲ τῇ λέξει τῇ ἕκαστον δὲ τούτων ὥσπερ ἐγρηγορότων 25
10 τὸ τούτων περὶ τῶν ἐγκαταλειμμάτων εἴρηται τῶν προσπιπτόντων ἐπὶ
τὴν αἰσθητικὴν ἀρχήν. λέγει δὲ ὅτι ἕκαστον δὲ τούτων ὥσπερ ἐγρη-
γορότων ἡμῶν προσβάλλει τῇ αἰσθήσει, οὐχ οὕτω δὲ προσβάλλει
ὥσπερ ἐγρηγορότων. προσβάλλουσι γὰρ οἱ τύποι τῶν αἰσθητῶν τῇ
αἰσθητικῇ ἀρχῇ ἐγρηγορότων ἡμῶν καὶ ἐνεργούντων περὶ τὰ αἰσθητά,
15 ὁμοίως δὲ καὶ κοιμωμένων· οὐχ ὁμοίως δέ, ἀλλ' ἑτέρως καὶ ἑτέρως. καὶ
ὅτε μὲν οὐκ ἔστι πολλὴ ἡ κατιοῦσα ἀναθυμίασις, λέγει ἡ δόξα (κοινότερον
δὲ δόξαν λέγει τὴν αἴσθησιν, ἢ οὐ κοινότερον τὴν αἴσθησιν λέγει, ἀλλ' 30
αὐτὴν τὴν διάνοιαν· καὶ γὰρ καὶ ἡ διάνοια, ἧς τὸ δοξάζειν, ἐν τοῖς ὕπνοις
ἐνεργεῖ), λέγει οὖν ἡ δόξα, ὅτι ψεῦδος τὸ ὁρώμενον· οὐ γάρ ἐστι
20 τοῦτο ὁ Καλλίας, ἀλλ' ὁ τοῦ Καλλίου τύπος. ὅτε δέ ἐστι πολλή, κατέ-
χεται ὑπ' αὐτῆς ἡ δόξα καὶ ἀκολουθεῖ τῷ φαντάσματι. ἐπεὶ δὲ
διὰ τοῦ πνεύματος, δι' οὗ ὁ ὕπνος γίνεται, δι' αὐτοῦ τούτου γίνονται καὶ
τὰ ἐνύπνια, ὁ δὲ ὕπνος πάθος τοῦ αἰσθητικοῦ, δηλονότι καὶ τὰ ἐνύπνια
πάθος τοῦ αἰσθητικοῦ εἰσι. φανερὸν ἄρα, ὅτι τοῦ αὐτοῦ καὶ ἑνός εἰσιν 35
25 ὅ τε ὕπνος καὶ τὰ ἐνύπνια. τὸ δὲ εἴθ' ἁπλῶς εἴτε τρόπον τινὰ γινό-
μενον ἐπῆκται διὰ τὸ πρότερον εἰρημένον· εἴρηται γάρ, ὅτι οὐ πάντα τὰ
ἐν ὕπνῳ φαντάσματα ἐνύπνιά εἰσι.

Σαφῆ δὲ τὰ ἑξῆς. ὅτι δὲ καὶ ἀπόντων τῶν αἰσθητῶν ὑπάρχει
τι πάθος ἐν τοῖς αἰσθητηρίοις, κατασκευάζει λέγων· ἀπὸ γὰρ τοῦ
30 ἡλίου εἰς τὸ σκότος μεταφέροντες τὴν αἴσθησιν (λέγων σκότος τὸν
μὴ ὑπὸ τοῦ ἡλίου καταλαμπόμενον τόπον), συμβαίνει μηδὲν ὁρᾶν·
ἔτι γὰρ ἔστιν ἡ διάκρισις, ἣν ὑπέστη ὑπὸ τοῦ φωτός. ἀλλὰ κἂν πρὸς 40
ἄλλο τι λαμπρὸν βλέψαντες εἶτα μύσωμεν, ἂν παρατηρήσωμεν κατέ-
ναντι τοῦ λαμπροῦ, κεκαλυμμένων τῶν βλεφάρων ὄντων φαίνεται κατ'
35 εὐθυωρίαν, ὅπου τὰ ὄμματα ἐσφαλισμένα ὄντα ἀφορᾷ, ἅτινα σαφῶς κατα-
λέγει. οὐ μόνον δὲ ἀπό τινων λαμπρῶν μεταβάλλει καὶ κινεῖται τὰ ὄμματα,
ἀλλὰ καὶ ἀπὸ τῶν κινουμένων πάσχει καὶ αὐτὰ καὶ κινεῖται, ὥστε φαίνε-
σθαι ἡμῖν τὰ ἠρεμοῦντα ὅτι κινεῖται. ἀλλὰ κἂν ὕδωρ σφοδρῶς κινῆται,
συμπάσχει καὶ συγκινεῖται ἡ ὄψις. καὶ ἀπὸ τῶν ἰσχυρῶν δὲ ὀσμῶν γίνον- 45

---

1 οἴομαι RP ὁρῶντι RP 2 οἴομαι CRP 8 λίαν om. S 9 ἐγρηγορότος S Arist. (Arist. S ἐγρηγορότως) 10 τὸ om. RP 11. 12 ἐγρηγορότος Arist. 18 καὶ (post γὰρ) om. RP 22 οἱ ὕπνοι γίνονται a γίνονται SC: γίνεται RPa 24 πάθη P: anceps R εἰσι om. CRP 24. 25 εἰσὶ καὶ ὁ ὕπνος CRP 25. 26 γενόμενον a (Arist. U) 32 ὑπέστην C 34 ὄντων τῶν βλεφάρων a (τῶν βλ. ὄντων etiam Soph.) 39 συγκλείεται RP¹

ται δύσοδμοι, καὶ ὅλως ἐπὶ πάντων τῶν ὁμοίων ταῦτα τὰ λεγόμενα (ἦσαν δὲ ὅτι καὶ ἀπόντων τῶν αἰσθητῶν ἐμμένουσιν ἐγκαταλείμματά τινα) καὶ τοῦτον συμβαίνει τὸν τρόπον.

Ἡ μὲν οὖν διάνοια αὕτη, ἐν δὲ τῇ λέξει τῇ καὶ γὰρ ἡ ὄψις τῶν λαμπρῶν καὶ ἐχόντων χρῶμα ὄψιν τὸν ὅλον ὀφθαλμὸν εἴρηκε. λέγει δὲ καὶ ὅτι εὐλόγως ἐν τῷ τῶν καταμηνίων καιρῷ τὰ ὄμματα μεταβάλλει· τοῦ γὰρ σώματος ὅλου τότε μεταβάλλοντος ἀνάγκη συμμεταβάλλειν καὶ τὰ ὄμματα. εἰπὼν δὲ τὰ ὄμματα, τρέψας εἶπε τὴν λέξιν ἀρρενικῶς εἰπών· καὶ γὰρ φύσει τυγχάνουσι φλεβώδεις ὄντες· οἱ γὰρ ὀφθαλμοὶ φλεβώδεις. λέγει δὲ καὶ ὅτι, ὥσπερ ἐπὶ τῶν γυναικῶν γινομένων τῶν καταμηνίων γίνεταί τι πάθος περὶ τὰ ὄμματα αἱματικόν, οὕτω γίνεται καὶ ἡμῖν ἐν τῇ τοῦ σπέρματος προέσει. οὐ φαίνεται δὲ ἐνορῶσιν εἰς τὸ κάτοπτρον διὰ τὸ τὸ σπέρμα φύσει λευκὸν εἶναι. |

p. 460a14 Ὁ δὲ χαλκὸς διὰ τὸ λεῖος εἶναι ὁποιασοῦν ἁφῆς αἰσθάνεται μάλιστα. 143v

Τὸ αἰσθάνεται μάλιστα ἴσον ἐστὶ τῷ 'αἰσθητὰς μάλιστα καὶ διαδήλους ἡμῖν ποιεῖ τὰς ἐν αὐτῷ κηλῖδας'. ὥσπερ γὰρ ἐν τοῖς λείοις σώμασι μάλιστα γίνεται ὁ ψόφος διὰ τὸ μὴ θραύεσθαι ἐν αὐτοῖς τὸν ἀέρα μηδ' ὅλως εἰς λεπτότατα κατακερματίζεσθαι, οὕτω καὶ ἐν τοῖς λείοις κατόπτροις αἱ κηλῖδες διάδηλοι γίνονται διὰ τὸ μένειν συνεχεῖς καὶ ὡς εἰπεῖν μία διὰ τὴν τοῦ κατόπτρου λειότητα. ἐν δὲ τοῖς μὴ λείοις οὐχ ὁρῶνται, ὅτι κατακερματίζονται εἰς λεπτότατα διὰ τὴν τοῦ ἐνόπτρου ἀνωμαλίαν· τὸ δὲ λεπτότατον οὐκ εὐαίσθητον. τὸ μὲν οὖν λεῖόν ἐστιν αἴτιον τῆς συνεχείας, τὸ δὲ καθαρὸν τοῦ διαδήλους γίνεσθαι. κἂν γὰρ ᾖ καθαρὸν μὴ λεῖον δέ, εἰς μικρὰ κατακερματισθὲν διὰ τὴν ἀνωμαλίαν οὐ ποιήσει αἴσθησιν. ὅτι δὲ ἐν τοῖς καθαροῖς ἐνόπτροις εἰς βάθος ἐμφαίνονται αἱ ἐν αὐτοῖς κηλῖδες, δῆλον. ὅτι δὲ καὶ ἡ αἴσθησις ταχεῖα καὶ ταχέως ἀντιλαμβάνεται τῶν ἀπὸ τῶν αἰσθητῶν εἰδώλων, οὐδὲ τοῦτο ἄδηλον.

p. 460a26 Μαρτυρεῖ δὲ τοῖς εἰρημένοις καὶ τὰ περὶ τοὺς οἴνους καὶ τὴν μυρεψίαν συμβαίνοντα.

Εἰπὼν ὅτι μὲν οὖν καὶ ὑπὸ τῶν μικρῶν διαφορῶν γίνεται κίνησις, πίστιν τούτου παράγει τὰ περὶ τὴν μυρεψίαν γινόμενα. τὸ γὰρ παρασκευασθὲν ἔλαιον ταχέως λαμβάνει τὰς τῶν πλησίον ὀσμάς·

---

1 δύσοσμοι CRP (Arist. praeter SU) ταυτὰ Sa 2 alt. καὶ a: om. ceteri 10 δὲ ὅτι CRP 13 alt. τὸ om. RP 14 μὲν post διὰ add. a (Arist.) λεῖος] καθαρὸς Arist. EMY 15 μάλ. αἰσθ. Arist. MSU 16 αἰσθάνεσθαι μᾶλλον RP 17 τὰς—κηλῖδας ἡμῖν ποιεῖν CRP ποιεῖ S: ποιεῖν ceteri 18 cf. De an. B 8 p. 419b15 20 συνεχῆ a εἶπον RP μία διὰ SCRP Soph.: μίαν a 21 ὁρῶντες RP¹ 24 διαδήλους a: διάδηλον S: διάδηλα C: διάδῃ RP 26 βάθος (Arist.)] βάθη a 32 ἡ κίνησις S τὰ om. S

ἡ γὰρ ὀσμὴ τοῦ πλησίον κινήσασα τὸ ἔλαιον μετέδωκεν αὐτῷ τῆς οἰκείας 143ᵛ
ὀσμῆς. ταῦτα εἰπὼν λαμβάνει καὶ ὑποτίθεταί τινα λίαν σαφῶς· τὸ γὰρ
τὸν δειλὸν ἀπὸ μικρᾶς ὁμοιότητος δοκεῖν τοὺς πολεμίους ὁρᾶν ὑποτίθεται
καὶ λαμβάνει ὡς ἐναργές. τὸ δὲ ὥστε ἂν μὴ σφόδρα κάμνωσι, μὴ
5 λανθάνειν ὅτι ψεῦδος τοιοῦτόν ἐστιν· ἐὰν οὐ σφόδρα κάμνωσιν, ἀλλὰ 35
μέτριος ᾖ ὁ πυρετός, οὐ λανθάνει τὸν πυρέττοντα, ὅτι ὅπερ φαίνεται ἐν
τοῖς τοίχοις ζῷον, οὐκ ἔστι ζῷον. οὐ λανθάνει οὖν αὐτόν, ἀλλὰ νοεῖ ὅτι
εἰ καὶ ζῷον δοκεῖ, ὅμως οὐκ ἔστι ζῷον ἀλλὰ γραμμαί. εἰ μὲν οὖν
μέτριος ᾖ, οὐ λανθάνει· εἰ δὲ πολύς, λανθάνει καὶ κινοῦνται πρὸς αὐτά.

10 p. 460ᵇ16 Αἴτιον δὲ τοῦ συμβαίνειν ταῦτα τὸ μὴ κατὰ τὴν αὐτὴν
δύναμιν κρίνειν τό τε κύριον καὶ ᾧ τὰ φαντάσματα γίνεται. 40

Κύριον λέγει τὴν διάνοιαν, ἐν ᾧ δὲ τὰ φαντάσματα κρίνεται τὴν
αἴσθησιν. εἰπὼν δὲ ὅτι, ἂν ᾖ μέτριος ὁ πυρετός, δοκοῦσιν αἱ γραμμαὶ τῷ
πυρέττοντι ζῷα, ὅμως οὐ λανθάνει οὐδ' ἀπατᾶται, τὴν αἰτίαν | τοῦ 144ʳ
15 φαίνεσθαι τὰς γραμμὰς ζῷα, μὴ λανθάνειν δὲ μηδὲ ἀπατᾶσθαι τὸν νοσοῦντα
διὰ τούτων τίθησι καί φησιν· αἴτιον δὲ τοῦ συμβαίνειν ταῦτα, τουτέστι τοῦ φαίνεσθαι μὲν μὴ ἀπατᾶσθαι δὲ ἢ καὶ φαίνεσθαι καὶ ἀπατᾶσθαι
(ἁρμόζει γὰρ ἐν ἀμφοτέροις ὁ λόγος), ὅτι οὐκ ἀπὸ τῆς αὐτῆς δυνάμεως
κρίνει ὁ νοῦς καὶ ἡ αἴσθησις· οὐ γὰρ ἡ αὐτὴ δύναμις νοῦ καὶ αἰσθήσεως.
20 ἀλλ' ὅταν μὲν ἡ ὄψις κινῆται ἢ ἡ φαντασία νοσῇ, ὁ δὲ νοῦς ὑγιαίνῃ (καὶ
εἴρηται περὶ τούτων πολλὰ καὶ καλὰ τῷ Γαληνῷ· ἐν τούτοις γὰρ κατα- 5
κολουθεῖ τῷ Ἀριστοτέλει), ὅταν οὖν ἡ φαντασία νοσῇ, ὁ δὲ νοῦς ὑγιαίνῃ,
φαίνονται μὲν αἱ γραμμαὶ ζῷα, ὁ δὲ νοῦς ἀντιφάσκει λέγων μὴ εἶναι ζῷα.
ὅταν δὲ σὺν τῇ ὄψει καὶ ὁ νοῦς πάθῃ, τότε ἀπατᾶται περὶ τὰ φαινόμενα,
25 καὶ δοκεῖ τὸ μὴ ὂν ὡς ὄν. εἰπὼν δὲ ὡς οὐκ ἀπὸ τῆς αὐτῆς δυνάμεως
ὁ νοῦς καὶ ἡ ὄψις κρίνει, ἐπήγαγε· τούτου δὲ σημεῖον, ὅτι φαίνεται
μὲν ὁ ἥλιος ποδιαῖος. ἔστι δὲ τὸ λεγόμενον· σημεῖον δὲ τοῦ μὴ ἀπὸ
τῆς αὐτῆς δυνάμεως κρίνειν τὸ φαίνεσθαι τῇ ὄψει τὸν ἥλιον ποδιαῖον, 10
ἀντιφάσκειν δὲ τὴν διάνοιαν καὶ λέγειν, ὅτι οὐκ ἔστι ποδιαῖος ἀλλὰ μείζων
30 τῆς γῆς. εἰ δὲ ἀπὸ τῆς αὐτῆς δυνάμεως ἔκρινον, ὅπερ ἂν ἐφαίνετο
τῇ ὄψει, τοῦτο ἂν ἐδόκει καὶ τῇ διανοίᾳ. καὶ τί φαμεν ὅτι οὐκ ἀπὸ τῆς
αὐτῆς δυνάμεως κρίνουσιν ἥ τε διάνοια καὶ ὁ νοῦς, ὅπου γε οὐδὲ πᾶσαι

---

2 ὀδμῆς S 3 μικρᾶς] μιᾶς RP πολέμους CR 4 ὥστ' ἐὰν Arist. MSU μὴ] μὲν μὴ Arist. EYL 5 οὐ] οὖν s. s. S 7 τῷ τοίχῳ Sa, sed v. Arist. 8 alt. εἰ] ἂν e corr. P 10 μὴ ante συμβαίνειν SRP (Arist. EY), sed del. S²P 11 ὦ SRP (Arist.): ἐν ὦ Ca κρίνεται CRP 14 ἀπατᾶ RP 15 δὲ om. P νοσοῦντα] νοοῦντα RP 17 τοῦ] τὸ CRP καὶ (post ἢ) om. RP 18 ἐν om. P 19 οὐ—αἰσθήσεως om. a 20 ἡ μὲν a ante νοσῇ add. καὶ a, ὅταν οὖν ἡ φαντασία S 21 περὶ τούτων om. CRP καλὰ] θαυμαστὰ CRP Γαληνῷ] fort. respicit librum Περὶ ἀποδείξεως, de quo v. *Abh. d. bayr. Akad.* vol. XX γὰρ om. RP 21. 22 κατακολουθοῦντι P: κατακολουθοῦντα R 24 πάσχῃ CRP 27 μὲν a: om. ceteri 27. 28 ἀπ' αὐτῆς RP 29 ἀντιφάσκει C λέγει C 30 καὶ post δὲ add. Sa 32 τε] γε CRP

αἱ αἰσθήσεις ἀπὸ τῆς αὐτῆς δυνάμεως κρίνουσι. τῶν γὰρ κυριωτέρων 144r
αἰσθήσεων καὶ αἱ δυνάμεις κυριώτεραι. ἐν γὰρ τῇ ἐπαλλάξει τῶν δακτύ-
λων (ἐπαλλάττειν δὲ δάκτυλοι λέγονται, ὅταν εἰς τὸν αὐτὸν καὶ ἕνα δάκτυλον, 15
φέρε γὰρ οὕτως εἰπεῖν, πρῶτον μὲν ἐμβιβάσῃ τὸν μέγαν δάκτυλον, εἶτ'
εὐθὺς ἐκβαλὼν τὸν μέγαν ἐπεμβιβάσῃ τὸν μικρόν), ἐν δὴ τῇ τοιαύτῃ
ἐπαλλάξει τῇ μὲν ἁφῇ δοκεῖ ὁ εἷς δάκτυλος δύο διὰ τὸ εἰς τοὺς δύο
δακτύλους παρὰ μέρος ἐμβιβασθῆναι, ἡ δὲ ὄψις οὐ φησιν αὐτὸν δύο, ἀλλ'
ἕνα. ὥστε εἰ ἀπὸ τῆς αὐτῆς δυνάμεως ἔκρινον, ἐπειδὴ δοκεῖ τῇ ἁφῇ δύο
ὁ εἷς, δύο ἂν ἐδόκει τῇ ὄψει. ἐν δὲ τῇ λέξει τῇ ἐκ δὴ τούτων φανερὸν 20
10 ὅτι οὐ μόνον ἐγρηγορότων αἱ κινήσεις λείπει τὸ εἰσίν, ἵν' ᾖ τὸ
πλῆρες· οὐ μόνον ἐγρηγορότων εἰσὶν αἱ κινήσεις αἱ ἀπὸ τῶν αἰσθη-
τῶν γινόμεναι τῶν τε θύραθεν καὶ τῶν ἐκ τοῦ σώματος ὑπαρ-
χουσῶν (ὑπάρχουσι γάρ τινες κινήσεις ἡμῖν ἐκ τοῦ σώματος, οἷον λῦπαι,
φόβοι, ἡδοναὶ καὶ ἕτερα τοιαῦτα), ἀλλὰ καὶ ὅταν ὑπνώττωμεν. ἀλλὰ διὰ
15 τί τῶν ἀπὸ τῶν αἰσθητῶν ἐν τῇ καρδίᾳ τύπων ὄντων οὐκ αἰσθανόμεθα
τούτων καὶ ἐν τῇ ἡμέρᾳ; ἢ φησί· μεθ' ἡμέραν γάρ, τουτέστιν ἐν τῇ
ἡμέρᾳ, ἐκκρούονται οἱ τοιοῦτοι τύποι ὑπὸ τῶν ἐνεργειῶν τῶν αἰσθήσεων, 25
σφοδρῶν οὐσῶν καὶ πληκτικωτάτων. ὥσπερ γὰρ τὸ τοῦ πυρὸς φῶς ἀφανί-
ζεται ὑπὸ τοῦ ἡλιακοῦ φωτὸς καὶ ὅλως τὸ ὑποπολλαπλάσιον ὑπὸ τοῦ
20 πολλαπλασίου, οὕτω καὶ αἱ ἐν τῇ ἡμέρᾳ τῶν αἰσθήσεων ἐνέργειαι ἀφανί-
ζουσι τοὺς ἐν τῇ καρδίᾳ τύπους.

p. 461a7 Δεῖ δὲ ὑπολαβεῖν ὥσπερ τὰς μικρὰς δίνας τὰς ἐν τοῖς ποταμοῖς φερομένας.

Τὸ μὲν τῆς λέξεως συνεχὲς τοιοῦτον· δεῖ δὲ ὑπολαβεῖν ὥσπερ 43
25 τὰς μικρὰς δίνας τὰς ἐν τοῖς ποταμοῖς φερομένας πολλάκις μὲν
ὁμοίας, πολλάκις δὲ διαλυμένας εἰς ἄλλα σχήματα διὰ τὴν ἀντί-
κρουσιν, οὕτω καὶ τὴν κίνησιν ἑκάστην γίνεσθαι συνεχῶς. κίνησιν δὲ 45
λέγει τὴν τοῦ εἰδώλου καὶ τύπου τοῦ ἐν τῇ καρδίᾳ, καθ' ἣν κινεῖται ἡ ἐν
τῇ καρδίᾳ αἰσθητικὴ ψυχή. τὸ δὲ λεγόμενον τοιοῦτον· ὥσπερ, φησίν, ἡ
30 δίνη ὁτὲ μὲν μένει καὶ σῴζει τὸ κυκλικὸν ἢ κυλινδρικὸν σχῆμα, ὁτὲ δὲ
ἀντικρούσασα πέτρᾳ ἢ κύματι διαλύεται καὶ μεταβάλλει εἰς ἄλλο σχῆμα
ἑτερόμηκες ἤ τι ἄλλο, οὕτω καὶ ἑκάστου εἰδώλου κίνησις, ἐν ὑποκειμένῳ

---

3 δάκτυλος λέγεται RP δακτύλιον Sa 4 πρῶτον μὲν ante φέρε CP: om. R
4 ante τὸν add. τίς SC 4. 5 μέγαν ἐπεμβιβάσῃ τὸν om. RP 5 ἐμβιβάσῃ C
δὴ] δὲ S 6 δακτύλιος Sa 8 αὐτῆς] τοιαύτης RP 8. 9 τῇ ἁφῇ ὁ εἷς δύο
δοκεῖ RP 9 καὶ post ἂν add. RP τῇ ὄψει ἐδόκει CRP 10 αἱ—ἐγρη-
γορότων (11) om. P 11. 12 αἰσθημάτων Arist. (sed αἰσθήσεων L Soph.)
12. 13 ἐνυπαρχουσῶν Arist. 14 ὅταν ὑπνώττωμεν a: ὅτε ὑπνώττομεν ceteri
καὶ ante διὰ add. C 16 καὶ om. CRP 17 αἰσθήσεων] αἰσθητῶν Ca
18 οὐσῶν] ὄντων CRP τὸ τοῦ πυρὸς φῶς Sa, e corr. P: τὸ τοῦ πυρὸς C: τὸ τοῦ
φωτὸς R, prius P 20 αἱ ante ἐνέργειαι C τῶν αἰσθητῶν RP
22 δίνας] ῥανίδας S, item 25 23 γινομένας Arist. EMY 27 καὶ a (κἀνταῦθα
Soph.): om. ceteri 30 δίνησις S 31 κύματα a

ὂν τὸ εἴδωλον τῷ αἵματι ἢ πνεύματι, τοῖς ἐν τῇ καρδίᾳ, ὁτὲ μὲν μένει ἡ 144r
αὐτή, ὁτὲ δὲ μεταβάλλει εἰς ἄλλο. καὶ ἐπεὶ οὐκ ἀμέσως ἐκ τοῦδε εἰς 50
τόδε τὸ σχῆμα μεταβάλλει, ἀλλὰ διὰ μέσων τινῶν, εἰκός, μᾶλλον δ' ἀναγ-
καῖόν ἐστι τὴν πρώτην αἴσθησιν μὴ ὑπὸ μόνων τοῦ τε ἐξ οὗ καὶ εἰς ὃ
5 κινεῖσθαι, ἀλλὰ καὶ ὑπὸ τῶν μεταξύ. ὥσπερ γὰρ τόδε τὸ νέφος ἐοικὸς
ἔχον σχῆμα λέοντι καὶ ἐκ τούτου μεταβαλὸν διά τινων μεταξὺ εἰς ἀνθρώ-
που σχῆμα, οὐ μόνον τὸ τοῦ λέοντος καὶ ἀνθρώπου εἶδεν ἡ ὄψις, ἀλλὰ
καὶ τὰ μεταξύ, εἴτε ἡδέα ἦσαν αὐτῇ καὶ κεχαρισμένα εἴτε ἄλλως λυπηρὰ
καὶ ἀχρεῖα, οὕτω καὶ | ἡ πρώτη αἴσθησις οὐ μόνον τῶν ἄκρων ἐν τοῖς 144v
10 ὕπνοις αἰσθάνεται, ἀλλὰ καὶ τῶν μεταξύ. ταῦτα δὲ τὰ μεταξὺ ἢ τερα-
τώδη πάντως εἰσίν, ἢ ἡδέα καὶ χαρίεντα. σαφηνίσας δὲ τὸν λόγον διὰ
παραδείγματος τῆς δίνης, ἐπάγει καὶ ἕτερον λέγων· ὥσπερ τὸ ὕδωρ, ἐν
ᾧ φαίνεται τὸ τοῦ ὁρῶντος εἰς αὐτὸ πρόσωπον, εἴ τις σφόδρα κινοίη, ὁτὲ
μὲν οὐδ' ὅλως φαίνεται τὸ τοῦ προσώπου εἴδωλον, ὁτὲ δὲ φαίνεται μὲν 5
15 ἀλλὰ διεστραμμένον, οὕτω καὶ τὰ ἐν τῷ καθεύδειν ὁρώμενα εἴδωλα, μεί-
ζονος οὔσης τῆς κινήσεως, ἣν κινεῖται ἡ ἀπὸ τῆς τροφῆς ἀναθυμίασις, ὁτὲ
μὲν οὐ φαίνονται, ὁτὲ δὲ τεταραγμένα καὶ τερατώδη καὶ ὅλως χείρονα τὰ
ἐνύπνια. βλέπουσι δὲ τερατώδη τὰ ἐνύπνια οἵ τε μελαγχολῶντες οἵ τε
πυρέττοντες καὶ οἱ μεθύοντες. καὶ γὰρ καὶ ἡ μελαγχολία καὶ ἡ μέθη
20 πολλοῦ καὶ σφοδρῶς κινουμένου πνεύματός ἐστι κίνησις.

p. 461ᵇ1 Διὰ τὸ τὴν ὄψιν ἐνίοτε κινεῖσθαι δοκεῖν οὐ κινουμένην, 10
ὥς φαμεν, τῷ τὴν ἁφὴν δύο κινήσεις εἰσαγγέλλειν καὶ τὸ ἓν δύο
δοκεῖν.

Τὸ κινεῖσθαι ἀντὶ τοῦ πλανᾶσθαι, ὥσπερ τὸ οὐ κινουμένην ἀντὶ τοῦ
25 οὐ πλανωμένην εἴληπται νῦν· εἴρηται δὲ ὅτι ἐν τῇ τῶν δακτύλων ἐπαλλάξει
ὁ εἷς δάκτυλος τῇ ἁφῇ δύο δοκεῖ. ἐγρηγόρως δὲ δοκεῖ ἀκούειν καὶ αἰσθά-
νεσθαι, ὅταν οὐ παντελῶς κατέχηται ἡ αἴσθησις ὑπὸ τῆς ἀναθυμιάσεως.
κατέχεται δὲ τέλεον, ὅταν τὸν τοῦ Καλλίου τύπον ὡς αὐτὸν τὸν Καλλίαν 20
ὁρᾷ. ὅταν δὲ τὸν τύπον ὁρῶσα λέγῃ, ὅτι ὅδε ὁ τύπος οὐκ ἔστιν ὁ ἀλη-
30 θινὸς Καλλίας, ἀλλ' εἴδωλον Καλλίου, ὅταν οὖν ὁρῶσα τὸν τύπον οὕτω
δύνηται κρίνειν, οὐ κατέχεται. καὶ τοῦτό ἐστι τὸ ἐγρηγόρως αἰσθάνεσθαι,

---

1 γὰρ ante ὂν add. RP τῷ πνεύματι ἢ τῷ αἵματι CRP Soph. τοῖς ἐν Sa: τῷ ἐν C: ἢ RP Soph. 4 μόνον a (μόνων etiam Soph.) 6 ἔχειν RP: ἔχει C λέοντος RP 7 οἶδεν R: variant Soph. libri σχῆμα post ὄψις add. CRP 9 ἀχάρη P: ἄχαρι CR μόνων C 12 ἕτερα RP 13. 14 ὁτὲ μὲν a: om. ceteri 14 οὐδὲν CP φαίνονται μὲν S μὲν om. CRP 16 ἣν] ἢ RP 17 χείρονα] οὐκ ἐρρωμένα Arist. M(EY) 18 δὲ] γὰρ C τὰ om. CRP μελαγχολοῦντες RP 19 καὶ (post γὰρ) om. a 21 καὶ ante διὰ add. a (Arist. EMY) δοκεῖν κινεῖσθαι a (Arist. L) cf. ad p. 70,3 κινουμένης C 22 ὡς] ὁρᾶν Arist. EY καὶ post φαμεν add. Ca (Arist. praeter S) καὶ SRP (Arist. SU): om. Ca (Arist. EMYL) 24. 25 τοῦ οὐ] τοῦ μὴ Sa 25 πλανωμένη RP¹ 26 ἐγρηγορῶς Arist. LSP 29. 30 ὁ ἀληθινὸς a: ἀληθινὸς ceteri 31 δύναται CRP

τουτέστι τὸ δίχα ἀπάτης ὁρᾶν τὰ ἐν τῇ καρδίᾳ εἴδωλα καὶ τοὺς τύπους. 144v
καὶ ταῦτα μὲν προειλήφθω. εἰπὼν δὲ ὅτι καὶ ἐγρηγόρως δοκεῖ ἀκούειν
καὶ ὁρᾶν καὶ αἰσθάνεσθαι, ἐπήγαγε διὰ τὸ τὴν ὄψιν ἐνίοτε δοκεῖν
κινεῖσθαι οὐ κινουμένην, ὥς φαμεν. ἔστι δὲ τὸ λεγόμενον δυνάμει 25
5 τοιοῦτον· ὅταν γὰρ ἡ ὄψις οὐκ ἀπατηθῇ ἐν τῇ τῶν δακτύλων ἐπαλλάξει
ἐπίσης τῇ ἁφῇ, ἀλλ' ἀνεξαπάτητος μείνῃ, οὐδὲ ἐν τοῖς ὕπνοις ἀπατᾶται
ἡ αἰσθητικὴ ψυχή· ἀλλ' ἡ μὲν ἁπτικὴ δύναμις αὐτῆς τὸ ἓν δύο λέγει,
ἡ δὲ ὁρατικὴ ἐγρηγόρως ἀντέχεται καὶ ἀντίφησιν, ὅτι τὰ δοκοῦντα δύο
οὐκ εἰσι δύο, ἀλλ' ἕν. κρίνομεν γὰρ πολλάκις καὶ ἐν τοῖς ὕπνοις λέγοντες,
10 ὅτι δύο μὲν δοκεῖ, οὐκ εἰσὶ δέ, ἀλλ' ἕν. δοκεῖ οὖν ἐν τοῖς ὕπνοις τὸ ἓν
δύο ἐν τῷ τὴν ἁφὴν δύο εἰσαγγέλλειν· ὅμως τὸ κρῖνον, τοῦτο δ' ἐστὶν ἡ 30
διάνοια, οὐκ ἀπατᾶται διὰ τὸ μηδὲ τὴν ὄψιν ἀπατηθῆναι. λογικώτεραι
δὲ τῶν αἰσθήσεων ὄψις καὶ ἀκοή. διὰ οὖν τὸ μηδὲ τὴν ὄψιν ἀπατηθῆναι,
κἂν δοκῇ ἠπατῆσθαι ἡ διάνοια διὰ τὴν ἁφήν, ἀλλ' οὖν διὰ τὴν ὄψιν οὐκ
15 ἀπατᾶται. τὸ δὲ ἐνίοτε ἀσφαλῶς ἐπῆκται. οὔτε γὰρ ἀεὶ ἀπατᾶται, οὔτε
μὴν ἀεὶ ἀνεξαπάτητός ἐστιν, ἀλλ' ἐνίοτε ἀπατᾶται, ἐνίοτε δὲ οὐκ ἀπατᾶται.
εἰπὼν δέ, ὅτι τὸ ἓν δύο δοκεῖ διὰ τὸ τὴν ἁφὴν δύο κινήσεις εἰσαγγέλλειν,
ἐπήγαγεν· ὅλως γὰρ τὸ ἀφ' ἑκάστης αἰσθήσεώς φησιν ἡ ἀρχή. 35
ἔστι δὲ τὸ λεγόμενον· ἁπλῶς γὰρ ὁποῖον ἂν διαπορθμεύσῃ ἡ ἁφὴ ἢ ἡ
20 ὄψις ἢ ἄλλη τις τῶν αἰσθήσεων, τοιοῦτον λέγει αὐτὸ εἶναι ἡ πρώτη αἴσθησις·
ταύτην γὰρ εἶπεν ἀρχήν. ὥστε καὶ τὸ ἓν ἂν ὡς δύο διακομίσῃ, τὸ ἓν
δύο φησὶν ἡ ἀρχή, ἂν μὴ ἑτέρα κυριωτέρα ἀντιφήσῃ. εὐθὺς γὰρ ἡ ὄψις
κρείττων καὶ κυριωτέρα οὖσα τῆς ἁφῆς ἀντίφησι λέγουσα· εἷς ἐστιν ὁ
δάκτυλος, μᾶλλον δὲ τὸ τοῦ δακτύλου εἴδωλον ἕν ἐστιν, ἀλλ' οὐ δύο. ἀλλὰ
25 καὶ ἡ ὄψις τὸ τοῦ ἡλίου μέγεθος ὡς ποδιαῖον διαπορθμεύσασα, ὡς ποδιαῖον 40
αὐτό φησιν ἡ ἀρχὴ ἐν τοῖς ὕπνοις (ὁρῶμεν γὰρ καὶ τοιαῦτα ἐν τοῖς ὕπνοις),
ἀλλ' ἡ διάνοια ὡς κυριωτέρα τῆς ὄψεως ἀντίφησι καὶ λέγει· οὐκ ἔστι
ποδιαῖος, ἀλλὰ μείζων τῆς γῆς.

Ταῦτά εἰπὼν πάλιν ἐπαναλαμβάνει τὸν λόγον καὶ φησι· φαίνεται
30 μὲν οὖν πάντως, δοκεῖ δ' οὐ πάντως τὸ φαινόμενον. φαίνεται μὲν
γὰρ ἐν τοῖς ὕπνοις καὶ τὸ ἓν δύο καὶ ὁ ἥλιος ποδιαῖος, οὐ δοκοῦσι δὲ
τοιαῦτα, ἂν μὴ κατέχηται ὑπὸ τῆς ἀναθυμιάσεως τὸ ἐπικρῖνον. εἰ μὲν
οὖν μὴ κατέχεται ἡ διάνοια, φαίνεται μέν, οὐ δοκεῖ δέ· εἰ δὲ κατέχεται, 45

---

1 τουτέστι τὸ scripsi: τουτέστι τὸ ἐγρηγόρως καὶ Sa: τὸ CRP 3 καὶ ὁρᾶν om. P
3. 4 κινεῖσθαι δοκεῖν CRP 5 ἀπατηθεῖσα RP: ἀπατηθείη C ἐπαλλάξει om. C
6 μένῃ RP 7 αὐτῆς om. CRP 8 ἀντιφάσκει CRP Soph. 9 κρίνομεν—
ἕν (10) om. CRP 13 δὲ] γὰρ CRP ἡ ὄψις καὶ ἡ ἀκοή CRP cf. Alex.
De sensu p. 10,27 ss. Wendl. γοῦν P 14. 15 ἡ διάνοια—ἀπατᾶται a: om. ceteri
15 ἐπῆκται ἀσφαλῶς CRP 19 διαπορθμεύσῃ Pa: διαπορθμεύσοι SCR: variant Soph.
libri 19. 20 ἢ ὄψις CRP 21 διακομίσαι RP: διακομίσοι S 22 ἕτερον
κυριώτερον CP 23 κυριωτέρα] τιμιωτέρα RP ἀντιφάσκει CRP 24 δάκτυλος
corr. in δακτύλιος SC δακτυλίου C 25 ὡς om. CRP 26 τὰ τοιαῦτα
CRP, item 32 27 ἀντιφάσκει CRP 30 οὖν—φαίνεται μὲν om. RP
31 prius καὶ om. C

καὶ φαίνεται καὶ δοκεῖ. εἰπὼν δὲ ἂν τὸ ἐπικρῖνον μὴ κατέχηται, ἐκ 144v
παραλλήλου ἐπήγαγε τὸ ἢ εἰ μὴ κινεῖται τὴν οἰκείαν κίνησιν, λέγων
οἰκείαν κίνησιν τὴν οἰκείαν ἐνέργειαν· τὸ γὰρ ἐνεργοῦν κατὰ τὴν οἰκείαν
ἐνέργειαν οὐ κατέχεται, καὶ τὸ μὴ κατεχόμενον ἢ ἐμποδιζόμενον ἐνεργεῖ τὴν
5 οἰκείαν ἐνέργειαν. οὕτως δὲ ταῦτα ἐπήγαγεν, ὡς εἰ ἔλεγε· κἄν τε 'ἂν μὴ
κατέχηται' βούληταί τις λέγειν, κἄν τε ἀντὶ τοῦ 'ἂν μὴ κατέχηται' τὸ
'ἐὰν κινῆται τὴν οἰκείαν ἐνέργειαν', οὐδὲν διαφέρει. τὴν δ' ἐφεξῆς λέξιν 50
οὕτως ἀναγνωστέον· ὥσπερ δὲ εἴπομεν ὅτι ἄλλοι δι' ἄλλο πάθος
εὐαπάτητοι, καὶ τὸ κινεῖσθαι τὰ αἰσθητήρια καὶ τὰ ἄλλα τὰ
10 συμβαίνοντα περὶ τὴν αἴσθησιν, οὕτως ὁ καθεύδων διὰ τὸν ὕπνον·
ἀπατώμεθα γὰρ οὐ μόνον διὰ τὴν τῶν αἰσθητηρίων κίνησιν, ἀλλὰ καὶ διὰ
φόβον ἢ ἔρωτα ἢ ἄλλο τι τοιοῦτον. οὕτω δὲ ἀπατώμεθα ἐν τοῖς ὕπνοις,
ὥστε, ἂν ἔχῃ καὶ μικρὰν ὁμοιότητα τὸ τοῦ Καλλίου εἴδωλον πρὸς τὸ τοῦ
Σωκράτους ἢ τὸ τοῦ λύκου πρὸς τὸ τοῦ κυνός, ὁρῶντες τὸ τοῦ Καλλίου
15 ἢ τὸ τοῦ λύκου | δοκοῦμεν Σωκράτην ἢ κύνα ὁρᾶν, ἢ πάλιν ὁρῶντες τὸ 145r
τοῦ Καλλίου εἴδωλον δοκοῦμεν αὐτὸν τὸν Καλλίαν ὁρᾶν διὰ τὴν ὁμοιότητα.
ἐνεργείᾳ δὲ κινήσεις εἰσί, καθ' ἃς ἐνεργεῖ ἐν τοῖς ὕπνοις ἡ ψυχή, δυνάμει δέ, καθ' ἃς δύναται ἐνεργῆσαι ἐνούσας.

p. 461b13 Οὕτω δ' ἔχουσιν, ὥστε ἐν τῇ κινήσει τῇδὶ ἥδε ἐπι-
20 πολάσει ἐξ αὐτοῦ ἡ κίνησις.

Ἐξ αὐτοῦ ἀντὶ τοῦ ἐκ τῆς κατιούσης ἀναθυμιάσεως ἐπὶ τὴν ἀρχήν· 11
ἐν αὐτῇ γὰρ ὡς ἐν ὑποκειμένῳ τὰ ἀπὸ τῶν αἰσθητῶν εἴδωλα τυγχάνουσιν
ὄντα. εἰπὼν δὲ ὅτι αἱ κινήσεις αἱ ἀπὸ τῶν αἰσθητῶν ἐν τοῖς αἰσθητηρίοις
γινόμεναι καὶ συγκατελθοῦσαι τῇ ἀναθυμιάσει, ἥτις σχεδὸν αἷμά ἐστιν, αἱ
25 μέν εἰσι δυνάμει, αἱ δὲ ἐνεργείᾳ, διὰ τῶν προκειμένων διαρθροῖ, πῶς
ἔχουσι πρὸς ἀλλήλας. ἴσμεν δὲ πάντως, ὅτι κινήσεις αὐτὰ τὰ εἴδωλα 15
καὶ τοὺς τύπους τοὺς ἀπὸ τῶν αἰσθητῶν λέγει. ἀλλ' αὐτὸς μὲν οὕτως
λέγει, ἡμῖν δὲ λοιπόν ἐστιν ὑποδείγματι σαφηνίσαι τὸν λόγον. ἔστι τις
ἐπιστήμων ὁ ἤδη ἐνεργῶν κατὰ τὴν ἐπιστήμην, ἕτερος ὁ ἔχων τὴν ἕξιν
30 καὶ μὴ ἐνεργῶν, ἄλλος ὁ μανθάνων ἕνα φέρε εἰπεῖν ἐνιαυτόν, καὶ ἕτερος
ὁ ἤδη ἀρξάμενος, καὶ ἔτι ὁ παῖς. καὶ εἰσὶν οὗτοι πάντες πλὴν τοῦ ἐνεργοῦντος δυνάμει ἐπιστήμονες· ὁ μέν, ὁ ἐν ἕξει, ἐγγύτερος τοῦ ἐνεργοῦντος· ὁ 20

---

1 ἐὰν Arist. MYSU μὴ τὸ ἐπικρῖνον κατέχηται RP: μὴ κατ. τὸ ἐπ. S (μὴ om. Arist. praeter SU) 2 εἰ μὴ a (Arist. L): καὶ ceteri (Arist. SU, ἢ μὴ Arist. EMY) κινῆται S (Arist. MSU) 3 τὴν οἰκείαν ἐνέργειαν οἰκείαν κίνησιν a 4 καὶ om. S μὴ post ἢ add. a 5 ἂν CRP: om. Sa 6 ἂν om. C 7 ἐὰν] κἂν CRP ἕξῆς RP 8 δι' ἄλλο πάθος ἄλλοι S 9 εὐαπατητότεροι Arist. EMY καὶ τὸ—αἴσθησιν (10) post ὕπνον Arist. Soph. 11 καὶ om. RP 13 κάλλους S 14 ἢ] καὶ CRP primum τὸ om. C 15 δοκοῦσι RP 19 ἔχουσιν] ἔχει a ὥστε, ἐάν τι κινήσῃ τὸ αἷμα, ἥδε Arist. EMY ἥδε] ἡδὶ a (Arist. L) 19. 20 ἐπιπολάζει P: anceps R 20 αὐτῆς C (Arist. L) ἡ om. a 21 ἐξ αὐτῆς CRP 22 αὐτῶ RP ἀπὸ] ἐπὶ RP 26 ἴσμεν cf. p. 3,2. 63,32 ss. 27. 28 λέγει οὕτω CRP 29 cf. De an. B 5 p. 417a22 ss. 32 ὁ μὲν ὁ SCRP: ὁ μὲν P²a ἐγγυτέρω CRP, item p. 72,1. 2

δὲ μανθάνων ἐνιαυτὸν ἐγγύτερος μὲν τοῦ ἐν ἕξει, πορρώτερος δὲ τοῦ ἐνεργοῦντος· ὁ δὲ ἤδη αὐξανόμενος ἐγγύτερος μὲν τούτου, πορρώτερος δὲ τοῦ ἐν ἕξει καὶ ἔτι πορρώτερος τοῦ ἐνεργοῦντος· ὁμοίως καὶ ὁ παῖς. ὡς οὖν ἐπὶ τούτων, οὕτως ἔχουσι τῇ δυνάμει καὶ αἱ συγκατελθοῦσαι κινήσεις τῇ ἀνα- 145r
5 θυμιάσει, καὶ αἱ μέν εἰσιν ἐγγύτερον τῇ κινήσει τῇ κινούσῃ τὴν ψυχήν, αἱ δὲ πορρώτερον. εἰ δὲ τοῦτο, δηλονότι τῇ κατ' ἐνέργειαν κινήσει τοδὶ ἐπιπολάσει, καὶ εὐθὺς μετ' αὐτὴν κινήσει τὴν ψυχὴν ἥδε ἡ ἔγγιστα αὐτῆς, καὶ ταύτης φθαρείσης ἡ ἐφεξῆς αὐτῆς. σαφηνίζει δὲ καὶ αὐτὸς ταῦτα ἐπὶ 25
ὑποδείγματι τοῖς πεπλασμένοις βατράχοις καὶ ἀνιοῦσιν ἐν τῷ ὕδατι τηκο-
10 μένου τοῦ ἁλός. εἴ τις γὰρ ξυλίνους πλάσει βατράχους πέντε φέρε εἰπεῖν τὸν ἀριθμόν, εἶτα θήσει εἰς βαθέος ἀγγείου πυθμένα τὸν ἕνα καὶ ἐπικαλύψει αὐτὸν ἁλὶ πολλῷ, εἶτα ἐν τῇ ἐπιφανείᾳ τοῦ ἁλὸς ἕτερον καὶ ὁμοίως ἐπικαλύψει ἐν ἁλί, καὶ τοὺς λοιποὺς ἐφεξῆς οὕτως, εἶθ' ὕστερον ἐπιθήσει τὸν πέμπτον ἐάσας αὐτὸν ἀκάλυπτον, ἀναλογήσει ὁ μὴ καλυφθεὶς βάτραχος,
15 ἀλλὰ ἀκάλυπτος ὢν καὶ ὁρώμενος τῇ κατ' ἐνέργειαν κινήσει, περὶ ἣν ἤδη 30
ἡ ψυχὴ ἐνεργεῖ, οἱ δὲ κεκαλυμμένοι ταῖς δυνάμει οὔσαις κινήσεσιν. εἴ τις δὴ τούτους οὕτω συνθείη, εἶτα συμβαίη τήκεσθαι κατὰ βραχὺ τὸν ἅλα, πρῶτον μὲν ἀναβήσεται ὁ τέταρτος καὶ γενήσεται ἐνεργείᾳ αἰσθητός, εἶθ' ὁ τρίτος, εἶθ' ὁ δεύτερος, ἔσχατον δὲ ὁ ἐν τῷ πυθμένι. ὡς οὖν ἐπὶ τού-
20 των τηκομένου τοῦ ἁλὸς γίνονται ἐνεργείᾳ αἰσθητοὶ οἱ βάτραχοι, οὕτω καὶ ἐπὶ τῶν κινήσεων ἀνιεμένου τοῦ κωλύοντος αἵματος καὶ λυομένου καὶ ἐκ 35
παχέος λεπτοτέρου καὶ ἐξ ἀδιακρίτου κεκριμένου καὶ καθαρωτέρου γινομένου, ἐνεργοῦσιν ἐν τῷ καταλειφθέντι λοιπῷ αἵματι, ἐλάττονι ὄντι καὶ καθαρωτέρῳ (τοῦ γὰρ πλείονος προσκριθέντος τῷ σώματι τὸ καταλειπόμενον
25 ἀναγκαῖον ἔλασσον εἶναι), ἐνεργοῦσιν οὖν ἐν τῷ λοιπῷ αἵματι, τῶν ἐν τοῖς αἰσθητηρίοις κινούντων ἔχουσαι ὁμοιώματα, τουτέστιν οὖσαι ὁμοιώματα τῶν αἰσθητῶν τῶν ποιούντων κίνησιν ἐν τοῖς αἰσθητηρίοις. μεταβάλλουσι δὲ ταῦτα τὰ ὁμοιώματατα ταχέως, ὥσπερ τὰ ἐν τοῖς νέφεσιν, ἃ παρεικάζουσι κενταύροις καὶ ἀνθρώποις. καὶ ὥσπερ ταῦτα ἀπ' ἄλλων
30 σχημάτων εἰς ἄλλα μεταβάλλει, τί κωλύει καὶ τὰς τοιαύτας κινήσεις ἀπὸ 40
ἄλλων εἰς ἄλλα μεταβάλλειν; ταῦτα εἰπὼν ἐπιφέρει· τούτων δέ, τῶν εἰδώλων τῶν ἐν τοῖς ὕπνοις φαινομένων, ἕκαστόν ἐστιν ὑπόλειμμα τοῦ ἐνεργείᾳ αἰσθήματος, καὶ ἀπελθόντος τοῦ ἀληθῶς αἰσθητοῦ, ὅταν μὴ κατέχηται τὸ ἐπικρῖνον, ἀληθὲς εἰπεῖν, ὅτι τοῦτο οὐ Κορίσκος, ἀλλ' οἷον
35 Κορίσκος.

1—3 πορρωτέρω ter CRP 2 αὐξανόμενος] ἀρξάμενος RP 4 prius τῇ] τὸ CRP
5 ἐγγυτέρω CRP κινήσει τῇ om. Sa 6 πορρωτέρω CRP τηδὶ CRP
8 ἐφεξῆς] δὲ ἡ ἔγγιστα C αὐτῆς] αὐτῇ RP ἔτι conicio, cf. p. 71,28
11 θήσει a: θήσειεν ceteri πυθμένα om. R(P¹) 11. 12 ἐπικαλύψειεν CRP
13 ἐπικαλύψειεν ἁλί CRP ἐν fort. del. ἐπιθήσει a: ἐπιθήσειε ceteri
17 οὕτω συνθείη a: οὕτως συνθήσειεν S: συνθήσειεν οὕτως CRP 19 ἔσχατος P: anceps SR 22. 23 γενομένου RP 23 ἐλάττονι—λοιπῷ αἵματι (25) om. SPa
25 ἀνάγκη R ἐν τοῖς om. C, s. s. R 26 αἰσθητηρίων C ὁμοιότητα Arist. YL
32 ὑπόλειμμά ἐστι CRP post τοῦ add. ἐν τῇ Arist. 33 ἀληθοῦς CRP

p. 461b24 Ὅτε δὲ ᾐσθάνετο, οὐκ ἔλεγε Κορίσκον τὸ κύριον. 145r

Τουτέστιν ὅτε γὰρ ᾐσθάνετο (ὁ γὰρ δὲ σύνδεσμος ἀντὶ τοῦ γὰρ κεῖ- 52
ται), ὅτε γὰρ ᾐσθάνετο, ἤτοι ὅτε γὰρ ἐν τῷ ὕπνῳ οὐ κατείχετο ὑπὸ τοῦ
κατελθόντος αἵματος τὸ κύριον καὶ ἐπικρῖνον, οὐκ ἔλεγε Κορίσκον τὸ
5 εἴδωλον, ἀλλὰ διὰ τούτου ἐκεῖνον Κορίσκον τὸν ἀληθινόν, του-
τέστιν ἀλλὰ διὰ τοῦ εἰδώ|λου ἑώρα καὶ διενοεῖτο τὸν ἀληθινὸν Κορίσκον. 145v
οὗ δὴ εἰδώλου καὶ αἰσθανόμενόν φησιν, ὅτι τοῦτο οὐκ ἔστι Κορίσκος, ἀλλ'
εἴδωλον Κορίσκου. τὸ δὲ ἂν μὴ παντελῶς κατέχηται ὑπὸ τοῦ
αἵματος ὡς δηλωτικὸν ἐπῆκται τοῦ ὅτε δὲ ᾐσθάνετο, οὐκ ἔλεγε
10 Κορίσκον τὸ κύριον. ἔστι δὲ τὸ μὲν ἑξῆς τῆς λέξεως τοιοῦτον· ἂν μὴ
παντελῶς κατέχηται ὑπὸ τοῦ αἵματος καὶ δοκῇ τὸ ὅμοιον αὐτὸ εἶναι τὸ
ἀληθές, ὥσπερ αἰσθανόμενον τοῦτο κινεῖται ὑπὸ τῶν κινήσεων τῶν ἐν τοῖς 5
αἰσθητηρίοις. τὸ δὲ λεγόμενον τοιοῦτόν ἐστι· τοῦτο τὸ κύριον καὶ ἐπι-
κρῖνον ἂν μὴ παντελῶς ὑπὸ τοῦ αἵματος ἐν τοῖς ὕπνοις κατέχηται, ὑπὸ
15 τῶν κινήσεων τῶν ἐν τοῖς αἰσθητηρίοις οὕτω κινεῖται ὥσπερ αἰσθανόμενον,
καὶ ὥσπερ τὸ κυρίως αἰσθανόμενον, εἰ μή τι συμβαίη, οὐκ ἀπατᾶται, οὕτως
οὐδὲ τοῦτο. ἐὰν δὲ οὕτω κατέχηται, ὥστε τὸ ὅμοιον καὶ τὸ εἴδωλον δοκεῖν
ὅτι αὐτό ἐστι τὸ ἀληθινόν, οὐ κινεῖται ὑπὸ τῶν εἰδώλων ὡς αἰσθανόμενον
καὶ τρόπον τινὰ ἐγρηγορός, ἀλλ' ὡς ἀναίσθητον. ὅταν γάρ, ὡς ἐρεῖ μετ'
20 ὀλίγον, μὴ κατέχηται, οὔτε οὕτως ἐστὶν ἐγρηγορὸς ὡς τὰ ἁπλῶς καὶ κυρίως
ἐγρηγορότα, οὔτ' αὖ πάλιν καθεῦδον ὡς τὰ ἁπλῶς καθεύδοντα, ἀλλὰ μεταξὺ 10
ἐγρηγορότος καὶ καθεύδοντος. τὸ δὲ λεγόμενον περὶ τῆς ὑποβολῆς τοῦ
δακτύλου ἐν τῷ ὀφθαλμῷ οὐχ ὡς ἀληθὲς εἴληπται (ποῦ γὰρ εἰκὸς ἢ ἐμὲ
ἢ ἄλλον ὁντιναοῦν ὑποβαλόντα τὸν δάκτυλον εἰς τὸν ὀφθαλμὸν λανθάνειν,
25 ὅτι ὑπέβαλον ἢ ὑπέβαλεν;), ἀλλ' οὕτως εἴληπται ἕνεκεν λόγου, δυνάμει λέγων·
κείσθω ὅτι ὑπέβαλέ τις τὸν δάκτυλον αὐτοῦ, λέληθε δὲ αὐτόν, ὅτι ὑπο-
βέβληται. ὡς οὖν ἐπὶ τῇ τοῦ δακτύλου ὑποβολῇ, οὕτω φησὶ καὶ ἐν τοῖς 15
ὕπνοις, ἂν μὲν αἰσθάνηται τὸ κύριον καὶ ἐπικρῖνον (τοῦτο δ' ἐστίν, ὡς
εἴρηται, ἡ διάνοια· ἱκανὴ δὲ ἡ διάνοια καὶ ἐγρηγορότων καὶ κοιμωμένων
30 ἐπιβάλλειν τοῖς προσήκουσιν ἔργοις), ἂν μὲν δὴ αἰσθάνηται ὅτι καθεύδει
καὶ πρὸς τούτῳ αἴσθησιν ἔχῃ τοῦ πάθους (τουτέστι τοῦ ἐνυπνίου, ἐν
ᾧ πάθει ἐστὶν ἡ αἴσθησις τοῦ αἰσθητικοῦ· τῆς γὰρ αἰσθητικῆς

---

1 κορίσκος RP 4 καταλειφθέντος a κορίσκου τὸ C 5 τούτου cum Arist. SU (τοῦτο ceteri) 8 ἂν cum Arist. LU (ἐὰν EMY) 11 δοκεῖ S (Arist. praeter U) alt. τὸ om. EYL 12 ὥσπερ cum Arist. EMSUY (ὥσπερ μὴ L) τούτου a (τοῦτο etiam Arist.) αἰσθήσεων RP 13 τὸ δὲ — αἰσθητηρίοις (15) om. Sa 13. 14 τὸ ἐπικρῖνον Arist. praeter EM, cf. v. 28 et ad p. 75,14 15 οὕτω SC: οὕπω RP: οὕτω καὶ τότε a 16 συμβαίη a: συμβῇ ceteri 17 ἐὰν Sa: ἂν CRP 20 ὀλίγα S 21 ἐγρηγοροῦντα CR 23 δακτυλίου e corr. C 24 ὁντιναοῦν Sa: τινὰ CRP δακτύλιον C 25 ὑπέβαλον] ὑποβαλλ P: ὑπέβαλα C ἢ ὑπέβαλον P 27 τῆς et ὑποβολῆς conicio 28 αἰσθάνεται C καὶ Ca (Arist.): om. SRP 29 καὶ post δὲ add. C 32 ἡ om. Arist. EMS αἰσθητικοῦ] cf. ad p. 74,6

ψυχῆς ἡ αἴσθησις καὶ ἡ ἐνέργεια ἐν τούτῳ τῷ πάθει τότε γίνεται· περὶ 145v
αὐτὸ γὰρ ἐνεργεῖ), φαίνεται μέν, λέγει δὲ ὅτι οὐκ ἔστι τὸ φαινόμενον 20
Κορίσκος. ὅτι δὲ πολλάκις ὁρῶντες ἐνύπνια λέγομεν ἔτι ὑπνώττοντες, ὅτι
τοῦθ' ὅπερ ὁρῶ οὐκ ἔστιν ἐνύπνιον, δῆλον τοῖς προσέχουσιν. ἰστέον δὲ
5 ὅτι τινὰ μὲν τῶν ἀντιγράφων ἔχουσι καὶ τοῦ ἐν ᾧ ἡ αἴσθησις τοῦ
αἰσθητικοῦ, τινὰ δὲ καὶ τοῦ πάθους ἐν ᾧ ἡ αἴσθησις τοῦ ὑπνω-
τικοῦ. καὶ τῆς μὲν προτέρας γραφῆς ἡ διάνοια ἤδη εἴρηται, διὰ ταύτης
δὲ εἴη ἂν λέγων πάθος ὑπνωτικὸν τὸ ἐνύπνιον, ἐν ᾧ ἡ αἴσθησις· τούτου
γὰρ τοῦ ἐνυπνίου ἐν τοῖς ὕπνοις αἰσθανόμεθα. ἔστι δὲ τὸ λεγόμενον καὶ
10 ὑπὸ ταύτης καὶ ὑπ' ἐκείνης τὸ αὐτό. 25

p. 462a8 Ὅτι δὲ ἀληθῆ λέγομεν καί εἰσι κινήσεις φανταστικαὶ ἐν τοῖς αἰσθητηρίοις, δῆλον.

Κινήσεις φανταστικὰς αὐτοὺς λέγει τοὺς τύπους τοὺς ἀπὸ τῶν αἰσθη- 48
τῶν ἐν τοῖς αἰσθητηρίοις καὶ δι' αὐτῶν εἰς τὸ πρῶτον αἰσθητήριον, τὴν
15 καρδίαν, ἐγγινομένους. εἰπὼν δὲ ὅτι γίνεται τὰ ἐνύπνια ἀπὸ τῶν εἰδώλων 50
καὶ τῶν τύπων τῶν ἐν τῷ πρώτῳ αἰσθητηρίῳ, ἔδει δὲ ζητεῖν εἰ ὅλως
εἰσὶ τύποι τῶν αἰσθητῶν ἐν τῇ καρδίᾳ, πιστοῦται τοῦτο, λέγω δὴ τὸ εἶναι
τύπους καὶ εἴδωλα ἐν τῇ καρδίᾳ, ἀπὸ τῶν συμβαινόντων τοῖς ἄλλοις αἰσθη-
τηρίοις. εἰ γάρ εἰσιν ἐν τοῖς ἄλλοις αἰσθητηρίοις εἴδωλα, πολλῷ μᾶλλον ἐν τῷ
20 πρώτῳ, ἀφ' οὗ καὶ τοῖς ἄλλοις τὸ εἶναι τάδε τινά ἐστι. δῆλον οὖν, φησίν,
ὅτι εἰσίν, ἐάν τις προσέχων πειρᾶται μνημονεύειν, ἃ πάσχομεν
καταφερόμενοί τε καὶ ἐγειρόμενοι. καὶ οὐ λέγει, ὅτι καὶ ἅμα τῷ
καταφέρεσθαι | καὶ εἰς ὕπνον τρέπεσθαι πάσχομέν τι, ἀλλ' ἔστι τὸ λεγό- 146r
μενον, ὅτι ἃ πάσχομεν ἐγειρόμενοι, ὅταν ἡ ἔγερσις γένηται πλησίον
25 τῆς καταφορᾶς· οἷον εἰ ἐν τῇ ἀρχῇ τῆς πρώτης ὥρας γένοιτο ἡ κατα-
φορά, ἵνα ἡ ἔγερσις γένηται ἐν τῷ ἡμίσει τῆς ὥρας ἢ ἐν τῷ τέλει ἢ
ὅλως σύντομος. ἂν γὰρ ἡνίκα ὑπνώσας τις ἄρξηται ὁρᾶν ἐνύπνιον, εἶτα
ἐγερεῖ αὐτόν τις, ὥσπερ εἴρηται, συντόμως, ὁρᾷ τὰ εἴδωλα πρὸ ὀμμάτων. 5
ἃ γὰρ βλέπει ἐν τῷ ὕπνῳ, ἐγερθεὶς καὶ προσέχων ὁρᾷ αὐτά, ὥσπερ νῦν
30 ἐγὼ τόνδε τὸν χάρτην. εἰ γὰρ καὶ κατῆλθον ἐν τῇ καρδίᾳ, ὅμως αἱ κινή-
σεις αὐτῶν ἔτι ἐμμένουσιν ἐν τοῖς ὀφθαλμοῖς. ὥστε εἰ μὴ ἦσαν κινήσεις
καὶ εἴδωλα τῶν αἰσθητῶν ἐν τοῖς αἰσθητηρίοις, οὐκ ἂν συνέβαινεν ἡμᾶς

1. 2 περὶ—ἐνεργεῖ om. a 5 post τοῦ add. πάθους CRP, fort. recte ἐν ᾧ ἡ αἴσθησις om. CRP τοῦ—πάθους (6) om. P 5. 6 τῆς αἰσθητικῆς CR 6 nostri Arist. libri omnes alteram lectionem habent ἐν ᾧ om. P 8 ὑπνωτικὸν πάθος CRP 9 αἰσθανόμεθα ἐν τοῖς ὕπνοις CRP 11 τὰ ante ἀληθῆ add. RP 12 ἐν τοῖς—δῆλον om. RP 13 κινήσεις φανταστικὰς om. RP 15 γίνονται a 20 ἐστι] εἰσί RP 21 πειρῶτο RP Soph. 24 ἡ om. RP (habet etiam Soph.) 25 τῇ om. Ca γένηται SRP ἡ] ὡς RP 27 an ἡνίκα γάρ, ἂν? γὰρ ὑπνώττων τις ὁρᾶν ἄρξηται Soph. 28 ἐγερεῖ αὐτόν τις Sa: ἐγερεῖ τις αὐτὸν RP: ἐγερθῇ C (Soph.) 30 χόρτον CRP καὶ om. RP κατῆλθεν CP: anceps R 31 αὐτοῦ C

ὁρᾶν Σωκράτην, εἰ οὗτος ἦν ὁ ὁρώμενος ἐν ὕπνῳ, μὴ παρόντος Σωκρά- 146ʳ
τους. ἀλλὰ καὶ ἔνιοι τῶν νέων ὑπό τινος ἐγερθέντες καὶ πάμπαν ἀκριβῶς
διαβλέψαντες εἴδωλα εἶδον ἐνώπιον αὐτῶν ἱστάμενα· ταῦτα δὲ ἦσαν αἱ ἐν 10
τοῖς ὀφθαλμοῖς ἀπὸ τῶν αἰσθητῶν κινήσεις.

5 Ταῦτα εἰπών, συμπεραίνεται λέγων· ἔστι τὸ ἐνύπνιον φάντασμα ἐν
ὕπνῳ. τὸ δὲ ἐν ὕπνῳ ἐπήγαγε διὰ τὸ καὶ τὰ εἴδωλα, ἅπερ ὁρῶσιν οἱ
πάμπαν ἐν σκότει διαβλέποντες, εἶναι μὲν φαντάσματα, οὐκ ἐνύπνια δέ·
τὸ γὰρ ἐν ἐγρηγόρσει φάντασμα οὐκ ἐνύπνιον, ἀλλὰ τὸ ἐν ὕπνῳ φαινό-
μενον φάντασμα, τοῦτό ἐστιν ἐνύπνιον. οὔτε οὖν τὰ εἰρημένα εἴδωλα καὶ
10 φαντάσματά εἰσιν ἐνύπνια, οὔτε ἄλλο τι φαινόμενον λελυμένων, τουτέστιν 15
ἐνεργουσῶν, τῶν αἰσθήσεων. ὁρῶμεν γὰρ φαντάσματά τινα διὰ νόσον
ἐνεργουσῶν τῶν αἰσθήσεων, ἅπερ οὔ φαμεν ἐνύπνια. ἀλλὰ μὴν οὐδὲ πᾶν
τὸ ἐν ὕπνῳ φάντασμα ἐνύπνιόν ἐστι· τὰ γὰρ φαινόμενα ἐν τῷ ὕπνῳ, ὅταν
μὴ κατέχηται τὸ κύριον καὶ τὸ ἐπικρῖνον, φαντάσματα μέν εἰσιν, ἐνύπνια
15 δ' οὔ. εἰπὼν δὲ ὅτι οὐδὲ πάντα τὰ ἐν ὕπνῳ φαινόμενα φαντάσματα ἐνύ-
πνιά εἰσι, τίνα ταῦτά ἐστι λέγει, ὅτι οἱ ψόφοι, ὧν αἰσθάνεταί τις καθεύδων,
καὶ τὸ φῶς καὶ οἱ χυμοί, ταῦτα οὐκ εἰσιν ἐνύπνια. οἱ γὰρ ὑπνώττοντες 20
καὶ μεταξὺ ὄντες τοῦ ἁπλῶς γρηγοροῦντος καὶ ἁπλῶς κοιμωμένου, ἐάν τις
ψοφῇ ἢ φῶς κρατῶν διέρχηται, αἰσθάνονται καὶ τοῦ φωτὸς καὶ τῶν ψόφων,
20 δοκοῦσι δ' ἐν ὀνείρῳ τούτων αἰσθάνεσθαι· ὥστε καὶ πολλοὶ ἐγερθέντες
λέγουσι πρὸς αὐτούς· σὺ ψοφεῖς· σὺ τὸ φῶς κατέχεις· μὰ τὸν ἥλιον ἐδό-
κουν ὅτι ὄναρ ταῦτα ὁρῶ, τάχα δὲ οὐκ ὄναρ ἦν αὐτά, ἀλλ' ἀληθῆ. αἰσθάνον-
ται δὲ τούτων ἀσθενικῶς καὶ οἷον πόρρω· πῇ γὰρ αἰσθάνονται. ὡς
γὰρ ἔχει ὁ ἁπλῶς ἐγρηγορὼς πρὸς τὸν πῇ ἐγρηγορότα, οὕτω καὶ ἡ ἁπλῶς 25
25 αἴσθησις πρὸς τὴν πῇ αἴσθησιν. ἀλλὰ καὶ πολλοὶ καθεύδοντές πῃ, μὴ
ἔχοντες δὲ παντελῶς κεκλεισμένα τὰ βλέφαρα, ἀλλ' ἠρέμα καὶ ὀλίγον
ἀνεῳγμένα, καὶ ὁρῶντες τὸ τοῦ παρακειμένου λύχνου φῶς, ἐγερθέντες
εὐθὺς ἐγνώρισαν τὸ τοῦ λύχνου ὄν, ὅπερ οὐχ ὡς λύχνου ἐνόμιζον
ὁρᾶν, ἀλλ' ὡς ἐνύπνιον, μὴ καθεύδοντες γάρ· οὐ γὰρ ἁπλῶς καθεύδουσιν,
30 ἀλλὰ πῇ. νομίζοντες δὲ καθεύδειν δοκοῦσιν, ὅτι ἅπερ ὁρῶσι καὶ ὅλως
ἅπερ φαντάζονται ἐνύπνιά εἰσιν, μὴ ὄντα ἐνύπνια. καὶ ἀλεκτρυόνων φωνῆς 30
ἀκούοντες καὶ νομίζοντες, ὅτι ἐνύπνιόν ἐστιν, ἐγερθέντες εἶδον τὸν ἀλεκτρυόνα
καὶ εὐθὺς ἐγνώρισαν ὅτι οὐκ ἐνύπνιον τὸ φαινόμενον, ἀλλὰ φάντασμα.
ταῦτα δὲ ὅτι οὕτως ἔχει, ἴσμεν οἱ πειρώμενοι μνημονεύειν τῶν τοιούτων.
35 οἱ δ' ἀποκρινόμενοι ἐν τῷ ἐρωτᾶσθαι, ὅτε ὑπνώττουσι, πολλάκις οὐ μνη-

---

1 ὁ om. CRP, s. s. S 2 post πάμπαν add. καὶ Sa (om. etiam Soph.)
3 βλέψαντες C 5 συμπεραίνει CRP 11 ὁρῶμεν a: ὁρῶ S: ὁρῶσι CRP
νόσον] μέσων CRP 13. 14 ὅταν μὴ κατέχηται a: ὅτε μὴ κατέχεται ceteri
14 τὸ om. S, prius P; fort. recte cf. ad p. 73,13 15. 16 εἰσὶν ἐνύπνια CRP 18 ἐγρη-
γοροῦντος R: ἐγρηγορότος P Soph. 21 post ψοφεῖς add. ἢ CRP Soph. 22 ὅτι
om. CRP ὁρᾶν CRP 23 τούτοις RP πόρρωθεν Arist. 24 ἐγρηγο-
ροῦντα CR 26 ἐγκεκλεισμένα CRP Soph. 27 ἠνεωγμένα CR 31 εἰσιν]
εἶναι CRP 32 δὲ ante εἶδον add. C 35 ἐν om. RP

μονεύουσιν ἐγερθέντες, ὅτι ἀπεκρίθησαν, ἀλλ' ἀγνοοῦσιν. ὥστε δῆλον ὅτι, 146r
ἐπεὶ ἀποκρινόμενοι οὐ μνημονεύουσιν, οὔτε ἁπλῶς γρηγοροῦσιν (ἐμνημόνευον
γὰρ ἄν), οὔθ' ἁπλῶς ὑπνώττουσιν (οὐ γὰρ ἂν ἀπεκρίθησαν), ἀλλὰ πῇ 25
ὑπνώττουσι καὶ πῇ γρηγοροῦσιν. ἀληθεῖς δὲ ἐννοίας παρὰ τὰ φαντά-
5 σματα λέγει τὰς κρίσεις, δι' ὧν ἐν ὕπνῳ κρίνομεν, ὅτι τοῦθ' ὅπερ ὁρῶ
οὐκ ἔστιν ἐνύπνιον.

Σαφῆ δὲ τὰ ἑξῆς. ἐναντίωσιν δὲ ταύτην λέγει τὸ ὁρᾶν ἐνύπνιον
καὶ μὴ ὁρᾶν· τὸ γὰρ μὴ ὁρᾶν ἐναντίον τῷ ὁρᾶν. |

---

2 οὔτι RP ἐγρηγοροῦσιν CRP 3 ἀπεκρίνοντο CR: ἀπεκρίθησαν vel ἀπεκρίναντο Soph. libri 4 post ὑπνώττουσι add. οὐ γὰρ ἂν ἀπεκρίνοντο R ἐγρηγοροῦσιν CRP 7 ἐνύπνια CRP add. τέλος τῶν σχολίων εἰς τὸ περὶ ἐνυπνίων ἀριστοτέλους a

ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ ΠΕΡΙ ΤΗΣ ΚΑΘ ΥΠΝΟΝ ΜΑΝΤΙΚΗΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ. 146v

p. 462b12 Περὶ δὲ τῆς μαντικῆς τῆς ἐν τοῖς ὕπνοις γινομένης καὶ λεγομένης συμβαίνειν ἀπὸ τῶν ἐνυπνίων.

Μετὰ τὸ Περὶ ἐνυπνίων εὐθὺς τάττει τὸ Περὶ τῆς ἐν τοῖς ὕπνοις 17
μαντικῆς. λέγεται δὲ μαντικὴ διὰ τὸ προμαντεύεσθαι καὶ προγινώσκειν,
ἃ μέλλομεν ποιεῖν ἢ πράττειν ὕστερον, παρὰ τῶν ἐνυπνίων. ἀπὸ γὰρ τῶν
ἐνυπνίων προμαντευόμεθα, ὅτι τόδε τι ἡμῖν συμβήσεται. ταύτης δὴ τῆς
μαντικῆς οὔτε καταφρονῆσαι ῥᾴδιον ὡς μὴ ἐχούσης τι σημειῶδες ἢ 20
προμάντευμα τῶν μελλόντων γίνεσθαι (πείθει γὰρ ἡμᾶς ἡ πεῖρα τῶν καθ'
ἑκάστην γινομένων, ὡς ἔχει τι σημειῶδες), οὔτε δεῖ πάλιν πεισθῆναι, ὅτι
τὰ ἐνύπνια αἴτιά εἰσι πάντων τῶν μελλόντων γίνεσθαι, ἀλλὰ τούτων τινὰ
μέν εἰσιν αἴτια, τινὰ δὲ σημεῖα, τινὰ δὲ συμπτώματα. τίνα δὲ τούτων
αἴτια καὶ τίνα σημεῖα καὶ τίνα συμπτώματα, αὐτὸς ἐρεῖ προελθών. εἰπὼν
δὲ ὅτι καὶ τὸ περὶ ἐνίων εἶναι τὴν μαντικὴν ἐν τοῖς ὕπνοις ἐπή-
γαγε· δι' ὃ καὶ περὶ τῶν ἄλλων ἐνυπνίων ὁμοίως ἄν τις οἰηθείη. 25
ἔστι δὲ τὸ περὶ τῶν ἄλλων ἴσον τῷ περὶ πάντων καὶ εἴη ἂν τὸ λεγό-
μενον δυνάμει τοιοῦτον· ἐπεὶ γὰρ ἔνια τῶν ἐνυπνίων ἔχουσι σημειῶδές τι,
οἰηθείη ἄν τις ὅτι καὶ ἁπλῶς πάντα τὰ ἐνύπνια τοιαῦτα τυγχάνει, καὶ
οὐδέν ἐστιν ἐνύπνιον, ὅπερ οὐκ ἔχει τι σημειῶδες. ἀλλὰ τὸ μὲν ἔχειν
τινὰ σημειῶδες δῆλον, τὸ δὲ μὴ λέγειν αἰτίας εὐλόγους πῶς τοῦτο συμ-
βαίνει, ἀλλ' ἀποφαίνεσθαι, ὅτι θεός ἐστιν ὁ ταῦτα πέμπων, ἀπιστεῖν ἡμᾶς
ποιεῖ. ἄλογον γὰρ τὸ τὸν θεόν, ὃς ἑαυτὸν μόνον ὁρᾷ (αὐτὸς γάρ ἐστι 30

---

1. 2 titulum praebet Ca: om. SRP, sed περὶ τῆς καθ' ὕπνον μαντικῆς in mg. S
3 τοῖς om. RP γενομένης a 3. 4 λεγομένης καὶ γινομένης S 5 ἐνυπνίων a: ὕπνου CRP: μνήμης S, cf. p. 60,2 6 λέγει δὲ μαντικὴν S πραγματεύεσθαι RP 7 ὕστερον ποιεῖν ἢ πράττειν CRP παρὰ Sa: ἀπὸ CRP
8 πραγματευόμεθα RP 10. 11 καθ' ἕκαστον a 11 πάλιν δεῖ CRP
12 πάντων post γίνεσθαι CRP 14 prius καὶ τίνα] τίνα δὲ S ἐρεῖ προελθών S: προελθὼν ἐρεῖ a: ἐρεῖ προϊὼν CRP 15 ὕπνοις cum Arist. S (ἐνυπνίοις ceteri)
17 πάντων in textu habet Arist. M 18 ἐπειδὴ CRP 19 τυγχάνουσι C
20 οὐδέ C 23 cf. locos Arist. apud Bonitzium, Ind. p. 325a17

τὸ ἀεὶ νοοῦν καὶ ἀεὶ νοούμενον), εἰς τοιαῦτα κατάγειν καὶ κατασπᾶν. ὅτι δὲ 146ᵛ
τοῦ θεοῦ ἀφαιρεθέντος οὐδὲν ἄλλο φαίνεται εὔλογον, οὐκ ἄδηλον. τὸ γὰρ
προορᾶν ἡμᾶς τινα πράγματα, ἃ μέλλει συμβαίνειν ἐν ταῖς Ἡρακλείαις
στήλαις ἢ ἐν Βορυσθένει, ὑπὲρ ἡμᾶς ἐστι τὸ λέγειν τὸ αἴτιον τούτου. ὅτι
5 δὲ ἡ ὑποδρομὴ τοῦ ἀστέρος σημεῖόν ἐστιν ἐκλείψεως, δῆλον. οὕτω γὰρ
καὶ λέγομεν· σημεῖον δὲ ὅτι ἐκλείπει· καὶ γὰρ ὁ ἀστὴρ ὑπεισῆλθεν.

p. 463ᵃ3 Ἆρ' οὖν ἐστι τῶν ἐνυπνίων τὰ μὲν αἴτια καὶ σημεῖα, 25
οἷον τῶν περὶ σῶμα συμβαινόντων;

Τὸ τῆς λέξεως κατάλληλον τοιοῦτόν ἐστι· τῶν ἐνυπνίων τὰ μέν ἐστιν
10 αἴτια, τὰ δὲ σημεῖα· αἴτια μὲν ὅσα φανέντα τὴν διάνοιαν ἐπὶ τὰς ἐνεργείας 45
ἐφίστησιν, ὑπομνήσαντά τινος τῶν πρώτων (τί δὲ τοῦτό ἐστι, μετὰ βραχὺ
γνωσόμεθα), σημεῖα δέ δι' ὧν παρίσταται σωματικὰ πάθη ἢ ψυχικά.
εἰπὼν δὲ τὰ προσεχῶς ῥηθέντα επήγαγεν· εὔλογον δὲ οὕτως ὑπο-
λαβεῖν καὶ τοῖς τεχνίταις μέν, σκοπουμένοις δέ τι καὶ φιλοσοφοῦσιν.
15 ἔστι δὲ τὸ λεγόμενον· οὐ μόνον τοῖς ἰατροῖς προσήκει σφόδρα προσέχειν
τοῖς ἐνυπνίοις, ἀλλὰ καὶ ἡμῖν τοῖς τεχνίταις καὶ φιλοσοφοῦσι περί τινος.
ἀλλὰ πῶς ἐν τῇ νυκτὶ γίνονται κινήσεις τινές, οἷον φλέγματος κατάρρυσις 50
καὶ ἄλλα τινά, ἃ λέγομεν εἶναι σημεῖα τῶν μελλόντων συμβαίνειν ἡμῖν, ἐν
δὲ τῇ ἡμέρᾳ οὐ γίνονται; ἤ φησιν, ὅτι γίνονται καὶ ἐν τῇ ἡμέρᾳ. | αἱ 147ʳ
20 γὰρ μεθ' ἡμέραν, τουτέστιν αἱ ἐν τῇ ἡμέρᾳ, γινόμεναι κινήσεις, ἂν
μὴ σφόδρα μεγάλαι ὦσι καὶ ἰσχυραί, λανθάνουσι. γίνονται οὖν,
φησί, καὶ ἐν τῇ ἡμέρᾳ τοιοῦται κινήσεις, ἀλλὰ διὰ τὸ μὴ εἶναι μεγάλας
λανθάνουσιν ἡμᾶς· ἐκκρούονται γάρ, ὡς εἴρηται, ὑπὸ τῶν μεθ' ἡμέραν
κινήσεων μεγάλων οὐσῶν τῶν γινομένων ἐν τοῖς αἰσθητηρίοις ὑπὸ τῶν
25 αἰσθητῶν. ἂν γὰρ μὴ ὦσι, φησί, σφόδρα μεγάλαι καὶ ἰσχυραί, ἀλλὰ 5
μικραί, λανθάνουσι. μεγάλων μὲν γὰρ οὐσῶν οὐ γίνεται λήθη, μικρῶν δὲ
γίνεται· τῶν γὰρ αἰσθητῶν αἱ κινήσεις μεγάλαι οὖσαι ἐμποδίζουσιν αὐτὰς
καὶ οὐκ ἐῶσιν αἴσθησιν ἐμποιεῖν. ἐν δὲ τῷ καθεύδειν διὰ τὸ ἀργεῖν
τὰ αἰσθητήρια καὶ αἱ μικραὶ μεγάλαι δοκοῦσιν. ὅτι δὲ καὶ αἱ μικραὶ
30 μεγάλαι δοκοῦσι, πιστοῦται ἐκ τῆς ἐπαγωγῆς· μικροῦ γὰρ ἤχου ἐν τῷ

---

1 ὁ ἀεὶ νοῶν C · καὶ τὸ ἀεὶ a καὶ πάντα σπᾶν R 2 τοῦ om. a expectes τοῦ pro τὸ, sed v. Arist. p. 462ᵇ24 3 τινα legit cum Arist. SU (τινας ceteri) μέλλειν C συμβαίνει τοῖς οἰκοῦσιν ἐν a ἡρακλείοις S: ἡρακλέους RP 4 βορυσθενίτη C τὸ (post ἐστι) om. CRP 5 ἡ om. a 7 ἐστι] εἰσι a (Arist. L) post αἴτια add. εἶναι a cum Arist. Y καὶ cum Arist. SU] τὰ δὲ a (Arist. EMY) 8 τὸ ante σῶμα add. a (Arist.) 12 γνωσόμεθα] p. 80,13 ἢ ψυχικὰ πάθη CRP Soph. 13 προσεχῇ RP καὶ ante οὕτως add. S 14 τοῖς cum Arist. L (τοῖς μὴ ceteri) 15 ὅτι ante οὐ add. RP προσῆκον C προσέχειν σφόδρα CRP 18 εἶναι om. CRP συμβαίνειν S: συμβαίνει a: συμβῆναι CRP 20 καθ' ἡμέραν CRP ἐὰν Arist. EMY 21 ὦσι μεγάλαι CRP 22 φησιν ἐν CRP μὴ om. S 23 εἴρηται] p. 460ᵇ32 μεθ' ἡμέραν a: om. ceteri 27 αἰσθητηρίων CRP 30 τῶν ἐπαγωγῶν CRP

καθεύδειν γεγονότος ἐν τοῖς ὠσὶ δοκοῦμεν βροντᾶσθαι. τοῦτο δὲ οὐκ ἂν 147r
ἡμῖν ἐδόκει, εἰ μὴ αἱ μικραὶ κινήσεις μεγάλαι ἐδόκουν ἐν τοῖς ὕπνοις. 10
δοκοῦσι δὲ μεγάλαι διὰ τὸ τὰ αἰσθητήρια τότε ἀργεῖν.

p. 463a16 Ἐπεγειρομένοις δὲ ταῦτα φανερὰ τοῦτον ἔχοντα τὸν τρόπον.

Τουτέστιν ἐγερθεῖσι δὲ φανερὸν γίνεται, ὅτι ταῦτα πάντα μικρά ἐστιν. ἐγερθέντες γὰρ ἔτι ἔχομεν αἴσθησιν καὶ τοῦ ἐν τοῖς ὠσὶ μικροῦ ἤχου, ὅτι μικρός ἐστι, καίπερ μεγάλου ἐν τοῖς ὕπνοις δοκοῦντος, καὶ τῶν ἄλλων πάντων· ἃ σαφῶς καταλέγει. πιστωσάμενος δέ, ὅτι ἐν τοῖς ὕπνοις αἱ μικραὶ κινήσεις διάδηλοι γίνονται, λέγει ὅτι ταῦτά ἐστι καὶ σημεῖα τῶν 15 μελλόντων ἡμῖν συμβαίνειν. τὸ γὰρ δοκεῖν ἐν τοῖς ὕπνοις μέλιτος ἀπογεύεσθαι σημεῖόν ἐστι τοῦ μέλλειν ἡμᾶς νοσῆσαι· ἀρχὴ γὰρ τῆς νόσου τὸ φλέγμα. καὶ ἐπεὶ πάντων αἱ ἀρχαὶ μικραί, ὡς εἴρηται πολλάκις, τῷ μεγέθει, τῇ δὲ ποιότητι καὶ τῇ δυνάμει μεγάλαι, καὶ αἱ τῶν νόσων ἀρχαὶ μικραὶ ἂν εἶεν. ἀλλὰ μὴν τὰ μικρὰ δέδεικται ὅτι ἐν τῷ καθεύδειν γίνονται δῆλα· καὶ αἱ τῶν νόσων ἄρα ἀρχαὶ ἐν τῷ καθεύδειν ἔσονται δῆλαι. εἰ δὲ τοῦτο, 20 φανερόν, ὅτι ἔνια τῶν ἐν τοῖς ὕπνοις σημεῖά ἐστι τῶν μελλόντων ἡμῖν περὶ τὸ σῶμα συμβαίνειν παθῶν. ἐγὼ γὰρ ἰδὼν ἐν ὕπνῳ ὤν, ὅτι διηρχόμην ἔν τινι τόπῳ βορβορώδει καὶ δυσώδει, μετ' ὀλίγας ἡμέρας νενόσηκα· οἱ γὰρ παχεῖς καὶ γλισχροὶ καὶ σεσημμένοι χυμοί, οἵπερ αἴτιοι γεγόνασι τοῦ νοσῆσαί με, ἐν τῷ καθεύδειν γεγόνασί μοι διάδηλοι. ἦν οὖν σημεῖον ἡ ἐμὴ πρὸς τὸν βορβορώδη τόπον παρέλευσις τοῦ νοσῆσαί με. δι' ὃ προσέχειν χρὴ τοῖς τοιούτοις.

p. 463a17 Ὥστ' ἐπεὶ μικραὶ πάντων αἱ ἀρχαί. 25

Ἐπεὶ οὖν, φησί, μικραὶ πάντων αἱ ἀρχαί, δηλονότι καὶ τῶν νόσων καὶ τῶν ἄλλων παθημάτων τῶν ἐν τῷ σώματι μελλόντων γίνεσθαι μικραὶ ἔσονται· τοῦτο γὰρ λείπει. εἰ δὲ τοῦτο, φανερόν, ὅτι ἐν τοῖς ὕπνοις ἔσονται 30 καταφανεῖς. ὡς γὰρ εἴρηται, τὰ μικρὰ ἡμῖν τότε δῆλα γίνεται. ὥστε οὐδὲν θαυμαστόν, εἰ αἱ μικραὶ κινήσεις ἐν τοῖς ὕπνοις τῶν ἐσομένων αἴτιαι ἡμῖν γίνονται.

---

3 ἀργεῖν a: ἀργεῖν. δοκοῦσι μὲν οὖν μεγάλαι ceteri 6 δὲ om. RP 7 ἔχομεν ἔτι CRP 8 μικρά RP μεγάλα P: anceps R δοκοῦντα RP
9 δέ om. C 10 κατάδηλοι CRP 13 εἴρηται] De gen. anim. E 7 p. 788a13
13. 14 τῷ δὲ μεγέθει καὶ τῇ ποιότητι μεγάλαι CRP 15 ἂν εἶεν Sa: μὲν εἶεν ἂν CRP
16 ἄρα om. RP 18 συμβαίνειν περὶ τὸ σῶμα παθῶν CRP ὤν om. P
20 σεσημμένοι SCRP Soph.: νενοσημένοι a 20. 21 τοῦ νοσῆσαί με Sa: μοι τῆς νόσου CRP 25 ἀπάντων S πάντων αἱ ἀρχαὶ μικραί C 26 τῷ—ὅτι ἐν (27) om. P τοῖς σώμασι C 28 γίνονται a 29 οὐδὲ RP 29. 30 ἡμῖν αἰτίαι CRP, αἰτίαι etiam Sa

p. 463ª21 Ἀλλὰ μὴν καὶ ἔνια γε τῶν καθ' ὕπνον φαντασμάτων 147r
αἴτια εἶναι τῶν ἑκάστου πράξεων, οὐκ ἄλογον.

Εἰπὼν τίνα εἰσὶ τῶν ἐνυπνίων σημεῖα, λέγει καὶ τίνα αἴτια, καί φησιν· ὥσπερ μέλλοντες πρᾶξαί τι ἢ καὶ πράσσοντες ἐν τοῖς ὕπνοις εὐθυονείρως τούτοις σύνεσμεν (οὕτως γὰρ εὐθυονειροῦμεν, ὡς μὴ ἄλλο τι, ἀλλ' ἐκεῖνο αὐτὸ ἀπαραλλάκτως θεᾶσθαι, ὅπερ ἐπράττομεν), αἴτιον δὲ τοῦ ὁρᾶν ἐν τοῖς ὕπνοις τὰ πραττόμενα ἡμῖν ἐγρηγορόσιν τὸ προοδοποιεῖσθαι τὴν διάνοιαν ἡμῶν ἀπὸ τῶν πράξεων (ὡς γὰρ τὰ πεπονθότα σώματα ἐπιτηδείως περιπίπτει ταῖς νόσοις, οὕτω καὶ ἡ προοδοποιηθεῖσα καὶ προκινηθεῖσα διάνοια ὑπὸ τῶν ἐγγινομένων ἐν τῇ καρδίᾳ κινήσεων εὐθυονείρως αὐτοῖς σύνεστιν), ὡς οὖν ἐπὶ τούτων, οὕτω πολλάκις ἀναγκαῖον καὶ τὰς καθ' ὕπνον κινήσεις ἀρχὴν εἶναι τῶν καθ' ἡμέραν πράξεων. ὅσα γὰρ φανέντα ἐν τοῖς ὕπνοις τὴν διάνοιαν ἐπὶ τὰς ἐνεργείας ἐφίστησιν, ὑπομνήσαντά τινος τῶν πρώτων, ταῦτα αἴτια λέγομεν. ὡς γὰρ ἐγρηγορότες πολλάκις διανοούμεθά τι, ὅπερ αἴτιον ἡμῖν γίνεται τοῦ ποιῆσαι ἢ πρᾶξαι ἢ εὑρεῖν ἄλλο τι (διανοηθεὶς γάρ τις ἐξαίφνης τι καὶ ἐκ τούτου εὑρηκὼς ἄλλο τι λέγει τοῦ εὑρεθέντος αἴτιον εἶναι τὸ διανοηθέν), οὕτω καὶ ἐν τοῖς ὕπνοις ἠρεμοῦσα ἡ διάνοια ἐκ τῶν ἐν τῇ καρδίᾳ τύπων διανοεῖται ἄλλο τι, ὑφ' οὗ συμβαίνει πρᾶξαι ἄλλο τι, καί φαμεν, ὅτι τοῦ πραχθέντος αἴτιον τὸ φανέν. ὅτι δὲ ἀπὸ ἄλλων τινῶν συμβαίνει ἡμᾶς ἄλλα διανοεῖσθαι, δῆλον. ἰδὼν γὰρ πολλάκις λύραν διενοήθην Σωκράτην, καὶ ἐκ Σωκράτους τρίγωνον. καὶ οὐ δὴ τὸ ἄλλου αἴτιον ἄλλου φαμέν. ἐπεὶ καὶ ὁ κόπος, αἴτιος ὢν τοῦ πυρετοῦ, ἄλλος ἐστὶ παρὰ τὸν πυρετόν. καὶ ἐγὼ δὲ πολλάκις ἐν ὕπνῳ ῥόδα λευκὰ ἰδὼν μεθ' ἡμέραν ἔλαβον παρά τινων δῶρα. ἃ δὴ ῥόδα αἴτια καὶ ἀρχὴν τῶν δώρων λέγομεν. ἔστιν οὖν, ὥσπερ ἡ ἐν τῇ ἡμέρᾳ πρᾶξις αἰτία τῶν ἐν νυκτὶ γινομένων | ἡμῖν ἐνυπνίων ἢ φαντασμάτων, οὕτως 147v
οὐδὲν κωλύει καί τινα φαντάσματα αἴτια εἶναι τῶν μεθ' ἡμέραν πράξεων. ταῦτα δὲ ἁρμόζει ἐπὶ τῶν πράξεων λέγεσθαι τῶν ὑφ' ἡμῶν πραχθησομένων οὐ διὰ μακροῦ, ἀλλὰ συντόμως. τὰ μὲν οὖν ὡς αἴτια καὶ σημεῖα ταῦτα.

---

2 ἑκάστου RP: ἑκάστων C: anceps S: οἰκείων ἑκάστῳ a (Arist.) εὔλογον C
3 νῦν ante λέγει add. CRP post φησιν add. ὅτι CRP 4 ἐν τοῖς ὕπνοις πράσσοντες Sa εὐθυονείροις—ὕπνοις (7) om. RP 7 ἐγρηγορόσιν] ὁρῶμεν P, e corr. R τὸ] τῷ P, e corr. R προοδοποιῆσαι C 8. 9 πίπτει CRP 12 ἀρχὰς CRP (Arist. EMY) ante τῶν add. πολλάκις CRP καθ' ἡμᾶς C 16 διανοηθεὶς—εἶναι τὸ (17) om. Sa 17 διανοηθέν] δυνηθῆναι a 18 ὑφ'—ἄλλο τι (19) (τί ἕτερον RP) SCRP: om. a 20 ἄλλα συμβαίνει ἡμᾶς CRP 21 διενοήθη P: anceps R ἐκ Σωκράτους SC: σωκράτην RPa 22 δὴ Sa: δεῖ εἰ C, prius R: δεῖ θαυμάζειν εἰ P, e corr. R ἄλλου S: ἄλλω C: ἄλλο RP: τινὸς a alt. ἄλλου] ἐκεῖνο a: ἄλλο conicio φανῆ P, e corr. R post φαμὲν add. εἶναι τὸ αἰτιατόν a καὶ ὁ om. Sa 23 δὲ om. P 24 ῥόδον ἰδὼν RP παρά τινων δῶρα μεθ' ἡμέραν ἔλαβον C: ἀπό τινων μεθ' ἡμέραν δῶρα ἔλαβον RP ἃ] τὰ a ῥόδα] τῶν δώρων RP αἴτιον a 25 τῶν δώρων SC (post λέγομεν C): τῶν ῥόδων a: om. RP ἔστιν οὖν] in epanalepsi v. 27 anacoluthon oritur ἡ] καὶ CRP ταῖς ἡμέραις a 26 ἐν τῇ νυκτὶ φαινομένων RP ἐνυπνίων ἢ om. CRP

p. 463a31 Τὰ δὲ πολλὰ συμπτώμασιν ἔοικε. 147v

Λέγει δὲ ὑπερβατὰ τὰ ὑπὸ ἄλλων πραχθησόμενα καὶ ἁπλῶς, ὧν μὴ 22
ἔστιν ἐν ἡμῖν ἡ ἀρχή. ποῦ γὰρ ἐν ἐμοὶ ἀρχὴ τῆς μελλούσης ἐν Περσίδι
γίνεσθαι ναυμαχίας ἢ πολέμου; ἀλλ' ὅμως συμβαίνει ἢ καθαρώτατα ἰδεῖν
5 με, ὅτι γίνεται ἐν Περσίδι πόλεμος, καὶ ἀποβῆναι τοῦτο καὶ γενέσθαι, ἢ
καὶ αἰνιγματωδῶς· λέγω δὲ αἰνιγματωδῶς, ὅταν ἀπ' ἄλλου ἄλλο ἀποβῇ, 25
οἷόν τί φημι· ἐθεάσατο ὁ ἐμὸς ἑταῖρος ἐν ὕπνῳ, ὡς ἀπέστειλεν αὐτῷ γυνή
τις μηλοπέπονας λεπτοὺς καὶ ἐπιμήκεις, ἔχοντας οὐρὰς σκορπίων· μετὰ δὲ
ὀλίγας τινὰς ἡμέρας ἐλυπήθη ὑπ' ἐκείνης τῆς γυναικός. εἰσὶν οὖν ἄλλο
10 μὲν οἱ μηλοπέπονες, ἄλλο δὲ τὸ ἀποβάν, ἡ λύπη. σαφηνίζει δὲ αὐτός,
πῶς ἐοίκασι συμπτώμασι, καί φησιν· ὥσπερ γὰρ πολλάκις συμβαίνει, μεμνη-
μένον ἐμὲ Σωκράτους, ἐλθεῖν Σωκράτην, οὕτω καὶ ἰδόντα ἐν ὕπνῳ ναυμα- 30
χίαν, συμβαίνει γίνεσθαι ναυμαχίαν. καὶ ὥσπερ οὐκ ἔστι τῆς τοῦ Σωκρά-
τους ἀφίξεως αἴτιον τὸ μεμνῆσθαι ἐκείνου, ἀλλὰ συμβαίνει, μεμνημένον με
15 ἐκείνου, παραγεγονέναι, οὕτως οὐδὲ τὸ ἐνύπνιον αἴτιόν ἐστι τῆς ναυμαχίας,
ἀλλὰ σύμπτωμα. καὶ διὰ τὸ εἶναι συμπτώματα τὰ πολλὰ τῶν ἐνυπνίων
οὐκ ἀποβαίνει.

Ὅτι δὲ πολλὰ τῶν ζῴων ὀνειρώττει, δῆλον· κύνες γὰρ κοιμώμενοι
μινυρίζουσιν. εἰσὶν οὖν τὰ ὄναρ θεάματα θεόπεμπτα μὲν οὐδαμῶς, ὥσπερ
20 εἴρηται, δαιμόνια μέντοι· ἡ γὰρ φύσις ἡμῶν δαιμονία οὖσα προορᾷ τὰ 35
μέλλοντα, ὥσπερ εἴρηται. λέγει δέ, ὅτι ὅσων ἀνθρώπων ἡ φύσις ἐστὶν
ὡσπερεὶ λάλος καὶ μελαγχολική, οὗτοι παντοδαπὰς ὄψεις ὁρῶσιν. ὡς γὰρ
οἱ λάλοι πολλὰ λέγουσιν, οὕτω καὶ οἱ μελαγχολικοὶ διὰ τὴν πολλὴν κίνησιν
παντοδαπὰ βλέπουσιν (ἡ γὰρ μελαγχολία, ὡς πολλάκις εἴρηται, πνεύματός
25 ἐστι πολλοῦ καὶ σφοδροῦ κίνησις) καὶ διὰ τὸ πολλὰ κινεῖσθαι μᾶλλον ἐπι-
τυγχάνουσιν. ὡς γὰρ οἱ ἐρίζοντες οὐχ ἓν ἁρπάζουσι, εἴτε στέφανος εἴθ'
ὅτι ἂν εἴη τὸ ῥιπτούμενον, ἀλλὰ πολλά (καὶ γὰρ τὰ ῥιπτούμενα πολλά), 40
οὕτω καὶ οἱ μελαγχολικοὶ διὰ τὸ πολλὰς κινεῖσθαι κινήσεις (ἐν κινήσει
γὰρ ἀεὶ τὸ ἐν τῇ καρδίᾳ αὐτῶν πνεῦμα καὶ αἷμα) πολλῶν ἐπιτυγχάνουσι.
30 καὶ ὥσπερ, φησί, καὶ λέγεται· ἂν πολλὰ βάλῃς, ἄλλοτε ἀλλοῖον

---

4 γίνεσθαι ναυμαχίας a: γενέσθαι ναυμαχίας S: ναυμαχίας γενέσθαι CRP πόλεμος C καθαρώτερον RP: καθαρωτέρως C 5 γίνεται] ἔσται CRP τοῦτον RP 6 λέγω δὲ (δὴ a) αἰνιγματωδῶς Sa: om. CRP καὶ ante ἄλλο add. RP 7 καθ' ὕπνον RP 9 τινὰς om. SP ἐλυπήθην C μὲν post εἰσὶ add. CRP ἄλλοι RP 10 μὲν om. RP 11 συμβαίνει om. RP 11. 12 μεμνημένου ἐμοῦ RP 12 Σωκράτους] σωκράτην C 13 γενέσθαι RP 14 με post μεμνῆσθαι add. CRP μεμνημένου μου CRP 15 παραγενέσθαι RP ἐστὶ] γίνεται a 16 εἶναι σύμπτωμα RP τὰ a: om. ceteri 19 οὖν] μὲν RP 20 ἡμῶν om. RP 21 ἐστὶν ἡ φύσις CRP 22 ὡσπεραεὶ CRP (Arist. EMYL) 23 πολλὰ] παντοδαπὰ CRP 24 ἡ] ὡς CRP πολλάκις εἴρηται post γὰρ add. CRP ὡς πολλάκις εἴρηται S: om. ceteri, v. p. 39,22 26 εἴτε στέφανος εἴθ' a: μῆλον ἢ στέφανον ἢ C: μᾶλλον ἢ στ. ἢ S: μῆλον ἢ ὀστέον ἢ RP 27 ῥιπτόμενον RP πολλὰ τὰ ῥιπτούμενα RP Soph. 29 καὶ αἷμα om. CRP 30 καὶ (post φησί) om. a βάλῃς S (Arist. S)

βαλεῖς, οὕτω καὶ ἐπὶ τούτων. ἢν γάρ τις ἕνα ὀϊστὸν βάλλῃ, ἢ οὐδ' ὅλως 147ᵛ
ἂν ἐπιτύχῃ ἢ ἅπαξ· ὁ δὲ πολλούς, ἄλλοτε ἄλλο μέρος ἀνάγκη τῆς θύρας
μεταβάλλειν. ὡς οὖν ἐπὶ τούτων, οὕτω καὶ ἐπὶ τῶν πολλὰς ὄψεις ὁρών- 45
των· ἀνάγκη γὰρ καὶ τούτους πολλῶν ἐπιτυγχάνειν.

5 Ἡ μὲν οὖν διάνοια αὕτη, ἡ δὲ λέξις ἡ ὁμοίοις θεωρήμασιν
ἐπιτυχεῖς ὄντες τούτοις ἢ παρέλκει ἢ εἴη ἂν λέγουσα· τὰ ἐπὶ τοῖς
ὕπνοις ἐπιτυγχανόμενα θεωρήματα ὅμοιά εἰσι τοῖς ἁρπαζομένοις ὑπὸ τῶν
ἐριζόντων. οὐκ ἀποβαίνουσι δέ, φησί, πάντα τὰ ὀνείρατα, διότι οὐδὲ πάν-
των τῶν σημείων τῶν μελλόντων γίνεσθαι ἐν τοῖς ἡμῶν σώμασιν ὁρῶμεν
10 ἀπόβασιν. εἶδε γάρ τις, ὅτι βαδίζει εἰς νοσώδη τόπον, καὶ ἦν τοῦτο
σημεῖον τοῦ μέλλειν αὐτὸν νοσῆσαι· οὐ νενόσηκε δὲ διὰ τὸ γεγονέναι ἄλλην 50
ταύτης κυριωτέραν κίνησιν. διεγερθεῖσα γὰρ ἡ φύσις καὶ συμπέψασα τοὺς
χυμούς, ἀφ' ὧν ἔμελλε νοσῆσαι, οὐ νενόσηκεν. ἀλλὰ μὴν οὐδὲ τὰ τῶν
ὑδάτων σημεῖα πάντα ἀποβαίνει. ἔστι μὲν γὰρ σημεῖον βροχῆς ἡ ὑπὸ
15 σελήνην συνισταμένη ἅλως, ἀλλ' ὅμως πολλάκις γεγονυῖα, οὐ βρέχει διὰ
τὴν ἐξαίφνης τῆς ξηρᾶς ἀναθυμιάσεως ἐπικράτειαν· πνεύματος δὲ σημεῖόν
ἐστι τὸ μὴ ὁλόκυκλον φανῆναι τὴν σελήνην, ἀλλ' ἡμίσειαν, | ὡς ἐν τοῖς 148ᵛ
Μετεώροις δέδεικται. ἂν οὖν ἄλλη, φησί, γένηται κίνησις κυριωτέρα τῆς
κινήσεως, ἀφ' ἧς συνέστη ἡ ἅλως, ἤτις ἅλως σημεῖον ἦν βροχῆς, οὐ γίνεται
20 βροχή. τὸ δὲ μελλούσης παρέλκει. ὅτι δὲ πολλὰ καλῶς βουλευθέντα
οὐκ ἀποβαίνει ἢ διὰ θάνατον τῶν βουλευσαμένων ἢ δι' ἄλλας τινὰς αἰτίας,
οὐδεὶς ἀγνοεῖ. τὸ δὲ ὅλως γὰρ οὐ πᾶν γίνεται τὸ μελλῆσαν ἴσον
ἐστὶ τῷ 'οὐ πᾶν γίνεται τὸ μέλλον γενέσθαι'. ἐσόμενον δ' ἐστὶ τὸ μέλλον 5
ἐξ ἀνάγκης γενέσθαι, μέλλον δὲ τὸ ἐνδεχόμενον καὶ γενέσθαι καὶ μὴ γενέ-
25 σθαι, ὡς ἐν τῷ Περὶ γενέσεως καὶ φθορᾶς εἴρηται.

p. 463ᵇ31 Περὶ δὲ τῶν μὴ τοιαύτας ἐχόντων ἀρχὰς ἐνυπνίων, ἀλλ' ὑπερορίας ἢ τοῖς χρόνοις.

Ὑπερόρια τοῖς χρόνοις λέγεται, ἅπερ ἀποβαίνει μετὰ πολὺν χρόνον.
τὸ δὲ ἢ τοῖς τόποις ἢ τοῖς μεγέθεσιν ἐκ παραλλήλου κεῖται, ἔστι 10
30 δὲ τὸ λεγόμενον δυνάμει τοιοῦτον· περὶ δὲ τῶν ἐνυπνίων τῶν μὴ ἐχόν-
των ἀρχάς, ὧν ἡμεῖς μέλλομεν πράττειν (τοῦτο δὲ ταὐτόν ἐστι τῷ 'περὶ
δὲ τῶν ἐνυπνίων τῶν μὴ ὄντων αἰτίων, ὧν ἡμεῖς μέλλομεν πράττειν'·

---

1 βάλης S: βάλλεις C Arist. EMY βάλλῃ a: βαλεῖ ceteri 2 ἐπιτύχ RP: ἐπιτύχοι conicio 2. 3 ἀνάγκη ἄλλοτε ἄλλο τῆς θύρας μέρος βάλλειν CRP 4 τούτους SRP: τούτοις a: τοῦτον C 5 tert. ἡ om. RP 6 post ὄντες add. ἐν Arist. 8 πάντα] πᾶν a 10 δυσώδη RP: in mg. βορβορώδη S (cf. Soph.) 11 καὶ ὅμως οὐ νενόσηκε CRP 12 ταύτης om. CRP 13 ἤμελλε SR οὐκ ἐνόσησεν S 14 σημεῖον μὲν γὰρ ἔστι CRP 15 γεγονυίας RP 17. 18 ἐν τοῖς Μετεώροις] Γ 5 p. 376ᵇ26 ? 19 ἅλως (post ἤτις) om. RP 21 δῆλον post ἀποβαίνει add. CRP 22 οὐδεὶς ἀγνοεῖ om. CRP ὅλως τὲ γὰρ C μελλῆσαν a, prius R: μελῆσαν ceteri Soph. AB 24 καὶ (ante γενέσθαι) om. S 25 ἐν τῇ CRP Περὶ γενέσεως καὶ φθορᾶς] B 11 p. 337ᵇ4 ss. 26 post ἐνυπνίων add. οἷας εἴπομεν a (Arist. EMY) 28 ὑπερορία CR λέγει a

τὸ γὰρ ἐνύπνιον τὸ ἐμοὶ μὲν ὀφθέν, αἴτιον δὲ ὂν τοῦ μέλλοντος ἐν Περσίδι 148r
πραχθήσεσθαι πολέμου οὐκ ἔχει ἀρχὴν οὐδ' ἐστὶν αἴτιον τοῦ μέλλοντος
ὑπ' ἐμοῦ πραχθῆναι· οὐ γὰρ ὑπ' ἐμοῦ ὁ τοιοῦτος πόλεμος πραχθήσεται),
περὶ μὲν δὴ τούτων οὐ χρὴ λέγειν. δῆλον γάρ, ὅτι ταῦτα πάντα τὰ ἐνύπνια 15
5 οὐκ εἰσι κυρίως αἴτια, καίπερ αἴτια λεχθέντα καταχρηστικῶς τῷ αἰτίῳ ἐπὶ
τούτων χρησαμένων ἡμῶν, ἀλλὰ συμπτώματα.

p. 464ᵃ3 Μὴ μέντοι γε ἐν αὐτοῖς ἐχόντων τας ἀρχὰς τῶν ἰδόντων τὸ ἐνύπνιον.

Τὸ λεγόμενόν ἐστι· περὶ δὲ τῶν ἐνυπνίων τῶν ἐχόντων ἀρχήν τινα
10 τῶν μελλόντων ὑπ' ἄλλου πραχθῆναι, ἀλλ' οὐχ ὑφ' ἡμῶν, ὄντος δὲ τοῦ 20
μέλλοντος πρᾶξαι γείτονος καὶ ὅλως μὴ πόρρω κατὰ πολὺ ἡμῶν ὄντος,
ἀλλ' ἐγγύς (περὶ γὰρ τῶν ὑπὸ τῶν πόρρω ὄντων πραχθήσεσθαι μελλόντων
εἴπομεν ὡς οὐ χρὴ λέγειν), περὶ μὲν δὴ τῶν ἐνυπνίων τῶν ἐχόντων ἀρχάς,
ὧν μέλλει ὁ γείτων πράττειν (τῶν γὰρ ὑπὸ τοῦ γείτονος πραχθῆναι μελλόν-
15 των οὐκ ἐπ' ἐμοὶ ἡ ἀρχὴ τῆς τούτων πράξεως, ἀλλ' ἐπὶ τῷ μέλλοντι ταῦτα
πρᾶξαι, εἰ μὴ λέγοι τις, ὅτι καὶ ταῦτα συμπτώματά ἐστιν, ὥσπερ καὶ τὰ
ἔχοντα ἀρχὴν τῶν μελλόντων ἐν Περσίδι πραχθῆναι), τοιαῦτα ἂν εἴη μᾶλλον 25
ἢ ὥσπερ λέγει Δημόκριτος. ἐκεῖνος γὰρ ἔλεγεν εἴδωλά τινα ἐμπελάζειν
τοῖς ἀνθρώποις, καὶ τούτων τὰ μὲν εἶναι ἀγαθοποιά, τὰ δὲ κακοποιά (ὅθεν
20 καὶ εὔχεται εὐλόγχων τυχεῖν εἰδώλων)· εἶναι δὲ ταῦτα ὑπερμεγέθη καὶ
δύσφθαρτα μέν, οὐκ ἄφθαρτα δέ, προσημαίνειν τε τὰ μέλλοντα τοῖς ἀνθρώ-
ποις, θεωρούμενα καὶ φωνὰς ἀφιέντα· ὧν φωνῶν καὶ ἐν τοῖς ὕπνοις αἰσθανό-
μεθά πως. λέγει δὲ οὗτος, ὅτι οὐκ εἴδωλα χρὴ αἰτιᾶσθαι (τοῦτο γὰρ 40
πολλάκις δέδεικται ψεῦδος), ἀλλὰ κινήσεις τινάς· ὑφ' ὧν κινήσεων σχη-
25 ματιζομένου τοῦ ἀέρος καὶ διὰ τῶν ὤτων ἢ τῶν μυκτήρων ἐν τοῖς ὕπνοις
προσπιπτουσῶν τῇ καρδίᾳ ἀνάγκη προορᾶν τὸ μέλλον γενέσθαι. πῶς δὲ
κινεῖται καὶ σχηματίζεται, εἴρηται τῷ Ἀλεξάνδρῳ ἐν τῷ Περὶ δαιμόνων
λόγῳ. ἔχουσι γὰρ καὶ οἱ λόγοι καὶ αἱ πράξεις ἀρχήν τινα τῶν μελλόντων
γίνεσθαι. ὅτι δὲ αἱ μικραὶ κινήσεις ἐν τοῖς ὕπνοις μεγάλαι φαίνονται, εἴρη-
30 ται πρότερον. σαφῶς δὲ πάντα καταλέγει. διὰ οὖν τὸ φέρεσθαι τὰς κινή- 45
σεις ὡς ἔτυχε καὶ ἐμπίπτειν οἷς ἂν τύχῃ συμβαίνει προορᾶν τὰ μέλλοντα
καὶ τοὺς φαύλους. εἰ δὲ θεὸς ἦν ὁ πέμπων, ἐν τῇ ἡμέρᾳ ἔδει βλέπειν
αὐτά· τότε γὰρ καὶ γρηγοροῦμεν.

---

5 οὐδ' CRP λεχθέντα a: ἐλέχθη ceteri 5. 6 ἐπὶ τούτων om. RP 6 καταχρησαμένων S 7 γε om. Arist. EMY 8 τὰ ἐνύπνια RP 9 δὲ om. RP 12 καὶ post ὄντων add. C 13 εἴπομεν] p. 81,2 14 μελλόντων πραχθῆναι CRP 18—22 e Sexto Emp. Math. IX 19 18 ἐκπελάζειν S 20 εὐλόγχων S, prius R (cf. Sext. et Zeller I⁵ p. 937²): εὐλόχων a, e corr. R, Soph.: εὐλόγων CP 21 προσημαίνει a τε a (Sext.): δὲ ceteri 22 καὶ (ante ἐν) CRP 23 εἴδωλον C 25 διὰ post ἢ add. RP 26 προσπιπτουσῶν P, e corr. R Soph.: προσπιπτόντων ceteri 25. 26 προσπιπτ. ἐν τοῖς ὕπνοις CRP Soph. 27 τῷ om. a Περὶ δαιμόνων] cf. p. 84,26 alibi non commemoratur 29 ἔτι δὲ S 29. 30 εἴρηται] p. 78,29 30 σαφῆ RP γοῦν CRP 32 ἔδει ἐν τῇ ἡμέρᾳ S

p. 464a22 Οὕτω δὲ εἰκὸς τοὺς τυχόντας προορᾶν· ἡ γὰρ διάνοια 148r
τῶν τοιούτων οὐ φροντιστική.

Καὶ ἄλλην αἰτίαν ἐπάγει τοῦ τίνος ἕνεκα οἱ τυχόντες τὰ μέλλοντα 50
προορῶσιν, ἀλλ' οὐχ οἱ σοφοί, καί φησιν, ὅτι ἡ διάνοια τῶν τοιούτων κενὴ
5 οὖσα τῶν ἐκ φιλοσοφίας καλλίστων θεωρημάτων καὶ ἔρημος ἄλλων φροντί-
δων ῥᾳδίως ὑπὸ τῶν προσπιπτόντων ἄγεται, ἡ δὲ τῶν φρονίμων διάνοια
περὶ πολλὰ καταγινομένη καὶ ὑπὸ τούτων κινουμένη οὐχ ὁρᾷ τὰ προσπίπ-
τοντα. ὥσπερ γὰρ καὶ ἐγρηγορότες, ἂν σφόδρα διανοώμεθά τι, οὐχ ὁρῶ-
μεν τὸν παριόντα (ἐκκρούει γὰρ ἡ μείζων | κίνησις τὴν ἐλάττονα), οὕτω 148v
10 καὶ ἐν τοῖς ὕπνοις κινουμένη ἡ διάνοια ὑπὸ τῶν ἐνόντων κινημάτων ἢ
τύπων οὐχ ὁρᾷ τὰ προσπίπτοντα. [εὖ σοι, δαιμόνιε, τῆς ἀγχινοίας. ὡς
πολλῶν καὶ καλλίστων ἡμῖν αἴτιος καὶ τῆς ἀληθείας μυσταγωγὸς καθ'
ἑκάστην γίνῃ].

p. 464a24 Καὶ τοῦ ἐνίους τῶν ἐκστατικῶν προορᾶν αἴτιον, ὅτι
15 αἱ οἰκεῖαι κινήσεις οὐκ ἐνοχλοῦσι.

Τὸ αἱ οἰκεῖαι κινήσεις οὐκ ἐνοχλοῦσιν ἴσον ἐστὶ τῷ μὴ ἔχειν 6
οἰκείας κινήσεις. οἱ γὰρ ἐκστατικοί (λέγει δὲ ἐκστατικοὺς οὐ τοὺς τέλεον
μαινομένους, ἀλλὰ τοὺς ὄντας μεταξύ, φέρε γὰρ οὕτως εἰπεῖν, τῶν τε
φρονίμων καὶ τῶν τέλεον μαινομένων), οἱ δὴ ἐκστατικοὶ καὶ μηδὲν ὅλως
20 φροντίζοντες ἤ τι ἀναλογιζόμενοι, ἀλλά, κἂν ἐπίῃ αὐτοῖς ἀναλογίσασθαι,
ἀπορρίπτοντες καὶ οὐδὲν ὅλως προσιέμενοι πῶς ἂν ἔχοιεν κινήσεις τινάς; 10
καὶ οἱ μὲν σοφοὶ οὐ προορῶσι διὰ τὸ ἐνοχλεῖσθαι καὶ οἱονεὶ θυροκοπεῖσθαι
τὴν διάνοιαν αὐτῶν ὑπὸ τῶν ἐνόντων αὐτοῖς εἰδώλων καὶ τύπων, οἱ δ'
ἐκστατικοὶ κενὴν ἔχοντες τὴν διάνοιαν καὶ διὰ τοῦτο ἀνενόχλητον εἰκότως
25 αἰσθάνονται τῶν προσπιπτόντων ἔξωθεν. τίνα δὲ τὰ προσπίπτοντα καὶ πῶς,
εἴρηται τῷ Ἀφροδισιεῖ ἐν τῷ Περὶ δαιμόνων· ταῦτα γὰρ εἶπε ξενικὰς
κινήσεις. μήποτε δὲ ξενικὰς κινήσεις λέγει τὰ μέλλοντα οὐχ ὑφ' ἡμῶν,
ἀλλ' ὑπ' ἄλλων πραχθήσεσθαι. 15

---

4 κενὴ in textu, μεστὴ in mg. S 5 τῶν—καλλίστων om. CRP θεωρημάτων—καταγινομένη (7) a: καὶ ἔρημος θεωρημάτων (θεωρήματος C) ὁρᾶ τὸ προσπίπτον, ἡ δὲ τῶν σοφῶν πλήρης οὖσα τῶν ἐκ φιλοσοφίας καλλίστων θεωρημάτων CRP: θεωρημάτων S 8 ὥσπερ—προσπίπτοντα (11) om. RP cf. Arist. De sensu p. 447a14 ss. 10 ἢ SC: καὶ a 11. 12 ad εὖ σοι—γίνῃ in mg. adnot. ἔξω τοῦτο P, delevi 11 δαιμόνιον R 12 αἴτιον R (prius P?) 12. 13 καθ' ἑκάστην] ἡμῖν RP 14 καὶ τοῦ] καὶ τὰ S: τοῦ δὲ a (Arist. EMY) ἐνστατικῶν S αἴτιον] βέλτιον S 16 αἱ om. SC οὐκ ἐνοχλοῦσιν om. CRP 17 οἱ] οὐ RP ἐκστατικοὺς om. RP 18 φέρε Sa: χρὴ CRP 19 δὴ] δὲ RP 20 τι om. a 21 ἀπορρίπτοντες et προσιέμενοι a: ἀπορριπτοῦσι et προσίενται ceteri 22 ὀχλεῖσθαι RP 24 καὶ ante κενὴν add. S 25 αἰσθάνονται post ἔξωθεν CRP δὲ om. C ταῦτα post δὲ add. RP 26 εἶπε] φησιν RP

p. 464a27 Τὸ δέ τινας εὐθυονείρους εἶναι καὶ τοὺς γνωρίμους 148v
περὶ τῶν γνωρίμων μάλιστα προορᾶν.

Ἐπειδὴ μάλιστα τοὺς γνωρίμους ἐν τοῖς ὕπνοις ὁρῶμεν (καὶ γὰρ κἂν ἄλλο τι ἡμῖν φαίνηται, οὗπερ οὐ φροντίζομεν· ὥσπερ ἐμοὶ ἰδόντι τὸν ἐμὸν ἑταῖρον, οὐχὶ τὸν κλεινόν μοι τουτονί, ὅστις ἔτι μοι ζῶν συμπονεῖ περὶ τοὺς λόγους, ἀλλ' ἄλλον ὀλίγους ἐν φιλοσοφίᾳ πόνους καταβεβληκότα διὰ τὴν τοῦ θανάτου σύντομον προσέλευσιν, ἐγὼ γοῦν ἐκεῖνον πάλαι θανόντα εἶδον καθ' ὕπνον διαλεγόμενόν μοι, περὶ ὧν ἐγὼ κατ' ἐκεῖνον ὅλον τὸν μῆνα καὶ ἔτι τὸν πρὸ ἐκείνου οὐκ ἐφρόντισα, πρότερον πολλὰ φροντίσας· ἦσαν γὰρ περὶ ψυχῆς αἱ ἐμαί τε πρὸς ἐκεῖνον ἐρωτήσεις κἀκείνου πρός με αἱ ἀποκρίσεις), ἐπειδὴ οὖν μάλιστα τοὺς γνωρίμους ὁρῶμεν διαλεγομένους ἡμῖν καὶ περὶ ὧν φροντίζομεν καὶ περὶ ὧν οὐ φροντίζομεν, ὀλιγάκις δὲ ἀγνώστους τινὰς καὶ ἀσυνήθεις, τὴν αἰτίαν τούτου διὰ τούτων ἐπάγων φησί· συμβαίνει δὲ τοῦτο διὰ τὸ μάλιστα τοὺς γνωρίμους ὑπὲρ ἀλλήλων φροντίζειν. ἔστι δὲ τὸ δέ τινας εὐθυονείρους εἶναι καὶ τοὺς γνωρίμους περὶ τῶν γνωρίμων μάλιστα προορᾶν ἴσον τῷ 'τὸ δέ τινας μάλιστα εὐθυονειρεῖν περὶ τῶν γνωρίμων'· εὐθυοοειροῦμεν γὰρ καὶ περὶ ἄλλων τινῶν ἀγνώστων καὶ ἀσυνήθων, ἀλλὰ μάλιστα περὶ τῶν γνωρίμων. ὅτι δὲ καὶ πόρρω ὄντων τῶν φίλων τάχιστα γνωρίζομεν καὶ μᾶλλον αὐτούς, δῆλον ἐκ τῆς πείρας.

p. 464a32 Οἱ δὲ μελαγχολικοὶ διὰ τὸ σφοδρὸν ὥσπερ βάλλοντες
πόρρωθεν εὔστοχοί εἰσι.

Τὸ ὥσπερ βάλλοντες πόρρωθεν ἴσον ἐστὶ τῷ 'ὥσπερ πόρρωθεν ὁρῶντες'. ὡς γὰρ τὰ ὀξυωπὰ τῶν ὀρνίθων πόρρωθεν ὁρῶσι καὶ οἱ τοξεύοντες πόρρωθεν τρόπον τινὰ ὥσπερ διὰ χειρὸς διὰ τοῦ βέλους κατέχουσι τὸ τοξευθέν, οὕτω καὶ οἱ μελαγχολικοὶ ὥσπερ πόρρωθεν ἁρπάζοντες εὔστοχοί εἰσι· προαρπάζουσι γὰρ τὸ μέλλον διὰ τὴν κίνησιν· εὐμετάβολον γὰρ ὂν τὸ φανταστικὸν τῶν τοιούτων ταχὺ τὸ ἐχόμενον τῆς ἀρχῆς φαντάζεται. εἰσὶ γάρ τινα, ὥσπερ εἴρηται, ἐχόμενα ὄντα τῶν ἐν ἡμῖν ἐνουσῶν ἀρχῶν, αἵτινες ἀρχαὶ ταχέως κινούμεναι ποιοῦσιν ἡμᾶς ταχέως προορᾶν καὶ τὸ ἐχόμενον αὐταῖς. λέγει δὲ ὁμοίως ἔχειν ταῦτα τοῖς Φιλαιγίδου ποιήμασι·

---

1 τὸ ante τοὺς add. a (Arist. praeter S) 2 μάλιστα προορᾶν om. S
3 μάλιστα Sa: μᾶλλον CRP ὁρῶμεν ἐν τοῖς ὕπνοις CRP 4 φαίνηται ἡμῖν RP
5 ἀλλ' ante οὐχὶ add. RP ὅστις ἔτι a περὶ Sa: πρὸς CRP 6 πόνους om. RP λόγους post καταβεβληκότα add. RP 7 οὖν CRP θανόντα πάλαι a 8 καθ' ὕπνους CRP τοιαῦτα ἄττα post μοι add. CRP 9 μῆνα] καιρὸν a 10 ἐμαί τε] ἐμέ τε a: ἐμαὶ RP 10. 11 πρὸς ἐμὲ RP 12 καὶ περὶ ὧν οὐ φροντίζομεν om. RP 13 συνήθεις C διὰ τούτων τούτου S
15 ⟨τὸ⟩ τὸ conicio 16 τὸ ante τοὺς add. a, v. ad v. 1 17 τὸ om. RP
19 καὶ om. C μάλιστα RP (Arist. EMY) 21 σφοδρὸν SCRP Soph. (Arist. LU, σφόδρα ceteri): σφοδρότερον a 23 πόρρωθεν (ante ὁρῶντες) om. RP
24 ὀρνέων RP 28 φαντάζονται RP 29 εἴρηται] p. 28,4 ss.

καὶ γὰρ ἐν ἐκείνοις τὰ ἐχόμενα ὅμοια ἦν τοῖς ἡγουμένοις. οὐ γὰρ ὥσπερ 148ᵛ
τὰ Εὐριπίδου ποτὲ μὲν ἀπὸ Ἑκάβης μεταπίπτει εἰς Ἕλληνας ὁ λόγος,
ποτὲ δ' ἀπ' ἐκείνων εἰς θεράποντα, οὕτω καὶ ἐν ἐκείνοις, ἀλλ' εἰ περὶ
Ἀφροδίτης ἦν τὸ λεγόμενον, πάντα τὰ ἀπ' ἀρχῆς ἕως τέλους περὶ ταύ- 45
5 της ἦσαν. ὡς οὖν τὰ τοιαῦτα ποιήματα, οὕτω καὶ οἱ ἐμμανεῖς ἐχόμενα
τοῦ ὁμοίου βλέπουσιν (εἴρηται δέ, περὶ ποίων ἐμμανῶν, ὅτι περὶ τῶν
μεταξύ)· ἡ γὰρ σφοδρότης οὐκ ἐᾷ αὐτὰ ἐκκρουσθῆναι. ὡς γὰρ τὸ σφοδρῶς
φερόμενον κῦμα οὐκ ἐκκρούεται ὑπ' ἄλλου, ἀλλὰ καὶ μᾶλλον ἐκκρούει τὸ
προστυχόν, οὕτω καὶ τῶν ἐμμανῶν ἡ κίνησις σφοδρὰ οὖσα οὐκ ἐκκρούεται
10 ὑπ' ἄλλης κινήσεως.

p. 464ᵇ5 Τεχνικώτατος δ' ἐστὶ κριτὴς ἐνυπνίων. | 5

Ὥσπερ γὰρ παντός ἐστι κρίνειν τὰ ἐν ἠρεμοῦντι ὕδατι φαινόμενα 149ʳ
εἴδωλα, ὅτι ἵππων ἢ ἀνθρώπων εἰσίν, οὐ παντὸς δὲ τὰ ἐν κινουμένῳ εἴδωλα
φαινόμενα ὕδατι, ἀλλὰ τοῦ καλῶς καὶ μετὰ πολλῆς προσοχῆς βλέποντος,
15 οὕτως καὶ τὰς εὐθυονειρίας παντός ἐστι κρίνειν, τεχνικώτατος δέ ἐστι κριτὴς
ὁ δυνάμενος τὰς ὁμοιότητας θεωρεῖν. ὡς γὰρ ἐν τῷ κινουμένῳ ὕδατι
τὸ φαινόμενον πολλάκις ὡς ἀνθρώπου εἴδωλον οὐκ ἔστιν ἀνθρώπου, ἀλλ'
ἵππου, διὰ δὲ τὴν κίνησιν ὁμοιοτητά τινα ἀνθρώπου ἀποτελεῖ, οὕτως καὶ 10
ἐν τοῖς ὕπνοις ἐξ ἄλλου εἰς ἄλλο μεταβάλλει τὸ εἴδωλον. ὁ οὖν δυνάμενος
20 τὰς ὁμοιότητας θεωρεῖν, τουτέστιν ὁ δυνάμενος κρίνειν, ὅτι τὰ φαινόμενα
ἐν τοῖς ὕπνοις καὶ ἐξ ἄλλου εἰς ἄλλο μεταβάλλοντα ὁμοίως ἔχει τοῖς ἐν
τῷ κινουμένῳ ὕδατι φαινομένοις, οὗτος οὐκ ἀπατηθήσεται, ἀλλὰ κρινεῖ,
ὅτι τουτὶ τὸ φανὲν ἀνθρώπου εἴδωλον οὐκ ἦν ἀνθρώπου, ἀλλ' ἵππου εἰς
ἄνθρωπον μεταβαλόντος. ἀλλὰ μὴν ἰδὼν ἵππον, τόδε τί μοι συμβέβηκεν,
25 ὥστε καὶ νῦν τὸ αὐτὸ συμβήσεται, ἀλλ' οὐ τὸ συμβὰν ἐκ τοῦ ἰδεῖν με 15
ἄνθρωπον. ἡ μὲν οὖν διάνοια τῶν λεγομένων πάντων αὕτη, ἐν δὲ τῇ
λέξει τῇ λεγούσῃ τὰ διαπεφορημένα καὶ διεστραμμένα τὸ διεστραμ-
μένα ὡς δηλωτικὸν ἐπῆκται τοῦ διαπεφορημένα.

[Ἐνταῦθα τέλος ἔσχε καὶ τὸ παρὸν βιβλίον καὶ αἱ εἰς αὐτὸ σχολαί.] |

---

2 τὰ del. ? μεταπίπτοντος πρὸς ἕλληνας τοῦ λόγου RP 3 θεράποντας CRP τὰ ante ἐν add. RP εἰ περὶ] εἴπερ RP 4 ἕως] ἄχρι RP 4. 5 ταύτης Sa: ἀφροδίτης CRP 7 ἐᾷ αὐτὰ] ἑαυτὰ a 8 κῦμα Sa: κροῦμα CRP ἀπ' Sa, sed v. Arist. καὶ om. CRP 10 ὑπ' RP: ἀπ' SCa 12 ὕδατι φαινόμενα CRP 13 ἐστὶν post ἵππων add. a εἰσίν om. a post ἐν add. τῶ S 13. 14 ὕδατι φ. εἴδωλα C: om. RP 14 προσοχῆς πολλῆς CRP 16 τὰς ὁμοιότητας CRP Arist. cf. v. 20: καὶ τὴν ὁμοιότητα Sa 18 διὰ δὲ Sa: ἔχει δὲ διὰ CRP ἀποτελεῖ om. CRP 19 μεταβάλλει—εἰς ἄλλο (21) om. RP 21 μεταβάλλοντες RP 22 τοῦν post οὕτος add. RP 24 μεταβάλλοντος CRP ἵππον] εἶπον RP 26 αὕτη] τοιαύτη RP 26. 27 τῇ λεγούσῃ λέξει RP 29 καὶ αἱ—σχολαί om. RP τέλος τῶν σχολίων εἰς τὸ περὶ τῆς καθ' ὕπνον μαντικῆς ἀριστοτέλους add. a, σκέποις με πεντὰς σωτηρικῶν τυπωμάτων add. C

ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ ΠΕΡΙ ΜΑΚΡΟΒΙΟΤΗΤΟΣ ΚΑΙ ΒΡΑΧΥ- 157r
ΒΙΟΤΗΤΟΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ.

Ὁ μὲν σκοπὸς τῆς περὶ μακροβιότητος καὶ βραχυβιότητος πραγματείας Ἀριστοτέλους δῆλος. ζητεῖ γάρ, πόθεν καὶ πῶς τὰ μέν εἰσι μακρόβια, τὰ δὲ βραχύβια. μέμνηται δὲ ἐν αὐτῷ πρῶτον ὡς εἰρηκὼς μὲν περὶ ὕπνου, ἐρῶν δὲ περὶ ὑγείας καὶ νόσου καὶ περὶ νεότητος καὶ ζωῆς, ὡς τελευταίων τούτων ὄντων τῆς φυσικῆς ζητήσεως. καὶ πρῶτον ζητεῖ ἐν τῷ παρόντι βιβλίῳ, τί τὸ εὔφθαρτον· τούτου γὰρ γνωσθέντος δῆλον γενήσεται καὶ τὸ μὴ εὔφθαρτον. ᾧ ἕπεται τὸ τί τὸ μακρόβιον καὶ διὰ τί, καὶ περὶ τῶν μακροβιωτέρων κατά τε τὰ γένη καὶ τοὺς τόπους. εἶτα τὰ φυτὰ διὰ τί τῶν ζῴων μακροβιώτερα, καὶ ἐν τοῖς φυτοῖς ἄλλα ἄλλων. τὸ δ' ἀκριβές, φησίν, ἐν τοῖς περὶ φυτῶν ἐροῦμεν. εἴη δ' ἂν τὸ καταλληλον τῆς λέξεως τοιοῦτον· ἀρχὴ δὲ τῆς σκέψεως ἀναγκαία πρῶτον ἐκ τοῦ διαπορῆσαι περὶ αὐτῶν, πότερον ἕτερον ἢ τὸ αὐτὸ αἴτιον πᾶσι τοῖς ζῴοις καὶ φυτοῖς τοῦ τὰ μὲν εἶναι μακρόβια, τὰ δὲ βραχύβια· οὐ γάρ ἐστι δῆλον.

Ἔτι δὲ πότερον τὰ αὐτά ἐστι μακρόβια καὶ ὑγιεινὰ τῶν φύσει συνεστώτων. πρόσκειται δὲ τὸ τῶν φύσει, οὐχ ὡς μὴ τῶν ἀψύχων ὄντων φυσικῶν, οἷον λίθων καὶ τῶν τοιούτων (ἔστι γὰρ καὶ αὐτὰ φύσει), ἀλλὰ μᾶλλον καὶ μάλιστα φύσει ἐστὶ τὰ ζῶντα· μάλιστα γὰρ ταῦτ' ἔχει ἐν ἑαυτοῖς φύσιν. πότερον οὖν τὰ αὐτά ἐστι μακρόβια καὶ ὑγιεινά; καὶ προσυπακουστέον τοῦ 'καὶ βραχύβια καὶ νοσώδη', εἶθ' οὕτως ἐπακτέον

---

1 ante σχόλια add. τοῦ αὐτοῦ C 1. 2 βραχυβιότητος καὶ μακροβιότητος βιβλίον S 3 βραχυβιότητος καὶ μακροβιότητος S 5 μὲν om. CRP 6 ἐρῶν] ἔτι S ante ζωῆς add. γήρως καὶ ὅλως περὶ CRP 7 ὄντων τούτων CRP τῆς φυσικῆς ζητήσεως] cf. Alex. De sensu p. 6,17 We. 8 τί om. CRP τούτου—εὔφθαρτον (9) om. CRP τί post καὶ add. S 9 τὸ (ante τί) om. CP 10 κατά—μακροβιώτερα (11) om. RP τε] γε C διὰ τί τὰ φυτὰ C 12 καταλληλότερον CRP 17 δὲ om. P 18 δὲ om. CR τὸ CRP: om. Sa 19 γὰρ Pa: δὲ SCR ταῦτα a 20 φύσει ἐστὶ] φυσικὰ a 21 φύσιν Sa: τὸ φύσει RP: φύσει C 22 τοῦ Sa: τὸ CRP καὶ (ante βραχύβια) SCP: om. Ra

τὸ ἢ κεχώρισται τὸ βραχύβιον καὶ νοσῶδες. καὶ εἴη ἂν τὸ λεγόμενον· ἢ ἔστι τινὰ βραχύβια οὐ νοσώδη, ἀλλὰ μᾶλλον ὑγιεινά. νοσώδη δὲ λέγει οὐ τὰ | νοσώδη δι' ὅλου, ἀλλὰ τὰ ἐπιτήδεια ἀπὸ μικρᾶς τινος 157v καὶ τῆς τυχούσης αἰτίας περιπίπτειν νόσοις. τὸ δὲ ἢ κατ' ἐνίας μὲν νόσους ἐπαλλάττει τὰ νοσώδη τὴν φύσιν σώματα τοῖς βραχυβίοις ἴσον ἐστὶ τῷ 'ἢ κατά τινας νόσους ἐπαλλάττει καὶ κοινωνεῖ τὸ βραχύβιον καὶ νοσῶδες', ὡς εἶναι τὸ αὐτὸ ἅμα τε νοσῶδες καὶ βραχύβιον. ἐπαγγέλλεται δὲ ὕστερον ἐρεῖν περὶ ὑγείας καὶ νόσου, ὅσον ἐπιβάλλει τῇ φυσικῇ φιλοσοφίᾳ. ἐπιβάλλει δὲ αὐτῇ καὶ προσήκει ἰδεῖν, ἐκ τίνος καὶ πῶς συνίστασθαι δύναται. πῶς δὲ ἐπιγίνεται, τῆς ἰατρικῆς ἐστιν ἐπισκέπτεσθαι. λέγει δὲ τὴν διαφορὰν ταύτην, αὐτὸ δὴ τὸ μακρόβιον καὶ βραχύβιον, ἔχειν ὅλα τε γένη πρὸς ὅλα καὶ τῶν ὑφ' ἓν εἶδος ἕτερα πρὸς ἕτερα, ὅλα δὲ γένη πρὸς ὅλα, ὡς ἄνθρωπος πρὸς ἵππον (μακροβιώτερον γὰρ ἄνθρωπος ἵππου), ὑφ' ἓν δὲ εἶδος ἕτερα πρὸς ἕτερα, ὡς ἄνθρωπος πρὸς ἄνθρωπον· μακροβιώτερος γὰρ Νέστωρ Ἀχιλλέως.

p. 465a13 Δεῖ δὴ λαβεῖν, τί τὸ εὔφθαρτον ἐν τοῖς φύσει συνεστῶσι, καὶ τί τὸ οὐκ εὔφθαρτον.

Πάνυ προσήκει περὶ τούτων διαλαβεῖν. περὶ μακροβιότητος γὰρ καὶ βραχυβιότητος τῆς παρούσης πραγματείας οὔσης καὶ βραχυβίων μὲν ὄντων τῶν εὐφθάρτων, μακροβίων δὲ τῶν μὴ εὐφθάρτων, ἀναγκαῖον ἂν εἴη περὶ τούτων διαλαβεῖν, ὡς ἂν ἐκ τούτων περὶ τῶν προκειμένων ῥᾷστα διαλάβοιμεν. ἐν δὲ τῇ λέξει τῇ πῦρ γὰρ καὶ ὕδωρ καὶ τὰ τούτοις συγγενῆ, οὐκ ἔχοντα τὴν αὐτὴν δύναμιν τὸ δὴ τοιοῦτον καθ' αὑτὸ καὶ ὡς ἀπ' ἄλλης ἀρχῆς ἐπαχθὲν τοιοῦτόν τι δηλοῖ· τὸ πῦρ καὶ τὸ ὕδωρ, ὅ τε ἀὴρ καὶ ἡ γῆ φθείρουσιν ἄλληλα. εἰ δὲ τοῦτο, καὶ ἐν τοῖς τῶν ζῴων σώμασιν ὄντα, ὃν δή τινα τρόπον καὶ εἰσί, φθερεῖ θάτερον θάτερον. ἑνὸς δὲ ὁποιουοῦν φθαρέντος ἀνάγκη καὶ τὸ ἐκ τούτων συνεστηκὸς ἐφθάρθαι. τὸ γὰρ μετέχειν τῆς τούτων φύσεως εὔλογον δηλωτικόν ἐστι τοῦτο τῆς τούτων φθορᾶς. μετέχουσι δὲ τὰ σύνθετα τῆς ἐξ ὧν εἰσι φύσεως οὐ πάντα (οὐ γὰρ καὶ ἡ οἰκία· οὐ γὰρ ἀνάγκη ἑνὸς λίθου φθαρέντος φθείρεσθαι). ἀλλὰ

---

1 τὸ (ante ἢ) om. CRP τὸ (ante βραχύβιον) a: τὸ καὶ S: καὶ CRP: καὶ τὸ Arist. καὶ τὸ νοσῶδες Arist. 2 ἔστι] εἰσί CRP 3 νοσοῦντα CRP post ἀλλὰ add. καὶ RP 5 σώματα τὴν φύσιν CRP 6 τῷ] τὸ R 8 ἐρεῖν περὶ (ὑγείας καὶ add. solus R) νόσου ὕστερον CRP 9 ἰδεῖν Ca: τὸ ἰδεῖν SRP 9. 10 πῶς καὶ ἐκ τίνος CRP 10 δύνανται S ἐστιν om. P 11 σκέψασθαι CR 12 τε C, e corr. P (Arist.): τὰ ceteri 15 πρὸς ἄνθρωπον CRP (Arist.): ἀνθρώπου Sa Νέστωρ γὰρ Ἀχιλλέως μακροβιώτερος CRP 16 δὲ Ra (Arist. MZ) 22 πῦρ γὰρ a (Arist., sed πῦρ δὴ L, πῦρ S): τὸ δὲ πῦρ SC: δὲ τὸ πῦρ R: πῦρ δὲ P καὶ τὰ] κατὰ C τούτων a (Arist. MZ) 25 legit ἀλλήλοις cum Arist. S 26 καὶ om. CRP alt. θάτερον a: τὸ ἕτερον ceteri 27. 28 μετέχον SR 28 τοῦτο Sa: τούτων, τοῦ CR: τοῦ τοῦ P 30 λίθου ἑνὸς CRP post φθείρεσθαι add. αὐτήν CRP

καὶ τὰ ζῶντα. περὶ μὲν οὖν τῶν ἄλλων ἔστω λόγος ἕτερος. ἄλλα 157v
λέγει ἐπιστήμην, τέχνην, ὑγείαν, νόσον καὶ ὅλως πάντα, ὅσα ἐν ὑποκειμένῳ
ἐστί. περὶ μὲν οὖν τῆς τῶν ἄλλων, φησί, φθορᾶς ἔστω ἕτερος λόγος.
εἰσὶ γὰρ τούτοις ἴδιαι καὶ οἰκεῖαι φθοραί. ἔστι γὰρ ἴδιος ἐπιστήμης φθορά,
5 καθ' ἣν φθείρεται σῳζομένου τοῦ ἔχοντος αὐτὴν ζῴου. ἐπειδὴ γὰρ φθα-
ρείσης τῆς ἐπιστήμης μένει τὸ ζῷον, δῆλον, ὡς αὕτη ἡ φθορὰ οὐκ ἐστι 35
τοῦ ζῴου φθορά, ἀλλὰ ἴδιος καὶ οἰκεία τῆς ἐπιστήμης. ἢν δὲ φθαρέντος
τοῦ ζῴου φθαρῇ καὶ ἡ ἐπιστήμη, τίνος αὕτη ἡ φθορά; ἢ δηλονότι τοῦ
ζῴου, κατὰ συμβεβηκὸς δὲ καὶ τῆς ἐπιστήμης. καθ' αὑτὴν μὲν γὰρ
10 φθείρεται ἡ ἐπιστήμη, ὅταν αὐτῆς φθαρείσης μένῃ τὸ ζῷον, κατὰ συμ-
βεβηκὸς δέ, ὅταν συμφθαρῇ τῷ ζῴῳ. τοῦτο ῥητέον καὶ ἐπὶ ὑγείας καὶ
νόσου καὶ τῶν ἄλλων τῶν ἐν ὑποκειμένῳ.

Τοῦτο λαβὼν ἐπάγει· δι' ὃ καὶ περὶ ψυχῆς λογίσαιτό τις ἂν ἐκ
τούτων. εἰ γάρ ἐστι μὴ φύσει, λέγων φύσει τὸ εἶδος. ἔστι δὲ τὸ 40
15 λεγόμενον· εἰ γὰρ μή ἐστιν ἡ ψυχὴ εἶδος τοῦ σώματος, ὥσπερ ἐν τοῖς
Περὶ ψυχῆς εἴρηται, ἀλλ' ὕστερον ἐπεισέρχεται, ὥσπερ φασί τινες, ἡ αἰσθη-
τικὴ καὶ ἡ λογική (λέγουσι γάρ τινες, ὅτι ἡ μὲν θρεπτικὴ καὶ αὐξητικὴ
συγκαταβάλλεται τῷ σπέρματι, ἡ δ' αἰσθητικὴ καὶ ἡ λογικὴ ἔξωθεν ἐπεισ-
έρχεται κατὰ τὸ νῦν, καθ' ὃ τὸ ἔμβρυον πίπτει θύραζε), εἰ δὴ μή ἐστιν
20 ἡ ψυχὴ εἶδος, ἥ τε αἰσθητικὴ καὶ ἡ λογική, μηδὲ συγκαταβάλλεται τῷ
σπέρματι, ἀλλ' ὕστερον εἰσέρχεται ὥσπερ καὶ ἡ ἐπιστήμη (αὕτη γὰρ ὕστερον 45
ἐπιγίνεται τῇ ψυχῇ διὰ μαθήσεως), εἴη ἄν τις αὐτῆς καὶ ἄλλη φθορά,
λέγων φθορὰν τὴν ἀπὸ τοῦ σώματος ἀπουσίαν, παρὰ τὴν φθοράν, ἣν
φθείρεται φθειρομένου τοῦ σώματος. ὥσπερ γάρ ἐστι τῆς ἐπιστή-
25 μης ἴδιος καὶ οἰκεία φθορά, καθ' ἣν φθείρεται σῳζομένου τοῦ ζῴου, ἐστὶ
δὲ καὶ ἄλλη τις κατὰ συμβεβηκός, καθ' ἣν συμφθείρεται τῷ ζῴῳ, οὕτως
ἀνάγκη καὶ τῆς ψυχῆς δύο ὑπάρχειν φθοράς, εἴπερ ὕστερον ἐπιγίνεται.
εἰ δὲ τοῦτο, φθαρείη ἄν ποτε ἡ ψυχή, ἤτοι χωρισθείη τοῦ σώματος, τοῦ 50
ἐμψύχου μὴ φθαρέντος. ὡς γὰρ τῇ ἐπιστήμῃ οὐ συμφθείρεται ἡ ψυχή,
30 ἀλλὰ φθαρείσης τῆς ἐπιστήμης ἡ ψυχὴ μένει τε καὶ ἔστιν, οὕτως ἔδει
καὶ τῆς ψυχῆς φθαρείσης καὶ χωρισθείσης μένειν καὶ εἶναι τὸ σῶμα καὶ
μετὰ τὸν χωρισμὸν τῆς ψυχῆς ἔμψυχον. νῦν δὲ τοῦτο οὐ γίνεται, ἀλλ'
ὁρᾶται παντελῶς ἄψυχον. ἐπεὶ οὖν, φησίν, οὐ φαίνεται τοιαύτη οὖσα ἡ

---

1 καὶ om. P, e corr. R ἕτερος ἐστὶ λόγος CRP (ἕτερος ἔστω λόγος Arist. P, ἕτερος λόγος ceteri) ἄλλα—λόγος (3) CRP: om. Sa 4 ἰδία P, e corr. R
5 καθ' ἣν—φθορά (7) Sa: om. CRP 7 ἰδία P, e corr. R ἣν a (ἣν scripsi): εἰ ceteri 10 μένει a 11 φθαρῇ CRP, prius S τὸ ζῶον CRP
13 καὶ om. P συλλογίσαιτ' Arist. LS ἄν τις Arist. MPZ 16 Περὶ ψυχῆς] B 1 p. 412a19 post τινες add. καὶ CRP cf. De an gen. B 3 p. 736a28
17 prius ἡ om. a 18 ἐκτὸς Sa 18. 19 ἐπεισέρχονται a 19 ἐκπίπτει CRP
δὴ] δὲ CRP 21 ἐπεισέρχεται RP 22 διὰ μαθήσεως τῇ ψυχῇ CRP
τις om. Arist. MPZ 23 λέγων] λέγω δὲ a ἀπόλυσιν conicio 25 ἰδία SP, e corr. R 26 κατὰ συμβεβηκός om. C φθείρεται τὸ ζῶον CRP
27 τῇ ψυχῇ CRP 28 φθείρεταί ποτε a χωρισθεῖσα a 29 ἡ ψυχή om. P
31 quart. καὶ om. P 32 τῆς ψυχῆς χωρισμὸν a 33 γίνεται CR

ψυχή, τουτέστιν ἐπεὶ οὖν οὐ φαίνεται μὴ συμφθείρουσα τὸ σῶμα (οὐ γὰρ οὐ συμφθείρει, ἀλλὰ μᾶλλον | συμφθείρει), ἄλλως ἂν ἔχοι πρὸς τὴν 158ʳ τοῦ σώματος κοινωνίαν· τουτέστιν εἶδος ἔσται ἀχώριστον, καὶ οὐχ ὡς ἕτεροι λέγουσιν.

5 p. 465ᵇ1 Ἴσως δ' ἄν τις ἀπορήσειεν εὐλόγως· ἆρ' ἔστιν, οὗ ἄφθαρτόν ἐστι τὸ φθαρτόν;

Ὅπερ ἀπορεῖ περὶ τοῦ αἰθέρος, τοιοῦτόν ἐστιν· ἆρα τὸν αἰθέρα τῇ ἑαυτοῦ φύσει φθαρτὸν ὄντα ἐνδέχεται ἔν τινι τόπῳ ἄφθαρτον εἶναι; οἷον 10 εἰ πᾶν τὸ φθειρόμενον ὑπὸ ἐναντίου φθείρεται, ἡ δὲ κοίλη ἐπιφάνεια τῆς 10 σεληνιακῆς σφαίρας οὐκ ἔστιν ἐναντία τῷ αἰθέρι (τῷ γὰρ πέμπτῳ σώματι οὐδέν ἐστιν ἐναντίον, ὡς ἐν τῷ Περὶ οὐρανοῦ δέδεικται), συμβήσεται τὸ ἁπτόμενον μέρος τοῦ αἰθέρος τῆς σεληνιακῆς σφαίρας ἄφθαρτον εἶναι. τὸ μὲν γὰρ ἁπτόμενον τοῦ ἀέρος ἔστω φθαρτόν, εἴπερ ὁ μὲν αἰθὴρ ξηρός, ὁ δὲ ἀὴρ ὑγρός· τὸ δὲ λεπτότατον τοῦ αἰθέρος καὶ ἁπτόμενον τῆς σελη- 15 νιακῆς σφαίρας διὰ τί ἂν εἴη φθαρτόν; ἡ μὲν οὖν ἀπορία τοιαύτη, ἐπι- 15 χειρεῖ δὲ πρῶτον ἐνδόξως λέγων, ὅτι οὐ φθείρεται καθ' ὃ μέρος ἅπτεται τῆς σελήνης, εἶτα τίθησι τὸ ἀληθὲς καὶ λέγει φθείρεσθαι καὶ τῆς σεληνιακῆς σφαίρας μὴ οὔσης αὐτῷ ἐναντίας. ἐπιχειρεῖ οὖν πρῶτον καὶ λέγει, ὅτι οὐ φθείρεται. φθείρεται γάρ, φησί, τὰ μὲν ὑπάρχοντα τοῖς ἐναν- 20 τίοις κατὰ συμβεβηκός. ἀσαφὴς δὲ οὖσα ἡ λέξις, δεῖ ἡμᾶς οὕτως εἰπεῖν· τὸ ὕδωρ ἐστὶ μὲν ὑγρὸν καὶ ψυχρόν, ἐστὶ δὲ καὶ γλυκύ· ὁμοίως τὸ πῦρ ξηρὸν καὶ θερμόν, ἀλλὰ καὶ λευκόν. ἐναντία δὲ τὸ ψυχρὸν τῷ 20 θερμῷ, τὸ δὲ ὑγρὸν τῷ ξηρῷ. τούτων προειλημμένων ὑπάρχοντα λέγει τὸ γλυκὺ καὶ τὸ λευκόν, ἐναντία δὲ τὸ ψυχρὸν καὶ θερμόν, καὶ ὑγρὸν 25 καὶ ξηρόν. καὶ ὑπάρχει τὸ μὲν γλυκὺ τῷ ψυχρῷ καὶ ὑγρῷ, τὸ δὲ λευκὸν τῷ ξηρῷ καὶ θερμῷ. εἰ μὲν οὖν φθαρέντος τοῦ γλυκέος μένει τὸ ψυχρὸν καὶ ὑγρόν, ἴδιος αὕτη ἡ φθορὰ καὶ καθ' αὑτὴν τοῦ γλυκέος. εἰ δὲ τοῦ ψυχροῦ καὶ ὑγροῦ φθαρέντος συμφθαρῇ αὐτοῖς τὸ γλυκύ (ἀνάγκη γὰρ τοῦτο γενέσθαι), κατὰ συμβεβηκὸς ἔφθαρται τὸ γλυκύ. φθείρεται οὖν κατὰ συμ- 25 30 βεβηκὸς τὸ γλυκὺ καὶ λευκόν (ταῦτα γὰρ εἶπεν ὑπάρχοντα τοῖς ἐναντίοις, τουτέστι τῷ ψυχρῷ καὶ ὑγρῷ, καὶ θερμῷ καὶ ξηρῷ) φθειρομένων τῶν ἐν οἷς εἰσιν ἐναντίων. φθείρεται δὲ τὰ ἐναντία ὑπ' ἀλλήλων. ὥστε ἀνά-

---

1 οὖν a: om. ceteri συμφθειρομένη τῶ σώματι e corr. P 2 οὐ om. PR² συμφέρει R: συμφθείρεται P² 6 ἐστι (Arist. S)] ἔσται a (Arist. LMPZ) 11 οὐθέν RP τῷ] τῇ CRP Περὶ οὐρανοῦ] A 3. 4 12 τοῦ αἰθέρος ἁπτ. μέρος e corr. R 14 λεπτότατον (εὐαγέστατον S) τοῦ αἰθέρος καὶ Sa: ἐγγὺς καὶ C: καὶ R: om. P 16 πρῶτον καὶ λέγει ἐνδόξως, ὅτι CRP 18. 19 ἐπιχειρῶν οὖν πρῶτον εἰς τὸ μὴ φθείρεσθαι λέγει. φθ. γὰρ CRP 19 γάρ] μέν RP 20 ἀσαφοῦς δὲ οὔσης τῆς λέξεως CRP, e corr. S καὶ ante δεῖ add. S 22. 23 τῷ ψυχρῷ τὸ θερμόν, τῷ δὲ ὑγρῷ τὸ ξηρόν CRP 24 τὸ (ante λευκὸν) om. a καὶ τὸ θερμόν CRP 24. 25 ξηρὸν καὶ ὑγρόν CRP 27 ἰδία P, e corr. R 28 φθαρῇ RP: φθαρεῖ C 31 θερμῷ καὶ ξηρῷ a

γκη φθείρεσθαι καὶ τὰ ἐν τοῖς ἐναντίοις ὄντα. εἰ δὴ κατὰ συμβεβηκὸς 158r
λέγομεν φθείρεσθαι τὰ ἐν ὑποκειμένῳ τινὶ ὄντα, ὅταν τοῖς ἰδίοις ὑποκει-
μένοις συμφθείρηται, ὁ δ' αἰθὴρ καὶ τὰ λοιπὰ στοιχεῖα οὐδενὶ συμεβε- 30
βήκασιν (οὐδεμία γὰρ οὐσία τῶν ἐν ὑποκειμένῳ), οὐκ ἂν φθείροιντο κατὰ
5 συμβεβηκός. τούτου γάρ ἐστι δηλωτικὸν τὸ κατὰ συμβεβηκὸς δ' οὐθὲν
τῶν ἐν ταῖς οὐσίαις ἐναντίων φθείρεται; λέγων οὐσίας τὰ ζῷα καὶ
πάντα τὰ σύνθετα, ἐν αὐταῖς δὲ ἐναντία τὰ τέσσαρα στοιχεῖα. ἐπεὶ οὖν
πᾶν τὸ κατὰ συμβεβηκὸς φθειρόμενον τῶν ἐν ὑποκειμένῳ ἐστίν, οὐδὲν δὲ
τῶν σωματικῶν στοιχείων ἐν ὑποκειμένῳ ἐστίν, οὐδὲν ἂν στοιχεῖον κατὰ
10 συμβεβηκὸς φθείροιτο. τὸ γὰρ διὰ τὸ μηδενὸς ὑποκειμένου κατη- 35
γορεῖσθαι τὴν οὐσίαν ἴσον ἔστι τῷ μηδεμίαν οὐσίαν τῶν ἐν ὑποκει-
μένῳ εἶναι. οὕτω δείξας μὴ οἷόν τε εἶναι φθείρεσθαι κατὰ συμβεβηκὸς
τὰ στοιχεῖα, ἐπιχειρεῖ ὅτι οὐδὲ καθ' αὑτὸ οἷόν τε ἄνω φθείρεσθαι τὸ πῦρ,
λέγων ὥστε ᾧ μή ἐστιν ἐναντίον, καὶ ὅπου μή ἐστιν. εἴη δ' ἂν
15 τὸ λεγόμενον· ὅσαις τῶν οὐσιῶν μή ἐστιν ἐναντίον, ἄφθαρτοί εἰσι καὶ
ἔσονται ἀεὶ διὰ τὸ πᾶν τὸ φθειρόμενον ὑπὸ ἐναντίου φθείρεσθαι. ὅσαις
δ' ἐστὶν ἐναντίον, ἐν ᾧ τόπῳ μὴ εὑρίσκεται ἐναντιότης, ἐν τούτῳ οὖσαι
ἄφθαρτοι ἔσονται. ἀλλὰ μὴν ἡ σεληνιακὴ σφαῖρα οὐκ ἔστιν ἐναντία τῷ 40
πυρί· ἄφθαρτον ἄρα ἔσται τὸ ἐν αὐτῇ μέρος τοῦ πυρὸς ὄν.

20 p. 465ᵇ10 Ἢ τοῦτο τῇ μὲν ἀληθές, τῇ δ' οὔ· ἀδύνατον γὰρ τῷ
ὕλην ἔχοντι μὴ ὑπάρχειν πως τὸ ἐναντίον.

Ἐντεῦθεν λύει τὴν ἀπορίαν καί φησιν ἀληθὲς μὲν εἶναι τὸ πᾶν τὸ
φθειρόμενον ὑπὸ ἐναντίου φθείρεσθαι, ψεῦδος δὲ τὸ μὴ εἶναι ἐνταῦθα, του- 45
τέστιν ἐν τῷ ἄνω τόπῳ, ἐναντίον τῷ πυρί. ἀδύνατον γάρ, φησί, τῷ
25 ὕλην ἔχοντι μὴ ὑπάρχειν πως τὸ ἐναντίον. εἰ γὰρ τῇ ὕλῃ τὸ εἶναι
ὕλη ἐστὶν ἐν τῷ δεκτικὴν εἶναι τῶν ἐναντίων, ἀδύνατον μὴ μάχεσθαί πως τῇ
θερμότητι καὶ ξηρότητι καὶ σπεύδειν ἀποπτύσαι μὲν αὐτάς, δέξασθαι δὲ ἄλλας.
ὥστε καὶ ἐν τῷ ἀνωτάτω τόπῳ ὂν τὸ πῦρ φθαρήσεται. μάχεται γάρ πως
ἡ ὕλη τῷ εἴδει, ἄλλως τε καὶ ποιότητά τινα ἐχούσης τῆς ἑκάστῳ προσε-
30 χοῦς ὑποκειμένης ὕλης. ἡ μὲν γὰρ νοουμένη κατὰ ἀπόφασιν καὶ ἀπογύ- 50
μνωσιν πάντων τῶν εἰδῶν, ἥτις νοεῖται μέν, οὐκ ἔστι δέ, ἐκείνη μὲν δὴ
ἄποιος· ἡ δὲ ὑποκειμένη τῷ πυρὶ ἢ τῷ ὕδατι ἔχει τινὰ ποιότητα· ποιὰ
γάρ τις πρότερον γεγονυῖα οὕτω δέχεται τὸ θερμὸν καὶ ξηρόν. τοῦτο δ'
ἤδη ἔστι πῦρ. εἰσὶ γὰρ ἀμφότεραι δυνάμει πῦρ, καὶ ἡ χωρίς τινος ποιότητος

---

2 post φθείρεσθαι add. καὶ P οἰκείοις CRP 5 δ' οὐθὲν a (Arist.): οὐδὲν ceteri 7 δ̄ P 13 αὐτὰ P: anceps R: ἑαυτὸ S 13 et 14 τὸ πῦρ et prius ἐστιν om. C 15 εἰσι καὶ a: αὗται CRP: εἰσίν, αὗται S 16 ἀεὶ om. SCR 20 post ἀληθές add. ἐστι a (Arist.) 21 τὰ ἐναντία CRP 24 post ἐναντίον add. τί CRP 26 τῇ] τὸ S 27 αὐτήν a 29. 30 προσεχῶς CRP 31 ἥτις] εἴη ἂν CRP post prius μέν add. γάρ CRP δή] οὖν CRP 33 ξηρόν] ψυχρόν C, prius R τοῦτο] τοῦ C 34 ἤδη] εἴδει RP ἀμφότερα P: anceps R ποιότητός τινος CRP

νοουμένη, μὴ οὖσα δέ ποτε τοιαύτη, καὶ ἡ ἤδη ποιά τις οὖσα· ἀλλ' ἐκείνη μὲν πορρωτέρω, ἡ δὲ ποιωθεῖσα ἐγγυτέρω. ὥσπερ γὰρ λέγομεν δυνάμει | ἐπιστήμονα καὶ τὸ ἤδη τεχθὲν παιδίον, λέγομεν δὲ ἐπιστήμονα καὶ τὸν 158ᵛ μανθάνοντα, ἀλλ' ἐκεῖνο μὲν πορρώτερον, οὗτος δ' ἐγγύτερον, οὕτω καὶ ἐπὶ τῆς ὕλης τῆς τε ἀποίου καὶ τῆς ἤδη ποιᾶς τινος γεγονυίας καὶ ἐλθούσης ἀπὸ τοῦ πρώτου δυνάμει εἰς τὸ δεύτερον. τούτων οὕτως ἐχόντων πάνυ ἀκριβῶς πρόσκειται τὸ πῶς ἐν τῇ λέξει τῇ ἀδύνατον γὰρ τῷ ὕλην ἔχοντι μὴ ὑπάρχειν πῶς τὸ ἐναντίον. οὐ γὰρ ἁπλῶς ἐστιν ἡ ὕλη ᾗ ὕλη ἐναντίον τῷ τοῦ πυρὸς εἴδει, οἷον τῇ θερμότητι καὶ ξηρότητι, ἀλλ' ᾗ σύνεστιν ἐν αὐτῇ ἡ τῶν ἄλλων στέρησις, καὶ ᾗ ἡ μέν ἐστι δύναμις, τὸ δὲ ἐνέργεια, καὶ ᾗ πέφυκεν ἀποπτύειν μὲν τόδε τὸ εἶδος, δέχεσθαι δὲ ἄλλο, καὶ ᾗ ποιωθεῖσα μᾶλλόν ἐστι δυνάμει. ἡ γὰρ τοιαδὶ ποιότης σπεύδουσα μεταβαλεῖν τὸ εἶδος εἰς ἑαυτήν, ὁμοίως καὶ τὸ εἶδος τὴν ποιότητα εἰς ἑαυτό, ἀνάγκη φθείρεσθαι τὸ πῦρ κρατηθέντος τοῦ πυροειδοῦς ὑπὸ τῆς ποιότητος τῆς ἐκ τοῦ δυνάμει οὔσης πῦρ μεταβεβληκυίας εἰς τὸ δυνάμει εἶναι ἀὴρ ἢ ἄλλο τι. ὥστε ἔχει πῶς ἐν ἑαυτῷ τὸ πῦρ ἐναντίον ἄνω ὄν.

p. 465ᵇ12 Πάντῃ μὲν γὰρ εἶναι τὸ θερμὸν ἢ τὸ εὐθὺ ἐνδέχεται, πᾶν δὲ εἶναι ἀδύνατον.

Εἰπὼν ὅτι τῷ ἔχοντι ὕλην ἀδύνατον μὴ ὑπάρχειν πῶς τὸ ἐναντίον, διὰ τούτων κατασκευάζει τὸ προκείμενον, δυνάμει λέγων· εἰ μὲν γὰρ ἦν τὸ πῦρ χωρὶς ὕλης, εἰκὸς ἦν λέγειν, ὅτι ἐν τῷ ἄνω τόπῳ οὐ φθαρήσεται διὰ τὸ μὴ ἐνταῦθα ὑπάρχειν αὐτῷ ἐναντίον· ἐπεὶ δὲ μετὰ ὕλης ἐστὶ καὶ ἔχει πως τὸ ἐναντίον, οὐκ εὔλογόν ἐστι τὸ λέγειν, ὅτι οὐ φθαρήσεται ἄνω ὄν. ἡ μὲν οὖν διάνοια τῶν ὑπὸ τῆς λέξεως αἰνιττομένων αὕτη ἐστίν, τὸ δὲ τῆς λέξεως τοιοῦτον· ἡ μὲν γὰρ θερμότης καὶ ἡ ξηρότης πάντῃ, τουτέστι ἐν ὅλῃ τῇ φύσει τῆς ὕλης, ἥτις ὑπόκειται τῷ πυρί, τυγχάνουσιν οὖσαι· οὕτω γάρ εἰσιν ἐν αὐτῇ ὡς τὰ εἴδη ἐν τῇ ὕλῃ. οὐ γὰρ ἐν τῷδε μὲν τῷ μέρει τῆς ὕλης ἐστὶ θερμότης, ἐν τούτῳ δ' οὐκ ἔστιν, ἀλλ' ἐν ἁπάσῃ τῇ φύσει αὐτῆς, ὥσπερ καὶ ἡ θερμότης ἐν ἅπαντι τῷ θερμῷ ὕδατι· οὐ γὰρ τοῦ τεθερμασμένου ὕδατος τὸ μέν ἐστι θερμόν, τὸ δὲ ψυχρόν, ἀλλ' ὅλον δι' ὅλου. ἔστι μὲν οὖν πάντῃ τὸ θερμόν, πᾶν δὲ οὐκ ἐστι

---

1 ταιαύτη ποτὲ RP 2 πορρώτερον S ἐγγύτερον S 2 ss. cf. ad p. 71,29 3 prius ἐπιστήμονα Sa: ἐπιστῆμον CRP 4 πορρωτέρω SP ἐγγυτέρω R 7 πρόσκειται om. CRP 9 post καὶ add. τῇ CRP 10 σύνεστιν] ἐστιν a αὐτῷ SC 11 τὸ δὲ Ca: ἡ δὲ SRP ἐνεργεία RP 12 post ἄλλο add. εἶδος CRP post ποιωθεῖσα add. δέχεται CRP 13 μὴ ante μεταβαλεῖν add. S post εἶδος add. καὶ P 15 οὔσης] εἶναι conicio 17 ὂν ἄνω S 18 ἐνεῖναι a (Arist.) τὸ (ante εὐθὺ) om. S 19 πᾶν] πάντῃ S ἀδύνατον εἶναι a 21 ante τὸ add. πως P 25 οὖν om. CRP 26 ἡ (ante ξηρότης) om. a 28 αὐτῷ a 29 τούτῳ] τῶδε CRP 30 πάσῃ CRP ἅπαντι om. a 31 θερμαινομένου P, e corr. R

θερμόν· τουτέστι πᾶν δὲ οὐκ ἐστι θερμότης, ἀλλὰ σύνθετον ἐξ ὕλης καὶ 148v
θερμότητος. ὥσπερ γὰρ τὸ ζῷον οὐκ ἐστι ψυχή, ἀλλὰ σύνθετον ἐξ ὕλης
μὲν τοῦ σώματος, εἴδους δὲ τῆς ψυχῆς, οὕτω καὶ τὸ πῦρ οὐκ ἐστι πῦρ
μόνον ἤτοι θερμότης, ἀλλὰ σύνθετον ἐξ ὕλης καὶ θερμότητος καὶ ἔτι ξηρό-
5 τητος. ὁμοίως καὶ ἡ εὐθύτης ἐστὶ μὲν ἐν ἅπαντι τῷ ξύλῳ, οὐκ ἐστι δὲ τὸ
πᾶν τὸ ἐκ ξύλου καὶ εὐθέος εὐθύτης, ἀλλὰ σύνθετον ἐκ ξύλου καὶ εὐθύτητος. 30
εἰπὼν δὲ ὅτι πᾶν δὲ εἶναι θερμὸν ἢ λευκὸν ἀδύνατον, τὴν αἰτίαν τούτου
ἐπήγαγεν εἰπών· ἔσται γὰρ τὰ πάθη κεχωρισμένα. ἔστι δὲ τὸ λεγό-
μενον· εἰ γάρ ἐστι τὸ πῦρ θερμότης μόνον χωρὶς ὕλης καὶ ὑποκειμένου
10 καὶ τὸ εὐθὺ ξύλον εὐθύτης, ἔσται τὰ πάθη αὐτὰ καθ' αὑτὰ χωρὶς ὑποκει-
μένου· ὅπερ ἀδύνατον. πᾶν γὰρ πάθος ἐν ὑποκειμένῳ. ὥστε οὐκ ἐστι
τὸ πῦρ χωρὶς ὑποκειμένου καὶ ὕλης καὶ ἐναντίου. τῶν δ' ἐναντίων τὸ
μὲν ποιεῖ, τὸ δὲ πάσχει. ὥστε, ἐπειδὴ ἅμα εἰσὶ τὰ ἐναντία ἄνω, ἀδύνα- 35
τον μὴ μεταβάλλειν. ἔτι ἐπεὶ τὸ πῦρ τρέφεται καὶ ἐνταῦθα καὶ ἄνω, ὅπου
15 δὲ τροφὴ καὶ τρεφόμενον, περίττωμα, τὸ δὲ περίττωμα ἐναντίον, κἂν διὰ
τοῦτο ἀναγκαῖον ἐναντίον τι εἶναι ἄνω τῷ πυρί. εἰ δὲ ἐναντίον, καὶ μάχη,
καὶ τὸ ἑπόμενον αὐτῇ, φθορά. εἰπὼν δὲ ὅτι τὸ περίττωμα ἐναντίον, πιστού-
μενος ὅτι ἐναντίον, ἐπήγαγεν· ἐξ ἐναντίου γὰρ ἀεὶ ἡ μεταβολή. εἰ
γὰρ ἡ πρώτη τροφὴ ἐναντίον τῷ τρεφομένῳ, ὡς πολλάκις εἴρηται, τὸ δὲ
20 περίττωμα μέρος ἢ ὑπόλειμμα τῆς πρώτης τροφῆς, δηλονότι καὶ τὸ περίτ- 40
τωμα ἐναντίον τῷ φερομένῳ, ὅπερ περίττωμα σπεύδουσα ἡ τοῦ τρεφομένου
φύσις μεταβαλεῖν εἰς ἑαυτήν, ἀνάγκη μάχην γίνεσθαι· εἰ δὲ τοῦτο, καὶ
φθορὰν τοῦ κρατηθέντος.

p. 465b19 Εἰ δὲ πᾶν ἐξελαύνει τὸ ἐνεργείᾳ ἐναντίον, κἂν ἐνταῦθα
25 ἄφθαρτον ἂν εἴη. ἢ οὔ.

Ἐνεργείᾳ ἐναντίον λέγει τὸ περίττωμα. ἡ δ' ἐπιχείρησις αὕτη 52
ἁρμόττοι ἂν ἐπὶ τοῦ ἐνταῦθα πυρός, ἀλλ' οὐκ ἐπὶ τοῦ ὄντος ἄνω. ἔστι
δὲ τὸ λεγόμενον λύσις ἐνστάσεώς τινος, ἣν ἐπήγαγεν ἄν τις τῷ λόγῳ.
εἶπε γὰρ ἄν τις· ὥσπερ τὰ τῶν ζῴων σώματα ἔχει ἀποκριτικὴν δύναμιν,
30 ὑφ' ἧς ἐκκρίνει τὴν τῆς | ξηρᾶς καὶ ὑγρᾶς τροφῆς περίττωσιν, οὕτως 159r
ἀναγκαῖον ἔχειν καὶ τὸ πῦρ, ὑφ' ἧς ἐκκριθήσεται τὸ ἐνεργείᾳ ἐναντίον,
ἤγουν τὸ περίττωμα. ἐξελαθὲν δὲ καὶ πόρρω ποι ἐκσφενδονηθὲν οὐκ ἂν

---

2 ἐξ—θερμότητος (4) om. CRP 3. 4 πῦρ μόνον] θερμὸν S 5 post ὁμοίως add. δὲ CRP τῷ εὐθεῖ ξύλῳ CRP 6 ἔκ τε τοῦ ξύλου καὶ τῆς εὐθύτητος οὕτω δὴ κἀκεῖ εἰπὼν CRP 7 τούτῳ C 9 τὸ πῦρ om. C 11 ὅπερ—ὑποκειμένου (12) om. CRP 12 ἐναντίου καὶ ὕλης CRP 15 post τρεφόμενον add. καὶ CRP 16 ἐναντίον om. C ἄνω εἶναι CRP 17 ταύτῃ a alt. τὸ om. S alt. τὸ—ὅτι (18) bis habet P post ἐναντίον add. καὶ CRP 18 ἡ μεταβολὴ ἀεί CRP 19 πολλάκις εἴρηται] v. Bonitz. Ind. p. 772b56 22 αὐτὴν S 24 ἐξελαύνει τὸ SCRP (Arist.): ἐξελαύνοιτο (i. e. ἐξελαύνοι τὸ) a, cf. p. 94,2 ἐντεῦθεν RP 25 ἂν om. S 26 λέγων RP 28 ἣν ἂν ἐπήγαγέ τις τῷ SCRP 30 ἀφ' S τροφῆς om. a

φθείροι τὸ πῦρ. πρὸς τοιαύτην οὖν ἔνστασιν ταῦτα ἐπήγαγε λέγων· εἰ δὲ 159r
ἅπαν ἐξελαύνοι ἡ ἀποκριτικὴ τοῦ πυρὸς δύναμις, εἴη ἂν τὸ ἐνταῦθα ἄφθαρ-
τον. τοῦτο θεὶς λύει λέγων· ἢ οὔ, τουτέστιν 'ἢ οὐκ ἂν εἴη ἐνταῦθα
ἄφθαρτον'· φθαρήσεται γὰρ ὑπὸ τοῦ περιέχοντος, ἤτοι τοῦ ἀέρος. ἐπὶ 5
5 τοῦ παρόντος γὰρ πυρός, ὡς εἴπομεν, ὁ λόγος ἁρμόττει· ὅπερ καὶ αὐτὸς
ἐννοήσας ἐπήγαγεν· εἰ μὲν οὖν ἱκανὸν ἐκ τῶν εἰρημένων, καὶ προσυ-
πακουστέον τοῦ ἔστω, ἵν' ᾖ τὸ πᾶν· εἰ μὲν οὖν ἱκανὸν ἐκ τῶν εἰρημένων,
ἔστω· τουτέστιν εἰ μὲν ἱκανῶς λέλυται, ἀρκεῖ, εἰ δὲ μή, πάλιν ῥητέον τὴν
προτέραν λύσιν τὴν λέγουσαν· ἔστι τι ἐνεργείᾳ ἐναντίον, πάλιν ἐνερ-
10 γείᾳ ἐναντίον λέγων τὸ περίττωμα. τὸ δὲ δι' ὃ ἡ ἐλάττων φλὸξ κατα-
καίεται ὑπὸ τῆς πολλῆς κατασκευαστικόν ἐστι τοῦ ὅτι τρέφεται τὸ πῦρ. 10
εἰ δὲ τρέφεται, ἔχει δηλονότι καὶ τὸ περίττωμα. καταναλίσκεται οὖν ἡ
ἐλάττων φλὸξ ὑπὸ τῆς πολλῆς, ὅτι ἡ τροφὴ (αὕτη δ' ἐστὶν ὁ καπνός), ἣν
ἡ ἐλάττων φλὸξ ἐν πλείονι χρόνῳ ἐπινέμεται καὶ κατεσθίει, ἡ πλείων φλὸξ
15 θᾶττον καὶ ἐν ὀλίγῳ χρόνῳ καταδαπανᾷ καὶ καταναλίσκει. ἀναλωθείσης
δὲ τῆς τροφῆς, ἀφ' ἧς ἔμελλε τὸ ἔλαττον πῦρ τραφήσεσθαι, ὑπὸ τοῦ πολλοῦ
πυρὸς καὶ μὴ ἔχον ᾧ τραφήσεται σβέννυται. τὸ δὲ δι' ὃ πάντα ἀεὶ
ἐν κινήσει ὡς αἴτιον ἐπῆκται τοῦ πάντα ἔχειν ἢ ὕλην ἢ ὑποκεί- 15
μενον. τὸ δὲ περιέχον εἰ μέν ἐστιν οἰκεῖον τῇ κράσει τοῦ σώματος τῶν
20 ζῴων, συντείνει καὶ συνεργεῖ πρὸς μακροβιότητα· εἰ δ' ἀνοικείως ἔχει,
ἀντιπράττει καὶ ὀλιγοχρονιώτερον ἀποτελεῖ. λέγει δὲ καὶ ὅτι τὰ μὲν
ἔχοντα ὕλην μᾶλλον δ' ὑποκείμενον τοῦ ποῦ, ὥσπερ τὰ θεῖα καὶ κυκλο-
φορητικὰ σώματα, κατὰ τόπον μεταβάλλει· εἰ δὲ ἔχει ὕλην τοῦ ποσοῦ,
κατὰ αὔξησιν καὶ φθίσιν· εἰ δὲ ὕλην πάθους, ἀλλοιοῦται.

25 p. 466a1 Ἔτι δὲ οὔτε τὰ μέγιστα ἀφθαρτότερα· ἵππος γὰρ ἀνθρώ- 20
που βραχυβιώτερον.

Μέλλων ἐντεῦθεν ἀποδιδόναι τὰς αἰτίας τοῦ τε μακροβίου καὶ βραχυ- 38
βίου, ἐπειδὴ ὡς ἐπὶ τὸ πολὺ τὰ μείζω μακροβιώτερά εἰσι τῶν ἐλαττόνων,
περὶ τούτων πρῶτον διορίζεται καὶ δείκνυσιν, ὅτι οὔτε τὸ μέγα οὔτε τὸ 40
30 μικρὸν ἁπλῶς εἰσιν αἴτια ἢ τοῦ μακροβίου ἢ τοῦ βραχυβίου, ἀλλ' ἕτερόν
τι. λέγει οὖν ὅτι οὔτε τὰ μέγιστα ἀφθαρτότερα τῶν ἐλαττόνων

---

1 φθείροιτο a ταῦτα om. P εἰ δὲ—λέγων (3) om. P 2 ἐξελαύνει S
τὸ om. S 4 ἤτοι τοῦ SCR: ἢ τοῦ a: ἤτοι P 5 ἁρμόζει ὁ λόγος CRP
6. 7 καὶ προσυπακουστέον τοῦ om. CRP 7 ἔστω, τουτέστιν εἰ CRP 7. 8 ἱκανὸν—
μὲν om. CRP 8 λέλυται] εἴρηται RP 9 ἔστι cum Arist. MZ (ἔνεστι ceteri) ἐνεργείᾳ
om. CRP 10. 11 κατακάεται S, item 12 (Arist.) 12 καὶ περίττωμα CRP 13 post
ὅτι add. δ' C τὴν τροφὴν P, e corr. R, sed v. Arist. post καπνὸς add. ἀναλίσκεται
a, sed v. Arist. 13. 14 post ἣν ἡ add. μὲν a 14 ante πλείων add. δὲ a
16 ἤμελλε S 16. 17 ὑπὸ—πυρὸς ante τῆς τροφῆς P, e corr. R 18 post κινήσει
add. ἐστὶν a (Arist.) πάντα om. P 22 τοῦ a (Arist. LSP): τὸ ceteri (Arist. MZ)
22. 23 κυκλοφορικὰ S 24 κατὰ Pa (Arist.): καὶ SCR 25 εὐφθαρτότερα CR
26 βραχυβιώτερος SC (Arist. LP); fort. recte, v. p. 95,1: anceps R 27 ἐνταῦθα C
τὴν αἰτίαν a 29 prius οὔτε] οὐ CRP οὔτε τὸ] καὶ CRP 31 λέγων RP

(ἵππος γὰρ ἀνθρώπου βραχυβιώτερος μείζων ὢν ἀνθρώπου), οὔτε 159r
μὴν τὰ μικρὰ μακροβιώτερα τῶν μειζόνων. τὰ πολλὰ γὰρ τῶν ἐντόμων
μικρὰ ὄντα ἐπέτειά ἐστιν· ἔνια γὰρ βιοῖ χρόνον καὶ ἴσως οὐδ' ἐκεῖνον
ὁλόκληρον. ἀλλὰ μὴν οὐδὲ πάντα τὰ φυτὰ μακροβιώτερα πάντων τῶν
5 ζῴων· ἐπέτεια γὰρ ἔνια τῶν φυτῶν, οἷον κράμβη, τεῦτλον, ὤκιμον, 45
ἄλλα πολλά. οὔτε μὴν τὰ ἔναιμα μακροβιώτερα τῶν ἀναίμων· μέλιττα
γὰρ ἄναιμος οὖσα μακροβιωτέρα ἐστὶν ἐνίων ἐναίμων· αἱ γὰρ ψύλλαι ἐπέ-
τειοι ἔναιμοι οὖσαι. ἀλλὰ μὴν οὐδὲ πάντα τὰ ἄναιμα μακροβιώτερα
τῶν ἐναίμων· τὰ γὰρ μαλάκια ἐπέτεια ἄναιμα ὄντα. οὔτε τὰ ἐν τῇ
10 γῇ πάντα ἀφθαρτότερα τῶν ἐνύδρων (καὶ γὰρ ἔνια καὶ φυτὰ καὶ πεζὰ
ζῷα ἐπέτειά ἐστιν), οὔτε τὰ ἔνυδρα πάντα (ταῦτα γὰρ εἶπε τὰ ἐν τῇ
θαλάττῃ) πάντων τῶν ἐν τῇ γῇ ἀφθαρτότερα· τὰ γὰρ ὀστρακηρὰ καὶ 50
τὰ μαλάκια βραχύβια. ταῦτα εἰπὼν ἐπάγει· ὅλως δὲ καὶ πρώτως τὰ μακρο-
βιώτερα ἐν τοῖς φυτοῖς ἐστιν (ὁ γὰρ φοῖνιξ τὸ φυτὸν μακροβιώτατον), δευ-
15 τέρως δὲ ἐν τοῖς ἐναίμοις μᾶλλον ἢ ἐν τοῖς ἀναίμοις καὶ ἐν τοῖς πεζοῖς
ἢ ἐν τοῖς ἐνύδροις. ὥστ' ἐπεὶ μᾶλλον ἐν τοῖς ἐναίμοις καὶ ἐν τοῖς πεζοῖς
τὸ μακρόβιον ἢ ἐν τοῖς ἀναίμοις καὶ ἐνύδροις, καὶ συνδυασθέντα τὸ μὲν
πεζὸν τῷ ἐναίμῳ, τὸ δὲ ἔνυδρον τῷ ἀναίμῳ, ἔσονται τὰ πεζὰ καὶ ἔναιμα
μακροβιώτερα τῶν ἐνύδρων καὶ ἀναίμων.

20 Ταῦτα προειπὼν τὰς αἰτίας | τοῦ τὰ μὲν εἶναι μακρόβια, τὰ δὲ 159v
βραχύβια σαφέστατα ἀπαγγέλλει. ἐν δὲ τῇ λέξει τῇ ἵνα μήτε εὔπηκτον
μήτε εὐξήραντον ᾖ, μὴ εὔπηκτον μὲν διὰ τὸ θερμόν (τὸ γὰρ θερμὸν
οὐκ ἐᾷ πήγνυσθαι), μὴ εὐξήραντον δὲ διὰ τὸ πλῆθος· τὸ γὰρ πολὺ οὐκ
εὐξήραντον.

25 p. 466ª33 Μακροβιώτερα γὰρ τὰ λειπόμενα τῷ πλήθει τοῦ ὑγροῦ,
ἐὰν πλείονι λόγῳ ὑπερέχῃ κατὰ τὸ ποιόν. 5

Ποιὸν λέγει τὸ θερμὸν καὶ τὸ λιπαρόν. ἔστι δὲ τὸ λεγόμενον· τὰ 21
λειπόμενα τῷ πλήθει τοῦ ὑγροῦ καὶ πλεονάζοντα τῷ ποιῷ ἐν πλείονι λόγῳ
μακροβιώτερά εἰσι τῶν πλεοναζόντων τῷ ὑγρῷ καὶ λειπομένων τῷ ποιῷ.
30 τὸ δὲ ἂν πλείονι λόγῳ ὑπερέχῃ, τοιοῦτόν ἐστιν· ἂν ᾖ τὸ ἐν τῷ
ἵππῳ φέρε εἰπεῖν ὑγρὸν τριπλάσιον τοῦ ἐν τῷ ἀνθρώπῳ ὑγροῦ, τὸ δὲ ἐν
τῷ ἀνθρώπῳ θερμὸν δεκαπλάσιον τοῦ ἐν τῷ ἵππῳ θερμοῦ, πλείονι λόγῳ 25
ὑπερέχει ἡ τοῦ ἀνθρώπου θερμότης τῆς τοῦ ἵππου θερμότητος παρ' ὃ ἡ
τοῦ ἵππου ὑγρότης τῆς τοῦ ἀνθρώπου ὑγρότητος· πλείων γὰρ ὁ δεκαπλάσιος

---

1 ὢν] οὖν R 3 ἐπέτειά ἐστι μικρὰ ὄντα RP 6 ἄλλα S, ἀλλὰ a: ἄλλα τε CRP
7. 8 ἐπέτειαι a 9 ἄναιμα ἐπέτεια CRP 10 καὶ (post ἔνια) om. CRP
11 εἶπε τὰ a: εἶπεν ceteri 12 ὀστρακηρὰ cum Arist.] ὀστρακόδερμα a 13. 14 μακροβιώτατα CRP (Arist.) 14 τοῖς φυτοῖς] τούτοις S 15 alt. ἐν τοῖς om. a
16 ἀναίμοις Ca 20 εἰπὼν CR 21 ἀπαγγέλλει σαφέστατα a 22 ᾖ] εἴη S: om. P 26 ἐὰν] κἂν S τὸ om. S 27 τὸ (ante λιπαρὸν) om. CRP
28 τῷ ποιῷ om. RP 29 ἐστι CRP 31 ὑγρὸν φέρε εἰπεῖν CRP 33 τὴν et θερμότητα RP 34 τὴν et ὑγρότητα RP

λόγος τοῦ τριπλασίου. τοῦτο εἰπὼν ἐπάγει, ὅτι ἔν τισι τὸ θερμὸν οὐδὲν 159ᵛ
ἄλλο ἐστὶν ἢ αὐτὸ τὸ λιπαρόν (δι' ὃ καὶ ἀντὶ τοῦ εἰπεῖν θερμὸν ῥητέον
ὅτι λιπαρόν), ἐν ἐνίοις δὲ οὐ τὸ λιπαρόν, ἀλλὰ τὸ ἀνάλογον· ὅπερ ἄλλον
εἶπε χυμόν. ἐν δὲ τῇ λέξει τῇ ἀναιρεῖ γὰρ τὸ τοιοῦτον ἢ νόσῳ ἢ
5 φύσει 'τοιοῦτον' λέγει τὸ περίττωμα. ἀναιρεῖ οὖν, φησί, τὸ περίττωμα
ἢ νόσῳ ἢ φύσει· φύσει μέν, ὅταν μάχηται τὸ περίττωμα ὅλῃ τῇ τοῦ 30
σώματος κράσει (ταύτην γὰρ εἶπε φύσιν)· ὅταν οὖν μαχεσάμενον ὅλῃ τῇ
φύσει καὶ κράσει τοῦ σώματος καὶ κρατῆσαν ἀνέλῃ, τότε φαμὲν ὅτι ἀνεῖλε
φύσει, ἴσον λέγοντες ὅτι πᾶσαν τὴν τοῦ ζῴου κρᾶσιν ἀνέτρεψεν· ὅταν δὲ
10 τὸ περίττωμα πρὸς ἓν μόριον τὴν μάχην ποιήσηται, οἷον πρὸς ἧπαρ ἢ
σπλῆνα, καὶ ἀνέλῃ σὺν αὐτῷ καὶ τὸ ζῷον, τότε φαμέν, ὅτι νόσῳ ἀνεῖλεν,
ἴσον λέγοντες, ὅτι ἓν μόριον νοσῆσαν, συνέφθαρται αὐτῷ τὸ πᾶν. ὃ καὶ
αὐτὸς σαφηνίζων ἐπήγαγεν· ἐναντία δ' ἡ τοῦ περιττώματος δύναμις 35
καὶ φθαρτική, ἡ μὲν τῆς φύσεως, ἡ δὲ μορίου, ὅπερ εἶπε φύσει
15 νῦν εἰπὼν φύσεως, ὅπερ δὲ νόσῳ νῦν μορίου. εὔλογον δὲ καὶ τὰ
πολύσπερμα ταχὺ γηράσκειν· τὸ γὰρ σπέρμα περίττωμα ὂν τῆς αἱματικῆς
τροφῆς ἐξιὸν συνεξάγει καὶ θερμότητα· ταύτης δ' ἐξιούσης ἀνάγκη ξηραίνε-
σθαι καὶ τὸ ὑγρόν· καὶ διὰ τοῦτο ἡμίονος μακροβιώτερος ἵππου (οὐ
γάρ ἐστι σπερματικόν), καὶ τὰ θήλεα τῶν ἀρρένων· εἰ γὰρ καὶ πλεῖον τὸ
20 τῶν θηλέων περίττωμα, ἀλλ' οὐκ ἔστι θερμὸν ὥσπερ τὸ τῶν ἀρρένων· 40
ὑδατῶδες γὰρ καὶ φύσει ψυχρὸν τὸ τῶν θηλέων. ἔτι δὲ ὅσα πονητικὰ
τῶν ἀρρένων· καὶ διὰ τὸ ὀχεύειν γὰρ καὶ διὰ τὸν πόνον γηράσκει. μακρο-
βιώτερα δὲ καὶ τὰ ἐν θερμοῖς τόποις, δι' ἣν αἰτίαν καὶ τὰ μείζω· πλεῖον
γὰρ καὶ ἐν τοῖς μείζοσι τὸ θερμόν. εἰπὼν δὲ ὅτι μακροβιώτερά ἐστι τὰ
25 ἐν τοῖς θερμοῖς τόποις, εἰς πίστιν τούτου παρέθετο τὸ καὶ μάλιστ' ἐπί-
δηλον τὸ μέγεθος τῶν τὴν φύσιν ψυχρῶν ζῴων, λέγων φύσει ψυχρὰ
τὰ ἄναιμα. ἔστι δὲ τὸ λεγόμενον, ὅτι τὰ ἄναιμα, ἅπερ ἐν τοῖς ψυχροῖς
τόποις μικρὰ γίνεται, ἐν τοῖς θερμοῖς μεγάλα ἀποτελεῖται, ὡς τῆς θερμότη- 45
τος αἰτίας οὔσης τῆς αὐξήσεως, εἰ δὲ τῆς αὐξήσεως, καὶ τῆς μακροβιότητος.

30 p. 466ᵇ28 Τροφὴν δὲ μὴ λαμβάνοντα καὶ τὰ ζῷα καὶ τὰ φυτὰ φθείρεται.

Τὴν αἰτίαν διὰ τούτων λέγει, καθ' ἣν φθείρεται τὰ ζῷα καὶ τὰ φυτὰ

---

2 καὶ om. CRP 2. 3 λιπαρὸν ῥητέον ὅτι θερμόν CRP 3 ἐν om. CRP
οὐ om. R ἄλλον om. RP 5. 6 τοιοῦτον—prius φύσει om. CRP 6 ὅτι
μάχεται Sa 7 φύσιν] φύσει a ὅτε C: ὁ RP μαχησάμενον CRP
9 φύσιν C ὅτι] ⟨τῷ⟩ ὅτι ? κρᾶσιν] φύσιν P ἀνέστρεψεν Ca 10 τὸ om. RP
μάχην] κράσιν CRP 11 αὐτῇ CRP 12 ⟨τῷ⟩ ὅτι ? συνέφθειρεν ἑαυτῷ CRP
13 δ'] γὰρ P 14 φύσει] φύσιν CRP 15 νόσον CR: νόσου P εὐλόγως CRP
16 γηράσκει CRP 18 prius καὶ om. CRP post τοῦτο add. ἡ C, ἡ corr. ex ὁ S
μακροβιώτερος a (Arist.): μακροβιώτερον S: μακροβιωτέρα CRP 19 σπερματικώτερον S
21 δὲ om. P 22 γὰρ a: om. ceteri 23 δι' ἣν—τόποις (25) om. CRP
25 ἀλεεινοῖς S τούτων RP τὸ δὲ καὶ S 26 τῇ φύσει CRP 29 μακρο-
βιώσεως CRP 30 ζῷα καὶ τὰ φυτὰ SCRP (Arist. S): φυτὰ καὶ τὰ ζῷα a (Arist.
MZLP) 31 φθείρεται SRP (Arist. MZ): φθείρονται Ca (Arist. LSP) 32 καθ'] δι' CRP

τροφὴν μὴ λαμβάνοντα. συντήκει γάρ, φησί, τὸ μὴ τρεφόμενον αὐτὸ 55
ἑαυτό. τὸ γὰρ ἔμφυτον θερμὸν ἐν ταῖς ἀτροφίαις δραστικώτερον γινόμενον |
ἀναλίσκει τὰς σάρκας καὶ ὅλως τὴν ὕλην, ἐν ᾗ ἐστι. τούτων δὲ ἀνη- 160r
λωμένων φθείρεται καὶ τὰ ζῷα καὶ τὰ φυτά.

5 Τὸ δὲ τὰ ἔνυδρα τῶν πεζῶν ἧττον μακρόβια ταὐτόν ἐστι τῷ βραχυβιώτερα. αἱ δὲ μέλιτται μακροβιώτεραί εἰσιν ἐνίων μειζόνων ζῴων, ὅτι ἔχουσι γλυκύτητα· τοιαύτη γὰρ ἡ τροφὴ αὐτῶν. ἡ δὲ γλυκύτης θερμή· ὅτι δὲ ἡ γλισχρότης συνέχει καὶ τὸ ὑγρὸν καὶ τὸ θερμὸν καὶ οὐκ ἐᾷ διαπνεῖσθαι, εἴρηται πολλάκις.

10 p. 467ᵃ10 Περὶ δὲ τοῦ πολυχρόνιον εἶναι τὴν τῶν δένδρων φύσιν 5
δεῖ λαβεῖν τὴν αἰτίαν· ἔχει γὰρ ἰδίαν πρὸς τὰ ζῷα, πλὴν πρὸς τὰ ἔντομα.

Τὸ ἔχει γὰρ ἰδίαν πρὸς τὰ ζῷα, πλὴν πρὸς τὰ ἔντομα ἴσον 10
ἐστὶ τῷ 'διαφέρει τῶν ἄλλων ζῴων' πλὴν τῶν ἐντόμων. τοῖς μὲν γὰρ
15 ἐντόμοις κοινωνεῖ, διαφορὰν δ' ἔχει πρὸς τὰ ἄλλα ζῷα. καὶ τί μὲν ἐκείνοις κοινωνεῖ, τί δὲ τούτων διαφέρει, ἤδη ἐρεῖ. πρῶτον δὲ λέγει, τί διαφέρει τῶν ἄλλων. οὐ γὰρ διὰ τὴν θερμότητα, φησί, κυρίως εἰσὶ μακρόβια, ὥσπερ τὰ ζῷα, ἀλλὰ διὰ τὸ ἀεὶ νέα γίνεσθαι· ἀεὶ γὰρ ἕτεροι οἱ πτόρθοι, λέγων πτόρθους τοὺς κλάδους, οἱ δὲ γηράσκουσι. τῆς γὰρ καρύας
20 φέρε εἰπεῖν τῆσδε οἱ μὲν τῶν πτόρθων ξηροί εἰσιν, οἱ δὲ χλωροὶ καὶ 15
ἀκμάζοντες, καὶ αἱ ῥίζαι ὁμοίως αἱ μὲν χλωραί, αἱ δὲ ξηραί· πλὴν οὐχ ἅμα ὅλαι ἢ γηράσκουσιν ἢ ἀκμάζουσιν (ὁμοίως τοῦτο καὶ ἐπὶ τῶν πτόρθων), ἀλλ' ὁτὲ μὲν τὸ στέλεχος, λέγων στέλεχος τὸν κορμόν, καὶ οἱ κλάδοι ἀπώλοντο, αἱ δὲ ῥίζαι μένουσαι, ἕτεροι κλάδοι καὶ στέλεχος ἀπ' αὐτῶν ἀνε-
25 φύησαν. ὅταν γὰρ οὕτως ὦσιν αἱ ῥίζαι, τουτέστι ζῶσαι καὶ μὴ γεγηρακυῖαι, ἄλλαι ἐκ τοῦ ὑπάρχοντος γίνονται, λέγων ὑπάρχον τὸ πλῆθος τῶν ῥιζῶν, αἵτινες ζῶσι· καὶ οὕτως ἀεὶ διατελεῖ τὸ μὲν φθειρόμενον, τὸ δὲ γινόμενον. ἐπεὶ οὖν τούτου μὲν φθειρομένου 20
ἄλλο γίνεται καὶ τούτου πάλιν ἄλλο, εἰκότως, μᾶλλον δ' ἀναγκαίως συμ-
30 βαίνει μακρόβιον εἶναι τὴν τῶν δένδρων φύσιν.

p. 467ᵃ18 Ἔοικε δὲ τὰ φυτὰ τοῖς ἐντόμοις, ὥσπερ εἴρηται πρότερον.

Τὴν κοινωνίαν διὰ τούτων τίθησι τῶν ἐντόμων καὶ τῶν φυτῶν.

---

1 φησί om. S 1. 2 αὐτὰ ἑαυτά Arist. MPZ 2 γενόμενον a 3 ὅλην CRP
6 ζώων μειζόνων a 8 συνέχει τὸ θερμὸν καὶ τὸ ὑγρὸν CRP 9 εἴρηται πολλάκις] v. De sens. 4 p. 441ᵃ25 εἴρηκε RP 10 τῶν om. S 13 γὰρ om. a
14 μὲν a: om. ceteri 15 καὶ κατὰ τί CRP 16 τούτοις SCR 17 φησί om. CRP 18 ἕτερον CR 19 πτόρθους λέγων CRP 19 κεραίας CRP, prius S post καρύας add. φησὶ S 20 τῆσδε φέρε εἰπεῖν S 23 λέγων—κορμόν Sa: ἤγουν ὁ κορμός CRP 23. 24 ἀπόλλυνται CRP 24 μένουσι καὶ ἕτεροι CRP 24. 25 ἐξ αὐτῶν ἐφύησαν CRP 25 ὦσιν] ποιῶσιν Arist. MZ
26 ἄλλαι] ἕτεροι CRP 31 πρότερον om. Arist. MZ 32 τίθησι om. CRP
τῶν (ante φυτῶν) om. CRP post φυτῶν add. τίθησι C

κοινωνεῖ δὲ τὰ φυτὰ τοῖς ἐντόμοις, ὅτι ὥσπερ τὰ φυτὰ τεμνόμενα ζῇ, οὕτως 160r
καὶ τὰ ἔντομα· καὶ γὰρ καὶ τὰ ἔντομα, ὥσπερ εἴρηται ἐν τῷ Περὶ ζώων 30
πορείας, τεμνόμενα, ζῇ ἐπὶ πολὺ ἀμφότερα τὰ τμήματα. οὐκ ἀεὶ δὲ ζῇ,
ἤτοι οὐκ ἴσους χρόνους διηνεκεῖς ἢ πολλοὺς ζῇ ἀμφότερα τὰ τμήματα τῶν
5 ἐντόμων διὰ τὸ μὴ ἔχειν τὸ ἕτερον τμῆμα (θάτερον γὰρ ἔχει) ὄργανον
ἤτοι στόμα, δι' οὗ τραφήσεται. οὐδὲ γὰρ δύναται ἡ ψυχὴ (ταύτην γὰρ εἶπεν
ἀρχήν) ἡ ἐν ἑκάστῳ τῶν τμημάτων οὖσα ποιεῖν στόμα, ἡ δ' ἐν τοῖς
φυτοῖς δύναται· ἔχει γὰρ ὁ κλάδος ἐν ἑαυτῷ δυνάμει καὶ ῥίζαν καὶ 35
καυλόν, λέγων καυλὸν τὸ στέλεχος. διὸ ἀπ' αὐτῆς τῆς δυνάμεως προέρ-
10 χεται τό τε νεάζον καὶ τὸ γηράσκον. διαφέρει δὲ τὰ ἐκ τῶν ῥιζῶν τοῦ
αὐτοῦ καὶ ἑνὸς δένδρου τῶν ἀποφυτευομένων τῷ μὲν μακροβίῳ οὐδέν,
μόνῳ δὲ τῷ τὰ μὲν ἀποφυτευόμενα κεχωρισμένα εἶναι ἀπ' ἀλλήλων, ἐκεῖνα
δ' ὁμοῦ. τὸ γὰρ ἐκεῖ δὲ διὰ τοῦ συνεχοῦς ἴσον ἔστι τῷ 'ἐκεῖ
δὲ ὁμοῦ'. αἴτιον δέ φησι τοῦ τὰ ἀποφυτευόμενα ζῆν, ὅτι ἐνυπάρχει
15 πάντῃ ἡ ἀρχὴ ἡ δυναμένη ποιεῖν ῥίζας.

p. 467a30 Συμβαίνει δὲ ταὐτὸ ἐπί τε τῶν ζῴων καὶ τῶν φυτῶν. 40

Εἰπὼν τὴν διαφορὰν τῶν ζῴων καὶ φυτῶν, εἶτα τὴν κοινωνίαν καὶ 48
διαφορὰν τῶν ἐντόμων καὶ φυτῶν, νῦν λέγει καὶ τὴν κοινωνίαν τῶν ζῴων
καὶ φυτῶν. ἔχουσιν οὖν, φησί, ταυτότητα καὶ κοινωνίαν τὰ ζῷα καὶ φυτά· 50
20 ὥσπερ γὰρ τὰ ἄρρενα μακροβιώτερά εἰσι τῶν θηλειῶν διὰ τὸ τὰ ἄνω
ἔχειν μείζω, οὕτω καὶ τὰ φυτὰ τὰ κεφαλοβαρῆ, τουτέστι τὰ ἔχοντα μεγάλας
ῥίζας καὶ μέγα στέλεχος, τῶν μὴ κεφαλοβαρῶν. εἰσὶ δὲ κεφαλοβαρῆ τὰ
δενδρώδη. ὅτι δὲ τὰ ἄνω τοῦ φυτοῦ αἱ ῥίζαι εἰσὶ καὶ τὸ στέλεχος,
κεφαλῇ ἀναλογοῦντα, κάτω δὲ οἱ κλάδοι, οὐδεὶς ἀγνοεῖ. καὶ τὰ ἄρρενα
25 δὴ καὶ τὰ κεφαλοβαρῆ τῶν φυτῶν μακροβιώτερα διὰ τὸ τὰ ἄνω ἔχειν
μεγάλα τῶν μὴ τοιούτων. ἔστι δὲ τὸ θερμὸν ἐν τοῖς | ἄνω, τὸ δὲ 160v
ψυχρὸν ἐν τοῖς κάτω· αἴτιον δὲ τὸ θερμὸν καὶ μακροβιότητος καὶ αὐξήσεως.
αὔξονται οὖν ταῦτα ἐπὶ τὸ ἄνω, τὰ δ' ἐπέτεια ἐπὶ τὸ κάτω, ἤτοι ἐπὶ
τοὺς κλάδους, ἐν οἷς ὁ καρπὸς γίνεται. καὶ λοιπὸν συμπεραινόμενος λέγει,
30 ἐφεξῆς εἶναι τῆς παρούσης πραγματείας τὴν Περὶ ζωῆς καὶ θανάτου καὶ
γήρως καὶ νεότητος.

---

1 δὲ] δὴ R 2 γὰρ τὰ P εἴρηται om. CRP τῷ] τῇ CRP Περὶ ζῴων πορείας] 7 p. 707a28 3 post πορείας add. εἴρηται C, εἴρηκε RP post prius ζῇ add. καὶ CRP ἀεὶ] ἂν RP 4 ἴσους a: εἰς CRP: ἐς S διηνεκεῖς ἢ om. CRP ἀμφότερα τὰ a: τὰ ἀμφότερα ceteri 7 σωμάτων a 8 δύναμιν CRP 10 alt. τὸ om. C γηράσκον CRP (Arist.): γεγηρακός Sa 11 post μὲν add. γὰρ CRP 13 δὲ a (Arist.): om. SCRP τὸ συνεχὲς a (Arist. P) 16 αὐτὸ CRP τῶν bis om. CRP 18 τῶν ἐντόμων καὶ φυτῶν om. S 20 ἐστι CRP 22 δὲ καὶ κεφ. Sa: δὲ καὶ φαλοβαρῆ C 25 καὶ κεφ. CP, e corr. R 28 ἕπεται C 30 τὴν] τὰ RP 31 in fine δ εὑρήσεις ἐν ἄλλοις add. RP: τέλος τῶν σχολίων εἰς τὸ περὶ μακρ. καὶ βραχ. ἀριστοτέλους a

ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ ΠΕΡΙ ΓΗΡΩΣ ΚΑΙ ΝΕΟΤΗΤΟΣ 160v
ΚΑΙ ΖΩΗΣ ΚΑΙ ΘΑΝΑΤΟΥ ΚΑΙ ΠΕΡΙ ΑΝΑΠΝΟΗΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ.

Μετὰ τὸ Περὶ μακροβιότητος καὶ βραχυβιότητος τάττει τὸ Περὶ γήρως καὶ νεότητος (ἕπεται γὰρ τῷ μὲν μακροβίῳ τὸ γῆρας, τῷ δὲ βραχυβίῳ ἡ νεότης), ἐν ᾧ δὴ περὶ αὐτῶν τούτων, τοῦ γήρως καὶ τῆς νεότητος, λέγει, καὶ ἔτι περὶ ἀναπνοῆς. λέγει δὲ πολλοῖς τῶν ζῴων ἀναγκαῖον τοῦτο τὸ ἔργον πρὸς τὴν ζωήν. ἀποδίδωσι δ' ἐν αὐτῷ πρῶτον μέν, ὅτι ἐν καρδίᾳ ἡ ἀρχὴ τοῦ ζῴου καὶ τὸ αἰσθητικὸν καὶ τὸ θρεπτικὸν καὶ τὸ αὐξητικόν, καὶ ὅτι καὶ τὰ φυτὰ καὶ τὰ ζῷα δέονται καταψύξεως, καὶ τίς ἱκανὴ τοῖς φυτοῖς, καὶ ὅτι τοῖς ζῴοις ἢ διὰ τοῦ ὕδατος ἢ διὰ τοῦ ἀέρος συμβαίνει. εἶτα ἀντιλέγει πρὸς Ἀναξαγόραν καὶ Διογένην περὶ ἀναπνοῆς εἰπόντας καὶ πρός τε Δημόκριτον καὶ Πλάτωνα καὶ Ἐμπεδοκλέα, καὶ ὅτι καταψύξεως ἕνεκεν ἀναπνέομεν μετὰ ταῦτα λέγει, καὶ πρὸς τούτοις ὅτι τοῖς ἀναίμοις ἱκανὸν τὸ περιέχον πρὸς τὴν κατάψυξιν, καὶ ὅτι ἃ μὲν τῶν ἐνύδρων καταψύξεως ἕνεκεν δέχονται τὸ ὑγρόν, ἃ δὲ οὐ καταψύξεως, ὡς δελφὶς καὶ πολύπους καὶ σηπία καὶ ἕτερ' ἄττα, ἀλλ' ἐξ ἀνάγκης διὰ τὸ ἐν ὑγρῷ λαμβάνειν τὴν τροφήν, καὶ ὅτι ἔνια δεχόμενα τὸν ἀέρα καταψύχεται, καὶ ὅτι τούτου ἕνεκεν ἔχει πνεύμονα τὰ ἔχοντα. μετὰ ταῦτα ἀντιλέγει πρὸς Ἐμπεδοκλέα λέγοντα θερμοὺς τοὺς ἰχθύας. εἶτα πάνυ παγκάλως λέγει, πῶς ἀναπνέομεν, εἶτα τί γένεσις, τί ζωή, τί θάνατος, καὶ διὰ τί ταῦτα τοῖς ζῴοις ὑπάρχει, καὶ τί νεότης, καὶ τί γῆρας, καὶ διὰ τί τὰ μὲν ἐν τῷ ὕδατι, τὰ δ' ἐν τῷ ἀέρι πνίγεται, ἔπειτα πόσαι καὶ τίνες αἱ τῆς καρδίας κινήσεις, καὶ διὰ τί γίνονται, εἶτα πῶς τὰ ἀναπνέοντα δέχεται τὸν ἀέρα καὶ πῶς τὰ ἔνυδρα τὸ ὕδωρ, δαιμονιώτατα ἐκτίθεται.

---

1 τοῦ αὐτοῦ ante σχόλια add. C 2 καὶ περὶ ἀναπνοῆς om. a Ἀριστοτέλους om SRP 4 μὲν om. C γήρως R 5 δὴ a: om. ceteri τοῦ] περὶ a τῆς] om. a post λέγει add. τί C 6 ἔτι om. a λέγει] ἐπεὶ RP δὲ] δὴ S: om. P ἀναγκαῖον] ἀνώδυνον a 9 καὶ (post ὅτι) om. CRP τὰ (ante φυτὰ) om. C 11 καὶ (ante πρός) om. RP 20 ὅπως a post γένεσις et post ζωή bis add. καὶ RP 23 γίγνονται S: γίνεται CR 24 πῶς om. RP

p. 467 b 10 Περὶ δὲ νεότητος καὶ γήρως καὶ περὶ ζωῆς καὶ θανάτου 160v
λεκτέον νῦν. ἅμα δὲ καὶ περὶ ἀναπνοῆς ἀναγκαῖον ἴσως τὰς
αἰτίας εἰπεῖν.

Τὸ ἴσως διὰ φιλόσοφον κεῖται εὐλάβειαν, ἐπεὶ ἀναγκαῖόν ἐστιν εἰπεῖν 37
5 περὶ ἀναπνοῆς. εἰ γὰρ ἐνίοις τῶν ζῴων τὸ ζῆν διὰ τὸ ἀναπνεῖν ὑπάρχει,
ὥσπερ τὸ μὴ ζῆν διὰ τὸ μὴ ἀναπνεῖν συμβαίνει, ἀναγκαῖον ἂν εἴη εἰδέναι
τὴν ἀναπνοὴν τὴν τοῦ ζῆν αἰτίαν, τίς ἐστι καὶ πῶς ἐστιν αἰτία τοῦ ζῆν.
ὅτι δὲ ἡ ψυχὴ ἐν τῇ καρδίᾳ ἐστὶ δύναμιν ἐχούσῃ ἀρχικὴν πρὸς τὰ ἄλλα 40
μόρια (ἀρχὴ γὰρ αὕτη τῶν ἄλλων μορίων· τούτου γάρ ἐστι δηλωτικὸν τὸ
10 καὶ ἐν τούτῳ τινὶ τῶν ἐχόντων δύναμιν ἐν τοῖς μορίοις), δέδεικται
ἐν τῇ Περὶ ζῴων κινήσεως καὶ ἐν τῇ Περὶ ζῴων γενέσεως καὶ ἐν ἄλλοις
πλείοσιν, ἀλλὰ καὶ ἐνταῦθα μετ' ὀλίγον ῥηθήσεται καὶ δειχθήσεται. ὅτι
δὲ καὶ τὸ θρεπτικόν, καθ' ὃ ζῶμεν, καὶ τὸ αἰσθητικόν, καθ' ὃ ζῷά ἐσμεν,
ἓν καὶ ταὐτόν ἐστι τῷ ὑποκειμένῳ, κἂν τῷ λόγῳ ἕτερα, καὶ αὐτὸς δείξει
15 προϊών. δεῖ δὲ καὶ ἡμᾶς ὀλίγα παραθέσθαι ἐκ τῶν ἐν ἄλλοις περὶ τού-
των ῥηθέντων. καὶ πρῶτον μὲν ὅτι τὸ θρεπτικὸν ἐν τῇ καρδίᾳ ἐστίν, ἐκ 45
τῶνδε δῆλον. εἰ γὰρ τοῦ ζῆν ὕλη ὑγρότης καὶ θερμότης, ὡς προείρηται,
τοιοῦτος δὲ ὁ περὶ τὴν καρδίαν τόπος, ἐν ταύτῃ ἂν εἴη τὸ θρεπτικόν.
ὅτι δὲ ἡ χορηγία τοῖς ζῴοις τοῦ τρέφεσθαι ἀπὸ τῆς καρδίας ἐστί, σημεῖον
20 αἱ τῆς τροφῆς, τουτέστι τοῦ αἵματος, διάκονοι φλέβες· αὗται γὰρ διὰ μὲν
τῶν ἄλλων μερῶν τοῦ σώματος διαπεφύκασιν, ἐκ ταύτης δέ εἰσιν. ἀλλὰ
καὶ τὸ πρώτην φαίνεσθαι τὴν καρδίαν διηρθρωμένην τῶν ἄλλων μερῶν
σημεῖον τοῦ μάλιστα καὶ πρώτην τρέφεσθαί τε καὶ τὴν θρεπτικὴν δύναμιν
ἔχειν ἐν ἑαυτῇ. ὅτι δ' ἐν ταύτῃ ἡ θρεπτικὴ ψυχή, σημεῖον καὶ τὸ ἐν 50
25 τοῖς θανάτοις ταύτην ἀποψύχεσθαι τελευταίαν, ὥσπερ ἀνα|λυομένης τῆς 161r
φύσεως καὶ παλινδρομούσης ἐπὶ τὴν ἀρχήν. ἔτι καὶ καθ' ὅσον ἐν μέσῳ ἡ
καρδία, πρὸς ἄμφω τὰ μέρη ὁμοίως ἂν ἔχοι καὶ ὁμοίως ἂν αὐτοῖς ἀμφοτέροις
χορηγοίη τὴν τροφήν, καὶ οὐ τοῖς μὲν πλησίον, τοῖς δὲ πόρρω· καὶ κατὰ τοῦτο
ἂν εἴη περὶ καρδίαν. ὅτι δὲ πάλιν ἀδύνατον τὴν αἰσθητικὴν χωρὶς εἶναι τῆς
30 θρεπτικῆς, ἐκ τῶνδ' ἂν πιστεύοιμεν· φθειρομένης γὰρ τῆς ἁφῆς οὐδὲ ζῆν
ἔτι δύναται τὸ ζῷον. καίτοι εἰ ἦν ἡ θρεπτικὴ κεχωρισμένη, φθαρείσης 5
τῆς αἰσθητικῆς οἷόν τε ἂν ἦν ζῆν ἔτι τὸ ζῷον, ἔχον τὴν θρεπτικὴν δύνα-
μιν, ἥτις ἦν τοῦ ζῆν χορηγός. ἔτι εἰ ἦν κεχωρισμένη ἡ αἰσθητικὴ τῆς
θρεπτικῆς, οὐκέτ' ἂν τὰ ἔχοντα ἀμφοτέρας τὰς δυνάμεις μίαν εἶχε ψυχήν,

---

1 περὶ (ante ζωῆς) om. C (Arist. LP) 11 Περὶ ζῴων κινήσεως] 11 p. 703 b 24 Περὶ ζῴων γενέσεως] B 6 p. 743 b 25 κινήσεως—ζῴων om. a κινήσει ἐν τῇ C
14 αὐτὸ a δείξει] cf. Περὶ ἀναπνοῆς 8 15. 16 τούτου RP 16 ἐστίν om. a 17 εἰ γὰρ a: εἰ CRP: οἷον S ἡ ὑγρότης a προείρηται] p. 466 a 17 ss.
18 τοιοῦτον a 20 post αἱ add. φλέβες αἱ RP φλέβες om. CRP
22 πρῶτα P cf. Bonitz, Ind. p. 365 a 53 ss. 24 τὸ καὶ a 25 τελευταίαν ἀποψύχεσθαι CRP 26 post μέσῳ add. οὖσα CRP 29 τὴν καρδίαν RP
31 ἡ om. S 34 οὐκ ἂν a αὐτὰ ante τὰ add. a ἔχει C: ἔχοι RP

ἀλλὰ πλείους· αὐτὴ γὰρ καθ' αὑτὴν οὖσα ἡ θρεπτικὴ δύναμις ἐν τοῖς 161r
φυτοῖς ἔμψυχα αὐτὰ παρέχει. ὥστε κἂν τῷ ζώῳ ἔμψυχον τὸ μόριον τὸ
ταύτην τὴν δύναμιν ἔχον καθ' αὑτό. εἰ δὲ τοῦτο, δηλονότι καὶ τὸ τὴν
αἰσθητικὴν ἔχον πάλιν ἔμψυχον ἂν εἴη καθ' αὑτό. οὕτω δὲ δύναιντ' ἂν
5 αἱ δυνάμεις χωρίζεσθαι ἀπ' ἀλλήλων, ὡς εἶναι τὸ ζῷον τὸ μέν τι τρεφό-
μενον καὶ διὰ τοῦτο ζῶν, τὸ δὲ αἰσθανόμενον, οὐκέτι δὲ τρεφόμενον. δῆλον
ἄρα, ὅτι ἐν ᾧ τὸ θρεπτικόν, ἐν τούτῳ καὶ τὸ αἰσθητικόν.

p. 467ᵇ28 Ἐπεὶ οὖν τῶν ἰδίων αἰσθητηρίων ἕν τι κοινόν ἐστιν αἰσθητήριον.

10 Ἡ ἀπόδοσις τοῦ λόγου ἐστὶν ἐν τῷ ὥστε καὶ τὰ φυτὰ δηλονότι
τὴν θρεπτικήν ἀρχὴν ἔχοι ἂν ἐν μέσῳ τούτων, λέγων διὰ τοῦ
τούτων τὰ ἄνω καὶ κάτω· τὰ γὰρ φυτὰ πρόσθεν καὶ ὄπισθεν οὐκ ἔχει.
πῶς δὲ καὶ τὰ φυτὰ ἐν μέσῳ ἔχουσι τὴν θρεπτικὴν ἀρχήν, ἐρεῖ προϊών.
περίττωμα δὲ πρῶτον ἐνταῦθα τὸ ἔσχατον λέγει. σαφῆ δὲ τὰ ἑξῆς.

15 p. 468ᵃ20 Ἀλλ' ἥ γε τῆς θρεπτικῆς ἀρχὴ ψυχῆς ἐν τῷ μέσῳ τῶν τριῶν μορίων καὶ κατὰ τὴν αἴσθησιν οὖσα φαίνεται καὶ κατὰ τὸν λόγον.

Πρῶτον τὴν ἀπὸ τῆς αἰθήσεως ἐνάργειαν μαρτύρεται, ὅτι ἐν τῷ μέσῳ
ἐστὶν ἡ θρεπτικὴ ψυχή, καὶ οὕτως ἐπάγει τὰς ἀπὸ τοῦ λόγου πίστεις. λέγει
20 οὖν ὅτι πολλὰ τῶν ζῴων ὁρῶμεν ἀφαιρουμένων ἑκατέρων τῶν μορίων,
τῆς τε κεφαλῆς καὶ τοῦ κάτω τῆς καρδίας (κάτωθεν γὰρ τῆς καρδίας ἡ
δεκτικὴ τῆς τροφῆς κοιλία ἐστί), πολλὰ οὖν τῶν ζῴων ὁρῶμεν ὅτι ζῇ,
μεθ' οὗπερ ἂν ᾖ τὸ μέσον, τουτέστι μετὰ τοῦ λοιποῦ, ἐν ᾧ ἐστιν ἡ
καρδία ἢ τὸ ἀνάλογον τῇ καρδίᾳ· ταύτην γὰρ εἶπε μέσον. εἰ δὴ τὰ μὲν
25 ἄλλα μόρια οὐ ζῇ, τὸ δὲ ἔχον τὸ μέσον, ἤτοι τὴν καρδίαν ἢ τὸ ἀνάλογον
τῇ καρδίᾳ, ζῇ, δηλονότι τὸ αἴτιον τοῦ ζῆν, ἤτοι τὸ θρεπτικόν, ἐν τῇ
καρδίᾳ ἢ τῷ ἀναλόγῳ τῇ καρδίᾳ ἐστί, τὰ δὲ ἔχοντα τὸ τοιοῦτον μόριον, ἤγουν
τὸ θρεπτικόν, ἐνεργείᾳ μὲν ἔχουσιν ἕν, δυνάμει δὲ πλείω. ὡς γὰρ τὸ ἐν τῷ
κάδδῳ ὕδωρ ἐνεργείᾳ μέν ἐστιν ἕν, δυνάμει δὲ πλείω, διαιρεθὲν δὲ γίνεται ἐνερ-
30 γείᾳ πλείω, οὕτως καὶ τὸ ἐν τοῖς φυτοῖς καὶ τοῖς ἐντόμοις θρεπτικὸν ἓν μέν

---

1 post γὰρ add. αὐτὴ C 2 ἄψυχα S¹RP κἂν a: ἐν S: ἔσται ἐν CRP
3 alt. τὴν om. P 4 δὲ] καὶ C 5 τῷ ζώῳ RP: om. C: τοῦ ζῴου conicio
τι] τοι R 5. 6 post τρεφόμενον add. μόνον SCRP 6 post αἰσθανόμενον add.
μόνον CRP 8 ἐπειδὴ Arist. MZ τὸ ante τῶν add. a τι om. Arist. MZ
9 αἰσθητήριον ἕν a 10 ἐν τῷ om. S 11 τοῦ a: om. ceteri 12 τὰ] τὸ RP
φυτὰ ⟨τὰ⟩ conicio 13 προϊὼν ἐρεῖ RP (p. 468ᵇ18 ss.) 15 et 16 τῷ et τριῶν om. S
18 πρώτην C 19 ἀπὸ λόγου RP: κατὰ τὸν λόγον S 20 τῶν ζώων πολλὰ RP
23 εἴη C 24 ταῦτα a δὴ] δὲ C 26 ἤτοι τὸ θρεπτικόν om. a 27 τῷ
ἀνάλογον R, e corr. C: τὸ ἀνάλογον P, prius C ἤγουν] ἤτοι a 28 ὡς γὰρ—τὸ ἔντομον
(p. 102,2) RP: διαιρεθέντα δὲ καὶ (τὸ φυτὸν καὶ add. C) τὸ ἔντομον SC: διαιρεθέντων γὰρ a

ἐστιν ἐνεργείᾳ, δυνάμει δὲ πλείω· διαιρεθέντα δὲ καὶ τὸ φυτὸν καὶ τὸ ἔντομον, γίνεται τὸ θρεπτικὸν ἐνεργείᾳ πολλά. καὶ ἔστι πρώτως ἡ θρεπτικὴ ψυχὴ ἐν τῇ καρδίᾳ ἢ ἐν τῷ ἀναλόγῳ, ἀπὸ δὲ ταύτης ἢ τούτου διαδίδοται καὶ εἰς τὸ λοιπὸν σῶμα, ὥσπερ καὶ ἡ αἴσθησις εἰς τὰ αἰσθητήρια. δι' ἣν δέ, φησίν, αἰτίαν τὰ μὲν τῶν φυτῶν ἀποφυτευόμενα δύναται ζῆν, τινὰ δὲ οὐ δύναται ζῆν (οὐ γὰρ πάντα ὅσα ἀποφυτεύεται | δύναται ζῆν), 161ᵛ ἄλλος ἔστω λόγος· τῆς γὰρ Περὶ φυτῶν πραγματείας ὁ λόγος. δι' ἣν μὲν οὖν αἰτίαν τὰ μὲν οὐ δύναται διαιρούμενα ζῆν, τὰ δ' ἀποφυτεύεται τῶν φυτῶν, ἄλλος ἔστω λόγος. τὸ δ' ἀποφυτεύεται ταὐτόν ἐστι τῷ δύναται ζῆν. ἔστι δὲ ἀσαφὴς ἡ λέξις. ἢ γὰρ τὸ λεγόμενόν ἐστιν, ὅτι δι' ἣν δ' αἰτίαν τὰ μέν, ἤτοι τὰ ζῷα, διαιρούμενα οὐ δύναται ζῆν, τὰ δ' ἀποφυτεύεται, τουτέστι τὰ δὲ φυτὰ διαιρούμενα δύναται ζῆν, ἕτερος ἔστω λόγος. ἢ ἔστι τὸ λεγόμενον, ὅτι δι' ἣν δ' αἰτίαν ἄλλα μὲν τῶν φυτῶν δύναται ζῆν, ἄλλα δὲ οὐ δύναται, ἄλλος ἔστω λόγος. ἀλλὰ τοῦτο μὲν οὕτως. ὥσπερ δὲ ἡ θρεπτικὴ ψυχὴ μία μέν ἐστιν ἐνεργείᾳ, δυνάμει δὲ πλείους, οὕτω καὶ ἡ αἰσθητική. τῶν γὰρ ἐντόμων τμηθέντων εἰς πλείω τμήματα, καὶ ἕκαστον τῶν τμημάτων αἴσθησιν ἔχον (αἰσθάνονται γὰρ τῶν προσπιπτόντων αὐτοῖς), δηλονότι τότε πλείους εἰσὶν ἐνεργείᾳ αἱ αἰσθήσεις. ἐγὼ γὰρ οὕτωσὶ ἀλόγως παῖς ὢν ἀνέσπων τοὺς μεγάλους τῆς ἀκρίδος πόδας καὶ ἐτίθουν αὐτοὺς ἐν πέτρᾳ ἢ γῇ ἢ ὅπου ἂν ἔτυχεν· ἐν ᾧ τεθέντες ἦσαν πάμπαν ἀκίνητοι. ὁπηνίκα δ' ἡψάμην τινὸς αὐτῶν, ἥλετο καὶ ὅλως ἐκινεῖτο ἐκ τοῦδε εἰς τόδε τὸ ὑποκείμενον, ὡς δηλονότι αἴσθησιν ἔχον. καὶ τὰ μὲν τῶν ζῴων μέρη, καίπερ αἰσθανόμενα, οὐ δύναται ζῆν διὰ τὸ μὴ ἔχειν στόμα (περὶ οὗ εἴρηται ἐπὶ πλέον ἐπὶ τέλει τοῦ δευτέρου βιβλίου τῆς Περὶ ψυχῆς πραγματείας), τὰ δὲ φυτὰ δύναται ζῆν δι' ἃς αἰτίας εἴρηται ἐκεῖσε.

p. 468ᵇ7 Ἐνδεᾶ τε εἶναι τὰ μὲν τοῦ ληψομένου.

Ὧν ἂν ἀφαιρεθῇ ἡ κεφαλή, ταῦτά εἰσιν ἐνδεᾶ καὶ ἐστερημένα τοῦ ληψομένου τὴν τροφήν· ὧν δ' ἂν ἀφαιρεθῇ ἡ κοιλία, ταῦτα ἐστέρηνται τοῦ δεξομένου. ζῶσι δὲ τὰ τῶν ἐντόμων μέρη διὰ τὸ ἐοικέναι τὰ ἔντομα, ὡς καὶ ἐν τῷ Περὶ ζῴων πορείας εἴρηται, ζῴοις ἐκ πολλῶν ζῴων συγκει-

---

1 ἐνεργείᾳ om. a 2. 3 ἔστιν ἡ θρεπτικὴ ψυχὴ πρώτως C 3 alt. ἐν om. C ἀνάλογον CRP, tum τῇ καρδία add. C 5 δύναται om. C 5. 6 ζῆ, τὰ δὲ C 7 ἔσται R (Arist. LS) 8 τὰ μὲν] ταῦτα P 9 ἄλλος] ἕτερος CRP (Arist.) ἔσται CP cf. ad v. 7 δ' om. CRP ἀποφύεται SRP 10 post δύναται fort. add. διαιρούμενον σαφὴς S 10. 11 ἐστι δι' a 11 δ' a (Arist.): μὲν οὖν RP: μὲν SC οὐ δύναται διαιρούμενα RP 12 ἀποφύεται SCRP δύναται διαιρούμενα RP 14 post φυτῶν add. οὐ RP οὐ om. RP 18 αἱ om. P 21 ἥλατο RP: ἥλατο a 23 δύνανται S 24 post ἐπὶ add. τὸ (τῷ?) a δευτέρου] immo πρώτου 25 Περὶ ψυχῆς] A 5 p. 411ᵇ14 δύνανται SC 28 ἂν om. SC ἀφαιρεθείη SC 29 δ' ἂν a: δὲ ceteri ἀφαιρεθείη SC ἐστέρηται a 30 post δεξομένου add. ὧν δὲ καὶ ἡ κοιλία καὶ ἡ κεφαλή, ταῦτα ἀμφοτέρων CRP 31 τῷ] τῇ S Περὶ ζῴων πορείας 6 p. 707ᵇ3 εἴρηκε C 31. 103,1 πολλῶν συνεστηκόσιν ζῴων CRP

μένοις· ἔοικε γὰρ τὸ ἔντομον τὸ ὂν ἓν τῷ ἀριθμῷ ζῴῳ ἐκ πολλῶν ζῴων 161ᵛ
συνεστηκότι. ὥσπερ γὰρ εἰ ἦσαν κατὰ τὸν μῦθον δύο ἄνθρωποι συμπε-
φυκότες κατὰ τὴν ῥάχιν, εἶτα διαιρεθέντες καὶ διαζευχθέντες ἀπ' ἀλλήλων
ἠδύναντο ζῆν, τοιοῦτόν τι δεῖ νοεῖν ἐν τοῖς ἐντόμοις· ἕκαστον γὰρ αὐτῶν 25
5 μόριον ὥσπερ ζῷόν τί ἐστι. περὶ ὧν εἴρηταί μοι ἐπὶ πλέον ἐν ταῖς εἰς
τὸ Περὶ ζώων πορείας σχολαῖς. καὶ ταῦτα μὲν δύναται ζῆν διὰ τὸ ἕκαστον
αὐτῶν ἐοικέναι ζῴῳ ἐκ πολλῶν ζῴων συνεστηκότι, τὰ δὲ ἀρίστως ἔχοντα
τὴν σύστασιν, οἷον ἄνθρωποι, ἵπποι, τὰ ὅμοια, τοῦτο οὐ πάσχει, του-
τέστι τὸ δύνασθαι διαιρούμενα ζῆν. διὰ τί; ὅτι ἡ τοῦ ἀνθρώπου φύσις
10 μία ἐστὶ καὶ οὐ πολλαί. τοῦτο δὲ ταὐτόν ἐστι τῷ 'ὅτι ἕκαστον αὐτῶν ἓν 30
ἐστι ζῷον, ἀλλ' οὐκ ἐκ πολλῶν συνεστηκός'. καὶ διὰ τὸ εἶναι ἕκαστον
αὐτῶν ἓν ζῷον μικρὰν αἴσθησιν ἔνια ποιεῖ διαιρούμενα τῶν ζῴων
(ἔστι δὲ τὸ μικρὰν αἴσθησιν ποιεῖν ὅμοιον τῷ 'βραχέως αἰσθάνονται καὶ
πάμπαν ἀμυδρῶς'), τὰ δὲ τῶν ἐντόμων μέρη σφοδρῶς· αἰσθάνονται γὰρ
15 καὶ τῶν βραχέων διὰ τὸ εἶναι ὥσπερ ζῷον αὐτὸ καθ' αὑτὸ ἕκαστον
μόριον. καὶ τὰ μὲν τῶν ἐντόμων μέρη ἀκριβῶς αἰσθάνονται, διότι ἑκάστῳ
αὐτῶν ἀποτμηθέντι τοῦ ὅλου ἐνεργείᾳ ἐστὶν ἡ αἰσθητικὴ ψυχή· τὰ δὲ τῶν
ἀνθρώπων καὶ τῶν ἵππων καὶ τῶν ἄλλων οὐκ ἀκριβῶς, διότι οὐκ ἔχει τὴν 35
αἰσθητικὴν ψυχήν, ἀλλὰ πάθος τι τῆς αἰσθητικῆς ψυχῆς. ὅσον δὲ δια-
20 φέρει τὰ πάθη τῶν ἐν οἷς εἰσι πάθη, τοσοῦτον καὶ ἑκάστου τῶν ἀρίστων
ζῴων μορίου αἴσθησις πρὸς τὰς τῶν μορίων τῶν ἐντόμων αἰσθήσεις.
πλεῖστον δὲ διαφέρει ἡ ψυχὴ καὶ τὰ ἀπ' αὐτῆς πάθη· πλεῖστον ἄρα καὶ
ἡ ἀπ' αὐτῆς προσεχῶς γινομένη αἴσθησις τῆς ἀπὸ τοῦ πάθους αὐτῆς γινο-
μένης. κινεῖται δὲ ἡ χελώνη ἀφαιρεθείσης τῆς καρδίας διὰ τὸ ἔχειν
25 ψυχικόν τι πάθος.

p. 468ᵇ16 Ἔτι δὲ ἐπί τε τῶν φυτῶν δῆλον καὶ ἐπὶ τῶν ζῴων. 40

Καὶ τοῦτο τὸ ἐπιχείρημα ἀπὸ τῆς αἰσθήσεως τὴν πίστιν ἔχει. δῆλον,
φησίν, ὅτι τὸ θρεπτικὸν ἐν τῷ μέσῳ ἐστὶ καὶ ἐπὶ τῶν φυτῶν καὶ ἐπὶ τῶν ζῴων.
ἐπὶ μὲν τῶν φυτῶν δῆλον ἐπισκοποῦσι τὴν τῶν σπερμάτων γένεσιν καὶ τὰς
30 ἐμφυτείας καὶ τὰς ἀποφυτείας. ἔστι δὲ ἐμφυτεία μὲν ὁ ἐγκεντρισμός, ἀπο- 45

---

1. 2 ἔοικε—συνεστηκότι om. C 2 δύο κατὰ τὸν μῦθον RP τὸν μῦθον] Plato, Symp. c. 14 ss. 4 νοεῖν δεῖ RP 4. 5 αὐτῶν μόριον SC: αὐτοῦ μόριον RP: τῶν μορίων a 5 ὥσπερ] οἷον C 5. 6 εἰς τὸ a: om. ceteri 6 σχολαῖς] v. fol. 180ʳ16 ss. Ald. 6. 7 ἐοικέναι ἕκαστον αὐτῶν a 8 ἄνθρωπος ἵππος a post ἵπποι add. καὶ RP 10 ἐστὶ om. a 11 ἀλλ'] καὶ P 13 ποιεῖ RP ὅμοιον] ἴσον CRP 14 πάμπαν om. a σφοδρῶς—μέρη (16) om. S 15 καθ' αὑτὸ om. P 16 post διότι add. ἐν RP 17 post ἐνεργείᾳ add. ἓν C 18 καὶ ἵππων C post ἄλλων add. ζώων RP 20 ἐν οἷς] ὧν CRP 23. 24 post γινομένης add. τὰ ἔντομα ἀφαιρεθέντα αἰσθάνονται, ὅτι κατὰ πάθος ἐστὶν αὐτοῖς ἡ αἴσθησις ὥσπερ ἐν τῷ ἐρίῳ τὸ μέλαν καὶ διὰ τοῦτο μένει RP, pergit R: ἐν δὲ τοῖς ἀνθρώποις κατὰ σχέσιν ὥσπερ ἐν τῷ ἀέρι τὸ φῶς, καὶ διὰ τοῦτο οὐδὲ ἔστιν ἀεί 24 post δὲ add. καὶ C, prius R 26 alt. ἐπὶ om. a (Arist. L) 27 post δῆλον add. δέ a 28 post ζώων add. καὶ C 30 τὰς om. a (Arist. L)

φυτεία δὲ τὸ τοὺς ἀφαιρεθέντας ἐκ τῶν δένδρων κλάδους εἰς γῆν φυτεύειν· 161ᵛ
ὅπερ οἱ νεώτεροι μεταφυτείαν καλοῦσιν.

p. 468ᵇ18 Ἡ τε γὰρ τῶν σπερμάτων γένεσις συμβαίνει πᾶσιν ἐκ τοῦ μέσου.

Εἰπὼν ὅτι δῆλον ἐπισκοποῦσι τὴν ἀπὸ τῶν σπερμάτων γένεσιν, 52
σαφηνίζων ἐπήγαγεν· ἥ τε γὰρ τῶν σπερμάτων γένεσις συμβαίνει πᾶσιν ἐκ τοῦ μέσου. ἐπεὶ γὰρ ἐκ τοῦ καρποῦ πάλιν καρπὸς γίνεται (ἀπὸ γὰρ κοκκυμήλου πάλιν κοκκύμηλον καὶ ἀπὸ κυάμου κύαμος καὶ ἀπὸ τῶν ἄλλων ὁμοίως), ὁρῶμεν δὲ ὅτι ἡ βλάστη καὶ αἱ ταύτης ῥίζαι ἐκ | τοῦ μέσου φύονται, δηλονότι ἐν τῷ μέσῳ ἐστὶ τὸ θρεπτικόν. ἐν ᾧ γὰρ 162ʳ
πρώτως τρέφεταί τι, ἐν τούτῳ ἐστὶ τὸ θρεπτικόν. τρέφεται δὲ πρώτως καὶ ἀναφύει ἐν τῷ μέσῳ ἡ ῥίζα καὶ ἡ βλάστη, ἀφ' ἧς ῥίζης καὶ βλάστης εἰσὶν οἱ καρποί. ἐν αὐτῷ ἄρα τῷ μέσῳ τὸ τοιοῦτόν ἐστι τῆς ψυχῆς μόριον, ἤγουν τὸ θρεπτικόν.

Ἡ μὲν οὖν διάνοια αὕτη, τὰ δὲ κατὰ τὴν λέξιν τοιαῦτα· διθύρων γὰρ ὄντων ἐν πᾶσιν, ᾗ συμπέφυκεν ἔχεται, τουτέστι διθύρων γὰρ 5
ὄντων τῶν καρπῶν ἔχεται καί ἐστι τὸ θρεπτικόν, ὅπου συμπεφύκασιν αἱ θύραι· συμπεφύκασι δ' ἐν τῷ μέσῳ, ἐν τῷ μέσῳ ἄρα ἐστὶ τὸ θρεπτικόν. καί ἐστι τὸ μέσον ἑκατέρου τῶν μορίων, τουτέστιν ἑκατέρας θύρας, ἐνταῦθα, ἤτοι ὅπου συμπεφύκασιν αἱ θύραι. ὅ τε καυλὸς ἐκφύεται καὶ ἡ ῥίζα τῶν φυομένων ἐλλιπῶς ἀπήγγελται καὶ διὰ τοῦτο ἀσαφῶς. λείπει γὰρ ἐν τῇ λέξει τὸ ἐντεῦθεν καὶ ὁ γὰρ σύνδεσμος. ἦν δ' ἂν καταλληλος ἡ γραφή, εἰ οὕτως εἶχεν 'ὅ τε γὰρ καυλὸς ἐκφύεται ἐντεῦθεν καὶ ἡ ῥίζα 10
τῶν φυομένων'. ὥστε εἰ ὁ καυλὸς καὶ ἡ ῥίζα ἐκ τοῦ μέσου, ὁ δὲ καρπὸς ἐκ ῥίζης καὶ καυλοῦ, ὁ καρπὸς ἄρα ἐκ τοῦ μέσου. τὸ δὲ ἡ δ' ἀρχὴ τὸ μέσον αὐτῶν ἐστιν ἴσον ἐστὶ τῷ 'ὥστε ἡ ἀρχὴ αὐτῶν τὸ μέσον ἐστί'. τὸ δ' αὐτῶν, κἂν ἐπὶ τῆς ῥίζης καὶ τοῦ καυλοῦ ἀκούοιμεν, κἂν ἐπὶ τῶν καρπῶν, οὐδὲν διαφέρει. ἔν τε ταῖς ἐμφυτείαις καὶ ταῖς ἀποφυτείαις συμβαίνει τοῦτο μάλιστα περὶ τοὺς ὄζους. τοῦτο λέγει τὸ εἶναι τὸ θρεπτικὸν ἐν τῷ μέσῳ. ἔστι δὲ καὶ τοῦτο τὸ ἐπιχεί- 15
ρημα ἀπὸ τῶν φαινομένων τῇ αἰσθήσει. ἔστω δὲ καυλὸς δένδρου ἡ Α Β Γ γραμμή, κλάδος δὲ ἡ Β Δ, καὶ ὄζος ἡ Β Ε. ταῦτα δὲ εἰλήφθω λόγου

---

1 κλάδους ἐκ τῶν δένδρων εἰς τὴν γῆν a 3 πᾶσα S (Arist. P) 5 ἀπὸ] ἐκ RP post γένεσιν add. τοῦτο CRP 6 γὰρ om. SC 7 πᾶσα S γὰρ ἀπὸ καρποῦ P 8 post γὰρ add. τοῦ C κοκυμήλου SCR πάλιν om. a κοκύμ. S alt. ἀπὸ] ἐπὶ C 10 ἐν ᾧ—θρεπτικόν (11) om. P 12 ἀφ' ὧν βλάστης καὶ ῥίζης CRP 15 τὴν om. P 16 ἐν πᾶσιν] πάντων Arist. 19 ἐντεῦθεν RP (Arist.) 20 ⟨τὸ δὲ⟩ ὅ τε conicio 22 ἐντεῦθεν habent nostri Arist. libri, γὰρ unus L δ' ἂν] γὰρ C 24 εἰ om. P 25 post ἀρχὴ add. εἰς C 27 κἂν] καὶ C 28 ταῖς (ante ἀποφυτείαις) om. RP (Arist. S) 29 μάλιστα συμβαίνει (συμβαίνειν C) τοῦτο CRP (Arist. S) συμβαίνειν Ca τοῦτο om. S 30 λέγων S ἐν τῷ μέσῳ τὸ θρεπτικόν S

χάριν· τὸ γὰρ ἀκριβὲς ἐν τούτοις οὐ δεῖ θεωρεῖν. διὰ τί; ὅτι τὸ μὲν 162r
δένδρον ἔχει πάχος, ἡ δὲ γραμμὴ ἀπλατής. ἔστιν οὖν ὁ ὄζος ἀρχὴ τοῦ
κλάδου, ἅμα δὲ καὶ μέσον· ἔστι γὰρ μέσον τοῦ τε κλάδου καὶ τοῦ καυλοῦ.

p. 468ᵇ25 Ὥστε ἢ τοῦτο ἀφαιροῦσιν.

Ὥστε ἢ τὸν κλάδον μετὰ τοῦ ὄζου ἀφαιροῦσιν ἐν ταῖς ἀποφυτείαις
καὶ τὸν μὲν ὄζον κατορύττουσιν ὡς μέσον καὶ ἐν ἑαυτῷ ἔχοντα τὸ θρεπ- 30
τικόν, τὸ δὲ λοιπὸν ἐκτὸς ἐῶσιν ἵστασθαι, ἢ εἰς τοῦτο ἐμβάλλουσιν
ὡς ἐν τοῖς ἐγκεντρισμοῖς· ἐν γὰρ τούτοις τὸν μὲν κλάδον ἐκκόπτουσιν, εἰς
δὲ τὸν ὄζον τὸ ἐγκέντριον ἐμβάλλουσι. ταῦτα δὲ ποιοῦσιν, ἵνα ἢ ὁ κλάδος
ἐν τοῖς ἐγκεντρισμοῖς ἐκ τούτου γένηται (τὸ γὰρ ἐγκέντριον ἀντὶ τοῦ ἀπο-
κοπέντος κλάδου γίνεται), ἢ ἵνα αἱ ῥίζαι ἐκ τούτου γένωνται ὡς ἐν ταῖς
ἀποφυτείαις. ὥσπερ δὲ μεταξὺ κλάδου καὶ καυλοῦ ἐστιν ἡ ἀρχή, οὕτω
πάλιν μεταξὺ καυλοῦ καὶ ῥίζης· ὡς γὰρ ῥίζα πρὸς καυλόν, οὕτως ὄζος 35
πρὸς κλάδον. ὅτι δὲ ἡ καρδία πρώτη γίνεται καὶ τρέφεται, εἴρηται πολλάκις.
ἔτι δὲ καὶ διὰ τὸ εἶναι τὴν καρδίαν ἀρχὴν φλεβῶν, καὶ διὰ τοῦτο ἂν εἴη
τῶν ζῴων ἀρχή, καὶ διὰ τοῦτο ἂν εἴη ἐν αὐτῇ ἡ ψυχή. ἀλλὰ καὶ διὰ
τὸ εἶναι αὐτὴν ἀρχὴν τοῦ αἵματος, τὸ δ' αἷμα τελευταίαν τροφήν, καὶ διὰ
τοῦτο ἐν αὐτῇ ἂν εἴη ἡ ψυχή. ἐν ᾧ γὰρ ἡ τελευταία τροφὴ γίνεται, ἐν
τούτῳ ἀνάγκη εἶναι καὶ τὸ θρεπτικόν· ἐν ᾧ δὲ τοῦτο, ἐν τούτῳ καὶ τὸ
αἰσθητικόν, ὡς δέδεικται. ἔτι ἐπειδὴ ἡ τοῦ αἵματος λειτουργία διὰ τὴν 40
τῆς κοιλίας, ταύτης δὲ διὰ τὴν τῆς καρδίας, ἡ δὲ καρδία τὸ τέλος ἐπι-
τίθησιν (αὐτὴ γὰρ ἐξαιματοῖ), κυριωτάτη ἄρα καὶ ἀρχὴ ἡ καρδία. ὥστε
καὶ ἐν αὐτῇ ὡς ἐν ἀρχῇ ἡ θρεπτική τε καὶ αἰσθητικὴ ψυχή. ἐν δὲ τῇ
λέξει τῇ τὰ γὰρ τῶν ἄλλων μορίων ἔργα περὶ τὴν τροφὴν μόρια
τὸ στόμα καὶ τὴν κοιλίαν καὶ τὸ ἧπαρ λέγει· τὰ γὰρ ἔργα τούτων τῶν
μορίων χάριν τοῦ τῆς καρδίας ἔργου εἰσί.

p. 469ᵃ8 Δεῖ γὰρ τὸ κύριον πρὸς τὸ οὗ ἕνεκα διατελεῖν. 45

Κύριον τὴν αἰσθητικὴν ἢ καὶ τὴν θρεπτικὴν λέγει ψυχήν. ἔστι δὲ
τὸ λεγόμενον· ἐπειδὴ ἡ καρδία οὗ ἕνεκα (τοῦ γὰρ ταύτης ἔργου ἕνεκα ἡ
τῶν ἄλλων μορίων ἐργασία), δεῖ τὸ κύριον πρὸς αὐτὴν διατελεῖν, ἤτοι ἐν
αὐτῇ εἶναι, ἀλλ' οὐκ ἐπ' ἄλλῳ τινὶ μορίῳ τῶν τοῦ σώματος τῶν ἕνεκα 50
τῆς καρδίας ὄντων. τὸ δὲ οἷον ὁ ἰατρὸς πρὸς τὴν ὑγίειαν ἴσον ἐστὶ

---

2 ἀπλατές S 3 ἔστι γὰρ—καυλοῦ om. P 5 ὥστε Sa: τουτέστιν ὥστε CR: τουτέστιν P 6 καὶ τὸ μὲν ὀξὺ a αὐτῷ CRP ἔχον a 8 prius ἐν om. C 9 βάλλουσι C 12 ἡ om. Pa 14 v. ad p. 100,22 15 τῶν φλεβῶν RP 18 ἂν ἐν αὐτῷ RP, ἂν εἴη ἐν αὐτῇ C αὐτῷ Pa (anceps R) 19 prius καὶ om. P 20 ἐπεὶ RP 21 ταύτην S 22 αὕτη RP ἡ ἀρχὴ C, prius S 24 περὶ] πρὸς a 26 ἐστὶ C 27 post δεῖ add. μὲν a 28 θρεπτικὴν ἢ καὶ τὴν αἰσθητικὴν CRP 29 ἐπεὶ RP 31 ἐπ'] ἐν CRP τινὶ om. C 32 ὁ om. S (Arist.) ὑγείαν SCP

τῷ 'καὶ γὰρ ὁ ἰατρὸς πρὸς τὴν ὑγείαν ἐστίν'· ᾗ γὰρ ἰατρός, χάριν τῆς ὑγείας ἐστίν, οὕτω δὲ καὶ τὸ ᾗπαρ χάριν τῆς καρδίας.

p. 469ᵃ12 Δύο δὲ φανερῶς ἐνταῦθα συντεινούσας ὁρῶμεν. |

Ἦν ἂν καταλληλότερος ἡ λέξις, εἰ ἀντὶ τοῦ δέ συνδέσμου τὸν γάρ 162ᵛ
5 εἶχεν, ἵν' ἦν· δύο γὰρ φανερῶς ἐνταῦθα. εἰπὼν γὰρ ἀλλὰ μὴν τό γε κύριον τῶν αἰσθήσεων ἐν τῇ καρδίᾳ ἐστὶ (ταύτην γὰρ ἀναγκαῖον εἶναι κοινὸν αἰσθητήριον· ἀνάγκη γὰρ ἐν τῷ κοινῷ αἰσθητηρίῳ τὴν κοινὴν 10
εἶναι αἴσθησιν), εἰπὼν γὰρ ταῦτα τὴν αἰτίαν τούτου διὰ τούτων ἐπάγει 'δύο' λέγων 'φανερῶς ἐνταῦθα συντεινούσας ὁρῶμεν'. ἐπεὶ γάρ, ὡς ἐκ τῶν ἀνα-
10 τομῶν φαίνεται, τῆς τε ἁφῆς καὶ τῆς γεύσεως τὰ αἰσθητήρια πρὸς τὴν καρδίαν τείνουσι, δηλονότι καὶ τῶν λοιπῶν, ἀκοῆς δηλονότι καὶ τῶν ἄλλων, πρὸς αὐτήν εἰσιν. οὐ γὰρ εἰκὸς ἐν ἄλλῳ μὲν μέρει τοῦ σώματος εἶναι τὴν γεῦσιν καὶ ἁφήν, ἐν ἄλλῳ δὲ τὴν ἀκοὴν καὶ τὰς λοιπὰς δύο. τὸ δὲ ἐν τούτῳ μὲν γὰρ τοῖς ἄλλοις αἰσθητηρίοις ἐνδέχεται καὶ τὰ 15
15 ἑξῆς τῆς λέξεως ἴσον ἐστὶ τῷ 'πάντων μὲν γὰρ τῶν αἰσθητηρίων τὰς κινήσεις τὰς ἀπὸ τῶν αἰσθητῶν ἐν αὐτοῖς γινομένας ἐνδεχόμενόν ἐστιν πρὸς τὴν καρδίαν γίνεσθαι διὰ τὸ πρὸς αὐτὴν τείνειν τοὺς πόρους τούτων, οὐδὲν δὲ τούτων τείνει πρὸς τὸν ἐγκέφαλον' (τοῦτον γὰρ εἶπεν ἄνω τόπον)· οὐδενὸς γὰρ αἰσθητηρίου πόρος πρὸς αὐτὸν τείνει. ἀλλὰ περὶ μὲν τούτων
20 εἴρηται πολλάκις, πῶς πρὸς τὴν καρδίαν τείνουσιν οἱ τῶν αἰσθητηρίων 20
πόροι, καίπερ ὄντες ἐν τῇ κεφαλῇ· χωρὶς δὲ τῶν εἰρημένων, εἰ τὸ ζῆν ἐν τῇ καρδίᾳ καὶ ἀπὸ τῆς καρδίας ἐστίν, ὡς εἴρηται, δηλονότι καὶ τὸ αἰσθητήριον ἐν ταύτῃ ἂν εἴη. ᾗ μὲν γὰρ ζῷον, ταύτῃ καὶ ζῆν φαμεν, ᾗ δὲ αἰσθητικόν, ταύτῃ καὶ ζῷον. ὥστε συλλογιστέον ὧδέ πῃ· ᾗ αἰσθη-
25 τικόν, ταύτῃ καὶ ζῷον· ᾗ ζῶον, ταύτῃ καὶ ζῇ· ᾗ ἄρα αἰσθητικόν, ταύτῃ καὶ ζῇ. εἰ δὲ τοῦτο, οὐκ ἂν εἴη ἐν ἄλλῳ μὲν μέρει τοῦ σώματος τὸ αἰσθητικόν, ἐν ἄλλῳ δὲ τὸ θρεπτικόν, τὸ αἴτιον τοῦ ζῆν. δι' ἣν δ' αἰτίαν, εἴρηται ἀνωτέρω. διὰ τί δ' ἐν τῇ κεφαλῇ τὰ αἰσθητήρια, εἴρηται ἐν τῷ 25
Περὶ ζῴων μορίων καὶ ἐν τῷ Περὶ ζῴων γενέσεως. ἐν δὲ τῇ λέξει τῇ
30 'μέσον τῶν τριῶν μορίων' μόρια λέγει τὸ ἄνω καὶ κάτω, δεξιὸν καὶ ἀριστερόν, ἔμπροσθεν καὶ ὄπισθεν.

---

1 ὑγίειαν RP ὁ ἰατρὸς S 2 ὑγιείας RP 4 καταλληλότερον a: καταλληλοτέρα conicio 5 εἶχεν] εἶλεν S ἡ P, fort. recte 6 γὰρ om. P¹ 8 γὰρ om. C ἐπάγει διὰ τούτων C 9. 10 ἀτομῶν, tum ras. III litt. S; Arist. librum Ἀνατομαί non respicit, certe non legit 11 alt. δηλονότι] λέγω RP 12 μὲν om. RP 12. 13 εἶναι τὴν om. S 13 τὴν ἁφὴν P 15 γὰρ om. a 18 τείνει a (cf. Arist): τείνειν ceteri 19 αὐτὴν S 22 ὑπὸ a δέδεικται CRP 23 αἰσθητικὸν CRP 24 ᾗ (post πῃ)]: εἰ S 28 ἀνωτέρω] p. 100,13 ss. τῷ] τῇ SRP 29 Περὶ ζῴων μορίων] B 10 p. 656ᵃ32 ss. τῷ] τῇ SRP Περὶ ζῴων γενέσεως] B 6 p. 744ᵃ2 ss. 30 τὸ] τὰ S

p. 469a27 Κατὰ δὲ τὸν λόγον, ὅτι τὴν φύσιν ὁρῶμεν ἐν πᾶσιν ἐκ 162v
τῶν δυνατῶν ποιοῦσαν τὸ κάλλιστον.

Δείξας ἀπὸ τῶν φαινομένων τῇ αἰσθήσει, ὅτι ἐν τῷ μέσῳ ἐστὶν ἡ 32
θρεπτικὴ καὶ αἰσθητικὴ ψυχή (ἀπὸ γὰρ τοῦ βλέπειν ἐν ταῖς ἀνατομαῖς,
5 ὅτι φανερώτατα πρὸς τὴν καρδίαν οἱ πόροι τείνουσιν οἱ τῆς ἁφῆς καὶ τῆς
γεύσεως, εὕρομεν ὅτι ἐν αὐτῇ ἐστιν ἡ αἰσθητική, καὶ ἁπλῶς ἀπὸ τῶν
φανέντων, ἅπερ ἦσαν τὰ μέχρι τοῦ νῦν ἐκτιθέμενα, εὑρόντες καὶ τὴν 35
θρεπτικὴν καὶ τὴν αἰσθητικήν, ὅτι ἐν αὐτῇ τυγχάνουσιν οὖσαι), δείκνυσιν
αὐτὸ καὶ ἀπὸ τοῦ λόγου καί φησιν· ἐπειδὴ γὰρ ἡ φύσις ἐκ τῶν ἐνδεχο-
10 μένων τὸ κάλλιστον ποιεῖ, κάλλιστον δ' ἐν τῷ μέσῳ εἶναι τὰς εἰρημένας
τῆς ψυχῆς δυνάμεις, ἐν τῷ μέσῳ ἂν εἶεν. ὅτι δὲ κάλλιστον ἐν τῷ μέσῳ
εἶναι, ἐπήγαγεν εἰπὼν ἐν τῷ μέσῳ δὲ τῆς οὐσίας τῆς ἀρχῆς οὔσης
ἑκατέρας. ἔστι δὲ τὸ λεγόμενον δυνάμει· καθ' ὅσον ὁ μέσος τόπος μέσος
ἐστὶ τῶν ὀργάνων, τῶν τε δι' ὧν τὴν τροφὴν λαμβάνομεν καὶ τῶν δι' 40
15 ὧν ἀποσκευαζόμεθα τὰ αὐτῆς περιττώματα, ἀμφοτέρων ἐχόντων τινὰ
δυσχέρειαν καὶ κατὰ τοῦτο ἂν εἴη ἡ ψυχὴ ἐν τούτῳ. ἐν μέσῳ γὰρ οὖσα
δύναται ἐπίσης καὶ ἄνωθεν ἀπὸ τοῦ στόματος καὶ κάτω πρὸς τὴν κοιλίαν
ἕλκειν καὶ ἐκ ταύτης ἀποσκευάζεσθαι πάλιν τὰ περιττώματα. καὶ ἐπεὶ ἐν
ᾧ ἡ θρεπτική ἐστιν, ἐν τούτῳ καὶ ἡ αἰσθητική, ὡς δέδεικται, δείκνυται
20 δὲ ὅτι ἡ θρεπτικὴ ἐν τῷ μέσῳ ἐστί (ταύτῃ γὰρ ἁρμόζει ἡ νῦν ἐπιχείρησις),
ἐν τούτῳ ἄρα καὶ ἡ αἰσθητική. 45

Ἡ μὲν οὖν διάνοια οἶμαι τοιαύτη, κατὰ δὲ τὴν λέξιν τὴν ἐν τῷ
μέσῳ δὲ τῆς οὐσίας τῆς ἀρχῆς οὔσης ἑκατέρας τὸ οὐσίας ταὐ-
τόν ἐστι τῷ τῆς φύσεως. ἐν τῷ μέσῳ γὰρ οὔσης τῆς οὐσίας καὶ τῆς
25 φύσεως (ἡ γὰρ ἑκάστου οὐσία ἡ ἑκάστου φύσις ἐστίν), ἐν τῷ μέσῳ οὖν
οὔσης τῆς οὐσίας τῆς θρεπτικῆς καὶ αἰσθητικῆς ψυχῆς ἐν τῷ μέσῳ ἂν
εἴη καὶ ἡ αἰσθητικὴ καὶ ἡ θρεπτικὴ ψυχή. ἔστι δὲ ἡ ἐπιχείρησις μᾶλλον
ἁρμόζουσα λέγεσθαι ἐπὶ τῆς θρεπτικῆς. κατεργαζόμενον δὲ λέγει τὴν
ἐσχάτην τροφὴν τὸ παχὺ ἔντερον τὸ πρὸς τῇ ἕδρᾳ (συμπέττει γὰρ καὶ 50
30 τοῦτο καὶ τὰ λοιπὰ ἔντερα τὴν τροφήν, ἣν δέξονται, ὡς πολλάκις εἴρηται·
ὡς γὰρ ἐν τῇ Περὶ ζῴων μορίων εἴρηται, οὐχ ἅμα τῷ δέξασθαι τὰ ἔντερα
ἐκ τῆς κοιλίας τὰ περιττώματα εὐθὺς ἀποκρίνουσιν αὐτά, ἀλλὰ κατεργάζονται
καὶ αὐτὰ καὶ συμπέττουσι μέρος τι τῆς τοιαύτης περιττώσεως), κατεργα-

---

3 ἡ] ἥ τε RP 5 φανερώτατοι P: anceps SR τείνουσιν οἱ a: τείνουσι ceteri
7 post εὑρόντες add. δὲ C 9 ἐπεὶ RP 15 τὰ ἀπ' αὐτῆς CRP 16 τούτῳ] τῶδε RP 17 καὶ (ante κάτω) a: om. ceteri 18 πάλιν om. CRP
20 post ὅτι add. καὶ P ἐστὶν ἐν τῷ μέσῳ C 22 τοιαύτη οἶμαι C
22. 23 ἐν τῷ μέσῳ δὲ a (Arist.): τὸ γὰρ ἐν μέσῳ ceteri 24. 25 ἐν τῷ — φύσεως om. P 26. 27 ἐν τῷ — ψυχή a: τοῦτο δὲ ταυτόν ἐστι τῷ ἐν τῷ (τῷ om. S) μέσῳ γὰρ οὔσης τῆς θρεπτικῆς καὶ αἰσθητικῆς ψυχῆς ceteri 27 post ἐπιχείρησις add. ὡς εἴρηται RP 28. 29 τὴν ἐσχάτην τροφὴν λέγει RP 29 τὴν ἕδραν RP
30 post ἣν add. ἂν Ca δέξωνται C 31 τῇ] τῷ RP περὶ om. S
Περὶ ζῴων μορίων] Γ 14 p. 675b 13 ss. 32 κατεργάζουσι a 33 ταῦτα C

ζόμενον οὖν τὴν τροφὴν λέγει τὴν κάτω κοιλίαν, αὐτό φημι τὸ παχὺ ἔντερον, ἐσχάτην δὲ τροφὴν λέγει νῦν τὸ περίττωμα τῆς ἄνω | κοιλίας· 163r τρέφει γὰρ καὶ τὸ τοιοῦτον περίττωμα, ἕως ἂν συμπέπτηται καὶ κατεργάζηται ὑπὸ τῶν ἐντέρων. δεκτικὸν δὲ λέγει τὴν ἄνω κοιλίαν. ἀλλ' ἐπεὶ ἀσαφῶς ἀπήγγελται ἡ λέξις, πάλιν αὐτὴν οὕτως δεῖ καθιστάνειν· ἐν τῷ μέσῳ γὰρ οὖσα ἡ ψυχὴ τοῦ τε στόματος καὶ συναμφοτέρων, τοῦ ἐργαζομένου τὴν ἐσχάτην τροφὴν καὶ τοῦ δεκτικοῦ, δύναιτ' ἂν τό τε ἐργαζόμενον καὶ τὸ δεκτικὸν ἀποτελεῖν τὸ οἰκεῖον ἔργον κάλλιστα διὰ τὴν τῆς καρδίας πρὸς αὐτὰ γειτνίασιν. ληπτέον οὖν τό τε δεκτικὸν καὶ τὸ ἐργαζόμενον ὡς ἕν, τὸ δὲ στόμα ὡς ἄλλο· ὥστε δυοῖν ὄντοιν μέσον ἔσται ἡ καρδία. λέγει δὲ κατεργαζόμενον τὸ ἔντερον, οὐχ ὡς μόνον αὐτὸ ὂν τὸ κατεργαζόμενον (πολλῷ γὰρ πρότερον ἡ ἄνω κοιλία κατεργάζεται), ἀλλὰ διὰ τὸ εἶναι ἄδηλον τοῖς πολλοῖς, εἰ κατεργάζεται καὶ αὐτό, διὰ τοῦτο τοῦτο ἐπήγαγε. τὸ δὲ πρὸς ἑκατέρῳ γὰρ αὐτῶν οὕτως ἔσται ταὐτόν ἐστι τῷ 'ἐν μέσῳ οὖσα καλῶς ἂν ἔχοι πρὸς ἑκατέρῳ αὐτῶν, τῷ τε ἐργαζομένῳ καὶ τῷ δεκτικῷ'. ἔτι καὶ καθ' ὅσον τὸ μέσον ἔχει χώραν ἀρχικήν (ἀσφαλέστατος γὰρ ὁ μέσος τόπος καὶ δυσπαθέστατος), καὶ κατὰ τοῦτο ἂν εἴη ἐν τῷ μέσῳ. ἐν πᾶσι γὰρ ἡ φύσις τῆς τοῦ κατ' αὐτὴν γινομένου σωτηρίας στοχάζεται. δύναται δὲ μᾶλλον ἐν τῷ μέσῳ φυλάττεσθαι διὰ τὴν ἀσφάλειαν καὶ δυσπάθειαν. τοῦτο δὲ τὸ μέσον, ὡς εἴρηται, ὁ θώραξ ἐστὶ καὶ ὁ περὶ τὴν καρδίαν τόπος.

p. 469b1 Ἔτι τὸ χρώμενον καὶ ᾧ χρῆται δεῖ διαφέρειν.

Χρώμενον λέγει τὸ μέσον, αὐτόν, ὡς εἴρηται, τὸν θώρακα καὶ τὸν περὶ τὴν καρδίαν τόπον, ᾧ δὲ χρῆται τὰ ὄργανα, πόδας καὶ τὰ τοιαῦτα. ἐπεὶ γὰρ ὁ θώραξ ἐστὶ τὸ τοῦ ζῴου ἀναγκαιότατον σῶμα καὶ οὗ ἄνευ οὐ δύναται εἶναι, χωρὶς δὲ τῶν ἄλλων τοῦτο (πολλὰ γὰρ τῶν ζῴων οὔτε κεφαλὴν ἔχει ὡς καρκίνοι, οὔτε πόδας ὡς τὰ ἄποδα, οὔτε χεῖρας), δηλονότι χάριν τοῦ θώρακός εἰσι καὶ τὰ ἄλλα καὶ τῆς ἐν τούτῳ δυνάμεως προσπέφυκεν. εἰ δὲ τοῦτο δῆλον, τὸ μὲν χρώμενόν ἐστι τὸ μέσον, οἷς δὲ χρῆται τὰ λοιπά. κρείττων δὲ ὁ τρόπος τοῦ χρωμένου, καθ' ὅσον τὸ χρώμενον ποιεῖ καὶ κινεῖ καὶ ἄρχει, τὰ δὲ πάσχουσι καὶ κινοῦνται καὶ ἄρχονται. οὗ δὲ ὁ τρόπος καὶ ἡ δύναμις κρείττων, καὶ αὐτὸ κρεῖττον. εἰ δὲ ἐν τῷ κρείττονι ἀναγκαῖον εἶναι τὴν ψυχήν, ἐν τῷ μέσῳ ἂν εἴη. εἶπε δὲ τὴν μὲν χεῖρα ὡς τὸ χρώμενον, τοὺς δὲ αὐλοὺς ὡς τὰ οἷς χρῆται. ἡ δὲ χεὶρ

---

1 φησι R 4 post κοιλίαν add. ἢ κατεργαζομένην λέγοι ἂν τὴν καρδίαν, δεκτικὸν δὲ τὰς φλέβας RP 5 ἐπήγγελται a πάλιν om. C οὕτως αὐτὴν RP καθιστᾶν C 7 δύναιντ' CRP 12 προτέρα C 13 alt. τοῦτο om. a 14 ἑκατέρων SC, item 15 ἔσται a: ἐστὶ ceteri ἐν τῶ μέσω RP 16 ἀρχικὴν ἔχει χώραν RP 19 ἐν τῶ μέσω μᾶλλον RP 20 ἐστὶν ὁ θώραξ ὡς εἴρηται RP 23 λέγεται C 27. 28 δηλονότι τἆλλα τοῦ θωρακός εἰσι χάριν RP 28. 29 προσπεφύκασιν C 29 δῆλον] δῆλον ὡς C: δῆλον ὅτι RP, tum τἆλλα—δῆλον ὅτι rep. P 32 εἰ δὲ ἐν a: ἐν δὲ ceteri 34 δὲ (post τοὺς)] δέ γε C

κρείττων τῶν αὐλῶν, καὶ τὸ μέσον ἄρα κρεῖττον τῶν ἄλλων. εἴη δ' ἂν 163r
ἡ ἀρχὴ τῆς ἐμφύτου θερμότητος (ἀρχὴ δὲ τῆς ἐμφύτου θερμότητος ἡ
θρεπτικὴ ψυχή), εἴη ἂν οὖν ἡ τοιαύτη ἀρχὴ ἐν τῇ καρδίᾳ. καὶ τοῦτο
δῆλον ἐκ τοῦ τελευταίαν ταύτην ἀποψύχεσθαι, ὥσπερ ἀναλυομένης τῆς 40
5 φύσεως καὶ παλινδρομούσης ἐπὶ τὴν ἀρχὴν ἀπὸ τῶν ἐσχάτων τε καὶ ῥᾳδίως
ἀπὸ τοῦ ζῆν μεθίστασθαι δυναμένων. μάλιστα δὲ κυριώτατον τῆς
πέψεως τὴν καρδίαν λέγει. τὸ δὲ ὥσπερ ἐμπεπυρευμένης ἐν τοῖς
μορίοις τούτοις ἴσον ἐστὶ τῷ 'ὡς τὸ πῦρ ἐν τῷ ἄνθρακι ἐμπεπύρευται
καὶ ἔστιν, οὕτως ἡ ψυχὴ ἐν τῇ καρδίᾳ καὶ τῷ ἀνάλογον'. λέγει δὲ καὶ
10 τὴν μὲν μάρανσιν εἶναι γῆρας, τὴν δὲ σβέσιν βίαιον· ἔστι γὰρ ἡ μὲν μάρανσις γῆρας, ἡ δὲ σβέσις βία.

p. 469b23 Συμβαίνει δὲ ἀμφοτέρας διὰ τὸ αὐτὸ γίνεσθαι τὰς 45
φθοράς. |

Ἀμφοτέρας λέγει τὴν μάρανσιν καὶ τὴν σβέσιν. ἔστι δὲ τὸ λεγό- 163v
15 μενον, ὅτι ἀμφότεραι διὰ τὸ αὐτὸ καὶ ἓν αἴτιον γίνονται· δι' ὑπόλειψιν γὰρ τροφῆς. καὶ γὰρ τὸ μαραινόμενον διὰ τὸ μὴ ἔχειν τροφήν, ἐξ ἧς τραφήσεται, μαραίνεται πλέον γινόμενον καὶ ἀπόλλυται, ὥσπερ καὶ ἡ ἐν τῷ λύχνῳ φλὸξ μὴ ἔχουσα ἔλαιον. πῶς δὲ πλέον γίνεται, καὶ καταναλίσκον τὴν παρεσπαρμένην ἐν τῇ καρδίᾳ ὑγρότητα, οἱ μαρασμοὶ γίνονται, 5
20 λέγει καλῶς ὁ Γαληνὸς ἐν τῷ Περὶ διαφορᾶς πυρετῶν, τὰ αὐτὰ λέγων τούτοις μετὰ πλείονος ἐργασίας. ὁμοίως δὲ καὶ τὸ σβεννύμενον· πολλῆς γὰρ τῆς τροφῆς καὶ ἐναντίας οὔσης (ἡ γὰρ πρώτη τροφή, ὡς ἐν τῷ Περὶ γενέσεως καὶ φθορᾶς καὶ ἐν τοῖς Περὶ ψυχῆς καὶ ἐν ἄλλοις πλείοσιν εἴρηται, ἐναντία ἐστί), πολλῆς οὖν οὔσης καὶ κατασβεννυούσης αὐτὸ διὰ τὸ
25 πλῆθος ἀπόλλυται. τὸ δὲ κατασβεννύμενον δηλονότι ἐνδείᾳ τροφῆς κατασβέννυται· μὴ γὰρ δυνάμενον κρατῆσαι τῆς τροφῆς διὰ τὴν ἐναντιότητα, 10
ἀνάγκη μὴ τρέφεσθαι. μαραίνεται δὲ τὸ ἐν ἡμῖν θερμὸν μὴ ἀναπνέουσι, διότι ὁ εἰσιὼν ἀὴρ ἐν ταῖς εἰσπνοαῖς ψυχρὸς ὢν (ὁ γὰρ περὶ τὴν γῆν ψυχρός) ἀπαμβλύνει τὸ τοῦ θερμοῦ σφοδρὸν καὶ ἄγει εἰς συμμετρίαν. ἐν
30 δὲ τῇ λέξει τῇ πρὶν ἐπιστῆναι τὴν ἀναθυμίασιν, ἀναθυμίασιν τὸν εἰσιόντα ἐν τῇ εἰσπνοῇ ἀέρα λέγει. οὐ μόνον δὲ παρατιθέμενον τὸ ἔλαττον παρὰ τὸ πολὺ ἀποσβέννυται διὰ τὸ καταναλίσκεθαι τὴν τοῦ ὀλίγου πυρὸς

---

3 cf. p. 100,16 ss. καὶ τοῦτο – καρδίᾳ (9) om. P 3. 4 τοῦτο δῆλον om. R
4 post δῆλον add. καὶ C ταύτην τελευταῖον R 6 κυριωτάτην C
τῆς a: om. SCR 7 ἐμπεπυρευμένης CR: ἐκπεπυρευμένης a: ἐκπεπυρωμένης S
9 τῷ] τὸ CR, prius S δὲ om. C 10 post σβέσιν add. εἶναι C 12 διὰ τὸ αὐτὸ (διὰ ταὐτὸ Arist.) scripsi: δι' αὐτὸ a: διὰ τὸ ceteri 17 πλεῖον a 18 γινόμενον expectes 20 Περὶ διαφορᾶς πυρετῶν] vol. VII p. 313 ss. K. διαφορῶν S
22 οὔσης τῆς τροφῆς καὶ ἐναντίας RP τῷ] τῇ C 22. 23 Περὶ γενέσεως καὶ φθορᾶς] A 5 p. 322a1 23 τοῖς a: τῶ SRP: τῇ C Περὶ ψυχῆς] B 4 p. 416a22 ante alt. ἐν add. ὡς SRC 24 κατασβεννούσης Ca 24. 25 διὰ τὸ πλῆθος αὐτὸ RP
25 κατασβεννυόμενον RP 30 alt. ἀναθυμίασιν om. Ra 32 παρὰ πολὺ RP
32. 110,1 τοῦ ὅλου τροφὴν πυρὸς a

τροφὴν ταχέως ὑπὸ τοῦ πολλοῦ πυρός, ἀλλὰ πολλῷ πρότερον ἂν εἰς αὐτὸ 163v
τὸ πολὺ πῦρ ἐμβάλῃς ὥσπερ εἰς ἀγγεῖον τὸν λύχνον μετὰ τοῦ ἐλαίου, 15
καταχαυθήσεται τὸ ἔλαιον καὶ σβεσθήσεται. εἰ γὰρ παρατιθέμενον κατα-
καίεται, πολλῷ μᾶλλον ἐμβαλλόμενον, ὥσπερ ὁ οἶνος ἐν τῷ ἀμφορεῖ, οὕτως
5 ὁ λύχνος μετὰ τοῦ ἐλαίου ἐν τῷ πυρί, καταχαήσεται τὸ ἔλαιον. ἔοικεν
οὖν ἡ τροφή, ἐξ ἧς τὸ ἐν ἡμῖν τρέφεται θερμόν, τῷ ἐμβαλλομένῳ ἐλαίῳ
μετὰ τοῦ λύχνου εἰς τὸ πῦρ· ὥστε θᾶττον καταχαήσεται, εἰ μὴ ἐμψύχοιτο
τὸ τρεφόμενον ὑπ' αὐτοῦ θερμόν. αὐτὴν δὲ καθ' αὑτὴν τοῦ λύχνου φλόγα 20
αὐτὸν λέγει τὸν λύχνον μετὰ τῆς ἐν αὐτῷ φλογός. σβέννυται οὖν ἡ ἐλάττων
10 φλὸξ ὑπὸ τῆς μείζονος διὰ τὸ εἶναι τῇ φλογὶ τὸ εἶναι ἐν τῷ γίνεσθαι συνε-
χῶς, ὥσπερ καὶ τὸ ἐκ τῶν χιόνων γινόμενον ὕδωρ ἐν τῷ τήκεσθαι συνε-
χῶς τὰς χιόνας. μὴ οὔσης δὲ τῆς ὕλης καὶ τῆς τροφῆς, ἐξ ἧς γίνεται,
ἀνάγκη σβέννυσθαι, ὥσπερ καὶ τὸ ὕδωρ παύεσθαι τοῦ γίνεσθαι, μὴ οὐσῶν
τῶν χιόνων, ἐξ ὧν ἐγίνετο.

15 p. 470a7 Παράδειγμα δὲ τούτου λαβεῖν ἔστι τὸ συμβαῖνον ἐπὶ 25
τῶν καταπνιγομένων ἀνθράκων.

Καταπνιγομένους ἄνθρακας λέγει τοὺς διά τινος κεραμέου σώματος
ἢ ἄλλου τινὸς πυκνοῦ καὶ στερεοῦ ἐπικρυπτομένους· οὗτοι γὰρ τάχιον
σβέννυνται. μὴ εἰσερχομένου γὰρ ἀέρος διὰ τὸ κωλύειν αὐτοῦ τὴν εἴσοδον 30
20 τὸ πῶμα, ἵνα καταψύχῃ καὶ εἰς μετριότητα ἄγῃ τὴν τῆς φλογὸς θερμότητα,
καταχαίεται τάχιον ἡ ὕλη καὶ κατασβέννυται. ἂν δὲ παράλληλα, του-
τέστιν ἂν δὲ παρὰ μέρος τις τίθησι τὸ πῶμα καὶ πάλιν ἀφαιρεῖ, μένουσι
πεπυρωμένοι πολὺν χρόνον· ἐν γὰρ τῇ πυκνὰ γινομένῃ ἀφαιρέσει ὁ
εἰσιὼν ἀὴρ καταψύχει τὴν θερμότητα καὶ οὐκ ἐᾷ θᾶττον ἐξαναλῶσαι τὴν
25 ὕλην, ἐξ ἧς τρέφονται.

p. 470a12 Ἡ δὲ κρύψις σῴζει τὸ πῦρ. 35

Κρύψιν λέγει τὴν διὰ τῆς τέφρας γινομένην. κρύπτουσι γὰρ πολλοὶ
τοὺς ἄνθρακας ἀρχομένης τῆς νυκτὸς ἐν τῇ τέφρᾳ. οἱ δὲ μένουσι δι'
ὅλης τῆς νυκτὸς πεπυρωμένοι. ἔστι δὲ τὸ λεγόμενον λύσις ἐνστάσεώς
30 τινος· εἶπε γὰρ ἄν τις· εἰ διὰ τὸ μὴ εἰσέρχεσθαι ἀέρα εἰς τοὺς πεπυρω-

---

2 ἐμβάλῃ CRP, e corr. S 3 καυθήσεται P εἰ] οὐ S 3. 4 κατακάεται S
5 καταχαυθήσεται a 6 θερμὸν τρέφεται RP 7 θᾶττον a: θᾶττον ἂν ceteri
ἐμψύχοιτο a: ἐμψύχεται ceteri 8 ἑαυτὴν S (Arist. MSZ) ante τοῦ add. τὴν P
(cf. Arist.) 9 λέγει αὐτὸν a 10 εἶναι] ὑπάρχειν C 13 καὶ om. C
14 ἐγένετο RP 15 δὲ C (Arist. LPS, τε MZ): δ' ἐκ RP a: om. S λαμβάνειν a
(Arist. S) 15. 16 ἐπὶ τῶν κατ. συμβαῖνον C 17 κεραμείου πώματος RP, fort.
κεραμεοῦ scrib. 19 αὐτῷ a τὴν εἴσοδον αὐτοῦ CRP 21 κατακάεται S
παράλληλος C 22 ἂν] εἰ a post μέρος add. πυκνά RP ἀφαιρεῖ
scripsi: ἀφαιρεῖται a: ἀφαιρῇ CRP: ἀφαιρεθῇ S 22. 23 πεπυρ. μένουσι RP
23 πεπυρωμένα C (Arist. L) πυκνῇ C 26 ἔγκρυψις Arist. MPZ
27 οἱ πολλοὶ a 30 τις ὡς εἰ μὴ διὰ C

μένους ἄνθρακας, ἵνα καταψύχωνται, σβέννυνται, διὰ τί οἱ κεκρυμμένοι 163v σῴζονται; λύει οὖν ταύτην τὴν ἔνστασιν, δυνάμει λέγων· οἱ μὲν πεπωματισμένοι σβέννυνται διὰ τὴν τοῦ πώματος πυκνότητα (ἡ γὰρ τοῦ πώματος πυκνότης οὔτε τὸν ἐκτὸς ἀέρα ἐᾷ εἰσιέναι οὔτε τὴν τῶν ἀνθράκων θερμότητα ἐξέρχεσθαι καὶ σκεδάννυσθαι, ἀλλὰ συνέχει. ἥτις θερμότης πολλὴ γινομένη διὰ τὴν συνοχὴν κατακαίει τὴν ὕλην. οὐδὲν γὰρ διαφέρει, εἴτε καταψύχεται εἴτε σκεδάννυται. ὡς γὰρ ἐλάττων γίνεται ἡ θερμότης διὰ τὴν κατάψυξιν, οὕτω καὶ διὰ τὸ σκεδάννυσθαι), καὶ οἱ μὲν πεπωματισμένοι διὰ τοῦτο σβέννυνται, οἱ δὲ κεκρυμμένοι οὐ σβέννυνται διὰ τὴν τῆς τέφρας μανότητα· ἡ γὰρ μανότης οὐδὲν κωλύει τὴν τῆς θερμότητος ὑπερβολὴν ἐξέρχεσθαι καὶ σκεδάννυσθαι.

p. 470a13 Ἀντιφράττει τε τῷ πέριξ ἀέρι πρὸς τὸ μὴ σβεννύναι τῇ πλήθει τῆς ἐν αὐτῷ θερμότητος. |

Ὅτι μὲν ὁ πέριξ ἀὴρ τῆς κρυπτούσης τοὺς ἄνθρακας τέφρας θερμός ἐστι διὰ τὴν ἐξιοῦσαν ἀπὸ τῶν ἀνθράκων θερμότητα, δῆλον· ζητεῖν δὲ ἄξιον, πῶς τὴν μὲν τῶν ἀνθράκων θερμότητα οὐ κωλύει ἐξέρχεσθαι ἡ τῆς τέφρας μανότης, τὴν δ' ἐνυπάρχουσαν τῷ ἀέρι θερμότητα κωλύει εἰσέρχεσθαι. ἢ σφοδρὰ οὖσα ἡ τῶν ἀνθράκων θερμότης ἐκκρούει τὴν τοῦ ἀέρος θερμότητα εἰσερχομένην, ἐλάττονα οὖσαν, καὶ οὐκ ἐᾷ εἰσέρχεσθαι. 164r ὅτι δὲ εἰσερχομένη ἡ τοῦ ἀέρος θερμότης καὶ ἐμμιγνυμένη τῇ τῶν ἀνθράκων θερμότητι ἐσβέννυεν ἂν τοὺς ἄνθρακας, οὐκ ἄδηλον· πλείων γὰρ οὕτω γινομένη ἡ θερμότης θᾶττον ἂν κατέκαιε τὴν τῶν ἀνθράκων ὕλην. διὰ γὰρ τοῦτο καὶ οἱ ἐν τῷ ἡλίῳ κείμενοι ἄνθρακες σβέννυνται θᾶττον. ἀλλὰ περὶ μὲν τούτων εἴρηκεν ἐν τοῖς Προβλήμασι, καὶ ὁ βουλόμενος ἐκείνοις ἐντυγχανέτω, τὸ δὲ αὐτὸ δ' οὐκ ἄνευ φύσεως ὑπάρχει θερμότητος ἴσον ἐστὶ τῷ 'αὐτὸ δὲ τὸ ζῷον οὐκ ἄνευ φυσικῆς ὑπάρχει θερμότητος'. λέγει δὲ καὶ ὅτι τοῖς φυτοῖς ὀλίγον ἔχουσι τὸ θερμὸν ἱκανή ἐστι πρὸς κατάψυξιν ἡ τροφή, γεώδης οὖσα καὶ ὑδατώδης καὶ διὰ τοῦτο ψυχρά, καὶ ἡ τοῦ περιέχοντος ἀέρος ψυχρότης· ὁ γὰρ περὶ γῆν, ὡς εἴρηται πολλάκις, ψυχρός ἐστιν.

p. 470a24 Αἱ δὲ νηστεῖαι θερμαίνουσι.

Εἰ γὰρ ἡ τροφὴ κατάψυξιν ποιεῖ, δῆλον ὡς ἡ νηστεία θερμότητα· 22

---

2. 3 πεπωμασμένοι CRP 3 σώματος RP σώματος P 5 post ἐξέρχεσθαι add. πυκνότητα C διασκεδάννυσθαι RP συνέχειν S 6 κατακάει S: καταλύει RP 8 διασκεδάννυσθαι P πεπωμασμένοι CRP 10 ὑπεροχὴν RP 11 διασκεδάννυσθαι RP 12 πρὸς τὸ μὴ] διὰ τὸ Arist. MZ σβέννυσθαι P 13 ἐν] ἐνυπαρχούσης a (Arist.) 17 ὑπάρχουσαν τοῦ ἀέρος a 18 σφοδροτέρα RP 19 εἰσερχομένην a: ἐξερχομένην SC: ἐξερχομένη R: om. P 21 ἐσβέννυε τοὺς S 22 κατέκαε S 24 εἴρηκε καὶ ἐν RP (Arist. MPS) 25 ἄνευ] ἂν ἐκ S φύσεως cum Arist. SP (φυσικῆς ceteri) ὑπάρχη S θερμότατον CP: anceps SR 27 ὅτι καὶ C

ὁ γὰρ ἐν τῇ κοιλίᾳ ἀὴρ ἀκίνητος ὢν θερμαίνεται, τῆς δὲ τροφῆς εἰσι- 164r
ούσης καταψύχει, τουτέστι καταψύχεται. ἐξαυαίνεται δὲ καὶ διὰ ψύχος
καὶ διὰ καῦμα τὰ δένδρα, διὰ μὲν τὸ ψύχος, ὅτι σβέννυται τὸ ἔμφυτον
θερμὸν τῇ ψύξει, διὰ δὲ τὸ καῦμα, ὅτι καταξαίεται ἡ τροφή, ἐξ ἧς τρέφεται. 25
5 Σαφῆ δὲ καὶ τὰ ἑξῆς τοῖς ὁπωσοῦν ἐφιστάνειν δυναμένοις. τὸ δὲ
ἀλλὰ ἀπειροτέρως τῶν συμβαινόντων ἴσον ἐστὶ τῷ 'ἀλλὰ ἄπειροι
ὄντες τοῦ τίνος ἕνεκεν συμβέβηκεν ἡ ἀναπνοὴ τοιαῦτα περὶ ἀναπνοῆς
λέγουσιν'. ὅτι δὲ καὶ ὅσα σομφὸν καὶ ἄναιμον, τουτέστιν ὀλίγαιμον,
ἔχοντα τὸν πνεύμονα, ἧττον δέονται ἀναπνοῆς, εἴρηται ἐν τῇ Περὶ
10 ζῴων μορίων πολλάκις· σομφὸς γὰρ ὢν καὶ ἄναιμος καὶ διὰ τοῦτο 40
ψυχρός, μικρᾶς ἔξωθεν ἐπιτυχὼν ἐμψύξεως ἐπὶ πολὺ διαρκεῖ πρὸς τὸ τὴν
καρδίαν καταψύχειν, ὁ δὲ πολύαιμος θερμότατος ὢν διὰ τὸ αἷμα δεῖται
τῆς ἔξωθεν ἐμψύξεως συνεχῶς.

Τὸ δὲ διὸ πολὺν χρόνον δύναται διαμένειν παρὰ τὴν τοῦ
15 σώματος ἰσχὺν ταὐτόν ἐστι τῷ 'πολὺν χρόνον δύνανται μένειν διὰ τὴν
τοῦ σώματος ἰσχύν'. | ἀπό τινος γὰρ ἰσχύος δύναται μὴ πυκνῶς ἀνα- 164v
πνεῖν· δύναμις γάρ τις καὶ ἰσχὺς καὶ τὸ μὴ δεῖσθαι τοῦ πυκνῶς ἀναπνεῖν.
πάντα δὲ τὰ ᾠοτοκοῦντα εἰπὼν ὑποδείγματα τέθεικε τῶν ἀμφιβίων·
καὶ γὰρ καὶ ὁ βάτραχος καὶ ἁπλῶς πάντα τὰ φολιδωτὰ καὶ τετράποδα
20 ᾠοτοκοῦσιν. ἐν δὲ τῇ λέξει τῇ ἐμφυσώμενος οὖν αὐτὸς ἐν τῇ κινή-
σει καταψύχει τὸ ἐν τῇ κινήσει ταὐτόν ἐστι τῷ 'ἐν τῇ ἀναπνοῇ', 5
ὥσπερ καὶ τὸ καταψύχει τῷ καταψύχεται. ἢ τὸ καταψύχει ἀντὶ τοῦ
'δύναται ἐπὶ πολὺ τὴν καρδίαν καταψύχειν', καὶ ἐπὶ τούτῳ διαμένει ἐπὶ
πολὺ ἐν τῷ ὕδατι μὴ ἀναπνέοντα.
25 Σαφῆ δὲ τὰ ἑξῆς ἅπαντα.

p. 470b33 Ἀναξαγόρας μέν, ὅταν ἀφῶσι τὸ ὕδωρ διὰ τῶν βραγ-
χίων, τὸν ἐν τῷ στόματι γινόμενον ἀέρα.

Οὔτε Ἀναξαγόρας οὔτε Διογένης ὁ Ἀπολλωνιάτης ἔλεγον κενόν· διὸ 12
καὶ τὰ αὐτὰ φθέγγονται περὶ ἀναπνοῆς, τοῦτο μόνον διαφέροντες, ὅτι ὁ

---

1 ἐν τῷ κοίλῳ C δὲ om. C 2 καταψύχεται Arist. L 2. 3 ψύχους καὶ διὰ καύματος δένδρα RP 3. 4 ἡ ἔμφυτος θερμότης C 4 τὸ om. a κατακάεται S 5 καὶ om. CRP δεομένοις a 6 titulum Σχόλια εἰς τὸ περὶ ἀναπνοῆς Ἀριστοτέλους et lemma p. 470b6—15 add. a (εἰς τὸ περὶ ἀναπνοῆς in mg. S²) sed v. finem libelli et p. 99,2 ss. ἀπειροτέρως CRP (Arist.): ἀπειροτέρους Sa 7 ἕνεκα C πνοὴ RP 8 ἔναιμον S 9 δεύονται C 9. 10 Περὶ ζῴων μορίων] Γ 6 p. 669a31 ss. 11 μικροῦ S: μικρὸν a ἔξωθεν ἐπιτυχὼν Sa: τυχὼν ἔμπροσθεν RP: ἔξωθεν C ante ἐπὶ add. δεῖται C διαρκούσης C 12 θερμότερος C 13 συνεχοῦς C 14 τὸ δὲ om. a, qui lemma ponit ἐν τοῖς ὕδασι cum Arist. LPS om. δύνανται CRP μένειν S παρὰ RPa (Arist.): διὰ SC 15. 16 ταὐτόν—ἰσχύν RP: om. SCa 17 ἡ ἰσχὺς a 18 τὰ a (Arist.): om. ceteri 20 ἐμφυσόμενος δὲ αὐτὸς C 21 καταψύχειν S, item 22 23 post πολὺ add. μὲν SC 26 μέν om. Arist. MZ 27 τὸν] τὸ a γινόμενον om. RP 28 διὸ] εἶναι a

μὲν Ἀναξαγόρας ἐν τῇ τοῦ ὕδατος διὰ τῶν βραγχίων ἀποπάλσει ἔλεγε 164v
γίνεσθαι τὸν ἀέρα, Διογένης δὲ οὐ τότε, ἀλλ' εἶναι ἀεὶ ἐν τῷ ὕδατι ἐνεργείᾳ ἀέρα. λέγων δὲ Ἀναξαγόρας, ὅτι οἱ ἰχθύες ἀναπνέουσι, τὸν τρόπον, 15
ὃν ἀναπνέουσιν οὗτοι, ἐξετίθει. οἱ ἰχθύες ἐναπολαμβάνοντες ὕδωρ, φησίν,
5 ἐν τοῖς βραγχίοις ἐν τῇ ἐκτάσει τῶν βραγχίων, ἐκπέμποντες δὲ αὐτὸ ἐν τῇ συστολῇ τῶν τοιούτων βραγχίων, ταράττεται καὶ ταραττόμενον ἐξαεροῦται, ἢ πᾶν ὅσον ἀφείθη ἢ μέρος τι. οὗτος δὲ ὁ γεγονὼς ἀὴρ εὐθὺς εἰσέρχεται ἐν τῷ στόματι, ἵνα πληρώσῃ αὐτό. οὐ γάρ ἐστί τι κενόν. εἰ μὲν γὰρ ἦν κενόν, οὐκ ἂν συνέβαινε τοῦτο· ἐπεὶ δὲ οὐκ ἔστι κενόν, ἀνάγκη
10 εἰσέρχεσθαι τὸν ἀέρα ἅμα τῷ ἐξέρχεσθαι τὸ ὕδωρ, ἵνα ἀναπληροῖ τὸν 20
τόπον, ἀφ' οὗ τὸ ὕδωρ ἐξέρχεται (περὶ ὧν, τῆς τε τοῦ ὕδατος καὶ τοῦ ἀέρος ἀντιπεριστάσεως, πῶς ἅμα γίνεται, εἴρηται ἐπὶ πλέον ἐν τῇ Φυσικῇ ἀκροάσει, ὅτε ἤλεγχε τοὺς λέγοντας εἶναι κενόν)· οὗτος δὲ εἰσερχόμενος ὁ ἀὴρ ἐν τῷ στόματι αὐτῶν ἕλκεται, καὶ οὕτως ἀναπνέουσι. πῶς δὲ ἀπὸ
15 τοῦ στόματος εἰς τὴν καρδίαν καὶ ὑπὸ τίνος ἕλκεται, οὔτε Ἀναξαγόρας οὔτε Διογένης λέγουσιν, ἀλλ' ὁ μὲν Ἀναξαγόρου λόγος οὗτος, Διογένης δ' ἔφα- 25
σκεν, ὅτι, ἐπειδὴ ἐν τῷ ὕδατι ἀήρ ἐστιν ἐνεργείᾳ, δηλονότι ὅταν ἀφῶσιν οἱ ἰχθύες τὸ ὕδωρ, τὸ ἁπτόμενον κύκλῳ τοῦ στόματας αὐτῶν ὕδωρ ἔχει ἀέρα· ὃν ἕλκοντες τῷ κενῷ τῷ ἐν τῷ στόματι ἀναπνέουσι. καὶ οὐ
20 λέγει κενὸν ἁπλῶς τὸ στόμα (οὐ γὰρ ἔλεγε κενὸν ὅλως ὁ Διογένης), ἀλλὰ τῷ κενῷ ἀντὶ τοῦ κενῷ ὄντι ὕδατος. ἐπειδὰν γὰρ ἐξέλθῃ τὸ ὕδωρ, κενόν ἐστι ὕδατος· εἰ δὲ τοῦτο, ἀνάγκη εἰσιέναι ἀέρα διὰ τὸ μὴ εἶναι κενόν.

p. 471a6 Πρῶτον μὲν γὰρ τὸ ἥμισυ τοῦ πράγματος ἀφαιροῦσι 30
διὰ τὸ τὸ κοινὸν ἐπὶ θατέρου λέγεσθαι μόνον.

25 Ἐπειδὴ ἡ ἀναπνοὴ εἰς δύο διαιρεῖται, εἰς τὴν εἰσπνοὴν καὶ τὴν 36
ἐκπνοήν, Ἀναξαγόρας δὲ καὶ Διογένης περὶ μόνης τῆς εἰσπνοῆς, πῶς γίνεται, τὰς αἰτίας ἐπειρῶντο ἀποδιδόναι, πρῶτον αἰτιᾶται αὐτοὺς λέγων, ὅτι περὶ τοῦ ἡμίσεος μέρους τῆς ἀναπνοῆς λέγοντες, ἤτοι τῆς εἰσπνοῆς, διὰ τί περὶ τοῦ λοιποῦ μέρους οὐκ εἶπον; ἀλλ' ἀφαιροῦσι, τουτέστι κατα-
30 λιμπάνουσιν, αὐτό. οὔτε οὖν λέγουσι περὶ ἐκπνοῆς, οὔτε ἐνδέχεται αὐτοὺς 40

---

1 διά] ἐκ C ἀποπάλσει SRP (cf. p. 122,2): ἀπολαύσει C: ἀποσπάσει a 2 τότε] τοῦτο a 3 ὁ Ἀναξαγόρας a οἱ om. RP 4 οὕτως CRP ἐξετίθου R post ἐξετίθει add. ὅτι C φησὶν ἐναπ. ὕδωρ RP 5 post τῇ add. τούτων C πέμποντες SRP: ἐκπέμπονται C 10 πληροῖ SP 11. 12 ante τοῦ ἀέρος add. τῆς C 12 ἀντιπεριστάσεως C: ἀντιπαραστάσεως Sa: ἀντιπνοῆς P: ἀναπνοῆς R γίνονται a 12. 13 ἐν τῇ φυσικῇ ἀκροάσει ἐπὶ πλέον CRP Φυσικῇ ἀκροάσει] Δ 8 15 ἀπὸ τίνος RP 16 Ἀναξαγόρος οὕτως, Διογένης S 16. 17 δὲ ἔλεγεν RP 17 ἐπεὶ RP 19 τῷ (ante ἐν) om. a 20 ἁπλῶς κενὸν CRP ὅλως κενὸν CRP ὁ om. S 21 ἐπειδὴ S ἐξέλθοι SCR, e corr. P 22 ἀέρα om. RP 23 ἀφαιροῦσι] λαμβάνουσι C 24 μόνου a (Arist. S) 25 εἴς τε τὴν C 25. 26 ἐκπνοὴν καὶ (εἰς add. P) τὴν εἰσπνοὴν RP 26 δὲ om. C 27 αἰτιᾶται πρῶτον RP ὅτι om. a 28 ἡμίσεως a 29 post τί add. καὶ RP post μέρους add. τῆς ἐκπνοῆς RP τουτέστι] ἤτοι RP 29. 30 τουτέστιν οὐ λαμβάνουσιν αὐτὸ καὶ καταλιμπάνουσιν. οὔτε C

εἰπεῖν ἐξ ὧν λέγουσι· μὴ λέγοντες γὰρ καλῶς περὶ τῆς εἰσπνοῆς πῶς ἂν 164v
περὶ τῆς ἐκπνοῆς εἴποιεν; πρὸ δὲ τοῦ τὴν δόξαν αὐτῶν ἐλέγξαι πρῶτον
ἀναμιμνήσκει τὰ συμβαίνοντα ἡμῖν λέγων· ὅταν γὰρ ἀναπνεύσωσι, τουτέστιν ὅταν γὰρ εἰσπνεύσωσιν, ᾗ εἰσέπνευσαν, δεῖ πάλιν ἐκπνεῦσαι· ἀνάγκη γὰρ τὸν εἰσπνεύσαντα καὶ ἐκπνεῦσαι παραλλάξ, τουτέστι παρὰ μέρος· εἴσπνευσις γάρ, εἶτα ἔκπνευσις, εἶτα πάλιν εἴσπνευσις καὶ πάλιν ἔκπνευσις. ταῦτα ἀναμνήσας ἐλέγχει τὸ δόγμα λέγων· ὥστε συμβαίνει ἅμα δέχεσθαι τὸ ὕδωρ κατὰ τὸ στόμα καὶ ἐκπνεῖν. ἔστι δὲ τὸ λεγόμενον δυνάμει· ἐπειδή, ὡς ἐκεῖνοι λέγουσιν, ἐξερχομένου τοῦ ὕδατος ἐκ τοῦ στόματος εἰσέρχεται ὁ ἀήρ καὶ γίνεται ἡ εἰσπνοή, δηλονότι εἰσερχομένου τοῦ ὕδατος ἐν τῷ στόματι ὁ ἀὴρ ἐξελεύσεται καὶ γενήσεται ἡ ἐκπνοή. εἰ γὰρ τῇ τοῦ ὕδατος ἐξελεύσει εἰσέρχεται ὁ ἀὴρ καὶ γίνεται ἡ ἀναπνοή, ἀνάγκη τῇ τοῦ ὕδατος εἰσελεύσει ἐξέρχεσθαι τὸν ἀέρα καὶ γίνεσθαι τὴν ἐκπνοήν. εἰ γὰρ τὸ ἐναντίον τῷ ἐναντίῳ, καὶ τὸ ἐναντίον τῷ ἐναντίῳ. εἰ δ' ἀνάγκη τοῦθ' οὕτως ἔχειν, ἀνάγκη ἀπαντῶντα ἐμποδίζειν θάτερον θατέρῳ· ἀνάγκη γὰρ ἐξερχόμενον τὸ ὕδωρ ἀπαντᾶν τὸν ἀέρα καὶ μὴ ἐᾶν εἰσέρχεσθαι, καὶ πάλιν εἰσερχόμενον τὸ ὕδωρ ἀπαντᾶν τὸν ἀέρα καὶ μὴ ἐᾶν ἐξέρχεσθαι.

p. 471a14 Εἶτα ὅταν ἀφῶσι τὸ ὕδωρ, τότε ἐκπνέουσι κατὰ τὸ στόμα ἢ κατὰ τὰ βράγχια. |

Ἡ μὲν τῆς λέξεως συνέχεια, οἶμαι, τοιαύτη· ὅταν ἀφῶσι τὸ ὕδωρ 165r
κατὰ τὸ στόμα ἢ κατὰ τὰ βράγχια (οὐδὲν γὰρ διαφέρει, εἴτε κατὰ τὸ 27
στόμα λέγειν ἐθέλοι τις εἴτε κατὰ τὰ βράγχια), τότε ἐκπνέουσι. τὸ δὲ 'ὅταν ἀφῶσι κατὰ τὸ στόμα' ταὐτόν ἐστι τῷ 'ὅταν εἰσδέχωνται εἰς τὸ στόμα'. εἰ γὰρ τὸ ἀφιέναι ἀπὸ τοῦ στόματος τὸ ἐξάγειν ἐστὶν ἀπὸ τοῦ στόματος, τὸ ἀφιέναι κατὰ τοῦ στόματος τὸ εἰσάγειν ἐν τῷ στόματι ἔσται. ταῦτα μὲν τὰ τῆς λέξεως, συνωθεῖ δὲ αὐτούς, ἐξ ὧν αὐτοὶ λέγουσιν, εἰς ἄτοπον, τὸ συμβαίνειν ἅμα καὶ κατὰ ταὐτὸν γίνεσθαι τὴν εἰσπνοὴν καὶ ἐκπνοήν, ἀλλὰ μὴ παρὰ μέρος. εἰ δὲ τοῦτο ἀδύνατον, ἀδύνατον ἄρα καὶ τὸ ὑπ' αὐτῶν λεγόμενον. εἴη δ' ἂν τὸ λεγόμενον διὰ τοῦ ὅταν ἀφῶσι τὸ

---

1 εἰπεῖν] λέγειν C ἀναπνοῆς C 3 τῶν συμβαινόντων C τὰ om. P
4 ᾗ CR (cf. Arist.): ἢ SPa εἴσπνευσαν a 5 τουτέστι] ἤτοι RP 7 συμβαίνειν Arist. MZ 8 τὸ (ante στόμα) om. RP (Arist. SZ) 9 ἐκ] ἀπὸ CRP
10 ἀναπνοή P 11 ἐξελεύσεται ὁ ἀὴρ CRP 18 post ἐξέρχεσθαι add. δείξας οὖν ὡς οὐ δυνατὸν εἰπεῖν περὶ ἐκπνοῆς, νῦν διὰ τοῦ εἶτα ὅταν ἀφῶσι δείκνυσιν ὡς τοῖς οὕτω λέγουσι τὴν ἀναπνοὴν συμβαίνει ἅμα ἐκπνεῖν καὶ εἰσπνεῖν, λαβὼν τὸ τὴν μὲν εἰσπνοὴν εἰσόδω γίνεσθαι τινός, τὴν δὲ ἐκπνοὴν ἐξόδω RP 19 ἀφίωσι Arist. MZ 19. 20 τὰ στόματα a (Arist. LP) 21 ἡ μὲν — βράγχια (22) om. P post μὲν add. οὖν R
22 οὐδὲν — βράγχια (23) om. C τὸ om. RP 23 ἐθέλοντες εἴτε C
24 prius τὸ om. S εἰς] κατὰ a 25 alt. τὸ om. a 25. 26 ἐστὶ τὸ ἀπὸ τοῦ στόματος ἐξάγειν RP 26 κατὰ τὸ στόμα C ἔσται ἐν τῷ στόματι S
post ἔσται (ἐστὶ C) add. τὸ δὲ et 21—23 ὅταν — ἐκπνέουσι rep. C 27 τὰ] γὰρ S
αὐτοῖς RP 30 ὑπ' ἐκείνων C

ὕδωρ, τότε ἐκπνέουσι τοιοῦτον· εἰ γάρ, ὅταν ἐξάγωσιν ἐκ τοῦ στόματος 165r
τὸ ὕδωρ, τότε ἀναπνέουσι, δηλονότι ὅταν κατὰ τοῦ στόματος ἀφῶσι τὸ
ὕδωρ καὶ δέξωνται εἰς τὸ στόμα, ἐκπνέουσιν. ἐπειδὴ δὲ ὁρῶμεν φανερῶς, 35
ὅτι ἡ ἐκπνοὴ ἐξελεύσει τινὸς γίνεται, ἅμα δηλονότι ἐκπνεῖ καὶ εἰσπνεῖ.
5 τότε γάρ φασιν ἀναπνεῖν, ὅταν ἐξέρχηται τὸ ὕδωρ· ὁρῶμεν δὲ ὅτι καὶ ἡ
ἐκπνοὴ ἐξόδῳ πνεύματος γίνεται· ἅμα ἄρα εἰσπνεῖ καὶ ἐκπνεῖ. ἐπειδὴ
γὰρ ἀδύνατόν ἐστι τῇ ἐξόδῳ τοῦ ὕδατος εἰσέρχεσθαι τὸ πνεῦμα (ἐμποδίζει
γὰρ θάτερον θάτερον), γίνεται δὲ κατ' αὐτοὺς ἡ εἰσπνοὴ τῇ τοῦ ὕδατος
ἐξόδῳ, ὁρῶμεν δὲ ὅτι καὶ ἡ ἐκπνοὴ ἐξόδῳ τινὸς γίνεται, δηλονότι τῇ
10 αὐτῇ καὶ μιᾷ ἐξόδῳ τοῦ ὕδατος γίνεται ἡ εἰσπνοὴ καὶ ἡ ἐκπνοή, ἄλλως 40
τε καὶ ἐπεὶ ἅμα καὶ ἐν τῷ αὐτῷ νῦν ἥ τε ἔξοδος τοῦ ὕδατος καὶ ἡ εἴσο-
δος τοῦ πνεύματος γίνεται· ὧν ⟨εἰ⟩ ἡ μὲν τοῦ ἀέρος εἴσοδος τῆς εἰσπνοῆς,
δηλονότι ἡ τοῦ ὕδατος ἔξοδος τῆς ἐκπνοῆς ἂν εἴη αἰτία. ὥστε ἅμα ἐκπνεῖ
καὶ εἰσπνεῖ. ὅταν οὖν εἰσδέξωνται τὸ ὕδωρ ἐν τῷ στόματι, τότε ἕξεισιν
15 ὁ ἀὴρ καὶ ἐκπνέουσιν· ἀλλὰ μὴν ἀνάγκη καὶ τότε εἰσπνεῖν. εἰ γὰρ ἅμα
τῇ ἐξόδῳ τοῦ ὕδατος εἴσεισιν ὁ ἀήρ, ὧν ὁ μὲν εἰσπνοῆς κατ' ἐκείνους,
τὸ δὲ ἕπεται ἐξ ἀνάγκης εἶναι ἐκπνοῆς αἴτιον, δηλονότι καὶ ἅμα τῇ εἰσόδῳ 45
τοῦ ὕδατος ἐξελεύσεται ὁ ἀήρ, καὶ ἔσται ἐκπνοὴ καὶ εἰσπνοὴ ἅμα, διὰ μὲν
τὴν τοῦ ὕδατος εἴσοδον ἐκπνοή (ἡ γὰρ ἔξοδος αὐτοῦ αἰτία ἦν τῆς
20 εἰσπνοῆς), διὰ δὲ τὴν τοῦ ἀέρος ἔξοδον εἰσπνοή. ἀλλὰ μὴν ἀδύνατον ἅμα
εἰσπνεῖν καὶ ἐκπνεῖν, ἀδύνατα ἄρα καὶ τὰ ὑπ' ἐκείνων λεγόμενα.

Τὰς δὲ λοιπὰς πρὸς τὴν δόξαν ταύτην ἐνστάσεις λίαν σαφῶς ἀπαγγέλλει· δι' ὃ ταύτας μὲν ἐατέον, τρεπτέον δὲ ἐπὶ τὰ ἑξῆς. ὃ δὲ λέγει περὶ τῶν ἐντόμων, τοιοῦτόν ἐστι· τεμνόμενα τὰ τμήματα φαίνεται ὅτι ζῇ. 50
25 εἰ δὲ τοῦτο, πῶς ἀναπνέουσι; τὸ μὲν γὰρ τμῆμα τὸ ἔχον τὴν κεφαλὴν ἔστω ὅτι ἀναπνεῖ διὰ τοῦ στόματος, τὰ δὲ λοιπά, ἐν οἷς μή ἐστι κεφαλή, λεκτέον πῶς ἀναπνέουσιν. ὥστ' εἴπερ τὰ τοιαῦτα τμήματα ζῇ χωρὶς τοῦ ἀναπνεῖν, ζήσεται καὶ τὸ ὅλον χωρὶς ἀναπνοῆς. ψεῦδος ἄρα τὸ ἀποφαίνεσθαι ὅτι πάντα ἀναπνεῖ. μόνα ἄρα ὅσα ἔχει πνεύμονα· ταῦτα εἰπὼν
30 λέγει τὴν αἰτίαν, ἐξ ἧς ἀποπλανηθέντες ἔλεγον, ὅτι πάντα ἀναπνεῖ. διὰ γάρ, φησί, τὸ ἀπείρους εἶναι τῶν ἐντὸς μορίων καὶ τοῦ τίνος ἕνεκεν ἕκαστον αὐτῶν ὑπάρχει ταῦτα ἔλεγον. εἰ γὰρ ᾔδεσαν, ὅτι ὁ πνεύμων τοῦ ἀναπνεῖν ἕνεκα γέ|γονεν, ἐν οἷς μὴ ἦν πνεύμων οὐκ ἂν ἔλεγον ὅτι ἀνα- 165v
πνεῖ, ἀλλὰ μάλιστα τοὐναντίον, ὅτι οὐκ ἀναπνεῖ.

---

3 δέξονται a εἰσπνέουσιν C δὲ om. CRP ὁρῶμεν—ὕδωρ (5) bis habet C
5 τότε] τοῦτο C¹ 6 ἐκπνεῖ καὶ εἰσπνεῖ C ἐπεὶ RP 8 alt. θάτερον] τὸ ἕτερον CRP 10 ἡ ἐκπνοὴ καὶ ἡ εἰσπνοὴ C 11 καὶ (post ἅμα) om. C αὐτῷ om. a ἥ τε] εἴ γε ἡ C τοῦ ὕδατος εἴσοδος κατ' αὐτοὺς καὶ ἡ ἔξοδος P: τοῦ ὕδατος ἔξοδος κατ' αὐτοὺς καὶ ἡ εἴσοδος R τοῦ ὕδατος] κατ' αὐτοὺς C
12 εἰ addidi 13 post δηλονότι add. καὶ C 15 καὶ τότε ἀνάγκη RP
17 εἰσπνοῆς P post δηλονότι add. ἔξοδος ὅτι S 19 εἰσπνοὴ C
ἦν αἰτία CRP 20 ἐκπνοῆς C εἴσοδον C ἐκπνοή CRP ἅμα] εἶναι S
21 ἐκπνεῖν καὶ εἰσπνεῖν CRP ἀδύνατον C 23 ταύτην a 24 φαίνεται τὰ τμήματα CRP ὅτι ζῇ om. C 28 τῆς ἀναπνοῆς a 29 μόνα—ἀναπνεῖ (30) RP: om. SCa 31 φησί om. a ἕνεκα C 33 ἕνεκεν a 34 ἀλλὰ—ἀναπνεῖ om. C

p. 471b30 Δημόκριτος δ' ὅτι μὲν ἐκ τῆς ἀναπνοῆς συμβαίνει τι 165v
τοῖς ἀναπνέουσι λέγει, φάσκων κωλύειν ἐκθλίβεσθαι.

Δημόκριτος, ὡς ἐν τῷ πρώτῳ τῶν Περὶ ψυχῆς εἴρηται, πῦρ τὴν 18
ψυχὴν ἡγούμενος, τὸ δὲ πῦρ ἐκ τῶν σφαιρικῶν ἀτόμων ποιῶν, καὶ ταύτην
5 ἐκ τῶν σφαιρικῶν ἀτόμων κατεσκεύαζεν. ἡγούμενος οὖν τὴν ψυχὴν τοι- 20
αύτην, ἔλεγεν ὅτι ψυχρὸν ὂν τὸ περιέχον καὶ διὰ τοῦτο πυκνοῦν τὰ
σώματα, ἀνάγκη τῇ πυκνώσει ἐκπυρηνίζεσθαι τὰς σφαιρικὰς ἀτόμους διὰ
τὸ εὐκίνητον (εὐκινητότατον γὰρ τῶν σωμάτων ἡ σφαῖρα). ἐξ ὧν σφαιρίων
τῷ ζώῳ καὶ ἡ ψυχὴ καὶ τὸ ζῆν ὑπάρχει. ἐπεὶ οὖν ἐκπυρηνιζομένων τῶν
10 σφαιρικῶν ἀτόμων κινδυνεύει φθαρῆναι τὸ ζῷον, βοήθειά τις γέγονε τῷ
ζώῳ ἡ εἰσπνοή· εἰσπνέον γὰρ εἰσάγει ἄλλας ἔξωθεν ἀτόμους σφαιρικὰς
ἀντὶ τῶν ἐκπυρηνισθεισῶν. διὸ μέχρι τούτου ζῶμεν, ἄχρις ἂν ἀναπνέωμεν, 25
τῆς δ' ἀναπνοῆς παυσάμενοι καὶ τοῦ ζῆν παυόμεθα. οὐ μόνον δ' ἔλεγε
Δημόκριτος, τῷ εἰσκρίνεσθαι διὰ τῆς ἀναπνοῆς τὰς σφαιρικὰς ἀτόμους καὶ
15 προσκρίνεσθαι ἡμῖν ἀντὶ τῶν ἐξελθουσῶν συμβαίνειν ἡμᾶς ζῆν, ἀλλὰ καὶ
τῷ τὰς εἰσιούσας διὰ τῆς ἀναπνοῆς κωλύειν τῇ πλείονι ῥύμῃ τὰς μελλούσας ἐξέρχεσθαι, καὶ οὕτω πλείους γινομένας καὶ τῷ εὐκινήτῳ θερμαινούσας τὸ τῶν ζῴων σῶμα ἐκκρούειν τὴν ἔξωθεν ψύξιν· ἥτις αἰτία γίνεται τοῦ ἐκπυρηνίζεσθαι αὐτάς. ἡ μὲν οὖν διάνοια αὕτη, κατὰ δὲ τὴν λέξιν τὴν 30
20 καὶ τὸ θερμὸν ταὐτὸν τὰ πρῶτα σχήματα τῶν σφαιροειδῶν ταὐτόν ἐστι τῷ 'καὶ θερμὸν ταὐτόν, τὰ σφαιροειδῆ τὰ πρῶτα τῶν σχημάτων'· πρῶτα γὰρ τῶν στερεῶν σχημάτων τὰ σφαιροειδῆ. ἀλλὰ καὶ τὸ κατὰ φύσιν μὲν γῆρας, βία δὲ παρὰ φύσιν ἴσον ἔστι τῷ 'τὸ μὲν γῆρας κατὰ φύσιν ἐστίν, ἡ δὲ βία παρὰ φύσιν', λέγων βίαν τὸν ἐν νεότητι θάνατον.
25 ἐχρῆν οὖν, φησίν, αὐτὸν εἰπεῖν, διὰ τί ὁτὲ μὲν γίνεται ἐν τῷ γήρᾳ ὁ θάνατος, ὁτὲ δ' οὔ. θύραθεν δὲ νοῦν λέγει τὰς ἐν τῷ ἀέρι, ὡς ὁ Δημόκριτος ἐνόμιζε, σφαιρικὰς ἀτόμους. οὐ γὰρ δή, φησίν, ἐκεῖναι αἴτιαί εἰσι τοῦ ἀναπνεῖν ἡμᾶς, ἀλλ' ἔσωθεν ἐστὶν ἡ ἀρχὴ τῆς ἀναπνοῆς. διὰ γὰρ σωτηρίαν γίνεται τοῦ ἐν ἡμῖν θερμοῦ. 35

30 p. 472a24 Ἄτοπον δὲ καὶ τὸ ἅμα τὸ περιέχον συνθλίβειν καὶ εἰσιὸν διαστέλλειν.

Εἰ γὰρ αἱ σφαιρικαὶ ἄτομοι πῦρ οὖσαι μετὰ τοῦ περιέχοντος ἡμᾶς 43
ἀέρος εἰσίν, ἄτοπον τὸ ἐκτὸς μὲν οὔσας μετὰ τοῦ ἀέρος καταψύχειν καὶ

---

2 λέγει om. C 3 ὁ Δημόκριτος RP τῶν Ca: τῆς S: τοῦ RP Περὶ ψυχῆς] A 2 p. 403b31 4 ταύτην] τὴν ψυχὴν C 5 τῶν Ca: om. SRP κατασκευάζει a οὖν] δὲ RP 7 post τῇ add. κιν^ῆ S 11 εἰσπνέων S 13 παυσάσης a 15 συμβαίνειν a: συμβαίνει SCR: anceps P 17 πλείω RP 19 alt. τὴν] τὸ conicio 22 σωμάτων C 23 γήρα RP (Arist.) βίᾳ Arist. γήρα R, prius P 24 τῇ νεότητι RP 25 εἰπεῖν αὐτὸν a ἐν τῷ γήρει γίνεται S γήρει SRP 26 νοῦν om. RP 27 δή om. RP post εἰσὶν add. ἡμῖν CRP 28 ἡμᾶς om. CRP 31 συστέλλειν RP

συστέλλειν τὰ σώματα, εἰσιούσας δὲ μετὰ τοῦ ἀέρος (ἀνάγκη γὰρ μετ' 165v
αὐτοῦ εἰσέρχεσθαι) θερμαίνειν καὶ διαστέλλειν. εἰ γὰρ ἐκτὸς μετὰ τοῦ 45
ἀέρος οὖσαι συνέστελλον τὰ σώματα, ἀνάγκη καὶ ἐντὸς οὖσας τὸ αὐτὸ ποιεῖν.
σαφῆ δὲ τὰ ἑξῆς.

5 p. 472a31 Ἐν γὰρ ταῖς ἀλέαις θερμαινόμενοι μᾶλλον καὶ τῆς ἀναπνοῆς μᾶλλον δεόμεθα.

Ἐκ τῶν ἡμῖν συμβαινόντων καὶ τοῦτο τὸ ἐπιχείρημα ἐπῆκται πρὸς 58
ἔλεγχον τῆς Δημοκρίτου δόξης. ἔστι δὲ τὸ λεγόμενον· εἰ γὰρ διὰ τὸ ἐν
ψύχει πυκνοῦσθαι τὰ σώματα ἡμῶν αἱ σφαιρικαὶ ἄτομοι ἐκ|πυρηνίζονται 166r
10 καὶ δεόμεθα τῆς εἰσπνοῆς, ἔδει ἐν ταῖς ἀλέαις μὴ ἀναπνεῖν· οὐ γὰρ πυκνοῦν-
ται τότε τὰ σώματα ἡμῶν, μὴ πυκνούμενα δὲ δῆλον ὡς οὐδὲ ἐξέρχονται
αἱ σφαῖραι, τούτων δὲ μὴ ἐξερχομένων οὐ χρεία τῆς εἰσπνοῆς. νῦν δὲ
μᾶλλον δεόμεθα ἐν ταῖς ἀλέαις τῆς ἀναπνοῆς, ἐν δὲ τῷ ψύχει ἧττον.
γίνεται δὲ καὶ πᾶν τοὐναντίον ὧν Δημόκριτός φησιν. αὐτὸς μὲν γάρ φησιν
15 ὅτι διὰ τὴν τῶν σφαιρῶν ἐκπυρήνισιν, ὅπερ ταὐτόν ἐστι τῷ 'διὰ θερμοῦ 5
ἔνδειαν', γίνεται ἡ εἰσπνοή· ὁρῶμεν δὲ μᾶλλον γινομένην διὰ πλῆθος θερ-
μοῦ, ἀλλ' οὐ διὰ στέρησιν· ὅταν γὰρ πολὺ ἀθροισθῇ τὸ θερμὸν μὴ
ἐκπνέοντες, τότε δεόμεθα τῆς εἰσπνοῆς. ἀλλὰ καὶ ἀλεάζοντες, τουτέστι
θερμαινόμενοι, πολλάκις ἀναπνέομεν τῷ δεῖσθαι ἐμψύξεως διὰ τὴν πολλὴν
20 θερμότητα. ὅταν γὰρ τὸ τῆς παροιμίας, φησί, πῦρ ἐπὶ πῦρ γένηται, τοῦτο
δὲ ἴσον ἐστὶ τῷ 'ὅταν θερμότης ἐπὶ τῇ ἐνούσῃ ἡμῖν θερμότητι γένηται',
τότε δεόμεθα τῆς εἰσπνοῆς. 10

p. 472b6 Ἡ δὲ ἐν τῷ Τιμαίῳ γεγραμμένη περίωσις περί τε τῶν ἄλλων ζῴων οὐδὲν διώρικεν.

25 Ἃ λέγει περὶ ἀναπνοῆς ἐν τῷ Τιμαίῳ Πλάτων καὶ πῶς λέγει γίνε- 16
σθαι τὴν ἀναπνοήν, σαφῆ ἔσται, εἰ πρότερον τὴν ὅλην αὐτοῦ ῥῆσιν παρα-
γράψομεν. ἔχουσαν ὧδε· "πάλιν δὲ τὸ τῆς ἀναπνοῆς ἴδωμεν πάθος, αἷς χρώ-
μενον αἰτίαις τοιοῦτον γέγονεν, οἷόνπερ τὰ νῦν ἐστιν. ὧδ' οὖν, ἐπειδὴ
κενὸν οὐδέν ἐστιν, εἰς ὃ τῶν φερομένων δύναιτ' ἂν εἰσελθεῖν τι, τὸ δὲ
30 πνεῦμα φέρεται παρ' ἡμῶν ἔξω, τὸ μετὰ τοῦτο ἤδη παντὶ δῆλον, ὡς οὐκ 20
εἰς κενόν, ἀλλὰ τὸ πλησίον ἐκ τῆς ἕδρας ὠθεῖ· τὸ δ' ὠθούμενον ἐξελαύνει

---

1. 2 ἀέρος—αὐτοῦ a: ἀέρος ἀνάγκη (τῶ add. C) SC: ἀέρος δὲ ἀνάγκη RP 2. 3 οὖσαι μετὰ τοῦ ἀέρος C 3 ἐκτὸς R, prius P οὖσαι SCR 5 ἔν τε γὰρ Arist. MSZ καὶ ante θερμ. Arist. MZ 8. 9 ἐν τῶ ψύχει RP 9 ἐκπυρ. αἱ σφαιρικαὶ ἄτομαι CRP 10 τῆς om. C 11 πυκνουμένων C 12 ἀναπνοῆς RP 13 ἐν ταῖς ἀλέαις δεόμεθα CRP 14 τοὐναντίον ἅπαν a ὁ Δημόκριτος a 15 σφαιρικῶν RP 16 γίνεσθαι τὴν εἰσπνοὴν ὁρωμένην C 18 ἀναπνέοντες a 20 ἐπὶ πυρὶ RP 21 θερμότητι ἡμῖν a ἡμῖν om. C 25 post prius λέγει add. ὁ Πλάτων C ἐν τῷ Τιμαίῳ] p. 79 A Πλάτων om. C 25. 26 γίνεσθαι λέγει RP 26 prius τὴν om. C αὐτὴν τὴν ῥῆσιν C 27 ὧδε] οὕτως C

τὸ πλησίον ἀεί, καὶ κατὰ ταύτην τὴν ἀνάγκην πᾶν περιελαυνόμενον εἰς 166r
τὴν ἕδραν, ὅθεν ἐξῆλθε τὸ πνεῦμα, εἰσιὸν ἐκεῖσε καὶ ἀναπληροῦν αὐτήν,
ξυνέπεται τῷ πνεύματι, καὶ τοῦτο ἅμα πᾶν οἷον τροχοῦ περιαγομένου γίνε-
ται διὰ τὸ κενὸν μηδὲν εἶναι. διὸ δὴ τὸ τῶν στηθῶν καὶ τοῦ πνεύμονος
5 ἔξω μεθιὲν τὸ πνεῦμα πάλιν ὑπὸ τοῦ περὶ τὸ σῶμα ἀέρος, εἴσω διὰ μανῶν
τῶν σαρκῶν δυομένου καὶ περιελαυνομένου, γίνεται πλῆρες. αὖθις δὲ ἀπό- 25
τρεπόμενος ὁ ἀὴρ καὶ διὰ τοῦ στόματος ἐξιὼν εἴσω τὴν ἀναπνοὴν περιω-
θεῖ κατὰ τὴν τοῦ στόματος καὶ τῶν μυκτήρων δίοδον. τὴν δ' αἰτίαν τῆς
ἀρχῆς αὐτῶν θετέον τήνδε· πᾶν ζῷον ἑαυτοῦ τὰ ἐντὸς περὶ τὸ αἷμα καὶ
10 τὰς φλέβας θερμότητα ἔχει, οἷον ἐν ἑαυτῷ πηγήν τινα ἐνοῦσαν πυρός.
ὃ δὴ καὶ προσεικάζομεν τῷ τοῦ κύρτου πλέγματι, κατὰ μέσον διατετα-
μένον ἐκ πυρὸς πεπλέχθαι τὸ πᾶν, τὰ δ' ἄλλα, ὅσα ἔξωθεν, ἀέρος. τὸ
θερμὸν δὴ κατὰ φύσιν εἰς τὴν ἑαυτοῦ χώραν ἔξω πρὸς τὸ συγγενὲς ὁμολογη- 30
τέον ἰέναι. δυοῖν δὲ ταῖν διεξόδοιν οὔσαιν, τῆς μὲν κατὰ τὸ σῶμα ἔξω,
15 τῆς δ' αὖ κατὰ τὸ στόμα καὶ τὰς ῥῖνας, ὅταν μὲν ἐπὶ θάτερα ὁρμήσῃ,
θάτερα περιωθεῖ· τὸ δὲ περιωσθὲν εἰς τὸ πῦρ ἐμπῖπτον θερμαίνεται, τὸ
δ' ἐξιὸν ψύχεται. μεταβαλλούσης δὲ τῆς θερμότητος καὶ τῶν κατὰ τὴν
ἑτέραν ἔξοδον θερμοτέρων γινομένων πάλιν ἐκείνῃ ῥέπον αὖ τὸ θερμότερον
μᾶλλον, πρὸς τὴν αὐτοῦ φύσιν φερόμενον, περιωθεῖ τὸ κατὰ θάτερα. τὸ 35
20 δὲ τὰ αὐτὰ πάσχον καὶ τὰ αὐτὰ ἀνταποδιδὸν ἀεὶ κύκλον οὕτω σαλευόμενον
ἔνθα καὶ ἔνθα ἀπειργασμένον ὑπ' ἀμφοτέρων τὴν ἀναπνοὴν καὶ ἐκπνοὴν
γίνεσθαι παρέχεται". ἐν δὴ τούτοις δῆλός ἐστι Πλάτων τὴν ἀναπνοὴν
λέγων γίνεσθαι μὴ ἀπὸ μόνου τοῦ στόματος καὶ τῶν ῥινῶν, ἀλλὰ καὶ ἀπὸ
παντὸς ἄλλου σώματος, μανῶν οὐσῶν, ὥς φησι, τῶν σαρκῶν. λαβὼν γὰρ
25 ἀληθῶς, ὅτι οὐκ ἔστι κενόν, ἀλλὰ πάντα πλήρη, τὰ ἐφεξῆς οὕτω συνάγει·
ὅταν μὲν γάρ, φησί, διὰ τῆς ἐκπνοῆς ἐκ τοῦ στόματος ἐξέλθῃ ὁ ἀήρ, ὠθεῖ 40
τὸν ἐκτὸς ἀέρα (οὐ γάρ ἐστι κενόν), ἵνα εἰσέλθῃ. οὗτος δὲ ὁ ἐκτὸς ὠσθεὶς
ὑπὸ τοῦ ἐξελθόντος ἀντιμεθίσταται τῇ βίᾳ τοῦ ὠθοῦντος καὶ προσπίπτων
ταῖς σαρξὶν ἡμῶν μαναῖς οὔσαις εἰσέρχεται, καὶ γίνεται ἡ εἰσπνοὴ διὰ τῶν
30 σαρκῶν. εἰσελθὼν δὲ καὶ παρελθὼν τὸ ἐν ταῖς σαρξὶ θερμόν, ὥσπερ ποτα-
μός τις κατὰ τὸν μῦθον δι' ἅλμης ῥέων, καὶ φυλάττων τὴν οἰκείαν ψυχρό-
τητα, ὡς καὶ ὁ ποταμὸς ὁ ἐν τῷ μύθῳ τὴν γλυκύτητα διὰ τῆς θαλάττης 45
διερχόμενος, εἰσελθὼν οὖν διὰ τῶν σαρκῶν ἀπέρχεται εἰς τὸν τόπον διὰ

---

1. 2 ὅθεν ante εἰς a 3 συνέπεται SR: συνάπτεται P ἅμα om. a τροχῷ C περιαγόμενον RP 4 δὴ] δεῖ C πλεύμονος Plato, sed cf. Rawack, *De Platonis Timaeo Quaest.* p. 75 7 σώματος e Platone conicio ἔξω ἰὼν Plato 8 τὴν ante τῶν add. Plato 9 ἑαυτοῦ παντὸς RP (nonnulli Platonis codd.) σῶμα a 10 θερμότατα Plato οὖσαν C 11. 12 διατεταγμένον C 12 τὸ (ante πᾶν) om. CRP (Plato) 13 τὴν φύσιν SC αὐτοῦ CRP 14 ἐξόδοιν a 15 δ' αὖ] δὲ a 16 περιωθεῖ θάτερα C περιωθὲν SC εἰ a ἐκπίπτον a 18 ἐκείνης S αὐτὸ Sa 19 prius τὸ SRP: τὰ Ca 20 κύκλω a 21 ἀπ' SC 22 δὴ] δὲ SP 24 παντὸς] τοῦ παντὸς RP: παντὸς τοῦ C ὡς αὐτός φησι C 25 ἀληθὲς ὡς P, e corr. R: ὡς ἀληθές conicio ἀλλ' ἅπαντα a 26 ἐξέλθοι SCR, e corr. P 27 ἐκτὸς om. P εἰσέλθοι C 28 ἀπὸ RP 29 post γίνεται add. οὕτως C ἐκπνοὴ Sa 30 εἰσελθὸν δὲ καὶ παρελθὸν S 31 οἰκείαν] ἄκραν a 31. 32 cf. Sudhaus, *Aetna* p. 69; Holland, *Comment. Ribbeckianae* p. 389 ss.

τὸ μὴ εἶναι κενὸν τοῦ ἐξελθόντος ἀπὸ τοῦ στόματος ἀέρος καὶ ἀναπληροῖ 166r
τὸν τόπον. ἔστω γὰρ λόγου χάριν ὁ τόπος τοῦ ἐξελθόντος ἀπὸ τοῦ στόματος καὶ τῶν μυκτήρων ἐν τῇ ἐκπνοῇ ἀέρος ἅπασα ἡ τραχεῖα ἀρτηρία· οὗτος οὖν ὁ ἐν τῇ τραχείᾳ ἀρτηρίᾳ ἐξελθὼν διὰ τοῦ στόματος ὤθησε τὸν
5 ἀέρα, ὅστις ὠσθεὶς ἀντιμετέστη τῇ βίᾳ τοῦ ὠθήσαντος καὶ προσέπεσε, λόγου πάλιν χάριν, ταῖς ἐν τῷ νώτῳ μου σαρξί· δι' ὧν σαρκῶν μανῶν οὐσῶν 50
εἰσῆλθε καὶ ἀπῄει πρὸς τὴν τραχεῖαν ἀρτηρίαν, ἵνα πληρώσῃ αὐτήν· οὐ γάρ ἐστι κενόν. ἐν αὐτῇ δὲ γενόμενος καὶ θερμανθεὶς ἀπέρχεται πρὸς τὸ θερμὸν τὸ ὂν ἐν ταῖς τοῦ νώτου σαρξί (τὸ γὰρ ὅμοιον, φασί, καὶ συγγενὲς πρὸς ὅμοιον
10 καὶ συγγενὲς φέρεται)· ἀπελθὼν οὖν καὶ ξυγγενόμενος τῷ ἐν τῷ νώτῳ μου θερμῷ ὠθεῖ αὐτό· ὡς γὰρ τὸ εἰσιὸν διὰ τοῦ σωλῆνος ὕδωρ ὠθεῖ τὸ προϋπάρχον καὶ εἰσέρχεται καὶ τοῦτο πάλιν ὠθεῖ τὸ ἑπόμενον, οὕτω καὶ τὸ ἀπὸ τῆς τραχείας ἀρτηρίας ἐλθὸν θερμὸν ὡς συγγενὲς | πρὸς συγγενὲς τὸ θερμὸν 166v
τὸ ὂν ἐν ταῖς τοῦ νώτου σαρξὶν ὠθεῖ καὶ ἐξακοντίζει ἐκτός, καὶ γίνεται ἡ
15 ἐκπνοὴ διὰ τῶν τοῦ νώτου σαρκῶν, δι' ὧν ἐγεγόνει καὶ ἡ εἰσπνοή. οὐ μόνον δὲ τὸ τῶν σαρκῶν θερμὸν ἐξέρχεται κατὰ Πλάτωνα, ἀλλὰ καὶ τὸ ὠθῆσαν αὐτό. συνεχὲς γὰρ καὶ ἓν γεγονὸς τό τε ὠθῆσαν καὶ τὸ ὠσθέν, ἀνάγκη συνεξέρχεσθαι τῷ ὠσθέντι. ὥστε κατὰ Πλάτωνα ὅταν γένηται ἡ ἐκπνοὴ διὰ τοῦ στόματος, γίνεται ἡ εἰσπνοὴ διὰ τῶν τοῦ νώτου σαρκῶν· 5
20 ὁμοίως δὲ καὶ ἡ ἐκπνοή. πάλιν δὲ τῆς ἐκπνοῆς γινομένης διὰ τῶν σαρκῶν περιωθεῖται ὁ ἐκτὸς ἀὴρ καὶ εἰσέρχεται διὰ τοῦ στόματος ἢ τῶν ῥινῶν, καὶ γίνεται ἡ εἰσπνοή· ὅστις ὁ διὰ τοῦ στόματος ἢ τῶν ῥινῶν εἰσελθὼν ἐν τῇ εἰσπνοῇ ἀπέρχεται πρὸς νῶτον, ἵνα πληρώσῃ αὐτό, κἀκεῖσε ἀπελθὼν καὶ θερμανθεὶς ἄπεισιν ὡς πρὸς συγγενὲς τὸ ἐν τῇ τραχείᾳ ἀρτη-
25 ρίᾳ θερμόν· οὐ γὰρ πᾶν ἐξῆλθεν οὐδὲ πᾶν ἀπῆλθε μετὰ τοῦ ἐξελθόντος, ἀλλ' ὅσον ἐθερμάνθη. θερμαίνεται δὲ κατὰ τὴν ὑπόθεσιν οὐ πᾶν ὁμοῦ, 10
ἀλλὰ μέρος καὶ πάλιν μέρος καὶ οὕτως. ὡς γὰρ οὐ πᾶν τοδὶ τὸ ὕδωρ ἅμα γίνεται ἀήρ, ἀλλὰ κατὰ βραχύ, οὕτω καὶ ὁ εἰσελθὼν ἀὴρ οὐ πᾶς ἅμα θερμαίνεται, ἀλλὰ μέρος· ὅπερ θερμανθὲν εὐθὺς ἀπῆλθε πρὸς τὸ
30 συγγενὲς καὶ εὐθὺς ὤθησε, καὶ εὐθὺς ἐξῆλθε τὸ ὠσθέν, καὶ συνεξῆλθε τὸ ὠθῆσαν. πολὺ γάρ ἐστιν, ὥς φησι, τὸ προϋπάρχον. εἰ δὲ πολύ, δηλονότι μικρᾶς ῥοπῆς τυχὸν ἐξέρχεται. τὸ δὲ εἰσελθὸν διὰ τοῦ στόματος ἀπέρχεται 15
πρὸς τὸ νῶτον, καὶ τὸ θερμανθὲν αὐτοῦ ἀπέρχεται ὡς πρὸς συγγενὲς τὸ ἐν τῇ τραχείᾳ ὂν ἀρτηρίᾳ, πολὺ ἤδη γεγονὸς διὰ τὸ καὶ χρόνον ἤδη θερ-

---

4. 5 τὸν ἐκτὸς ἀέρα RP 5 ὠθοῦντος a 6 πάλιν λόγου S ante ταῖς add. ἐν C 9 φησι RP, cf. Hom. Od. ρ 218 (Plato, Symp. p. 195 B) ξυγγενὲς SC, item 10 9. 10 πρὸς—συγγενὲς om. P 9 τὸ ὅμοιον CR 10 ἀπελθὸν οὖν καὶ συγγενόμενον Sa μου om. RP 11 προσυπάρχον R 12 ἐξέρχεται RP ἡγούμενον C alt. τὸ om. S 13 ἐλθὼν C θερμὸν ἐλθὸν RP ξυγγενὲς C post πρὸς add. τὸ RP ξυγγενὲς C 13. 14 τὸ ὂν θερμὸν ἐν C 17 αὐτόν Sa 19 εἰσπνοὴ S post γίνεται add. καὶ C ἐκπνοὴ S² 22 ὁ om. C 23 ἐν τῇ εἰσπνοῇ εἰσελθὼν SRP τὸ (τὸν C) νῶτον CRP αὐτόν C 24 καὶ] ὁ P 28 prius ἀήρ] τῇ τοῦ ἀέρος μεταβολῇ C 29 θερμαίνει a ἀλλὰ κατὰ μέρος C 30 συνεξῆλθε] ἐξῆλθε C 31 γάρ φησιν ἐστὶ τὸ C 32 δὲ] δὴ CRP 33 τὸν νῶτον CRP, e corr. S πρὸς τὸ συγγενὲς C 34 τῇ om. S

μαίνεσθαι ἱκανόν. πρὸς δ ἀπελθὸν ὠθεῖ καὶ ἐκβάλλει ἔξω συνεξελθὸν 166v
καὶ αὐτό, καὶ οὕτω πάλιν διὰ τοῦ στόματος καὶ τῶν ῥινῶν, δι' ὧν ἡ
εἰσπνοή, γίνεται καὶ ἡ ἐκπνοή. δι' οὗ πάλιν τοῦ διὰ στόματος ἐξελθόντος
ὠθεῖται ὁ ἐκτὸς καὶ εἰσέρχεται διὰ τῶν σαρκῶν. ὅστις πάλιν διὰ τῶν
5 αὐτῶν σαρκῶν ἐξελθών, εἰσέρχεται διὰ τοῦ στόματος ὁ ὑπ' αὐτοῦ ὠσθείς. 20
τοῦτο δὲ κύκλος ἐστίν. ἡ δὲ ἐν τῷ Τιμαίῳ γεγραμμένη περίωσις
(περίωσιν λέγει τὴν ὤθησιν, καθ' ἣν ὠθεῖται ὁ ἐκτὸς ἀὴρ ὑπὸ τοῦ ἐξελ-
θόντος), αὕτη οὖν, φησίν, ἡ περίωσις οὐδὲν διώρικε περὶ τῶν ἄλλων
ζῴων, οἷον τῶν τε ἐντόμων καὶ τῶν ἐνύδρων, ὁμοίως καὶ τῶν πτηνῶν·
10 οὐ γάρ ἐστιν ἡ τῶν πτηνῶν σὰρξ μανή, πλήρης οὖσα πτερῶν, ἵν' εἰσέρ-
χηται ὁ ἀήρ. οὐδὲν οὖν περὶ τῶν ἄλλων διώρικε, τίνα τρόπον κατα-
ψύχεται τὸ ἔμφυτον θερμόν (τούτου γάρ ἐστι δηλωτικὸν τὸ τίνα τρόπον 25
αὐτοῖς ἡ τοῦ θερμοῦ γίνεται σωτηρία), πότερον οὖν, φησί, τὸν αὐτὸν
τρόπον καὶ τὰ ἄλλα καταψύχεται, οἷον τῇ περιώσει, ὃν καὶ τὰ πεζά, ἢ
15 ἄλλως. εἰ μὲν οὖν μόνα τὰ πεζὰ ἐνόμιζεν ἀναπνεῖν, ἔδει τὴν αἰτίαν εἰπεῖν
τοῦ διὰ τί μόνα. εἰ δὲ καὶ τὰ ἄλλα καὶ τρόπον ἄλλον, ἀλλ' οὐ τῇ περιώσει,
ἔδει καὶ περὶ τούτων διορίσασθαι.

p. 472b13 Ἐξιόντος γὰρ ἔξω τοῦ θερμοῦ διὰ τοῦ στόματος τὸν περιέχοντα ὠθούμενον ἀέρα.

20 Εἴπομεν προσεχῶς λέγειν τὸν Πλάτωνα ὅτι, ὅταν ἐξέλθῃ τὸ θερμὸν 40
ἐν τῇ ἐκπνοῇ διὰ τοῦ στόματος, ὠθεῖ τὸν ἐκτὸς ἀέρα (οὐ γάρ ἐστι κενόν),
ἵν' εἰσέλθῃ. ὁ δὲ ὠσθεὶς εἰσέρχεται διὰ τῶν σαρκῶν καὶ περιελθὼν τὸ
ἐν αὐταῖς θερμὸν ἀπέρχεται εἰς τὸν τόπον τοῦ ἐξελθόντος ἀπὸ τοῦ στό-
ματος θερμοῦ, ἵνα πληρώσῃ αὐτόν. ἐν ᾧ γενόμενος, τὸ γινόμενον αὐτοῦ
25 θερμὸν ἀπέρχεται πρὸς τὸ συγγενὲς αὐτῷ θερμόν· ἔστι δὲ συγγενὲς αὐτῷ
τὸ ἐν ταῖς μαναῖς σαρξί, δι' ὧν εἰσῆλθεν, ὑπάρχον. ᾧ προσπεσὸν ὠθεῖ
καὶ ἐξάγει, συνεξαγόμενον καὶ αὐτό. καὶ γίνεται ἡ ἐκπνοὴ διὰ τῶν αὐτῶν 45
σαρκῶν, δι' ὧν καὶ ἡ εἰσπνοή· τούτου γάρ ἐστι δηλωτικὸν τὸ θερμαν-
θέντα δὲ πάλιν ἐξιέναι κατὰ τὸν αὐτὸν τόπον. τοῦτο δὲ πάλιν τὸ
30 διὰ τῶν σαρκῶν ἐξελθὸν ὠθεῖ τὸν ἐκτός, ὅστις ὠσθεὶς εἰσέρχεται διὰ τοῦ
στόματος καὶ ἀπέρχεται πρὸς τὰς σάρκας, ἀφ' ὧν ἐξῆλθε τὸ τοιοῦτον
ὠθῆσαν. ἐκεῖσε δὲ γενόμενον τὸ θερμανθὲν αὐτοῦ ἀπέρχεται πρὸς τὸ
συγγενές· ἦν δὲ συγγενές, ὡς ἡ ὑπόθεσις, τὸ ἐν τῇ τραχείᾳ ὂν ἀρτηρίᾳ.
ὅπερ ὠθῆσαν ἐξέρχεται συνεξελθὸν καὶ αὐτό, καὶ γίνεται πάλιν ἡ ἐκπνοὴ 50
35 διὰ τοῦ στόματος, δι' οὗ καὶ ἡ εἰσπνοή. θεὶς δὲ τὴν τοῦ Πλάτωνος δόξαν,

3 εἰσπνοή scripsi: ἐκπνοή libri, cf. v. 34. 35 ἐκπνοή scripsi: εἰσπνοή libri
οὗ] ὧν a διὰ τοῦ στόματος C 4 ὅστις] οὕπερ C 5 ἐξελθόντα C
9 τε] γε RP: om. C 16 ἀλλ' οὐ] οἷον C 20 ἐξέλθοι C 21 ἀναπνοῆ CRP
22 περιελθὼν RP: περιελθὸν SCa: an παρελθὼν? v. p. 118,30
23 εἰς a: πρὸς ceteri 26 ὑπάρχει C 27 συνεξ. ἐξάγει C καὶ (ante αὐτὸ) om. C ἐκπνοὴ] εἰσπνοὴ R, e corr. P 28 εἰσπνοή] ἐκπνοή SR, e corr. P
29 ἐξιέναι (prius ἐξιέντα) διὰ (e κατὰ) τῶν αὐτῶν τόπων S τόπον CR(S): τρόπον Pa
30 ἐξελθὼν a 31 ἐξῆλθε τοσοῦτον C τοῦτον R 32 ἐκεῖ a 34 ἡ om. C

λέγει ὅτι συμβαίνει τοῖς οὕτως οἰομένοις πρότερον γίνεσθαι τὴν εἰσπνοὴν τῆς ἐκπνοῆς· τοῦτο δὲ ταὐτόν ἐστι τῷ 'πρότερον τὸ αἴτιον γίνεσθαι τῆς εἰσπνοῆς τοῦ τῆς ἐκπνοῆς'. ἐπειδὴ γὰρ ὁ εἰσελθὼν ἐν τῇ ἀναπνοῇ ἀὴρ καὶ θερμανθεὶς ὠθεῖ τὸ προϋπάρχον θερμὸν καὶ γίνεται ἡ ἐκπνοή, δῆλον ὡς, εἰ μὴ εἰσῆλθεν, οὐκ ἂν ἐγένετο ἡ ἐκπνοή, σημεῖον δέ· τελευτῶντες γὰρ | καὶ ἀποθνῄσκοντες ἐκπνέουσι διὰ τὸν ὕστερον εἰσελ- 167r θόντα ἀέρα καὶ ὠθήσαντα τὸ προϋπάρχον θερμόν, καὶ οὐκέτι ἄλλο ἐκπνέουσι. διὰ τί; ὅτι οὐ γέγονεν εἰσπνοή, ἵνα εἰσέλθῃ ἕτερον καὶ ὠθήσῃ τὸ προϋπάρξαν. ὥστε προηγεῖται κατ' αὐτοὺς ἡ εἰσπνοή. γίνεται δὲ τοὐναντίον· πρότερον γὰρ γίνεται ἡ ὑπερβολὴ τοῦ θερμοῦ, δι' ὃ γίνεται ἡ εἰσπνοή. καὶ ἐπεὶ διὰ τὴν κατάψυξιν τοῦ ἐν ἡμῖν θερμοῦ, ἥτις κατάψυξις αἰτία ἐστὶ τῆς ἐκπνοῆς, γίνεται ἡ εἰσπνοή, διὰ τὴν ἐκπνοὴν γίνεται ἡ εἰσπνοή· προτέρα ἄρα ἡ ἐκπνοὴ ὡς αἰτία τῆς εἰσπνοῆς ὡς αἰτιατοῦ. ὅτι δ' ἡ κατάψυξις αἰτία ἐστὶ τῆς ἐκπνοῆς, αὐτὸς ἐρεῖ πρὸς τῷ τέλει τοῦ βιβλίου. εἰσελθὼν γὰρ ὁ ἐκτὸς ἀὴρ ψυχρὸς ὢν καὶ προσπεσὼν τῷ ἐν τῷ πνεύμονι θερμῷ τῷ αἴροντι τὸν πνεύμονα συστέλλεται· οὗ συστελλομένου συστέλλεται καὶ ὁ πνεύμων· οὗ συστελλομένου ἐξέρχεται ὁ εἰσελθών· τοῦτο δ' ἐστὶν ἡ ἐκπνοή. τὰ δ' ἑξῆς δῆλα.

p. 472b31 Τὴν δ' εἰς τὸν θώρακα τοῦ πνεύματος εἴσοδον καὶ πάλιν θερμανθέντος ἔξοδον.

Λείπει ἐν τῇ λέξει τὸ 'διὰ σαρκῶν', ἵν' ᾖ 'τὴν δὲ εἰς τὸν θώρακα τοῦ πνεύματος διὰ τῶν σαρκῶν εἴσοδον'. ἔστι δὲ τὸ λεγόμενον ἄτοπον, τὴν μὲν διὰ τοῦ στόματος καὶ τῶν ῥινῶν τοῦ πνεύματος εἴσοδον καὶ ἔξοδον μὴ λανθάνειν ἡμᾶς, τὴν δὲ διὰ τῶν σαρκῶν λανθάνειν. ὥσπερ γὰρ αἰσθανόμεθα τῆς διὰ τοῦ στόματος καὶ τῶν ῥινῶν τοῦ πνεύματος εἰσόδου, οὕτως ἔδει αἰσθάνεσθαι καὶ τῆς διὰ τῶν σαρκῶν, εἰ ἐγίνετο. νῦν δ' οὐδὲν αἰσθανόμεθα, ὡς δηλονότι μὴ διὰ τῶν σαρκῶν γινομένης τινὸς εἰσόδου.

p. 472b33 Ἄτοπον δὲ καὶ τοῦ θερμοῦ τὴν ἀναπνοὴν εἴσοδον εἶναι. φαίνεται γὰρ τοὐναντίον.

Τοῦτο οὐ πρὸς τὴν Πλάτωνος εἴρηται δόξαν, ἀλλὰ πρὸς τὴν Ἀναξαγό-

---

1. 2 τὴν—ἐκπνοῆς prave cum LS (ceteri τὴν ἐκπνοὴν τῆς εἰσπνοῆς) legit 2. 3 γίνεσθαι τὸ αἴτιον CRP 3 ἐπεὶ RP 5 δέ] γὰρ P post δέ add. καὶ γὰρ C
8 post τί add. δὲ C ὅτι] διότι RP εἰσέλθοι SR ὠθῇ S
8. 9 προϋπάρχον RP 9 αὐτὸν Sa ἔστι δὲ τοὐναντίον legit cum Arist. MZ (om. LPS) 11 post ἐπεὶ add. δὴ C 12 γίνεται—ἐκπνοῆς (14) om. RP διὰ—εἰσπνοή SC: om. a 13 ὡς αἰτιατοῦ om. C 14 ante αὐτὸς add. ὡς P cf. p. 480a30 16 συστέλλει αὐτό. οὗ C δ συστελλόμενον RP 17 οὗ] τοῦ δέ γε πνεύμονος C 19 τὴν δ'] τῶν δὲ C τοῦ a (Arist.) cf. v. 22: διὰ τοῦ ceteri πνεύματος RP (Arist.): πνεύμονος SCa 21 τὸ] τῇ S δὲ om. Sa 23 post μὲν add. οὖν S διὰ ῥινῶν καὶ τοῦ στόματος RP 25 τῶν ῥινῶν καὶ τοῦ στόματος C
27 γινομένης διὰ τῶν σαρκῶν CRP 28 τὸ ante τοῦ add. a 30 v. supra p. 113,1 ss.

ρου. λέγων γὰρ ὁ Ἀναξαγόρας, ὅτι, ὅταν ἀφῶσι τὸ ὕδωρ διὰ τῶν βραγχίων, 167r
τῇ ἐξακοντίσει ἐξαεροῦται τὸ ὕδωρ καὶ γίνεται εἰσπνοή, τὸ δὲ ἐξαερούμενον 21
θερμανθὲν ἐξαεροῦται, τοῦτο λέγει, ὅτι συμβαίνει τὴν ἀναπνοὴν γίνεσθαι
εἰσόδῳ θερμοῦ, φαίνεται δὲ τοὐναντίον· τὸ γὰρ εἰσπνεόμενον ψυχρόν ἐστιν.
5 ὅταν δὲ θερμὸν ᾖ τὸ εἰσπνεόμενον, ὥσπερ ἐν τοῖς βαλανείοις καὶ κυνὸς
ἐπιτολῇ, ἀσθμαίνοντες ἀναπνέουσι. τί δέ ἐστι τὸ ἀσθμαίνειν, αὐτὸς
ἐσαφήνισεν εἰπών, ὅτι τὸ πολλάκις καὶ πυκνῶς σπᾶν τὸ πνεῦμα.

p. 473a3 Ἀλλὰ μὴν οὐδὲ χάριν τροφῆς. 25

Ἵνα τρέφηται τὸ ἔμφυτον θερμόν, γίνεται ἡ εἰσπνοή, ὥς τινες ἔφασαν· 30
10 ἔδει γὰρ τοῦτο γίνεσθαι καὶ ἐπὶ τῶν ἄλλων ζῴων τῶν μὴ ἀναπνεόντων.
ἔχει γὰρ καὶ ταῦτα ἔμφυτον θερμόν· ὥστε ἔδει καὶ ταῦτα ἀναπνεῖν, ἵνα
τρέφηται τὸ ἐν αὐτοῖς ἔμφυτον θερμόν. καὶ ἢ ἔδει ἀναπνεῖν ἢ τὸ ἀνά-
λογον πάσχειν τῇ ἀναπνοῇ, τουτέστιν ἢ διὰ τοῦ ἀναλόγου τῇ ἀναπνοῇ
εἰσέρχεσθαι πρὸς τὸ ἔμφυτον θερμὸν τὸν ἀέρα. οὐκ εἰσέρχεται δέ, ἀλλ'
15 ἐκτός, ὡς ἐρεῖ προϊών, ἁπτόμενος τοῦ περιέχοντος τὸ ἔμφυτον θερμὸν 35
ὑμένος ἐμψύχει αὐτό.

p. 473a10 Ἔπειτα καὶ τὸ γίνεσθαι τὸ θερμὸν ἐκ τοῦ πνεύματος τίνα χρὴ τρόπον λέγειν, πλασματῶδες.

Ἐπειδὴ τὸ γινόμενον ἐξ οὗ τρέφεται γίνεται (ἡ γὰρ σὰρξ ἐξ αἵματος,
20 ἀφ' οὗ τρέφεται, καὶ τὸ πῦρ ὁμοίως ἐξ ἐλαίου ἢ ὅλως ἐκ τοῦ καυστοῦ),
εἰ οὖν καὶ τὸ ἐν ἡμῖν θερμὸν τρέφεται ἐκ τοῦ εἰσιόντος ἐν ταῖς εἰσπνοαῖς
ἀέρος, δῆλον ὅτι ἐξ αὐτοῦ γίνεται. οὐ γίνεται δέ, ἀλλ' ἀπὸ τῆς ἀτμίδος
τῆς γινομένης ἐκ τῆς τροφῆς, ὡς πολλάκις εἴρηται καὶ πάλιν ῥηθήσεται
πρὸς τῷ τέλει τοῦ παρόντος βιβλίου, ὅτε λέγει τὴν οἰκείαν καὶ ἀληθεστάτην 50
25 περὶ ἀναπνοῆς δόξαν. ἄλλως τε, φησίν, εἰ τῷ εἰσιόντι πνεύματι τρέφεται
τὸ ἐν ἡμῖν θερμόν, συμβαίνει δι' οὗ μορίου εἰσέρχεται ἡ τροφή, δι' αὐτοῦ
τούτου γίνεσθαι καὶ τὴν τοῦ περιττώματος τῆς τροφῆς ἔξοδον. ἐπεὶ γὰρ
κατ' ἐκείνους εἰσιόντος τοῦ ἀέρος τρέφεται τὸ θερμόν, τὸ δὲ περιττεῦσαν
ἐξέρχεται καὶ γίνεται ἡ ἐκπνοή, εἰσέρχεται δὲ καὶ ἐξέρχεται διὰ τοῦ στό-
30 ματος ἢ τῶν μυκτήρων, δι' ὧν ἄρα ἡ τῆς τροφῆς εἴσοδος γίνεται, διὰ
τῶν αὐτῶν τούτων καὶ ἡ τοῦ περιττώματος ἔξοδος γίνεται. ὁρῶμεν δὲ

---

1 λέγει γὰρ οὗτος ὅτι C 2 εἰσπνοή a: ἡ εἰσπνοή RP: εἴσω C: spat. VII litt. S 3 post ἐξαεροῦται add. μᾶλλον C post τοῦτο add. δὲ a λέγει a: λέγων ceteri ὅτι a: τὴν P: om. SCR συμβαίνειν CP 4 φαίνεται δὲ τοὐναντίον om. Sa 5 ἐν] ἐπὶ RP 7 post πυκνῶς add. ἀεὶ RP 8 τροφῆς γε χάριν a (Arist.) 12 αὐτοῖς et prius ἢ om. P 18 τρόπον χρὴ RP (Arist. MZ) ὂν post πλασμ. add. Arist. MZ 22 ἀπὸ SRP: ὑπὸ Ca 23 γενομένης S πολλάκις εἴρηται] cf. Bonitz, Index p. 365b27 ss.? 24 πρὸς τῷ τέλει] p. 480a16 ὅταν λέγῃ a καὶ om. P 27 τοῦτο C τῆς τροφῆς SRP: om. Ca ἔξοδον om. S post ἔξοδον add. τῆς τροφῆς C 30 ἡ a: ἤ τε ceteri

ὅτι δι' ἄλλου | γίνεται ἡ εἴσοδος τῆς τροφῆς (διὰ γὰρ τοῦ στόματος) 167v
καὶ δι' ἄλλου ἡ τοῦ περιττώματος ἔξοδος. ἔδει δέ, φησί, τοῦτο καὶ ἐπὶ
τῶν ἄλλων γίνεσθαι, τουτέστι καὶ ἐπὶ τῶν ἄλλων τροφῶν, δι' ὧν τρέφεται
τὸ σῶμα. οὐ γίνεται δέ, ἀλλὰ δι' ἄλλου μὲν ἡ εἴσοδος, δι' ἄλλου δὲ
5 ἡ ἔξοδος.

Ἐνστὰς δὲ πρὸς ταῦτα οὕτως, ἐκτίθεται καὶ τὴν Ἐμπεδοκλέους περὶ
ἀναπνοῆς δόξαν σαφέστατα. δι' ὃ καὶ ὀλίγα τούτων δέονται ἐπιστασίας, 5
ἧς καὶ τεύξονται, τὰ δ' ἄλλα παραλειφθήσεται. κενολογεῖν γάρ ἐστι τὸ
τὰ σαφῆ πειρᾶσθαι σαφηνίζειν. κυρίαν οὖν λέγει ἀναπνοὴν τὴν διὰ τῆς
10 τραχείας ἀρτηρίας γινομένην. ἡ γὰρ διὰ τῶν μυκτήρων οὐ κυρία· γίνεται
γὰρ καὶ διὰ τοῦ στόματος. ὅτι δὲ διὰ τῆς ἀρτηρίας ἐκ τῶν στηθῶν γίνε-
ται ἡ ἀναπνοή, οὐκ ἄδηλον· ὁ γὰρ πνεύμων, δι' οὗ ἡ ἀναπνοὴ γίνεται,
ἐν τῷ στήθει ἐστίν. ὥστε ἀντὶ τοῦ εἰπεῖν 'διὰ τῆς ἀρτηρίας ἐκ τοῦ πνεύ-
μονος' εἶπε διὰ τῆς ἀρτηρίας ἐκ τῶν στηθῶν. γίνεται οὖν ἐκ τῶν 10
15 μυκτήρων ἐκ τῶν στηθῶν διὰ τῆς ἀρτηρίας ἀναπνοή. ὥστε αὕτη ἐστὶν
ἡ κυρία ἀναπνοή. καὶ ἐπεὶ πάντα τὰ ζῷα δέχεται τὸ πνεῦμα πρὸς σωτη-
ρίαν τοῦ ἐμφύτου θερμοῦ, καὶ ὀσφρήσεως σχεδὸν μετέχει πάντα.
τὸ δὲ σχεδὸν ἐπῆκται, διότι σκώληκες, ὄστρεια καί τινα τοιαῦτα οὐ μετέ-
χει ὀσφρήσεως.

20 p. 473a26 Ὅτι δ' οὐ πᾶσι τὸ αὐτὸ αἰσθητήριόν

ἐστι τῆς ὀσφρήσεως, ἀλλὰ τοῖς μὲν ἀναπνέουσι ῥῖνες, ἐντόμοις 20
δὲ τὸ ὑπόζωμα, καὶ ἄλλοις ἄλλο, εἴρηται ἐν τῷ Περὶ αἰσθήσεως καὶ αἰσθη-
τῶν καὶ ἔτι πολλῷ πρότερον ἐν ταῖς Περὶ ζῴων ἱστορίαις. ἐν δὲ τῇ λέξει
τῇ τῶν μὲν τοῦ σώματος μορίων σῶμα τὸ αἷμα λέγει. ἡ δὲ κλε-
25 ψύδρα ἀγγεῖόν ἐστι χαλκοῦν, ἔχον ἄνω μὲν στόμα μικρὸν καὶ στενόν,
κάτω δὲ ὀπὰς πολλὰς καὶ μικράς. ἐν ᾗ κλεψύδρᾳ ἤν τις κλείσῃ τὴν ἄνω
ὀπὴν ἀσφαλέστατα, οὐκ εἰσέρχεται διὰ τῶν κάτω ὀπῶν τὸ ὕδωρ. πλήρης
γὰρ οὖσα ἀέρος ἡ κλεψύδρα καὶ σώματος διὰ σώματος οὐ χωροῦντος, πῶς 25
ἂν εἰσέλθοι; ὅταν δὲ ἀνοιχθῇ ἡ ἄνω ὀπή, εἰσέρχεται τὸ ὕδωρ διὰ τῶν
30 κάτω ὀπῶν. ἐξέρχεται γὰρ τότε ὁ ἀὴρ διὰ τῆς ἄνω ὀπῆς ἀνεῳγμένης
οὔσης. ὁμοίως δὲ καὶ ὕδατος πλήρης οὖσα ἡ κλεψύδρα καὶ ἄνωθεν κεκλει-

---

7 τούτων] τῶν περὶ ταύτης C ἐπιστάσεως prius R 8 τεύξεται P 11 καὶ om. C 14 ἐκ] ἡ R, e corr. P, ἡ διὰ Arist. 15 post μυκτήρων add. καὶ C
16 δέχεται τὰ ζῶα C 17 μετέχει σχεδὸν CRP 18 καὶ ante ὄστρεια add. CRP
20 ὅτι] ἔστι a (Arist. LSP, ἐπεὶ MZ) 21 ἐστι] τουτέστι a 22 τὸ om. RP
εἴρηται] εἴρηται δὲ a Περὶ αἰσθήσεως καὶ αἰσθητῶν] errat 23 Περὶ ζῴων ἱστορίαις] immo Περὶ ζῴων μορίων B 16 24 μόριον SR 25 ἀγγεῖόν ἐστι χαλκοῦν SRP: χαλκοῦν ἔστι μὲν ἀγγεῖον C: ἔστι μὲν ἀγγεῖον χ. a ἔχον] ἔχει δὲ a τὸ στόμα Ca
μικρὸν a: μακρὸν ceteri post μικρὸν add. μὲν C 26 post πολλὰς add. καὶ πυκνὰς C κλεψύδρᾳ om. C ἤν] εἴ CP κλείσῃ S: κλείσειε ceteri
28 χωρεῖν δυναμένου πῶς C 29 εἰσέλθῃ Pa ὅτε RP ἀνεωχθῇ CRP
31 prius καὶ a: κἂν ceteri ᾗ post ὕδατος add. CRP, post οὖσα S

σμένη ἀσφαλῶς, οὐκ ἂν ἐξέλθοι διὰ τῶν κάτω ὀπῶν τὸ ὕδωρ, καίπερ 167v
ἀνεψγμένων οὐσῶν. κενοῦ μὲν γὰρ ὄντος, εἴπερ ἐξήρχετο τὸ ὕδωρ, οὐκ
εἰσήρχετο δὲ ὁ ἀήρ, ἦν ἂν κενὸν τὸ τῆς κλεψύδρας μέρος, ἀφ' οὗπερ
ἐξῆλθε τὸ ὕδωρ. διὰ μὲν γὰρ τῆς ἄνω ὀπῆς οὐκ ἂν εἰσέλθοι ὁ ἀήρ
(ἔστι γὰρ κεκλεισμένη ἀσφαλῶς), διὰ δὲ τῶν κάτω οὐκ εἰσέρχεται, διότι
ἐμποδίζει τὸ ὕδωρ. τῇ μὲν οὖν ἀληθείᾳ διὰ τὸ μὴ εἶναι κενὸν οὐκ εἰσέρ-
χεται διὰ τῶν ὀπῶν τὸ ὕδωρ, ὡς δ' Ἐμπεδοκλῆς ἂν φήσειε, διὰ τὸν ἐκτὸς
ἀέρα. λέγει γάρ, ὡς γνωσόμεθα τῇ τῶν ἐπῶν αὐτοῦ παραθέσει, ὅτι ὁ
ἐκτὸς ἀὴρ καὶ τῶν ὀπῶν ἁπτόμενος, βιαζόμενος εἰσελθεῖν εἰς τὴν κλεψύ-
δραν, ἐμποδίζει τῇ ὠθήσει τὸ ὕδωρ καὶ οὐκ ἐᾷ ἐξέρχεσθαι. περὶ οὗ νῦν
εἰ ὡς Ἐμπεδοκλῆς λέγει, ἢ ἄλλως ἔχει, οὐ καιρὸς σκοπεῖν.

p. 473b9 Ὧδε δ' ἀναπνεῖ πάντα καὶ ἐκπνεῖ· πᾶσι λείφαιμοι σαρκῶν σύριγγες.

Τὴν μὲν τῶν ἐπῶν διάνοιαν αὐτὸς Ἀριστοτέλης σαφέστατα τέθεικεν.
δεῖ δὲ καὶ ἡμᾶς τὰ κατὰ μέρος σαφηνίσαι. ἀλλὰ πρότερον ἑκάστην τῶν
λέξεων μετιτέον, καὶ οὕτως ἐκεῖνα σαφηνιστέον. ἔστιν οὖν τὸ λείφαιμοι
ἴσον τῷ λειψόαιμοι (οὐ γάρ εἰσιν, ὡς ἐκεῖνός φησι, πλήρεις αἵματος, ἀλλὰ
λείπονται), τὸ δὲ πύματον τῷ ἔσχατον. σύριγγας δὲ αὐτὰς λέγει τὰς
φλέβας, ὁμοίως καὶ ἄλοκας τροπικῶς. λέγει οὖν σύριγγας καὶ ἄλοκας τὰς
φλέβας, ἔσχατα δὲ τέρθρα περιφραστικῶς αὐτὰ τὰ τῶν ῥινῶν ἔσχατα.
ἔστι δὲ τὸ τέρθρον εἶδος σχοινίου· ὥστε ἐπεὶ καὶ τὸ ἔσχατον τῆς ῥινὸς
σχοινίον ἐστὶ τροπικῶς, ἐκάλεσε τὰ τῶν ῥινῶν ἔσχατα τέρθρα, ὡς εἰ ἔλεγε
καὶ τὴν πᾶσαν ῥῖνα τέρθρον διὰ τὸ μῆκος. φανὸν δὲ τὸ αἷμα. τὸ δὲ
τέρεν αἷμα ἀντὶ τοῦ ἁπαλὸν αἷμα, ὁμοίως δὲ τὸ οἴδματι μαργῷ ἀντὶ
τοῦ κύματι σφοδρῷ. εὐπετῆ δὲ λέγει τὸν χαλκόν, διότι εὖ ἄγεται καὶ
μαλάττεται πυρωθείς. αὐλοῦ δὲ πορθμὸν περιφραστικῶς αὐτόν φησι τὸν
αὐλόν, ὁμοίως δὲ καὶ τέρεν δέμας αὐτὸ τὸ ὕδωρ, ἀργύφεον δὲ ἀντὶ
τοῦ λευκόν. πυκινὸν δὲ ῥόον λέγει τὸν ἀέρα, ἔστι δὲ ἴσον τῷ πυκνὸν
ῥεῦμα. ὁμοίως δὲ καὶ τὸ αἴσιμον ὕδωρ ταὐτόν ἐστι τῷ κάλλιστον ὕδωρ.

---

1 ἐξέλθη C 2 μὲν γὰρ SC: γὰρ μὴ RPa 2. 3 καὶ οὐκ εἰσ. ὁ a 3 ὁ om. RP
4 γὰρ a: om. ceteri 5 κεκλεισμένος C 6. 7 εἰσέρχεται a: ἐξέρχεται ceteri
7 ante prius διὰ add. δὲ C τῆς ὀπῆς a 9 καὶ] ἐκ C 10 ante τῇ add. ἐν P
οὖ] οὖν a 11 εἰ] ἢ a: om. SC post καιρός add. ἐστι RP 12 ὧδε δ' a:
ὧδ' ceteri λίφαιμοι plerique Arist. libri 14 σαφῶς C 15 ἑκάστη S
16 ἐκεῖνο RP λίφαιμοι Pa 17 λείψαιμοι C εἰσιν] ἐστιν C
18 τῷ] τὸ RP τὰς om. a 19 prius καὶ] δὲ καὶ CRP post τροπικῶς add.
δὲ C 19. 20 οὖν—φλέβας] ταῦτα C 20 δὲ om. a τέθρα Sa, item
v. 22 (plerique Arist. libri) 21 τέθρον Sa, item 23 τῆς ῥινὸς a: τοῦ σχοινίου
ceteri 23 φανὸν] φόνον Arist. il M 24 αἷμα bis om. C ἀντὶ τοῦ]
αὐτὸ τὸ a δὲ τῷ οἴδματι Ra 25 διπετέος melius Arist. ZMil εὖ Ca:
καὶ εὖ S: εὖ καὶ RP 26 πυρωθείς om. C δὲ om. a 27 prius δὲ om. C
27. 28 ἀντὶ τοῦ] τὸ C 28. 29 ἔστι—ῥεῦμα om. C 29 δὲ om. RP
αἴσιμον ad v. 21 an ad v. 15 (v. Diels, *Poet. philos.* p. 144) referendum sit dubito
ταὐτόν ἐστι τῷ] τὸ C

ἀλλὰ καὶ τὸ κλαδασσόμενον ἴσον τῷ ταρασσόμενον. τὸ δὲ ἀγυιῶν ταὐτόν ἐστι τῷ ὁδῶν· ἀγυιαὶ γὰρ αἱ ὁδοί. λέγει δὲ ἀγυιὰς τὰς φλέβας. τὸ δὲ ὀπίσω ἴσον ἐστὶ τῷ ἔξω. καὶ τὰ μὲν τῶν λέξεων τοιαῦτα, τὸ δὲ πᾶν τῶν ἐπῶν τοιοῦτον· ἐν πᾶσι τοῖς ἀναπνέουσι κατὰ τὸ ἔσχατον, ἤτοι τὴν ἐπιφάνειαν τῆς σαρκός, εἰσὶ φλέβες οὐ | πλήρεις αἵματος. ἐν αἷς 168r ἄλοξι καὶ φλεψί, τουτέστιν ὧν ἀλόχων καὶ φλεβῶν πρὸς τὰ πυκνὰ καὶ στενὰ στόματα τέτρηνται καὶ ἐπίκεινται διαμπερὲς τὰ ἔσχατα τῶν ῥινῶν τέρθρα. τὰ γὰρ τῶν ῥινῶν ἔσχατα ἐν τοῖς τῶν φλεβίων ἔλεγε κεῖσθαι στόμασιν. ἃ δὴ στόματα τῶν φλεβῶν τὸ μὲν αἷμα κεύθουσι καὶ κωλύουσιν ἐξέρχεσθαι διὰ τὴν στενότητα, αἰθέρι δ' εὐπορίαν διόδοισι τετμῆσθαι, τουτέστι τῷ δ' αἰθέρι διδόασι δίοδον. εἰσὶν οὖν τοιαῦτα, ὥστε τὸ μὲν αἷμα κωλύειν ἐξέρχεσθαι, τὸν δ' αἰθέρα μὴ κωλύειν εἰσιέναι. τὸ οὖν τετμῆσθαι ἀντὶ τοῦ διδόναι. ἔνθεν ἔπειτα ὁπόταν μὲν ὁρμήσῃ τὸ ὑγρὸν αἷμα κάτω, καταβήσεται καὶ εἰσελεύσεται ὁ αἰθήρ, λέγων αἰθέρα τὸν ἀέρα, σφοδρῷ τῷ κύματι, εἶτ' οὖν τῷ ῥεύματι· ἡνίκα δ' ἀναθρώσκῃ καὶ ὁρμήσῃ ἄνω τὸ αἷμα, πάλιν ἐκπνεῖ καὶ ἐξέρχεται ὁ εἰσελθὼν ἀήρ. τὰ μὲν οὖν μέχρι τοῦ τῆς κλεψύδρας ὑποδείγματος τοιαῦτα, ἐπαναληπτέον δὲ πάλιν καὶ συντόμως λεκτέον τὰ εἰρημένα, καὶ οὕτως συνεχῶς συναπτέον καὶ τὰ ἐφεξῆς· ἐν τῇ ἐπιφανείᾳ τῆς σαρκὸς πάντων τῶν ἀναπνεόντων εἰσὶ στόματα φλεβῶν, οὐ πληρῶν οὐσῶν αἵματος· πρὸς ἃ στόματα φλεβῶν συνάπτουσιν αἱ ῥῖνες. οὐκ ἐν ἅπασι δὲ τοῖς τῶν φλεβῶν στόμασιν, ἀλλ' ἐν ἐκείνοις μόνοις, καθ' ἃ συνάπτουσιν αἱ ῥῖνες. εἰσὶ δὲ τὰ τοιαῦτα στόματα στενά, ὥστε τὸ μὲν αἷμα κωλύειν ἐξέρχεσθαι, τὸν δ' ἀέρα μὴ κωλύειν εἰσιέναι. καὶ ὅταν μὲν τὸ αἷμα ὁρμήσῃ κάτω, εἰσέρχεται ὁ ἀήρ· ὅταν δὲ ἄνω, ἐξέρχεται, καὶ γίνεται τὸ τοιοῦτον ὅμοιον τῷ γινομένῳ ὑπὸ τῆς παιζούσης κόρης. ἡνίκα γὰρ αὕτη θήσει τὴν εὐειδῆ αὐτῆς χεῖρα πρὸς τὴν ἄνω ὀπὴν τῆς κλεψύδρας τῆς ἀπὸ χαλκοῦ κατασκευασθείσης, ἂν βαπτίζῃ τὴν κλεψύδραν ἐν τῷ ὕδατι, οὐκ εἰσέρχεται τὸ ὕδωρ διὰ τῶν κάτω ὀπῶν (ὄμβρον γὰρ τὸ ὕδωρ εἶπεν), ἀλλὰ κωλύει καὶ οὐκ ἐᾷ εἰσελθεῖν ἐντὸς τῆς κλεψύδρας ὁ ἀήρ, πίπτων καὶ φράττων τὰς στενὰς ὀπάς· ταύτας γὰρ εἶπε πυκνὰ τρήματα. ἕως μὲν οὖν κεῖται ὥσπερ τι πῶμα εἰς τὴν ἄνω ὀπὴν ἡ τῆς κόρης χείρ, οὐκ εἰσέρχεται τὸ ὕδωρ διὰ τῶν κάτω ὀπῶν· ἡνίκα δὲ ἀποστεγάσῃ καὶ ἀφέληται ἀπὸ τῆς ὀπῆς τὴν χεῖρα, εἰσέρχεται

---

1 post ἴσον add. ἐστὶ RP διὰ γυίων recte Arist. il 2 δὲ] γὰρ S 3 ἴσον ὀπίσω P post ἐστὶν add. ἴσον RP ἔξω a: ὁμοίως ceteri e p. 126,22 5 εἰσὶ SCR: εἰσὶ γὰρ a: om. P 7 σώματα SC 8 τέθρα Sa 10 αἰθέρι] ἀέρι SC 12 κωλύει S: κωλύουσιν RP 13 ὁπότε RP: ὅταν C ὁρμήσει RP ἀπαίξῃ legit 14 κάτω om. a, sed v. v. 24 ἀήρ RP 15 εἴτ' οὖν] ἤτοι C: ἤγουν conicio ἀναθρώσκει SP: anceps R 16 ὁρμήσει P: anceps S 17 τοῦ (corr. e τῆς R) RP: om. ceteri ὑποδείγματος R: ὑποδείγματα ceteri 18 πάλιν om. S ῥητέον RP τὰ a: τὰ τούτοις CRP: διὰ τούτων S 20 πληρῶν οὐσῶν] πεπληρωμένων C 22 ἐν om. S 23. 24 ἀέρα εἰσέρχεσθαι μὴ κωλύειν C 26 χεῖρα αὐτῆς CRP 26. 27 τῇ ἄνω ὀπῇ a 29 ὁ ante ἐντὸς add. CR 30 ὁ om. CRP 32 ὄμβρον—εἶπεν e v. 29 post ὀπῶν add. S¹a

τὸ ὕδωρ διὰ τὸ ἐξέρχεσθαι τὸν ἀέρα διὰ τῆς ἄνω ὀπῆς (τὸν γὰρ ἀέρα εἶπε πυκινὸν ῥόον), εἰσέρχεται οὖν τὸ ὕδωρ ἐλλείποντος καὶ ἐξερχομένου τοῦ ἀέρος, ὃν πάλιν εἶπε πνεῦμα. οὐ μόνον δὲ τοῦ ἀέρος ὄντος ἐν τῇ κλεψύδρᾳ οὐκ εἰσέρχεται τὸ ὕδωρ, ἀλλὰ κἂν ᾖ πλήρης ὕδατος (τούτου γάρ
5 ἐστι δηλωτικὸν τὸ 'ὅτε τὸ ὕδωρ κατὰ βένθεα ἔχει χαλκοῦ'), ἀλλὰ κἂν ᾖ ἡ κλεψύδρα πλήρης | ὕδατος, χωσθέντος καὶ κλεισθέντος τοῦ εἰρημένου 168v πόρου, λελιημένος καὶ προθυμούμενος εἰσελθεῖν διὰ τῶν κάτω ὀπῶν ἐντὸς τῆς κλεψύδρας ἀνέχει καὶ κωλύει τὸ ὕδωρ ἐξελθεῖν κρατύνων καὶ ἀπερείδων ὁ ἀὴρ τὰ ἄκρα, ἤτοι τὴν ἑαυτοῦ ἐπιφάνειαν, εἰς τὰς πύλας τοῦ ἰσθμοῦ,
10 λέγων πύλας τὰς ὀπάς, ἰσθμὸν δὲ τὸν πόρον. δυσηχέα δὲ χαλκὸν λέγει τὴν κλεψύδραν, διότι πλήρης οὖσα ὕδατος οὐκ ἐστιν εὔηχος, ὥσπερ ὅτε 5 ἐστὶν ἀέρος πλήρης. ὅταν δὲ πάλιν ἀφέληται ἀπὸ τῆς ἄνω ὀπῆς τὴν χεῖρα, ὁ μὲν ἀὴρ εἰσέρχεται δι' αὐτῆς, τὸ δὲ ὕδωρ ἐξέρχεται διὰ τῶν κάτω ὀπῶν. ὡς οὖν ἐπὶ τῆς κλεψύδρας, οὕτω καὶ ἐπὶ τοῦ αἵματος·
15 κλαδασσόμενον γὰρ καὶ μετὰ ῥύμης καὶ ταραχῆς φερόμενον ἄνω καὶ κάτω διὰ τῶν φλεβῶν, ἃς ἀγυιὰς εἶπεν, ὁπόταν ἐντὸς ὁρμήσῃ, τουτέστιν εἰς βάθος συσταλῇ, ἕτερον εὐθὺς ῥεῦμα κατέρχεται. ἔστι δὲ τὸ μὲν κατέρχεται ταὐτὸν τῷ εἰσέρχεται, ῥεῦμα δὲ ἕτερον λέγει τὸν ἀέρα. εἰσέρχεται οὖν ἕτερον ῥεῦμα οἴδματι θοῦον, τουτέστιν ὁρμῶν ὥσπερ τι 10
20 κῦμα ὑπὸ πνευμάτων ὠθούμενον. ἡνίκα δ' ἀναθρώσκει τὸ αἷμα καὶ ἐκτείνεται, πάλιν ὁμοίως ἐκπνεῖ ὁ εἰσελθὼν ἀὴρ ὀπίσω, τουτέστιν ἐξέρχεται ἔξω· τὸ γὰρ ἴσον ἀντὶ τοῦ ὁμοίως, ὥσπερ τὸ ὀπίσω ἀντὶ τοῦ ἔξω εἴληπται.

Τὰ μὲν οὖν τῶν ἐπῶν τοιαῦτα, θεὶς δὲ τὰ ἔπη εὐθὺς ἐνίσταται, λέγων
25 ἐναντίως γίνεσθαι τὴν εἰσπνοὴν ἢ ὡς Ἐμπεδοκλῆς λέγει. ἐκεῖνος μὲν γάρ φησιν, ὅτι τῇ τοῦ αἵματος συστολῇ γίνεται ἡ εἰσπνοή, γίνεται δὲ μᾶλλον τῇ τοῦ αἵματος ἐκτάσει· ἐπειδὴ γὰρ αἰρομένου τοῦ πνεύματος γίνεται ἡ 15 εἰσπνοή, αἴρει δὲ αὐτὸ τὸ θερμόν, τὸ δὲ θερμὸν ἐν τῷ αἵματι, τὸ μετὰ τοῦτο δῆλον, ὅτι τῇ τοῦ αἵματος ἐκτάσει γίνεται ἡ εἰσπνοή, ἀλλ' οὐ τῇ
30 συστολῇ· ὁμοίως καὶ ἡ ἐκπνοὴ τῇ συστολῇ καὶ οὐ τῇ ἐκτάσει, ὡς Ἐμπεδοκλῆς οἴεται. καὶ γὰρ καὶ αἱ ἐν ταῖς χαλκείοις φῦσαι τῇ μὲν ἐκτάσει δέχονται τὸ πνεῦμα, τῇ δὲ συστολῇ καὶ συνιζήσει ἐκπέμπουσι, τοῦτο μόνον διαφέροντα, ὅτι ἐπὶ μὲν τῶν φυσῶν ἀπὸ τῶν ὀπῶν τῶν ἐν ταῖς σανίσιν

---

2 πυκνὸν S 4 εἴη πλῆρες C 5 ἔχει κατὰ βένθεα CRP 6 χρωσθέντος SRP (plerique Arist. libri) 7 post πόρου add. ὁ αἰθὴρ ἐκτὸς ὢν CRP προτεθυμημένος P, e corr. R 9. 10 ἰσθμοῦ et ἰσθμὸν CP (cf. plerique Arist. libri): ἡθμοῦ et ἡθμὸν SRa (cf. Arist. PSXZ) 10 λέγει] εἶπε CRP 11 ὅτε] ὅταν C 13 αὐτοῦ P 15 φερόμενον καὶ ταραχῆς RP ταράχου S 16 εἶπε καὶ ἐντὸς SCRP ὁρμᾶ SRP: ὁρμῶν C 17 συστέλλεται P: συστελλόμενον C ἕτερον] αἰθέρος recte Arist. libri MZil 19 ἐπέρχεται C 20 πνευμάτων] πολλῶν a 22 post ὥσπερ add. καὶ RP 26 φησι τῇ C συστολῇ] ἐκτάσει prius S γίνεσθαι τὴν εἰσπνοήν, ἥτις μᾶλλον C 27 post ἐκτάσει add. γίνεται C πνεύμονος P, e corr. R 27. 28 ἡ εἰσπνοὴ γίνεται C 28 αὐτὸ a: αὐτὸν ceteri 30 prius καὶ a: om. ceteri 32 τῇ συστολῇ δὲ CRP καὶ om. R 33 διαφέροντες C

εἰσέρχεται τὸ πνεῦμα, ἐξέρχεται δὲ κατὰ τοὺς αὐλούς, ἐν δὲ τῇ ἀναπνοῇ 168r
δι' οὗ εἰσέρχεται, καὶ δι' αὐτοῦ πάλιν ἐξέρχεται. διὰ γὰρ τῆς τραχείας 20
ἀρτηρίας καὶ ἡ εἴσοδος καὶ ἡ ἔξοδος. εἰ μὲν οὖν περὶ τῆς ἀναπνοῆς λέγει
τῆς γινομένης διὰ τῆς ἀρτηρίας ὁ Ἐμπεδοκλῆς, οὐ συνῳδός ἐστιν ὁ λόγος
5 αὐτοῦ τοῖς φαινομένοις (φαίνεται γάρ, ὥσπερ εἴρηται, ὅτι τῇ τοῦ αἵματος
ἐκτάσει γίνεται ἡ εἰσπνοή, οὐ μὴν τῇ συστολῇ, ὡς ἐκεῖνος ᾤετο)· εἰ δὲ
περὶ τῆς διὰ τῶν μυκτήρων λέγει μόνης, πολὺ διήμαρτεν· οὐ γὰρ διὰ τῶν
φλεβῶν χωρεῖ τὸ διὰ τῶν μυκτήρων εἰσερχόμενον πνεῦμα.

p. 474a19 Ἀλλὰ παρὰ τὸν αὐλῶνα τὸν παρὰ τὸν γαργαρεῶνα. 25

10 Λέγει δὲ αὐλῶνα τὴν ὅλην ἀρτηρίαν, γαργαρεῶνα δὲ τὸ πέρας αὐτῆς,
ὅπερ ἐπιπωματίζει ἐν ταῖς καταπόσεσιν ἡ ἐπιγλωττίς· ἐν ᾧ ἐσχάτῳ τῆς
τραχείας ἀρτηρίας χωρεῖ καὶ ἐγγίζει τὸ ἔσχατον τοῦ οὐρανοῦ· ἐν ᾧ πάλιν
ἐσχάτῳ τοῦ οὐρανοῦ τὰ τῶν μυκτήρων συντρήματα τελευτῶσιν. ἐν μὲν
γὰρ τῷ ἐσχάτῳ τοῦ οὐρανοῦ τελευτῶσι τὰ τῶν μυκτήρων τρήματα, αὐτὸ
15 δὲ τὸ τοῦ οὐρανοῦ ἔσχατον ἅπτεται τοῦ ἐσχάτου τῆς τραχείας ἀρτηρίας. 30
καὶ τὸ μὲν τοῦ πνεύματος ταύτῃ, τουτέστι διὰ τῶν μυκτήρων, εἰσέρχεται
καὶ ἐξέρχεται, τὸ δὲ διὰ τοῦ στόματος. καὶ λοιπὸν συμπεραίνεται λέγων·
τὰ μὲν ἑπόμενα δυσχερῆ τοῖς παρὰ τῶν ἄλλων λεχθεῖσι ταῦτά ἐστι, τὰ
δὲ λοιπὰ σαφῶς ἀπαγγέλλει. πρῶτος δὲ τόπος ἐστίν, ἐν ᾧ τὸ θερμόν, ὁ
20 θώραξ, μόριον δὲ πάλιν πρῶτον τοῦ θώρακος ἡ καρδία. ὅτι δὲ τοῦ αἵματος
καὶ τῶν φλεβῶν ἡ καρδία ἐστὶν ἀρχή, πολλάκις εἴρηται. ὅτι δὲ καὶ ἡ
ψυχὴ ἐν τῷ περὶ τὴν καρδίαν θερμῷ ἐμπεπυρευμένη ἐστίν, καὶ τοῦτο
πολλά|κας εἴρηται· ἐμπεπύρευται γὰρ ἐν τῇ καρδίᾳ καὶ τῷ ἐν αὐτῇ 169r
θερμῷ, ὡς ἡ φλὸξ ἐν τῷ ἄνθρακι. διασπώμενον δὲ καὶ εἰς μικρὰ κατα-
25 κερματιζόμενον τὸ ἐν ἡμῖν θερμὸν ἐξ ἀνάγκης φθείρεται· τὸ γὰρ μικρὸν
εὔφθαρτόν ἐστι. διὰ τοῦτο δὲ καὶ θνήσκει τὸ ζῷον ξίφεσι καὶ ὀργάνοις
τισὶ τεμνόμενον· διασπᾶται γὰρ τὸ ἐν αὐτῷ θερμὸν καὶ κατακερματίζεται
ταῖς τομαῖς. τὸ δὲ πυρούμενον φθείρεται, ὅταν μὴ ψύχηται διὰ τὴν τοῦ 5
θερμοῦ ὑπερβολήν.

30 p. 474b25 Ἐπεὶ δὲ τῶν ζῴων τὰ μὲν ἔνυδρα, τὰ δ' ἐν τῇ γῇ
ποιεῖται τὴν διατριβήν.

Πρότερον λέγει, διὰ τίνων μορίων ἑκάστοις, καὶ τοῖς ἀναπνέουσι καὶ 10

---

2 καὶ om. C παχείας S 7 prius τῶν om. a 8 τῶν (ante φλεβῶν) a: om. ceteri 9 prius παρὰ] διὰ C alt. παρὰ SRC, e corr. P (Arist. LSP): περὶ a, prius P (Arist. MZ) 10 αὐτοῦ P, αὐτῶν R² 11 ἐπιπωματίζειν a 13 τελευτῶσιν—τρήματα (14) om. C 14 τελευτῶσι om. P συντρήματα S 15 τοῦ ἐσχάτου om. a 16 ταυτὸν C 16. 17 εἰσιόν τε καὶ ἐξιόν cum Arist. P legisse vid. 18 μὲν om. S 19 ἀπαγγέλλει] hic desinit R δὲ om. P 20 τοῦ θώρακος πρῶτον C καρδία hic desinit P 21 πολλάκις εἴρηται] v. ad p. 52,21. 58,27 ὅτι—εἴρηται (23) om. C 23 πολλάκις εἴρηται] v. p. 44,20. 50,23 23 τὸ et (24) θερμὸν C αὐτῷ S 25. 26 μικρὸν εὐπαθές. διὰ SC 26 καὶ (ante ὀργάνοις)] ἢ C 30 τῇ om. Arist. MZSP

τοῖς μὴ ἀναπνέουσι, γίνεται ἡ τοῦ ἐμφύτου θερμοῦ κατάψυξις, καὶ οὕτω 169r
τὸ πῶς ὑπὸ τῶν τοιούτων μορίων γίνεται ἡ κατάψυξις. προηγεῖται γὰρ
τὸ ὅτι, καὶ οὕτως ἕπεται τὸ διότι. δεῖ γὰρ πρότερον εἰπεῖν, ὅτι ὑπὸ τῶν
βραγχίων ἢ ὑπὸ τοῦ πνεύμονος, καὶ οὕτως τὸ πῶς ὑπὸ τῶν βραγχίων
5 καὶ διὰ τί. λέγει οὖν· ἐπεὶ τῶν ζῴων τὰ μέν εἰσιν ἔνυδρα, τὰ δὲ χερσαῖα,
τούτων τῶν ἐνύδρων καὶ χερσαίων τοῖς μικροῖς καὶ ἀναίμοις (εἰσὶ γὰρ καὶ ἐν
γῇ καὶ θαλάττῃ ἄναιμα, ἐν μὲν γῇ τὰ ἔντομα, ἐν δὲ θαλάσσῃ σηπίαι, κάραβοι, 15
ὄστρεια, τὰ ὅμοια), τούτοις οὖν τοῖς μικροῖς πάμπαν καὶ ἀναίμοις ἱκανά ἐστι
πρὸς τὸ καταψύχειν τὰ περιέχοντα, ὅ τε ἀὴρ καὶ τὸ ὕδωρ. καὶ ἐπὶ τούτῳ οὐ
10 δέονται ὀργάνων, δι' ὧν τὴν κατάψυξιν ποιήσονται, ἀλλ' ἀρκοῦνται μόνῃ
τῇ τῶν περιεχόντων ἁφῇ. ἅτινα καὶ διὰ τὸ ἔχειν ὀλίγον τὸ θερμὸν σχεδὸν
πάντα βραχύβιά εἰσι. τὸ δὲ σχεδὸν ἢ φιλοσόφως ἐπῆκται ἢ καὶ διὰ τὰς
μελίττας· ἔνιαι γὰρ αὐτῶν ζῶσιν, ὥς φασιν, ἑπτὰ χρόνους. εἰπὼν δὲ διὸ 20
καὶ βραχύβια σχεδὸν ἅπαντά ἐστιν, ἐπήγαγεν·

15 p. 474b30 Ἐπαμφότερα γὰρ μικρᾶς ὄντα τυγχάνει ῥοπῆς.

Ἔστι δὲ τὸ μὲν συνεχὲς τοιοῦτον· τυγχάνει γὰρ ἐπ' ἀμφότερα ὄντα 26
μικρᾶς ῥοπῆς, τὸ δὲ λεγόμενόν ἐστι· τυγχάνει τὰ τοιαῦτα τῶν ζῴων ὑπάρ-
χοντα μικρᾶς ῥοπῆς, τῆς οὔσης καὶ ῥεπούσης ἐπ' ἀμφότερα, τό τε φθεί-
ρεσθαι ῥᾳδίως καὶ τὸ καταψύχεσθαι· τὸ δὲ καταψύχεσθαι ταὐτόν ἐστι τῷ
20 σῴζεσθαι ῥαδίως. οὕτως δ' ἐπῆκται τὸ παρόν, ὥσπερ ὅταν λέγωμεν· τάδε
γὰρ τυγχάνουσιν ὄντα τῶν Ἑλλήνων, οἷον ἥδε ἡ χώρα τυγχάνει οὖσα τῶν 30
Ἑλλήνων. ὡς οὖν ἐπὶ τούτων οὕτως λέγομεν, οὕτως εἴρηται καὶ ἐπὶ τού-
των, ὅτι τὰ τοιαῦτα τῶν ζῴων τυγχάνει ὄντα μικρᾶς ῥοπῆς. καὶ ἐπεὶ ἡ
ῥοπή τινός ἐστι ῥοπὴ καὶ ἐπί τι, προσέθηκε τὸ ἐπ' ἀμφότερα, ἐπί τε
25 τὸ ῥᾳδίως σῴζεσθαι καὶ ῥᾳδίως φθείρεσθαι· μικροῦ γάρ τινος βοηθοῦ
τυχόντα σῴζεσθαι πέφυκεν, ὥσπερ καὶ μικροῦ τοῦ μὴ βοηθοῦντος φθεί-
ρονται. καὶ τούτοις μὲν ἱκανόν ἐστι πρὸς σωτηρίαν τὸ περιέχον, τοῖς δὲ
ἄλλοις τὸ ὑπὸ τὸ διάζωμα μέρος αὐτῶν διέσχισται· ἐντὸς δὲ τοῦ σχίσματος 35
κεῖται ὑμὴν λεπτότατος διατεταμένος. ὃ γὰρ ἔχουσι τὰ τοιαῦτα τῶν ζῴων
30 ἀνάλογον ὂν ταῖς σαρξὶν ἡμῶν, σκληρόν ἐστι, καὶ διὰ τὴν σκληρότητα
κωλύει, ὡς πολλάκις εἴρηται, τὴν ἀπὸ τοῦ ἀέρος κατάψυξιν εἰσέρχεσθαι·
διὸ ἔσχισται τῇ φύσει. καὶ ἔοικεν ἡ τοιαύτη σχίσις θύραις ἀνοιγομέναις

---

1 post οὕτω add. λέγων S, λέγει C 2 τὸ om. C ἀπὸ SC τῶν om. C
3 καὶ οὕτως ἕπεται τὸ Sa: τοῦ C 4 ὑπὸ om. C 6 τῶν—χερσαίων om. C
7 γῇ καὶ a: γῇ καὶ ἐν C: τῇ S 7. 8 σηπίαι καὶ κάραβοι καὶ ὄστρεια καὶ τὰ C
8 εἰσι SC 9 τούτων a 13 ὥς φασιν ἑπτὰ χρόνους ζῶσιν a 14 βραχύβια
ἐστὶ σχεδὸν πάντα C πάντα Arist. 15 μικρὰ ὄντα μικρᾶς τυγχ. Arist. MZ
17 ἔστι δὲ τὸ λεγόμενον S: ἤγουν C 18 ῥεούσης C 20 οὕτως] τοῦτο C
21. 22 τυγχάνει—Ἑλλήνων] om. C 22 εἴρηται om. C 22. 23 post τούτων add.
εἴρηκεν C 24 ῥοπὴ om. C ἀμφότερα, τότε ῥαδίως φθείρεσθαι καὶ σώζεσθαι C
25 post καὶ add. τὸ S 26 σώζονται ὥσπερ C 31 πολλάκις εἴρηται] cf. Bonitz,
Ind. p. 255b25 32 διὸ] δι' ἣν a

καὶ κλειομέναις· ἅτινα σχίσματα ἀνοίγεται καὶ κλείεται τῷ ἐμφύτῳ θερμῷ, 169r
ὄντι ἐν τῷ ἀναλογοῦντι τῇ καρδίᾳ. πᾶν γὰρ ἔμφυτον θερμὸν ἢ ἐν τῇ
καρδίᾳ ἢ ἐν τῷ ἀναλόγῳ τῇ καρδίᾳ ἐστίν, οὗ συστελλομένου καὶ ἐκτεινο- 10
μένου κινοῦνται τὰ ζῷα, ὡς ἐν τῷ Περὶ ζῴων κινήσεως δέδεικται. ἀνοι-
5 γομένων οὖν τῶν σχισμάτων καὶ κλειομένων ὁ ἐναποκλειόμενος ἀὴρ ἐν τῇ
συγκλείσει προσπίπτων τῷ ὑμένι καταψύχει τὸ ἔμφυτον θερμόν· λεπτότατος
γὰρ ὢν ὁ ὑμὴν οὐδὲν κωλύει τὴν κατάψυξιν γίνεσθαι. γίνεται οὖν ἡ κατά-
ψυξις διά τε τὴν τοῦ ὑμένος λεπτότητα καὶ διὰ τὴν ὑπὸ τῶν σχισμάτων
τοῦ ἀέρος σφοδρὰν πρόσπτωσιν· σφοδρῶς γὰρ προσπίπτει τῷ ὑμένι ὁ ἀὴρ
10 διὰ τὴν κίνησιν, ἣν κινεῖται ὑπὸ τῶν σχισμάτων τῶν ἐοικότων θύραις. 15
ὅτι δ' ὁ ἀὴρ ἠρέμα προσπίπτων ἠρέμα καὶ καταψύχει, σφοδρῶς δὲ μᾶλλον,
εἴρηται ἐν τοῖς Μετεώροις· οἱ γὰρ ἄνεμοι καίπερ ὄντες θερμοὶ τὴν φύσιν,
ὡς ἐν τοῖς Μετεώροις δέδεικται, ὅμως ψυχροὶ δοκοῦσι διὰ τὸν ἀέρα, ὃν
ὠθοῦσι πνέοντες· ἂν δὲ καὶ σφόδρα πνέωσι, σφόδρα δοκοῦσι ψυχροί. ἀλλὰ
15 περὶ μὲν τούτων πολλάκις ἐπιστήσαντες, οὐ δεῖ μηκύνειν, καὶ δὴ ἐπὶ τὸ
προκείμενον ἰτέον. ἐπεὶ οὖν ὁ ἀὴρ ἠρέμα κινούμενος ἠρέμα ψύχει, τὰ 50
θερμότερα καὶ πλείονος δεόμενα τῆς καταψύξεως ἀνάγκη σφοδρῶς τὸν
ἀέρα κινεῖν· σφοδρῶς δὲ κινούμενος τοῦ τε καταψύχεσθαι καὶ τοῦ βομβεῖν
αἴτιος γίνεται, ὡς μὲν ψυχρὸς τοῦ καταψύχεσθαι, ὡς δὲ διηχὴς τοῦ βομ-
20 βεῖν. ἀνάγκη γὰρ τὸν ἀέρα ὑπὸ τῶν σχισμάτων καὶ τοῦ ὑμένος προστρι-
βόμενον, μᾶλλον δὲ ἐναπολαμβανόμενον ὑπὸ τούτων καὶ ἀποπαλλόμενον,
γίνεσθαι ψόφον. ἀλλὰ προηγουμένως μὲν διὰ τὴν κατάψυξιν γίνεται ἡ τοῦ
ἀέρος πρὸς τὸν ὑμένα πρόστριψις, ἕπεται δὲ ὁ ψόφος. ἀλλὰ διὰ τί οἱ
τέττιγες καὶ | καθήμενοι καὶ ἱστάμενοι ψοφοῦσι, μυῖαι δὲ καὶ μέλιτται 169v
25 καὶ κώνωπες ἐν μόνῃ τῇ πτήσει; ἢ ὅτι οἱ μὲν τέττιγες ὡς θερμότεροι
σφοδρῶς κινοῦσι τὸν ἀέρα (δέονται γὰρ πλείονος τῆς καταψύξεως, ἐπεὶ οὗτοι
πρὸς μεσημβρίαν μάλιστα ᾄδουσιν, ὅτε μάλιστα δεόμενοι τῆς καταψύξεως
μᾶλλον κινοῦσι τὸν ἀέρα, τὸ δὲ πρωῒ καὶ ὅλως ἐν ταῖς ψυχροτέραις ὥραις
οὐδαμῶς διὰ τὸ ἢ οὐδ' ὅλως ἢ πάμπαν ἠρέμα κινεῖν τὰ σχίσματα· βοη- 5
30 θεῖ γὰρ αὐτοῖς ἡ τῆς ὥρας ψυχρότης), μυῖαι δὲ καὶ τὰ τοιαῦτα ἧττον
δεόμενα τῆς καταψύξεως (ψυχρότερα γάρ εἰσι τῶν τεττίγων), ἠρέμα κινοῦντα
τὸν ἀέρα οὐ βομβοῦσιν, ἐν δὲ τῇ πτήσει σφοδρότερον κινοῦντα βομβοῦσι
τῷ πτερῷ. οὗ βόμβου αἴτιον τὸ ὑπὸ τὸ ὑπόζωμα θερμόν· τοῦτο γὰρ κινεῖ
τὰ πτερὰ καὶ ἁπλῶς ὅλον τὸ ζῷον. μήποτε δὲ καὶ οἱ τέττιγες ἐν ταῖς

---

1 κλειόμενα τῷ S 2 post ὄντι ἐν add. τῇ καρδίᾳ C 3 ἢ τῷ ἀναλογοῦντι C post ἐστὶ add. διδόασι δίοδον τῷ ἀέρι, ὁ δὲ εἰσερχόμενος καταψύχει τὸ θερμὸν C
4 τῷ] τῇ C Περὶ ζῴων κινήσεως] c. 10 κινήσει C 4. 5 δέδεικται τῇ γὰρ ἀνοίξει τῶν C 5 κλείσει ἐναπ. (om. ὁ) C 5. 6 ἐν—συγκλείσει om. C
7 ὁ ὑμὴν ὢν οὐ κωλύει C 11 καὶ om. C 12 θερμοὶ] σφοδροὶ a
13 ἐν τοῖς Μετεώροις] B 3 p. 358ᵃ31 ss. 14 πνέοντα C καὶ σφοδρότατα SC
15 καὶ δὴ] ἀλλ' C 17 τῆς om. C 18 δὲ C: τε Sa 22 γίνεσθαι] ποιεῖν C 24 ἱπτάμενοι C 27 μᾶλλον ᾄδ. C 28 τὸ] τῷ C ψυχραῖς C
29 τὰ om. S 31 δέονται C τῆς om. C γάρ εἰσι] ὄντα C
post τεττίγων add. διὸ καὶ C 32. 33 τὸ πτερὸν βομβοῦσι C 34 τὸ πτερὸν SC

ψυχροτέραις ὥραις καὶ αἱ μυῖαι καθήμεναι βομβοῦσιν, ἀμυδρῶς δὲ καὶ 169ᵛ
παντελῶς ἀναισθήτως διὰ τὸ ἠρέμα κινεῖν τὸ ὑπόζωμα. ἡ μὲν οὖν τῶν 10
λεγομένων πάντων διάνοια αὕτη, κατὰ δὲ τὰς λέξεις τὸ ἐν αὐτῷ γὰρ
τῷ ὑποζώματι τῷ ἐμφύτῳ πνεύματι αἴροντι καὶ συνίζοντι
5 τοιοῦτόν ἐστι· συμβαίνει κατὰ τὸν ὑμένα τὸν ἐν τῷ ὑποζώματι ὄντα γίνε- 15
σθαι τρῖψιν ὑπὸ τοῦ ἐμφύτου πνεύματος. ἐπεὶ γὰρ τὸ ἐν τῷ ὑποζώματι
ὂν ἔμφυτον πνεῦμα αἶρον καὶ συνίζον, ἤτοι ἀνοῖγον καὶ κλεῖον τὰ σχίσματα,
διὰ τοῦ ἐναπολαμβανομένου ἀέρος γίνεται τρῖψις πρὸς τὸν ὑμένα, δηλονότι
ὑπὸ τοῦ ἐμφύτου πνεύματος γίνεται τρῖψις. αὐτὸς δ' ἔοικε διὰ τῆς λέξεως
10 δηλοῦν, ὅτι αὐτὸ τὸ ἔμφυτον πνεῦμά ἐστι τὸ ψοφοῦν, καὶ οὐχὶ ὁ ἐναπο- 20
λαμβανόμενος διὰ τῶν σχισμάτων ἀήρ. ἔοικεν οὖν διὰ τῆς λέξεως λέγειν,
ὅτι τὸ ἔμφυτον πνεῦμά ἐστι τὸ ψοφοῦν ἐκτεινόμενον καὶ συστελλόμενον
(ἐν γὰρ τῇ ἐκτάσει προσπῖπτον τῷ ὑμένι ποιεῖ ψόφον), καὶ ἴσως εἴη ἂν καὶ
τοῦτο γινόμενον· ἐπεὶ δὲ τὰ ἀναπνέοντα δοκεῖ ὅτι τῇ τοῦ εἰσιόντος ἔξωθεν
15 ἀέρος εἰσόδῳ κινοῦσι τὸν θώρακα, ἵνα μή τις ὑπολάβῃ, ὅτι καὶ αἱ μυῖαι
καὶ τὰ ἄλλα πάντα διά τινος ἀέρος εἰσερχομένου διὰ τοῦ στόματος κινοῦσι
τὸν ὑπὸ τὸ ὑπόζωμα τόπον, ἐπήγαγε·

p. 475ᵃ11 Παραπλήσιον γὰρ συμβαίνει, κἂν εἴ τίς τινα τῶν ἀνα- 25
πνεόντων πνίγοι τὸ στόμα κατασχών.

20 Ὥσπερ γὰρ τὰ πνιγόμενα κινοῦσι τὸν θώρακα, καίτοι μὴ εἰσερχομένου 27
τότε ἔξωθεν ἀέρος, οὕτω καὶ ταῦτα κινήσουσι τῷ ἐμφύτῳ πνεύματι τὸν
ὑπὸ τὸ ὑπόζωμα τόπον, ἀλλ' οὐ διά τινος ἔξωθεν εἰσερχομένου. ὅτι δὲ ἐν
τοῖς καταπνιγομένοις ζῴοις, ἀνθρώποις ἢ ἄλλοις τισίν, οὐκ εἰσέρχεται
θύραθεν ἀήρ, δῆλον· κατέχουσι γὰρ οἱ καταπνίγοντες ταῖς σφῶν χερσὶ τὸ 40
25 στόμα καὶ τὰς ῥῖνας τῶν καταπνιγομένων καὶ οὐκ ἐῶσιν εἰσέρχεσθαι τὸν
ἀέρα. ἀλλὰ τοῖς μὲν καταπνιγομένοις καὶ ὅλως τοῖς ἀναπνέουσιν οὐκ ἐστιν
ἱκανὴ ἡ ἐκτὸς γινομένη τοῦ ἀέρος πρόσπτωσις εἰς τὸ καταψύχειν διὰ τὴν
τῆς σαρκὸς παχύτητα, καὶ ἐπὶ τούτῳ χρεία τοῦ εἰσελθεῖν αὐτὸν ἐντός·
τοῖς δ' ἐντόμοις ἱκανή. ἐν δὲ τοῖς τρυπήμασι τοῦ καλάμου οἱ μὲν αὐληταὶ
30 αὐλοῦντες τίθενται τοὺς δακτύλους, οἱ δὲ παῖδες ὑμένας λεπτούς· ἐν οἷς
ὑμέσι προσπῖπτον τὸ ἐμφυσώμενον πνεῦμα ποιεῖ τὸν ψόφον. καὶ τοῖς μὲν 45
ᾄδουσι τέττιξιν ἔσχισται τὸ ὑπόζωμα, τοῖς δὲ μὴ ᾄδουσιν οὐκ ἔσχισται.
εἰ γὰρ διὰ τὴν σχίσιν τὸ ᾄδειν, τὸ μὴ ᾄδειν διὰ τὸ μὴ ἐσχίσθαι. ὥστε
ἀξιῶ τὸν θειότατόν μου ἑταῖρον διὰ τῆς νῦν λέξεως μὴ ὑπονοεῖν ἐν τῇ
35 λέξει τῇ ἐν αὐτῷ γὰρ τῷ ὑποζώματι τῷ ἐμφύτῳ πνεύματι αἴροντι

---

3 διάνοια πάντων C τὸ om. C 5 ἐστι] τι δηλοῦται C 6 ἐπειδὴ C
7 post ἔμφυτον add. θερμὸν ἤτοι C 9 γίνεται ἡ τρίψις ante ὑπὸ C 12 ἐστι
τὸ ψοφοῦν om. C 13 γὰρ om. SC ποιεῖν C 13. 14 ἴσως ἂν τοῦτο C
15 ὑπολάβοι S 18 κἂν om. Arist. MZ τινι Arist. MZ 19 πνίγοι a:
πνίγον S: πνίγη C 21 κινοῦσι C 22 τινος] τοῦ a post δὲ add. καὶ C
24. 25 τὰς ῥῖνας καὶ τὸ στόμα S 28 τοῦ] ἔστι a εἰσελθεῖν ἐντὸς αὐτῶν S
31 ἔμφυτον C 32 οὐκ ἔσχισται δὲ τοῖς μὴ ᾄδουσιν C

καὶ συνίζοντι, ὅτι τὸ ἔμφυτον πνεῦμά ἐστι τὸ προσπῖπτον τῷ ὑμένι καὶ 169v
ψοφοῦν. διὰ τί γὰρ καὶ ἐν τοῖς μὴ ἔχουσι σχίσμα οὐ γίνεται ψόφος, 50
καίτοι τοῦ πνεύματος τοῦ ἐμφύτου προσπίπτοντος καὶ ἐν τούτοις πρὸς τὸ
ἀνάλογον τῷ ὑμένι; ἀλλ' ἴσως οὐ χρὴ καταψηφίζεσθαι ἀνδρὸς πολλοὺς
5 ἐπὶ φιλοσοφίᾳ πόνους καταβεβληκότος καὶ δυναμένου κάλλιον ἐμοῦ καὶ
ἄλλων τῶν ὑπὲρ ἐμὲ τῆς Ἀριστοτέλους διανοίας ἐφάπτεσθαι. δι' ὃ ἐχέτω
μὲν τὰ πρῶτα ἡ ἐκείνου ἐπιβολή, ἡ δὲ ἐμὴ τετάχθω ὅπου φίλον τοῖς
φιλομαθέσι.

Τὰ δ' ἑξῆς τοῦ Ἀριστοτέλους βασανιστέον. ἔχει δὲ ὁ πνεύμων |
10 τῶν ὀλιγαίμων ἄρσιν διὰ τὸ εἶναι πλήρης πνεύματος. τὸ δὲ αἷμα 170r
καὶ τὸ ὑγρὸν ἐκ παραλλήλου κεῖται. δύναται δὲ πολὺν χρόνον ἀπνευστὶ
ζῆν καὶ διαμένεν τὰ ὀλίγαιμον ἔχοντα τὸν πνεύμονα διὰ τὴν ψυχρότητα·
ψυχρὸς γὰρ ὢν διὰ τὴν ὀλιγαιμίαν οὐ δεῖται πολλῆς καὶ πυκνῆς τῆς κατα-
ψύξεως διά τε τοῦτο καὶ τὸ δύνασθαι πολὺν χρόνον τὸν εἰσελθόντα ἀέρα
15 διαφυλάττειν ψυχρόν· τὸ γὰρ ψυχρὸν εἰς ψυχρὸν εἰσελθὸν ψυχρὸν διατελεῖ. 5
λέγεται δὲ εἶναι ὁ τοιοῦτος πνεύμων ψυχρὸς ὡς πρὸς τοὺς λίαν θερμούς,
ἐπεὶ ἔχει καὶ οὗτος θερμότητα, ἀλλ' ἧττον· τὸ δ' ἧττον μίξει τοῦ ἐναντίου
ἐστὶν ἧττον. οὐ δύναται δὲ τέλος, τουτέστι διὰ τέλους καὶ ὅλης τῆς
αὐτῶν ζωῆς, ζῆν ἀπνευστί, ἀλλ' ἄχρι τινός· οὐ γάρ ἐστι τέλεον ὁ τοιοῦτος
20 πνεύμων ψυχρός, ἵν' ὅλως μὴ δεῖται τῆς θύραθεν καταψύξεως, ἀλλὰ πῇ.

p. 475a31 Ἐν γὰρ τοῖς ὑγροῖς πολὺν χρόνον ἀνανήχεται, ἂν μὴ 10
λίαν ᾖ ψυχρὸν ἢ θερμόν.

Ἐπειδὴ τοῖς ἀναπνέουσι τὸ ζῆν τε καὶ εἶναί ἐστιν ἐν τῷ τὸν ἀέρα
δέχεσθαι, εἴπερ καὶ τὰ ἔντομα ἀνέπνει, οὐκ ἂν ἔζη χωρὶς τοῦ δέχεσθαι
25 ἀέρα. ζῶσι δέ· ἢν γάρ τις αὐτὰ βαπτίσῃ καθ' ὕδατος, μένει πολὺν χρόνον
ζῶντα, ὅσον οὐ δύναταί τι τῶν ἀναπνεόντων ἐμμεῖναι. καὶ δῆλον ὅτι οὐκ
ἀναπνέουσιν· οὐ γάρ ἐστιν ἐν τῷ τοῦ ὕδατος βάθει ἀήρ, ἵνα ἀναπνῇ. εἰ
δὲ λέγει τις, ὅτι ζῇ διὰ τὴν ἀπὸ τοῦ ὕδατος κατάψυξιν, πρῶτον μὲν ἐρω- 15
τητέον αὐτόν, πότερον διὰ τοῦ στόματος εἰσέρχεται τὸ ὕδωρ καὶ κατα-
30 ψύχει ἢ ἐκτὸς ὂν τῇ ἁφῇ τὴν κατάψυξιν ποιεῖ. εἰ μὲν οὖν εἰσιόν, πῶς
οὐ πνίγεται; εἰ δ' οὐκ εἰσιόν, ἀλλ' ἐκτὸς καὶ ἁπτόμενον, πάλιν οὐκ ἀνα-
πνεῖ. φθείρονται δὲ ὑπὸ τῶν λίαν [ὑγρῶν] θερμῶν ἢ ψυχρῶν διὰ τὸ μαραίνε
σθαι τὸ ἔμφυτον θερμὸν τῇ ὑπερβολῇ τῆς θερμότητος ἢ σβέννυσθαι τῇ

---

3 τοῦ ἐμφύτου πνεύματος C 4 post πολλοὺς add. μὲν a 6 post τῆς add. τοῦ C 7 ἡ δὲ—φιλομαθέσι (8) om. C 8 φιλομαθοῦσι S 10 πνεῦμα Arist. MZ 12 ζῆν καὶ om. SC 13 πολλάκις C 16 εἶναι post πνεύμων C θερμούς a, e corr. S: ψυχρούς C, prius S 17 ἀλλ' ἥττων C 18 τελείως C (τελέως Arist. Z) 18. 19 ὅλων τῶν αὐτῶν ζώων C 20 δέηται conicio πῇ SC: πως a, tum τὰ δ' ἑξῆς σαφῆ add. C 21 ἀνανήχεται πολὺν χρόνον, ἐὰν C ἀνέχεται Arist. MZ 23 ἐπεὶ C 24 ἀναπνεῖ C 26 ante ζῶντα add. ὄντα C 30 ὄν] ὢν S οὖν C: om. Sa 32 ὑγρῶν delevi, v. Arist. post ψυχρῶν add. ὄντων C

ὑπερβολῇ τῆς ψυχρότητος. τὸ δὲ 'ἐν γὰρ τοῖς μικρὰν ἔχουσι δύναμιν, 170ʳ
πυκνότερον ζητεῖ ἀναπνεῖν' τοιοῦτον ἂν εἴη· τὰ μικρὰν ἔχοντα 25
δύναμιν τοῦ συνίστασθαι καὶ ζῆν χωρὶς τοῦ ἀναπνεῖν πυκνότερον ζητεῖ
ἀναπνεῖν. ἀδυναμία γάρ ἐστι καὶ τὸ μὴ δύνασθαι ἐπὶ πολὺ ζῆν ἀπνευστί,
5 ὥσπερ πάλιν δύναμις τὸ δύνασθαι. εἰ δὴ τῶν ἀναπνεόντων φθαρτικόν ἐστι
τὸ μὴ ἀναπνεῖν, εἴπερ ἀνέπνεον αἱ μυῖαι, ἐν τῷ ὕδατι οὖσαι καὶ μὴ ἀνα-
πνέουσαι ταχὺ ἂν ἐφθείροντο· οὐ γάρ εἰσιν οὕτως ἰσχυραί, ὥστε δύνασθαι
ἐπὶ πολὺ φέρειν τὴν τοῦ φθαρτικοῦ παρουσίαν, ἀλλὰ πάμπαν ἀσθενεῖς.
καίτοι δὲ πολὺν μένουσαι χρόνον ἐν τῷ ὕδατι ὅμως οὐ ζῶσι διὰ τέλους· 30
10 πληρουμένης γὰρ τῆς κοιλίας καὶ φθειρομένου τῇ πληρώσει τοῦ ἐν τῷ
ὑποζώματι ὑγροῦ, τουτέστι τοῦ ἐμφύτου θερμοῦ (ὑγρὸν γάρ ἐστι τὸ
ἔμφυτον θερμόν), φθείρονται. φθείρεται γὰρ καὶ ὑπὸ τοῦ ὁμοίου τὸ ὅμοιον,
ὡς πολλάκις εἴρηται, ὅταν ᾖ τὸ μὲν πολύ, θάτερον δὲ ὀλίγον. ἂν δέ τις
αὐτὰς εἰς τέφραν κατορύξειεν μετρίως οὖσαν θερμὴν καὶ χρονίσωσιν ἐν
15 αὐτῇ, ἀνίστανται· ἀπατμισθὲν γὰρ τῇ τῆς τέφρας θερμότητι τὸ ἀλλότριον
ὑγρόν, ἀνίστανται. μικρᾶς γὰρ· τὰ τοιαῦτα τῶν ζῴων τυχόντα βοηθείας 35
ἀνίστανται· καὶ γὰρ οἱ τῆς γῆς ἀθρόον σκώληκες ἐξάγονται θερμανθείσης
ὑπὸ τοῦ ἡλίου. ὅτι δὲ καὶ τὰ ἔνυδρα ἄναιμα τῶν ἐνύδρων ἐναίμων πλείονα
χρόνον ἐκτὸς ζῇ, σαφῶς ἐκτίθεται.

20 Τὸ δὲ οὐ μὴν εἰς τέλος γε διαρκεῖ πρὸς τὸ ζῆν διὰ τὸ ὀλι- 38
γόθερμα εἶναι τοιοῦτόν ἐστι· | πρὸς μὲν τὸ ζῆν ἄχρι τινὸς ἐν τῷ 170ᵛ
ἀέρι ἱκανή ἐστιν ἡ ὀλιγοθερμία αὐτῶν (χορηγεῖ γὰρ αὐτοῖς δύναμίν τινα), 21
διὰ τέλους δ' οὐχ ἱκανή. ἀλλὰ καὶ τὸ εὑρίσκονται ὀρυττόμενοι τοι-
οῦτον ἄν, οἶμαι, εἴη· ἄν τις ἐν τῇ γῇ καταχώσειεν ἰχθῦς ζῶντας, εἶτα
25 διορύξειεν, εὕροι ἂν αὐτοὺς ζῶντας.

Τὰ δ' ἑξῆς δῆλα. ζωοτοκοῦσι δὲ ἐν ἑαυτοῖς ἄνθρωποι, ἵπποι, θύρα-
θεν δὲ τὰ σελάχη· καίτοι καὶ αὐτὰ ἐν ἑαυτοῖς ζωοτοκεῖ· ἀλλ' οὖν αὐτὰ 25
πρότερον ἐν ἑαυτοῖς ᾠοτοκήσαντα οὕτω ζωοτοκεῖ, καὶ ἅμα τῷ ζωωθῆναι
τὸ ᾠὸν εὐθὺς πίπτει θύραζε. καὶ ἐκεῖνα μέν, φησὶ τὰ ζωοτοκοῦντα
30 ἐν ἑαυτοῖς, ἔναιμον ἔχει τὸν πνεύμονα, τὰ δὲ ᾠοτοκοῦντα σομφόν· δι'
ἣν σομφότητα καὶ χρῆται τῇ ἀναπνοῇ μανότερον, τουτέστι βραδύτερον
καὶ ὡς εἰπεῖν χαυνότερον, ἀλλ' οὐ σφοδρότερον ὥσπερ τὰ ἄλλα. χρῶνται
δέ, φησί, τῇ ἀναπνοῇ καὶ αἱ χελῶναι καὶ αἱ ὕδραι, ὑπερέχοντα, τουτ-

---

1 ἐν—ἔχουσι SC (ἐν γὰρ τοῖς ex Arist. p. 474ᵃ31?): καίτοι τὰ μικρὰ ἔχοντα cum Arist. a, qui haec et proxima usque ad p. 475ᵇ10 in lemmate ponit 2 ante τοιοῦτον e v. 4 ἀδυναμία—ἀπνευστί rep. C 3 τοῦ συνίστ.—ἀναπνεῖν e Michaele add. Arist. P 7 ταχὺ a: τάχιον SC ἰσχυρὰ C 9 δὲ om. C χρόνον μένουσαι C 10 πνιγομένης Arist. MSZ 11 ὑγροῦ] θερμοῦ Arist. MZ ἐστι om. C 12 καὶ SC: om. a 13 πολλάκις εἴρηται] v. Bonitz, Ind. p. 511ᵃ39 14 αὐτὰ a 20 τὸ δὲ et (21) τοιοῦτόν ἐστι om., lemma posuit a ζῆν διὰ τὸ om. Arist. MZ 22 ἡ om. S 23 ὀρυττόμενα C 25 ὀρύξειεν SC 26 αὐτοῖς C ἵπποι om. S

27 σελάχια C αὐτοῖς C 28 ᾠοτοκήσαντες S 28. 29 μέμνηται θεόφ ἐν τῷ περὶ ἰχθύων in mg. S 31 μανώτερον a: μανώδει C 33 καὶ (post ἀναπνοῇ) om. C ὑπερανέχοντα C

ἐστιν ἔχοντα τὸ στόμα ἄνωθεν τῆς τοῦ ὕδατος ἐπιφανείας, ἵνα ἀναπνῇ. 170v
τὸ δὲ καὶ τίκτειν ἐν τῷ ξηρῷ ἢ ἐν τῷ ὑγρῷ ἴσον ἐστὶ τῷ 'καὶ ἐν τῷ 30
ξηρῷ καὶ ἐν τῷ ὑγρῷ'. ἃ δέ, φησίν, ἔχουσιν οἱ ἰχθύες, οὐκ εἰσὶ πόδες,
ἀλλ' ἔχουσιν ὁμοιότητα καὶ ἀναλογίαν ταῖς τῶν πτηνῶν πτέρυξιν. ἐπεὶ
5 δ' ὁ μὲν πνεύμων ἐστὶ διὰ τὸ δέχεσθαι τὸ πνεῦμα, ὥσπερ τὰ βράγχια
διὰ τὸ τὸ ὕδωρ, οὐδὲν δὲ ἅμα ἀναπνεῖ καὶ δέχεται τὸ ὕδωρ, εἰκότως
οὐδὲν ἐστιν ἔχον ἅμα βράγχια καὶ πνεύμονα. τοῦτο δὲ ταὐτόν ἐστι τῷ
'οὐδέν ἐστιν ἔχον πνεύμονα καὶ δεχόμενον ὕδωρ', εἰ καὶ ἐπὶ τοῦ δελφῖνος
τοῦτο δοκεῖ· ἔχων γὰρ πνεύμονα δοκεῖ δέχεσθαι καὶ ὕδωρ, ὅπερ μετ' ὀλίγον 35
10 δειχθήσεται ψεῦδος.

Τὰ δ' ἑξῆς σαφέστατα. πρὸς δὲ τὸ 'μὴ κωλύεσθαι τὴν τροφὴν ὑπὸ
τοῦ πνεύματος μεμηχάνηκεν ἡ φύσις καὶ τοῖς ἀναπνέουσι καὶ τοῖς δεχο-
μένοις τὸ ὑγρὸν γίνεσθαι τὰς καταπόσεις μήτε ἐν τῇ εἰσπνοῇ μήτε ἐν τῇ
ἐκπνοῇ. ἐν μὲν γὰρ τῇ εἰσπνοῇ, ἐπειδὴ αἴρεται ἀπὸ τῆς ἀρτηρίας ἡ ἐπι-
15 γλωττίς, εἴπερ ἐγίνετο ἡ κατάποσις, εἰσήρχετο ἂν ἡ τροφὴ ἐν τῇ ἀρτηρίᾳ
καὶ ἐπνίγετο τὸ ζῷον. ὁμοίως δὲ καὶ ἐν τῇ ἐκπνοῇ· καὶ γὰρ καὶ τότε 40
ἠρμένη ἐστὶν ἡ ἐπιγλωττίς. οὔτε οὖν ἐν τῇ εἰσπνοῇ οὔτε ἐν τῇ ἐκπνοῇ
γίνεται ἡ κατάποσις, ἀλλ' ἐν τῷ μεταξύ, ὅτε κατέχομεν τὸ πνεῦμα, δι'
ἃς αὐτὸς ἐκτίθεται σαφῶς αἰτίας. δι' ἣν δ' αἰτίαν οὐκ ἔχουσιν οἱ ὄρνιθες
20 ἐπιγλωττίδα, εἴρηται ἐν τῇ Περὶ ζῴων μορίων πραγματείᾳ· εἶπε γὰρ ἐν
ἐκείνοις ὅτι διὰ τὴν τοῦ δέρματος σκληρότητα, δεῖ δὲ ἁπαλὴν εἶναι τὴν
ἐπιγλωττίδα, ἵνα τάχιον κινῆται. οἱ δὲ ἰχθύες ἅμα καὶ ἐν τῷ αὐτῷ χρόνῳ
τό τε ὕδωρ ἐκπέμπουσι διὰ τῶν βραγχίων καὶ τὴν τροφὴν δέχονται διὰ 45
τοῦ στόματος.

25 p. 476b7 Ἀρτηρίαν μὲν γὰρ οὐκ ἔχουσιν, ὥστε ταύτῃ μὲν οὐδὲν ἂν βλάπτοιντο.

Εἰπὼν ὅτι ἅμα τε τὸ ὑγρὸν διὰ τῶν βραγχίων πέμπουσι καὶ τὴν τρο- 50
φὴν διὰ τοῦ στόματος δέχονται, τὴν αἰτίαν, δι' ἣν ἅμα γίνεται ἥ τε τοῦ
ὕδατος ἄφεσις καὶ ἡ τῆς τροφῆς εἴσοδος, διὰ τούτων τίθησιν. ἔστι δὲ τὸ
30 λεγόμενον δυνάμει τοιοῦτον· εἰ γὰρ ἐδέχοντο τὴν τροφὴν μετὰ τοῦ ὕδατος,
ἐπνίγοντο ἄν. καὶ ἐπεὶ ἀρτηρίαν οὐκ ἔχουσι, τὴν ἀπὸ τῆς ἀρτηρίας βλά-
βην, ἥτις γίνεται ἐμπιπτούσης εἰς αὐτὴν τῆς τροφῆς, ἐκφεύγουσι. τὴν δὲ
γενομένην ἂν ἀπὸ τῆς κοιλίας, εἰσελθόντος ἐν αὐτῇ τοῦ ὕδατος, οὐκ ἂν 55
ἐξέφυγον· εἰσήρχετο δ' ἂν ἐν ταύτῃ τὸ ὕδωρ, εἰ μὴ ἠφίετο ἐν τῇ κατα-
35 πόσει ἔξω διὰ τῶν βραγ|χίων. τοὺς δὲ ὀδόντας ἔχουσιν ὀξεῖς, ὅπως 171r

---

1 ἔχουσαι C τὸ στόμα in Arist. textu cum MZ om., ut vid. 2 cum Arist. S καὶ καθ'—ξηρῷ om. 5 μὲν om. S 6 post διὰ τὸ add. δέχεσθαι C οὐδὲν—ὕδωρ C: om. Sa 7 ἅμα—ἔχον (8) om. C 8 δεχόμενα a 13 ὕδωρ C 17 ἐστὶν om. SC post ἐπιγλωττὶς add. τυγχάνει C 20 Περὶ ζῴων μορίων] Γ 3 p. 664b36 22 κινεῖται C 25 γὰρ a: om. SC οὐθὲν C (Arist.) 26 ἂν om. C 34 ἐξέφυγεν C αὐτῇ SC

κατακερματίζωσι ταχέως τὴν τροφήν. περὶ οὗ ἐπὶ πλέον εἴρηται ἐν τοῖς 171r
Περὶ ζῴων μορίων.

p. 476ᵇ13 Περὶ δὲ τὰ κητώδη τῶν ἐνύδρων ἀπορήσειεν ἄν τις.

Εἰπὼν ὅτι οὐδέν ἐστι ζῷον ἔχον ἅμα πνεύμονα καὶ βράγχια, ὅπερ 20
5 ταὐτὸν εἶναι ἐλέγομεν τῷ ἔχειν πνεύμονα καὶ δέχεσθαι τὸ ὑγρόν, ἐπειδὴ ἐπί τινων δοκεῖ γίνεσθαι, οὐκ ἀληθῶς δὲ δοκεῖ, ἐπάγει· ἀπορήσειεν ἄν τις καὶ τίθησι σαφῶς τὴν ἀπορίαν. τὸ δὲ ἔχει γὰρ κἀκεῖ κατὰ λόγον ἴσον ἐστὶ τῷ 'εἰ δειχθείη, ὅτι τὸ ὕδωρ οὐ δέχονται διὰ κατάψυξιν, ἀλλὰ δι' ἄλλο τι, κατὰ λόγον ἂν ἔχοι καὶ ἐπὶ τούτων τὸ γινόμενον'. ἐν δὲ τῇ
10 λέξει τὸ αἴτιον δὲ τούτου τὸ νῦν εἰρημένον ἀντὶ τοῦ ,τὸ νῦν ῥηθησόμενον'. ὁμοίως δὲ καὶ τὸ ὑπερέχοντα καὶ νῦν ταὐτόν ἐστι τῷ ἄνωθεν 25
τῆς τοῦ ὕδατος ἐπιφανείας τὸ στόμα ἔχοντα. λέγει δὲ καὶ ὅτι, ἂν ὦσι τὰ δίκτυα ἐν τῷ τῆς θαλάττης βυθῷ καὶ ληφθῇ ἐν αὐτοῖς δελφὶς ἢ ἄλλο τι τῶν ἀναπνεόντων, πνίγεται. διὰ τί; ὅτι οὐκ ἐστιν ἐκεῖ ἀήρ, ἵνα ἀναπνέωσιν.
15 εἰπὼν δὲ ὅτι οὐ καταψύξεως ἕνεκα δέχονται τὸ ὑγρόν, τοῦ ὅλως τέως δέχεσθαι τὴν αἰτίαν ἐπάγει λέγων· ἐπειδὴ γὰρ τρέφονται ἐν τῷ ὑγρῷ, ἀναγκαῖον ἐν τῇ τροφῇ εἰσέρχεσθαι ὕδωρ, ἀλλ' οὐ χάριν καταψύξεως. διὸ 30
καὶ ἔχουσι τὸν καλούμενον αὐλόν, καὶ διὰ μὲν τοῦ αὐλοῦ ἐξέρχεται ἐκτὸς τὸ ὕδωρ, ὥσπερ διὰ τῶν βραγχίων τοῖς ἔχουσι βράγχια, διὰ δὲ τοῦ πρὸς
20 τὴν κοιλίαν πόρου ἀπέρχεται ἡ τροφὴ πρὸς αὐτήν. ἀνασπᾷ οὖν, τουτέστιν ἕλκει καὶ ἐξάγει, τὸ ὕδωρ διὰ τοῦ αὐλοῦ, ὥσπερ οἱ ἰχθύες κατὰ τὰ βράγχια, τουτέστι διὰ τῶν βραγχίων. σημεῖον δέ, φησί, τοῦ μὴ χάριν καταψύξεως δέχεσθαι τὸ ὕδωρ καὶ ἡ θέσις τοῦ αὐλοῦ, δι' οὗ ἀνασπῶσι τὸ ὕδωρ· οὐ γὰρ τείνει καὶ περαίνει πρός τι τῶν σπλάγχνων (τὰ γὰρ σπλάγ- 35
25 χνα εἶπεν ἔναιμα), οἷον πρὸς τὸν πνεύμονα ἢ τὴν καρδίαν. ἐπειδὴ γὰρ χάριν τούτων γίνεται ἡ κατάψυξις, ἔδει, εἴπερ τὸ ὕδωρ διὰ κατάψυξιν ἐδέχοντο, τὸν αὐλὸν τὸν τὸ ὕδωρ ἀνασπῶντα περαίνειν πρὸς τὸν πνεύμονα ἢ τὴν καρδίαν. οὐ περαίνει δέ, ἀλλὰ τὴν θέσιν ἔχει πρὸ τοῦ ἐγκεφάλου· ἔμπροσθεν γὰρ αὐτοῦ κεῖται. πῶς δὲ κεῖται, εἴρηται ἐν ταῖς Περὶ
30 ζῴων ἱστορίαις, καὶ ἐν τῇ Περὶ ζῴων μορίων. ὁμοίως δὲ τούτοις καὶ διὰ ταύτην τὴν αἰτίαν καὶ τὰ μαλάκια δέχονται τὸ ὑγρὸν ἐν τῷ αὐλῷ, ἀλλ' 40
οὐ χάριν καταψύξεως. δι' οὗ αὐλοῦ ἐκπέμπουσι καὶ αὐτὰ τὸ ὕδωρ ἔξω. ἀφιᾶσι δὲ τὸ ὕδωρ καὶ οἱ κάραβοι διὰ τῶν ἐπιπυγμάτων, ὥσπερ πόρων

---

1 τοῖς a: τῷ S: τῇ C 2 Περὶ ζῴων μορίων] Γ 14 p. 675ᵃ5 3 τῶν] τὰ S
5 ταυτὸν ἦν εἰ ἔλεγε C ἐλέγομεν] p. 133,8 7 γὰρ] δὲ Arist. praeter S κἀκεῖνα Arist. MSZ 8 ἐστὶ om. C 10 prius τὸ scripsi (vel post εἰρ. add. τὸ νῦν εἰρημένον): τῇ libri 10. 11 ῥηθησόμενον Arist. P, cf. ad p. 132,3 11 τὸ corr. in τὰ S καὶ νῦν] cf. p. 133,1 12 καὶ om. C εἰσὶ C 13 ἐν—βυθῷ] ἐπὶ τῶν βυθῶν C δελφὶν C τι om. C 14 διὰ τὸ μὴ εἶναι ἐκεῖσε ἀέρα, ἵνα C ἀὴρ ἐκεῖ S 15 ὅτι] ὡς C 17 ἐν] σὺν C οὐ] ἐπεὶ μὴ C
17. 18 διὸ καὶ om. C 20 αὐτήν] τὴν κοιλίαν C 29 εἴρηται post ἱστορίαις a
29. 30 Περὶ ζῴων ἱστορίαις] Θ 2 p. 589ᵇ2 30 Περὶ ζῴων μορίων] Δ 13 p. 697ᵃ17
32 αὐτὸ τὸ ὑγρὸν C 33 ἐπιπτυγμάτων Arist. libri praeter S

τῶν τοιούτων ὄντων ἐπιπυγμάτων καὶ τελευτώντων παρὰ τὰ δασέα, τὰ 171ʳ
ἐοικότα πτεροῖς. πῶς δὲ ἔχουσι θέσεως, θεωρείσθω ἐκ τῶν ἀνατομῶν καὶ
τῶν Περὶ τὰ ζῷα ἱστοριῶν. αἱ δὲ σηπίαι ἀφιᾶσι τὸ ὕδωρ διὰ τοῦ κοίλου
τοῦ ὄντος ἄνωθεν τῆς καλουμένης κεφαλῆς.

p. 477ᵃ7 Περὶ μὲν οὖν τοῦ δέχεσθαι τὸ ὑγρόν, εἴρηται ὅτι συμ- 45
βαίνει διὰ κατάψυξιν.

Ἀσαφῶς ἐπῆκται διὰ βραχυλογίαν, εἴη δ' ἂν τὸ λεγόμενον τοιοῦτον· περὶ μὲν οὖν τοῦ δέχεσθαι τὸ ὑγρόν, εἴρηται ὅτι τινὰ μὲν δέχονται διὰ 50 κατάψυξιν, τινὰ δὲ οἷον δελφῖνες, σηπίαι, τὰ ὅμοια οὐ διὰ κατάψυξιν, ἀλλὰ διὰ τὸ τὴν τροφὴν δέχεσθαι ἐν ὑγρῷ ἀνάγκη συνεισέρχεσθαι αὐτῇ ὑγρόν.

p. 477ᵃ14 Διὰ τί δὲ τοῦτο τὸ μόριον ἔχουσιν ἔνια, καὶ διὰ τί τὰ ἔχοντα δεῖται τῆς ἀναπνοῆς; |

Ἐντεῦθεν ἡ αἰτία παραδίδοται, δι' ἣν ἔχουσι πνεύμονα τὰ ἔχοντα, 171ᵛ
καί φησιν, ὅτι τὰ τιμιώτερα τῶν ζῴων πλείονος τετύχηκε θερμό- 7
τητος, τὰ δὲ πλείονος τετυχηκότα θερμότητος πλείονος δεῖται καταψύξεως, τὰ δὲ πλείονος δεόμενα καταψύξεως δεῖ διά τινος ὀργάνου εἰσάγειν ἐντὸς τὸ δυνάμενον καταψύχειν. πῶς δ' ἕλκει ὁ πνεύμων ἐντὸς πνεῦμα, καὶ πῶς διὰ τῶν βραγχίων γίνεται ἡ κατάψυξις, ἐρεῖ πρὸς τῷ τέλει τοῦ βιβλίου. 10 ἐρεῖ δὲ καὶ διὰ τί οὐ τὸ ὕδωρ τὰ ἔχοντα πνεύμονα σπῶσι μᾶλλον πρὸς κατάψυξιν, ἀλλὰ τὸν ἀέρα. ἐπεὶ δ' ἐν τῷ περὶ τὴν καρδίαν θερμῷ ἐμπεπύρευται ἡ ψυχὴ καὶ εἶδος αὐτῆς ἐστιν, ἀναγκαῖον, ὅσῳ ἂν εἴη τινὰ τινῶν τιμιώτερα, τοσούτῳ καὶ θερμότερα εἶναι. εἰ χρὴ γὰρ τὸ ἀληθὲς εἰπεῖν, ἡ ψυχὴ τὸ τοιόνδε ἐκ τῆς τοιᾶσδε τῶν κεκραμένων ἀποτελούμενον ἐν αὐτῇ εἶδος. εἴρηται δὲ περὶ αὐτῶν πολλὰ καὶ κάλλιστα Ἀλεξάνδρῳ τῷ Ἀφρο- 25 δισιεῖ ἐν τῷ Περὶ ψυχῆς αὐτοῦ βιβλίῳ, οὗ ἡ ἀρχὴ ἔχει οὕτως· "ἡ μὲν 15 πρόθεσις ἡμῖν περὶ ψυχῆς εἰπεῖν τῆς ἐν γενέσει τε καὶ φθορᾷ σώματος, τίς τέ ἐστι αὐτῆς ἡ οὐσία, καὶ τίνες αἱ δυνάμεις καὶ πόσαι, καὶ τίς αὐτῶν ἡ πρὸς ἀλλήλας διαφορά". καὶ ὁ πολυμαθέστατος Γαληνὸς ἐν τῷ βιβλιδαρίῳ, ἐν ᾧ δείκνυσιν ὅτι ἕπονται ταῖς τοῦ σώματος κράσεσιν αἱ τῆς ψυχῆς δυνάμεις, τὰ αὐτὰ τούτῳ διατάττεται. εἰσὶν οὖν τὰ τιμιώτερα καὶ θερμότερα, ὡς ἐπὶ τὸ πολὺ βλέψαντας εἰπεῖν, πάντων τῶν ἀτιμοτέρων. εἰ δέ 20

---

1 ὄντων τῶν τοιούτων S παρὰ S: περὶ C: πρὸς a 2 ἐκ τῶν ἀνατομῶν] v. ad p. 106,9 3 τῶν περὶ τὰ ζῷα ἱστοριῶν] Δ 2 p. 526ᵇ29 περὶ ζώων C 4 τοῦ καλουμένου C 5 οὖν om. C 7 post ἀσαφῶς add. δὲ C 8 δέχεται C 10 αὐτοῖς C 11 ἔχοντα καὶ C τὰ om. Arist. MSZ 13 παραδίδοται C 14 τιμιώτατα C 15 τῆς θερμ. Arist. L 16 δεῖται C 18 cf. c. 21 19 μᾶλλον om. SC 23 ἀποτελούμενον τῶν κεκραμένων C κράσεως vid. add. cf. p. 138,26 24 τούτων C 24. 25 ἀφροδισεῖ S 25 Περὶ ψυχῆς] p. 1,2 Bruns 26 εἰπεῖν om. C τῆς] τῆς ⟨τοῦ⟩ in Alex. Diels 29 τοῦ σώματος om. C 31 βλέψαντας scripsi (cf. v. p. 136,26): βλέψαντες libri πάντων om. C τῶν om. C

τινα ζῷα θερμότερα εὐηθέστερά εἰσιν ἐνίων ἧττον ὄντων θερμῶν, εἰδέναι 171v
δεῖ ὅτι τῆς φρονήσεως αἴτιον οὔκ ἐστιν ἁπλῶς τὸ θερμὸν ἢ ψυχρόν, ἀλλὰ
τὸ θερμὸν μετὰ τοῦ καθαροῦ. ὥστε ἐν τῇ λέξει τῇ 'ὅσῳ τιμιώτερα, τοσούτῳ
θερμότερα' προσυπακούειν δεῖ τοῦ 'καὶ καθαρώτερα', ἵν' ἡ ἀντιστρέφων ὁ
5 λόγος οὕτως· ὅσῳ τιμιώτερα, τοσούτῳ θερμότερον καὶ καθαρώτερον ἔχουσι
τὸ αἷμα, καὶ ὅσῳ θερμότερον καὶ καθαρώτερον ἔχουσι τὸ αἷμα, τοσούτῳ
εἰσὶ τιμιώτερα. ὅτι δὲ οὐ τὸ θερμὸν ἁπλῶς ἐστιν αἴτιον τοῦ εἶναι φρονι- 25
μώτερα καὶ τιμιώτερα, ἄκουσον τί φησιν ἐν τῇ Περὶ ζῴων μορίων πρα-
γματείᾳ· "πολλῶν δ' ἐστὶν αἰτία ἡ τοῦ αἵματος φύσις καὶ κατὰ τὸ ἦθος
10 τοῦ ζῴου καὶ κατὰ τὴν αἴσθησιν εὐλόγως· ὕλη γάρ ἐστι παντὸς τοῦ σώματος·
ἡ γὰρ τροφὴ ὕλη, τὸ δ' αἷμα ἡ ἐσχάτη τροφή. πολλὴν οὖν ποιεῖ δια-
φορὰν θερμὸν ὂν καὶ ψυχρὸν καὶ λεπτὸν καὶ παχὺ καὶ θολερὸν καὶ καθα-
ρόν". εἶτα ἐπάγει· "συμβαίνει δ' ἔνια καὶ γλαφυρωτέραν ἔχειν τὴν διά-
νοιαν τῶν τοιούτων", δηλονότι τῶν ἐχόντων γεῶδες καὶ θερμὸν τὸ αἷμα,
15 "οὐ διὰ τὴν ψυχρότητα τοῦ αἵματος, ἀλλὰ διὰ τὴν λεπτότητα μᾶλλον 30
καὶ διὰ τὸ καθαρὸν εἶναι· τὸ γὰρ γεῶδες οὐδέτερον ἔχει τούτων· εὐκινη-
τοτέραν γὰρ ἔχουσι τὴν αἴσθησιν τὰ λεπτοτέραν ἔχοντα τὴν ὑγρότητα".

Εἶτα περὶ ἀνθρώπου λέγων φησί· πάντων δὲ φρονιμώτατον ὁ ἄνθρωπος
διὰ τὸ λεπτότατον καὶ καθαρώτατον καὶ θερμότατον ἔχειν τὸ περὶ τὴν καρ-
20 δίαν αἷμα. ὥστε δηλονότι τὰ ἔχοντα τὸ αἷμα θερμότατον καὶ καθαρώτατον
καὶ δηλονότι λεπτότατον (τὸ γὰρ καθαρὸν λεπτὸν καὶ τὸ λεπτὸν καθαρὸν) 35
φρονιμώτερα καὶ τιμιώτερα ἔσται τῶν ἐχόντων θερμὸν καὶ παχύ, καὶ ταῦτα
πάλιν τῶν ἐχόντων ψυχρὸν καὶ παχύ. εἰσὶν οὖν τὰ τιμιώτερα τῶν ζῴων
θερμότερα καὶ καθαρώτερα καὶ μείζονα ἁπλῶς πάντων τῶν ἀτιμοτέρων,
25 πρὸς ἑαυτὰ δὲ ἄλλα ἄλλων μείζονα καὶ ἐλάττονα. τὰ δ' ἔχοντα μάλιστα
ἔναιμον τὸν πνεύμονα μείζονά εἰσιν, ὡς ἐπὶ τὸ πολὺ βλέψαντας εἰπεῖν, τῶν
μὴ ἐχόντων τοιοῦτον. καὶ ταῦτα μὲν ταύτῃ διωρίσθω, τὸ δὲ τιμιώτερα
γὰρ ταῦτα τῆς φύσεως τῆς τῶν ζῴων οὐδεμίαν, ὡς οἶμαι, ἔχει 40
ἀκολουθίαν πρὸς τὰ εἰρημένα, ἀλλ' ἔοικε γραφικὸν εἶναι σφάλμα. ἐν δὲ
30 τῇ λέξει τῇ διὰ τὸ τοιοῦτον ἔχειν τοῦτο τὸ μόριον τοῦτο τὸ μόριον

---

2 ὅτι] ὡς C 3 τιμιώτερον C 4 θερμότερον C προσυπακουστέον τὸ καὶ καθαρώτερον C καὶ] ἡ S καθαρωτέρου S 5 τιμιώτερα a 6 καὶ ὅσῳ—αἷμα om. C 7 ὅτι—τιμιώτερα (8) om. C 7. 8 φρονιμώτερον καὶ τιμιώτερον S 8 post ἄκουσον add. δὲ C Περὶ ζῴων μορίων] B 4 p. 651a12 9 δ' ἐστὶν αἰτία C (Arist.): δ' αἰτία ἐστὶν Sa 10 τοῖς ζῴοις Arist. κατὰ C Arist.: om. Sa αἵματος SC 13 εἶτα—δ' om. C ἐπάγει] immo p. 650b18 καὶ ἔνια C: ἔνιά γε καὶ Arist. γλαφυρότερον ἔχει C 16 διὰ om. C οὐδέτερον C (Arist.): οὐδὲν Sa 17 λεπτοτάτην C 19. 20 αἷμα περὶ τὴν καρδίαν C 20 τὰ τὸ πρὶν τὴν καρδίαν ἔχοντα αἷμα C 21 δηλονότι om. C post λεπτότατον add. πάντως αὐτὸ ἔχει C 22 φρονιμώτερον καὶ τιμιώτερον S καὶ ταῦτα—παχύ (23) om. C 26 βλέψαντες Sa 27 τοιούτων S ταύτῃ] ταῦτα C 28 ταῦτα] τὰ τοιαῦτα Arist. LP τῆς (ante τῶν) om. C ζῴων] φυτῶν Arist. ὡς οἶμαι post ἀκολουθίαν C 30 alt. τοῦτο τὸ μόριον om. S alt. τὸ μόριον om. C

τὸν πνεύμονά φησιν. ἔχων γὰρ ὁ ἄνθρωπος τὸν περὶ τὴν καρδίαν καὶ 171v
τὸν πνεύμονα τόπον θερμότατον καὶ ἐναιμότατον, ἀνάγκη ἐστὶν αὐτὸν ὀρθὸν
εἶναι· ἡ γὰρ τοῦ θερμοῦ δύναμις ἐνισχύουσα ποιεῖ τὴν αὔξησιν ἀπὸ τοῦ
μέσου κατὰ τὴν αὐτῆς φοράν. φέρεται δὲ ἄνω· ὥστε τὸν πνεύμονα τῆς
5 οὐσίας καὶ τοῦ εἶναι καὶ ὕπαρξιν ἔχειν αἴτιον θετέον καὶ τῷ ἀνθρώπῳ καὶ 45
τοῖς ἄλλοις τοῖς ἀναπνέουσιν, καθάπερ ὁτιοῦν ἄλλο μόριον τῶν ἀναγκαιοτάτων· τούτου γὰρ δεῖ προσυπακούειν. ὡς γὰρ ἄνευ ἥπατος ἢ κεφαλῆς ἢ ἄλλου τινὸς τῶν τοιούτων οὐ δύναται εἶναι, οὕτως οὐδ' ἄνευ πνεύμονος τὰ ἀναπνέοντα· τῇ γὰρ τούτου φθορᾷ ἕπεται θάνατος, ὡς ἐρεῖ προϊών.
10 ταῦτα εἰπὼν ἐπάγει· ἔχει μὲν οὖν τὸν πνεύμονα διὰ τὸ πλείστης τετυχηκέναι θερμότητος· τούτου γάρ ἐστι δηλωτικὸν τὸ ἔχει μὲν οὖν ἕνεκα 50
τούτου.

p. 477a25 Τὴν δ' ἐξ ἀνάγκης καὶ τῆς κινήσεως αἰτίαν καὶ τὰ τοιαῦτα νομίζειν ζῷα. |

15 Λείποι ἂν οἶμαι τῇ λέξει τὸ δεῖ. οὕτως γὰρ ἂν καταλληλότερον 172r
ἦν, εἴπερ εἶχε 'καὶ τὰ τοιαῦτα δεῖ νομίζειν ζῷα'. τὸ δ' ἐξ ἀνάγκης καὶ 10
τῆς κινήσεως νῦν τεκμαίρομαι ἐκ παραλλήλου κεῖσθαι· ἔθος δὲ αὐτῷ ἐξ ἀνάγκης αἰτίαν λέγειν τὴν ὕλην. τοιαῦτα δὲ ζῷα αὐτά φησι τὰ ζῷα, μὴ τοιαῦτα δὲ ὁμοίως αὐτὰ τὰ μὴ ζῷα. ἔσται δὲ σαφῆ τὰ λεγόμενα,
20 εἴπερ ἀναμνησθῶμέν τι τῶν ἐν τῷ πρώτῳ τῆς Περὶ οὐρανοῦ εἰρημένων· ἀναμιμνησκόμεθα οὖν λέγειν αὐτὸν ἐκεῖ, ὅτι τὰ σύνθετα κινεῖται κατὰ τὸ ἐπικρατοῦν. ὥστε ὅταν λέγωμεν ἢ τὰ φυτὰ ἐκ γῆς ἢ τοὺς ἰχθῦς ἐξ ὕδατος, οὐ τοῦτο λέγομεν, ὅτι ἐκ μόνης τῆς γῆς ἢ μόνου τοῦ ὕδατος συνεστήκασιν 15
(ἔστι γὰρ ἐν ἑκάστῳ αὐτῶν καὶ τὰ λοιπά, πῦρ, ἀήρ), ἀλλ' ὅτι ἐν μὲν
25 τοῖς φυτοῖς πλεονάζει τὸ γεῶδες, ἐν δὲ τοῖς ἰχθύσι τὸ ὑδατῶδες· διὰ τοῦτο φαμὲν τὰ μὲν ἐκ γῆς, τὰ δὲ ἐξ ὕδατος· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. τούτων κειμένων τὸ λεγόμενόν ἐστιν, ὅτι οὕτω νομιστέον συνεστάναι κατὰ τὴν ὕλην καὶ τὰ ζῷα, ὥσπερ καὶ τὰ μὴ ζῷα. ὡς γὰρ ἐν τοῖς μὴ ζῴοις, τοῖς φυτοῖς, ἐπικρατεῖ τὸ γεῶδες, οὕτως ἐν τοῖς ἰχθύσι τὸ ὑγρόν, καὶ ἐν
30 πτηνοῖς τὸ πῦρ, καὶ ἐν ἄλλοις ἄλλο. προσδιώρικε δὲ ταῦτα, ἵν' ἀκολούθως 20
τοῖς λεχθεῖσι τὴν Ἐμπεδόκλειον δόξαν ἱστορήσῃ τε καὶ ἐλέγξῃ. τὸ δὲ ἕκαστα δ' ἐν τοῖς οἰκείοις τόποις ἔχει τὴν τάξιν αὐτῶν ἴσον ἐστὶ

ἐστὶν om. SC ὀρθὸν] θερμὸν S 4 εἰσφοράν S 5 αἴτιον a (Arist.): om. SC 6 post καθάπερ add. οὖν C 7 τοῦτο C 9 ἐρεῖ] p. 479a10 ss.
1 οὖν a: εἰ S: om. C 12 τούτου] του Arist. MZ 14 ante ζῷα add. συνεστάναι τὰ a (συνιστάναι vel συνεστάναι Arist., τὰ add. L), sed cf. ad v. 16 15 λείπει C εἶ add. Arist. L ἂν om. C καταλληλοτέρα conicio 15. 16 ἦν καταλληλότερον C 16 ἦν om. S post νομίζειν add. συνιστάναι a τὸ a: τὴν S: τὰ C 17 νῦν om. a 20 τινὸς C τῆς] τῶν C Περὶ οὐρανοῦ] A 2 p. 269a2 δεδειγμένων C 21 ἀναμιμνησκόμεθα—ὅτι Sa: ὑπ' Ἀριστοτέλους, ἐν οἷς λέγει C ἐκεῖσε S τὰ S: τὰ δὲ Ca 24 ἑκάστῳ om. C κὐτοῖς C πῦρ, ἀήρ] στοιχεῖα C 26 τοὺς δὲ S 27 συνιστάναι a 29. 30 ἐν τοῖς πτηνοῖς C 31 τε om. a 32 δ' SC (Arist.): om. a

τῷ 'ἕκαστον ἐν ᾧ τόπῳ γέγονεν, ἐν ἐκείνῳ τέταχται καὶ ἔστιν', ἀλλ' οὐκ 172r
ἐν ἄλλῳ μὲν γέγονεν, ἐν ἄλλῳ δὲ ἔστι, ὡς Ἐμπεδοκλῆς ᾤετο. καὶ τίθησι λίαν ἐπιδήλως τὴν Ἐμπεδόκλειον δόξαν. τὸ δὲ ὅπως, ἐπειδὴ τοῦ ψυχροῦ καὶ τοῦ ὑγροῦ ἐλλείπει ταὐτόν ἐστι τῷ 'ὅπως, ἐπειδὴ στερί-
5 σκεται τὰ ζῷα ὑγροῦ καὶ θερμοῦ'. ἐν δὲ τῇ λέξει τῇ θερμὸν γὰρ εἶναι 25
τὸ ὑγρὸν ἧττον τοῦ ἀέρος ὑγρὸν τὸ ὕδωρ λέγει. ἔστι δὲ τὸ λεγόμενον, ὅτι ψυχρότερόν ἐστι τὸ ὕδωρ τοῦ ἀέρος (μόνον γὰρ τὸν αἰθέρα θερμὸν Ἐμπεδοκλῆς ἐνόμιζε, τὰ δ' ἄλλα ψυχρά, ὡς πολλάκις εἴρηται), ἄλλο δὲ ἄλλου ψυχρότερον. θεὶς δὲ τὴν δόξαν εὐθὺς ἀπαντᾷ λέγων, ὅτι οἱ ἰχθύες
10 πρὸς τῷ εἶναι ὑγροὶ καὶ ἄποδές εἰσι. πῶς οὖν γεγονότες ἐν τῷ ξηρῷ, ἤτοι τῇ γῇ, ἀπῆλθον εἰς τὸ ὕδωρ πόδας μὴ ἔχοντες; οὐ γὰρ δὴ ἕρποντες· οὐ γάρ εἰσιν ἑρπυστικοί. σαφῆ δὲ τὰ ἑξῆς. ποῖα δὲ λέγεται θερμὰ καὶ 30
θερμότερα, εἴρηται ἐν τῷ δευτέρῳ τῶν Περὶ ζῴων μορίων, εἰς ὃ νῦν ἀναπέμπει ἡμᾶς.

15 p. 477ᵇ12 Περὶ δὲ ἧς αἰτίας εἴρηκεν Ἐμπεδοκλῆς, τῇ μὲν ἔχει τὸ ζητούμενον λόγον, οὐ μὴν ὅ γέ φησιν ἐκεῖνος ἀληθές.

Εἰπὼν ὁ Ἐμπεδοκλῆς ὅτι τὴν ὑπερβολὴν τοῦ θερμοῦ καὶ ξηροῦ φεύ- 41
γοντες οἱ ἰχθύες εἰσῆλθον εἰς τὸ ὑγρόν, ἵνα ἀνισάζηται τὰ ἐναντία, λέγων ἐναντία τὸ ψυχρὸν καὶ θερμόν, ἐπάγει· τὸ μὲν οὖν ζητεῖν τὰ ἐναντία ἐν
20 ταῖς ὑπερβολαῖς ἔχει λόγον, οὐ μὴν ὡς ἐκεῖνος λέγει· ἀλλ' ὅταν μὲν ἡ ὑπερβολὴ κατὰ τὴν τῶν σωμάτων γένηται συμμετρίαν (τὴν γὰρ συμμετρίαν εἴρηκεν ἕξιν), τότε ζητητέον τοὺς ἐναντίους τόπους καὶ ὥρας, ὅπερ ποιοῦμεν 45
ἐν ταῖς νόσοις· ὅταν δ' ἡ ὑπερβολὴ αὐτῆς τῆς φύσεως καὶ τῆς ὕλης, ἐξ ἧς γέγονεν, ἐστίν, οὐ ζητητέον. φθείρει γὰρ τὸ ἐναντίον, ἀλλ' οὐ σῴζει.
25 εἰ μὲν γὰρ ἡ ὑπερβολὴ γένηται κατὰ τὴν τῶν σωμάτων συμμετρίαν, ἣν ἐκ τῆς τοιᾶσδε τῶν στοιχείων κράσεως ἔχομέν τε καὶ ὑγιαίνομεν καὶ ἐσμέν, ἕως ἂν τὴν τοιαύτην συμμετρίαν ἔχωμεν, ζητητέον τὴν ἐναντίαν ὥραν καὶ τὸν τόπον· εἰ δὲ ἡ ὑπερβολὴ τῆς ὕλης κατὰ τὴν ἐξ ἀρχῆς τοῦ ζῴου σύστασίν ἐστιν, οὐ ζητητέον. τοῦτο γάρ ἐστιν ἡ φύσις αὐτοῦ, καὶ ἐν τούτῳ οὐσίωται, 50
30 ἐν τῷ ἔχειν ὑπερβολὴν ἑνὸς τῶν τριῶν στοιχείων, ὥστε φθαρήσεται ὑπὸ τοῦ ἐναντίου. οὐ δεῖ οὖν ζητεῖν τὸν ἐναντίον τόπον, ἀλλὰ μενετέον ἐν τῷ τῆς ὕλης τόπῳ, ἀφ' ἧς τὴν ὑπερβολὴν ἔχει. σῴζει γὰρ ἕκαστον τῶν στοιχείων ὁ οἰκεῖος τόπος· ἕκαστον γὰρ τούτων μᾶλλον εἰδοποιεῖται καὶ ⟨τὸ⟩

---

3 Ἐμπεδόκλειον SC: Ἐμπεδοκλέους a ἐπειδὴ C (Arist.): ἐπεὶ Sa 3. 4 τοῦ τε ψυχροῦ S 4 καὶ ὑγροῦ a ἐλλείπη C, prius S post ταὐτὸν add. δέ a 5 τοῦ ὑγροῦ C alt. τῇ om. C εἶναι] ἂν ἦν C 8 πολλάκις εἴρηται] cf. Bonitz, Ind. p. 241ᵇ38 9 δὲ om. SC ὁ ἰχθῦς a 11 ἕρπονται C 12 ἑρπηστικοί S: ἑρπιστικοί C 13 Περὶ ζῴων μορίων] B 2 p. 648ᵇ2 ὃν C 15 τῇ] πῇ a (Arist. L²) ἔχειν S 18 ἀνισάζη SC (ἀνισάζη τὰ Arist. L, ἀνασώζηται SP, ἀνασώζη τὰ MZ) 19 post ἐπάγει add. λέγων C 24 οὐ ζητητέον om. SC γὰρ om. SC 25 ἡ om. C τῶν om. a 26 τε om. C 28 ἔστιν post εἰ δὲ add. SC 29 ἐστιν om. SC 30 τριῶν om. C 32 ἧς] οὗ S 33 τούτῳ a τὸ addidi

τόδε τι εἶναι ἀπολαμβάνει, ὅταν εἰς τὸν οἰκεῖον τόπον γένηται. περὶ οὗ πολλάκις εἴρηται ἔν τε τῷ θῆτα τῆς Φυτικῆς ἀκροάσεως καὶ ἐν ἄλ|λοις 172v πλείοσιν. ἀλλ' εἰ μὲν ταὐτὸν ἦσαν ἥ τε ὕλη καὶ ἡ ἐκ ταύτης ἀποτελουμένη ἕξις καὶ διάθεσις, εἶχεν ἂν ἡ Ἐμπεδόκλειος δόξα τὸ εὔλογον· οὐκ
5 εἰσὶ δὲ ταὐτόν. αὐτὸς δὲ καὶ λίαν σαφῶς διὰ χαριεστάτων καὶ γλαφυρωτάτων ὑποδειγμάτων τὸν λόγον ἐλέγχει· ὁ γὰρ κηρὸς ὑγρὸς ὢν καὶ ψυχρὸς (τῷ γὰρ ψυχρῷ ἐπάγη), εἴπερ ἦν ὕλη ζῴου, οὐκ ἂν ἡ φύσις τὸ ἐκ κηροῦ ζῷον ἐν θερμῷ θεῖσα διέσωσεν· ἐφθάρη γὰρ ἂν τὸ μὲν ὑγρὸν τῇ τοῦ 5
πυρὸς ξηρότητι, τὸ δὲ ψυχρὸν τῇ θερμότητι; ὅτι δὲ ὁλικὰ μὲν καὶ παθη-
10 τικὰ τὸ ὑγρὸν καὶ ξηρόν, εἰδικὰ δὲ καὶ ποιητικὰ τὸ θερμὸν καὶ ψυχρόν, καὶ μᾶλλον τὸ θερμόν, εἴρηται ἐν τῇ Περὶ γενέσεως καὶ φθορᾶς.

p. 477 b 26 Διὰ τοῦτο τὰ δένδρα οὐκ ἐν ὕδατι φύεται, ἀλλ' ἐν γῇ.

Τουτέστι διὰ τὸ εὔλογον εἶναι ἕκαστον ἐν τῷ τόπῳ εἶναι τῆς ὕλης, 16
ἀφ' ἧς ἐγένετο, διὰ τοῦτο καὶ τὰ δένδρα ἐν τῇ γῇ εἰσιν, ἀφ' ἧς ἐγένετο,
15 καὶ οὐκ ἐν ὕδατι. καίτοι ἔδει κατὰ τὸν Ἐμπεδοκλέους λόγον καὶ τὰ δένδρα ἐν τῷ ὕδατι νήχεσθαι· εἰ γὰρ οἱ ἰχθύες διὰ τὸ εἶναι θερμοὶ ἐν ὕδατί εἰσι ψυχρῷ ὄντι, ἔδει καὶ τὰ φυτὰ ξηρὰ ὄντα (ἐκ γὰρ γῆς εἰσιν, ἢ μᾶλλον τῷ ξηρῷ εἰδοποιεῖται) ἐν τῷ ὕδατι εἶναι ὑγρῷ ὄντι. τὸ δὲ διὰ τὸ εἶναι 20
αὐτὰ ὑπέρξηρα, ὥσπερ τὰ ὑπέρπυρά φησιν ἐκεῖνος μετὰ σκωπτικῆς
20 ἐπῆκται τῆς χάριτος, ὡς εἰ ἔλεγε· τί κωλύει τὰ δένδρα λέγειν ὑπέρξηρα, Ἐμπεδοκλέους εἰρηκότος τοὺς ἰχθῦς ὑπερπύρους. καὶ ἦλθεν ἄν, φησί, τὰ δένδρα ἐν τῷ ὕδατι, οὐχ ὅτι ἐστὶ ψυχρόν, ἀλλ' ὅτι ὑγρόν· τοῦτο γὰρ δηλοῖ τὸ οὐ γὰρ διότι ψυχρὸν ἦλθεν εἰς αὐτό, ἀλλ' ὅτι ὑγρόν.

Τὰ δ' ἐφεξῆς σαφῆ. τὸ δὲ τοῦτο μὲν δεῖ ζητεῖν ἐν τοῖς οἰκείοις
25 τόποις ἑκάστης ὕλης κατὰ τὰς μεταβολὰς τῆς κοινῆς ὥρας τοιοῦτόν 25
ἐστιν· ὅταν ἐν τῇ τῶν ὡρῶν μεταβολῇ συμμεταβάλῃ καὶ ἡ τῶν σωμάτων ἡμῶν ἕξις καὶ συμμετρία, δεῖ ζητεῖν καὶ λέγειν ὅτι τὰς ἕξεις ἐνδέχεται τοῖς τόποις ἐναντίας εἶναι· δι' ὃ μεταβατέον εἰς ἕτερον τόπον. φέρεται καὶ ἄλλη γραφὴ καλλίων, ὡς οἶμαι, ἔχουσα οὕτως· τοῦτο μὲν οὐ δεῖ
30 ζητεῖν, καὶ εἴη ἂν τὸ λεγόμενον· ὅταν γένηται τῆς ἕξεως μεταβολὴ ἐν τῇ τῶν ὡρῶν μεταβολῇ, οὐ δεῖ ἐν τῷ οἰκείῳ τόπῳ τῆς ὕλης τοῦτο ζητεῖν, τουτέστιν τὴν συμμετρίαν (ἢ γὰρ ἂν οὐδ' ὅλως ἤλθομεν εἰς συμμετρίαν 30

---

2 τε om. C Φυσικῆς ἀκροάσεως] Θ 3 p. 253 b 33 7 ψυχρῷ] θερμῷ C
9. 10 ὁλικὸν καὶ παθητικὸν C 10 θερμὸν] ὑγρὸν C ψυχρόν] θερμὸν C
11 Περὶ γενέσεως καὶ φθορᾶς] B 2 p. 329 b 24 12 οὐχ ὕδατι C ἐν τῇ γῇ Arist. LMZ, cf. v. 14 13 διὰ—ἐγένετο (14) om. C 16 τῷ om. SC 17 ἥτις C
17. 18 τῷ ξηρῷ Sa: κατὰ τὸ ψυχρὸν C 20 κωλύειν λέγειν τὰ δένδρα C 23 διότι] διὰ τὸ Arist. αὐτό, ἀλλ' ὅτι] ὕδωρ ἄλλο τι Arist. Z, ὑπ' ἄλλο τι M 24 τὰ ἐφεξῆς δὲ C μὲν οὖν δεῖ Arist. libri praeter S 25 ἑκάστης ὕλης om. Arist. MZ κατὰ] καὶ κατὰ Arist. MZP 26 συμμεταβάλλη a 27 συμμετρίαν C
30 γένηται om. C 31 ζητεῖν ante ἐν C τοῦτο om. C 32 τῇ συμμετρία S ἔλθωμεν SC

ἢ οὐ ῥᾷστα), ἀλλὰ δεῖ μεταβαίνειν ἐν τοῖς ἐναντίοις τόποις. ἐνδέχεται γὰρ 172ᵛ
τὰς ἕξεις ἐναντίας εἶναι τῷ τῆς ὕλης τόπῳ, καὶ τοῦτον ἐκείναις· δι' ὃ
p. 13,1. 2 καὶ ἔσται — αὐτὸ om. || 3 post καὶ ἕτερον add. ἵνα μὴ ἢ ὁ ἄνθρωπος ὄρνις· τοῦτο γὰρ ἀδύνατον || 4 εἴπερ ἐστὶ διαφορά, ἔσται τῆς || 5 post prins εἴδη add. τῆς ἀναιμίας ὥσπερ καὶ τῆς ἐναιμότητος || 6 ἔστιν οὖν — τὸ δὲ (18) om. || 19. 20 καὶ κοινὴν — τοιοῦτόν ἐστι om. || 21. 22 καὶ κατ' ἄλλων — λεγομένην om. || 22 εἰ δὲ] καὶ διὰ || 23. 24 εἰς τοῦτο — λέγουσι] κοινὴ γὰρ ἡ ἀναιμία || 26. 27 τοῦτο — διαφοραί om. || 29 βαδιεῖται. δεῖ δὲ οὔτε. οὔτε γὰρ ὁ μύρμηξ εἰς τὸ πτερωτὸν καὶ ἄπτερον εὔθετος τίθεσθαι οὔτε ὁ ἄνθρωπος καὶ ὁ ὄρνις εἰς τὸ δίπουν. καὶ πάντες εἰς ταύτας, τουτέστι καὶ δῆλον τοῦ ζώου διαίρεσιν οὕτως εἶναι ἵνα πάντα τὰ ζῷα εἰς τὰς τοῦ ζώου διαφορὰς πίπτῃ. καὶ λοιπὸν συμπεραίνεται λέγων φανερὸν τοίνυν ὅτι οὐκ ἔστιν ἐν ταῖς διχοτομίαις λαβεῖν τὰ ἄτομα εἴδη, ὥς τινες ἔλεγον || καὶ γὰρ κατ' ἐκείνους. ἀναγκαῖον κατ' ἐκείνους ἴσας εἶναι τὰς διαφορὰς τοῖς εἴδεσιν, ὅπερ ἀδύνατον. δεῖ γὰρ τὰ εἴδη πλείονα εἶναι τῶν διαφορῶν. εἶτα δι' ὑποδείγματος σαφηνίζει πῶς συμβαίνει ἴσας εἶναι τὰς διαφορὰς τοῖς εἴδεσιν. ἔστω γάρ, φησί, τόδε τι (c. XXV litt. del.) λευκὸν καὶ μέλαν. καὶ ἑκάτερον πάλιν εἰς δύο, καὶ ἔστωσαν αὗται αἱ τελευταῖαι καὶ ἄτομοι. τέσσαρες οὖν πᾶσαι αὗται. μία (?) οὖν ἑκάστη (X litt. del.) ποιήσει εἶδος. ὃ τοίνυν τὰ εἴδη ἐσοῦνται (sic). ἀλλ' ἀλόγως. ἡ δὲ διαφορά. ἐπεὶ ἡ διαφορὰ ἐν τῷ οἰκείῳ γένει ὡς εἶδος ἐν ὕλῃ ἐστίν, ὅσαι (VIII litt. del.) διαφοραὶ τοσαῦτα ἔσται καὶ τὰ εἴδη. οὔτε γὰρ τὰ εἴδη ἤγουν αἱ διαφοραὶ χωρὶς ὕλης ἤγουν γένους ζῶον ποιοῦσιν οὔτε τὸ γένος χωρὶς τῆς διαφορᾶς. ἔτι (VII litt. del.) διαιρεῖσθαι διὰ τῶν οὐσιωδῶν ὑπαρχόντων, ἀλλ' οὐ διὰ τῶν καθ' αὐτὰ συμβεβηκότων ὡς οὗτοι ποιοῦσιν, δι' ὧν μᾶλλον συμβαίνει τὸ ὑπὸ τὰς ἐναντίας πίπτειν διαφορὰς τὸ αὐτὸ εἶδος καὶ στερήσεων εἴδη εἶναι· τὸ γὰρ πτερωτὸν καὶ τὸ ἄπτερον καθ' αὐτὰ συμβεβηκότα, καὶ τὸ ἄπτερον στέρησις. ἔτι τοῖς ἀντικειμένοις. ἔτι ἡ διαίρεσις ἐπὶ τῶν ἀντικειμένων, ἤγουν εἰς λευκότητα χρὴ διαιρεῖν καὶ μελανίαν καὶ οὐκ εἰς λευκότητα καὶ λειότητα, δι' οὗ συμβαίνει εἶναι εἴδη τῶν στερήσεων. ἀντικείμενα γὰρ τὸ ἄπτερον καὶ τὸ πτερωτόν, καὶ τὸ ἄπουν καὶ τὸ ὑπόπουν. πρὸς δὲ τούτοις (p. 14,27).

p. 14,30 ποιοῦνται] ποιεῖν ἀναγκαῖον || 31. 32 τοῦ ἐκ — σώματος om. || 33 ὧν — ἀπηριθμημένων om. || 33. 34 πρόβατον πρὸς τὸ ἥμερον || 37 τοῦτο — διαίρεσις om. || 38 ἀντικειμένοις. ὅλως δὲ ὁποιαοῦν. τοῖς διαιροῦσι δίχα ἀνάγκη συμβαίνειν καὶ τὸ τὰ ἐναντία ἐν τῷ αὐτῷ εὑρίσκεσθαι καὶ τὸ αὐτὸ εἰς τὰ ἐναντία πίπτειν. πάνυ δὲ διὰ βραχέων ἠνίξατο ὅπως χρὴ διαιρέσεις ποιεῖσθαι, καὶ φησὶν ἀλλὰ πειρατέον λαμβάνειν κατὰ γένος τὰ ζῶα. οἱ πολλοὶ διορίσαντες ὄρνιθος γένος. παράγει (p. 15,11).

p. 15,22. 23 τὰ τοῦ ζώου — ὑποδιαιρέσεις] διαιρετέον τὸ ζῶον καὶ τὰς διαφορὰς ποιητέον κατὰ διαιρέσεις, οὐχὶ ἑκάστη τῶν διαιρέσεων ὑποδιαιρέσεις || 25 φευξοίμεθα || 26 διαφοράν. ἡμεῖς δὲ τὰς διαφορὰς ποιοῦντες φαμὲν τοῦ ζώου τὸ μὲν πτερωτὸν τὸ δὲ ἄπτερον, καὶ πάλιν τοῦ ζώου τὸ μὲν ἄναιμον τὸ δὲ ἔναιμον, καὶ πάλιν τοῦ ζώου τὸ μὲν ἄγριον τὸ δὲ ἥμερον, καὶ οὕτω διαιροῦντες σκοποῦμεν τὸν ἄνθρωπον ἢ τὸν ὄρνιν ποίας ἔχει διαφοράς, καὶ συνθέντες ἀποτελοῦμεν τὸ ζητούμενον εἶδος. ὥστε τὸ ἄναιμον μετὰ καὶ ἄλλων τυχὸν τοῦ πτερωτοῦ καὶ τοῦ ἀγρίου συντεθὲν ποιήσει εἶδος. οὐ μὴ δὲ τῆς στερήσεως εἴδη ἔσται. οὕτω μὲν γάρ. οὕτω μὲν ἐκ τῆς διχοτομίας τῆς κατὰ πλάτωνα (16,25) | 25. 26 ἐμπίπτει || 26 ὥσπερ — ἄπτερον om. || 28 εἰδοποιείσθω — δίπουν om. || οὖν] γὰρ || post τις add. ὁ || 29 λέγει — ζῶον om. || 30 δίπουν ὑπόπουν coll. || 33 προχείρως om. ||

p. 16,34 ληψόμεθα τὸ δίπουν, ἀλλὰ τὸ ὑπόπουν μόνον, ἀλλ' ἄλλην τινὰ ἥτις οὐκ ἔστιν ὑπὸ τὸ ὑπόπουν ἀλλὰ τυχὸν ὑπὸ τὸ πτερωτὸν ἄναιμον, φησὶ λύων ὅτι ταῦτα οὐ φύσει ἑνίζονται, ἀλλ' ὡς ἐν συνδέσμῳ ἑνίζεται ὁ λόγος οὐ φύσει ἑνιζόμενος, οὕτω καὶ ἐνταῦθα γίνεται ἓν τὰ τοιαῦτα.

p. 17,22 ἔτι δὲ οὐκ ἐνδέχεται: ὅτι οὐκ ἐνδέχεται ἐκ ταύτης τῆς διχοτομίας καὶ τῆς ὑποδιαιρέσεως ἕκαστον εἶδος λαμβάνειν, καὶ ἐντεῦθεν δῆλον. ἀδύνατον γὰρ ὑπὸ μιᾶς διαφορᾶς συνίστασθαι τὸ ἄτομον εἶδος. τὸ γὰρ ἐλάχιστον κἂν ἐκ δύο διαφορῶν συνίσταται πᾶν εἶδος. ἡ γὰρ διχοτομία ἓν μόνον ποιήσει, εἴτε ἁπλῶς λαμβάνει τις εἴτε συμπεπλεγμένως. εἰ γὰρ

κόρακα ὁριζόμενοι λέγομεν τοῦ ζώου τὸ μὲν ὑπόπουν τὸ δὲ ἄπουν καὶ τοῦ ὑπόποδος τὸ μὲν δίπουν τὸ δὲ πολύπουν, λέγομεν τὸν κόρακα ζῶον δίπουν ἁπλῶς ἢ ζῶον ὑπόπουν δίπουν συμπεπλεγμένως. καὶ γὰρ οὕτω κἀκείνως μία ἔσται. ποῦ δὲ τὸ πτερωτόν, ποῦ δὲ τὸ ῥυγχωτόν; οὗτος δὲ τίθησι παράδειγμα τοῦ ἁπλοῦ μὲν τὸ πολυσχιδὲς τὸ ὑπὸ τὸ σχιζόπουν, τοῦ δὲ συμπεπλεγμένου τὴν διποδίαν μετὰ τοῦ πολυσχιδοῦς, ὅπερ ὑπὸ τὴν σχιζοποδίαν ἐστί. τοῦ ζώου γὰρ τὸ μὲν μώνυχον τὸ δὲ σχιζόπουν. καὶ τοῦ σχιζόποδος τὸ μὲν πολυσχιδὲς τὸ δὲ οὔ, ἀλλὰ τριδάκτυλον τυχὸν ἢ ὀλιγοδάκτυλον. καὶ πάλιν σαφηνίζων προσέθηκε τὸ ἁπλοῦν μέν, ἐὰν μὴ ἔχῃ διαφορὰν ἤγουν τὴν ὑψηλοτέραν τὸ σχιζόπουν. συμπεπλεγμένον δὲ ἐὰν συμπλέκηται τῇ μερικῇ καὶ ἡ καθολικωτέρα διαφορά. τοῦτο γὰρ ἡ συνέχεια βούλεται ζῶον ὑπόπουν δίπουν τὸ συμπλέκεσθαι τὴν καθολικωτέραν τῇ μερικῇ. ὅπερ ἐστὶ καὶ ἀδόλεσχον. περίεργον γὰρ τὸ ὑπόπουν κειμένου τοῦ δίποδος καὶ τὸ πολύπουν κειμένου τοῦ πολυσχιδοῦς. ὥστε καὶ οὕτω κἀκείνως εἰς μίαν τελευτήσει, ἀλλ' οὐκ εἰς τὴν εἰδοποιόν. εἰ γὰρ εἶχεν ὁ ἄνθρωπος μίαν μόνην διαφορὰν τὸ δίπουν μόνον, ἐγίνετο ἂν οὕτως, νῦν δὲ περὶ τὸ λοξὸν [immo λογικόν] καὶ τὰ λοιπὰ ἀπορήσειε * *

p. 19,33 ἀπορήσειε δ' ἄν τις: ζητήσειε, φησί, διὰ τί οἱ ἄνθρωποι ὥσπερ κοινῷ ὀνόματι ὠνόμασαν κορώνην κόρακα καὶ τὰ λοιπὰ (c. XXX litt. del. addendum ὄρνιθας οὐχ οὕτω καὶ τὸ πτηνὸν καὶ ἔνυδρον) ἑνὶ ὀνόματι προσηγόρευσαν οἷον φέρε εἰπεῖν ἔμψυχον ἢ αἰσθητικὸν ὥσπερ ἐκεῖνα τὰ πάντα ὄρνιν. εἰ γὰρ διότι ἔχουσιν ἐκεῖνα κοινὰ πάθη, τὸ ῥυγχωτὸν ἴσθι ἢ τὸ πτερωτὸν (V—VIII litt. del. add. κοινὰ καὶ) τούτοις τῶν τε πτηνῶν καὶ τῷ ἐνύδρῳ ἔνια τινὰ πάθη, τυχὸν τὸ πτερωτὸν ἢ τὸ τέμνειν στοιχεῖον ἤτοι κινεῖσθαι. λύων οὖν λέγει ὅτι καλῶς τοῦτο πεποιήκασιν (III—VI litt. del., add. ἐπεὶ) γὰρ κατὰ τὴν φύσιν οὐ διαφέρει, ἀλλὰ κατὰ τὴν ὑπεροχήν, ταῦτα ἑνὶ ὀνόματι προσηγόρευσαν. ὅσα δὲ κατὰ ἀναλογίαν ἔχουσι ταὐτόν (ὁ γὰρ ἐνύδροις [VI litt. del. add. ἄκανθα] τοῦτο πτηνοῖς ὁστοῦν) ἑτέρῳ.

p. 20,32 ἐπεὶ δὲ οὐσίαι μέν εἰσι. ἐπειδὴ μᾶλλον οὐσίαι τὰ εἴδη τῶν γενῶν εἰσι, διὰ τί οὐκ ἐπὶ τῶν μᾶλλον οὐσιῶν τὰς δείξεις ποιητέον; καὶ ἀπορῶν ἐπάγει ὅτι εἰ μὲν ἐπὶ τούτων, πολλάκις τὸ αὐτὸ ἐροῦμεν δίπουν καὶ ὑπόπουν, ὅπερ ἐστὶν ἀδολεσχία. τὸ γὰρ δίπουν ὑπόπουν. εἰ δὲ ἐπὶ τῶν καθόλου, τοῦτο ἴσως ἐκφευξούμεθα. κράτιστον οὖν, εἴ τις δύναιτο ἰδία περὶ τοῦ καθ' ἕκαστον θεωρεῖν, ὥσπερ περὶ ἀνθρώπου καὶ οὐ περὶ ζώου, οὕτω καὶ περὶ στρουθοῦ καὶ οὐ περὶ ὄρνιθος, εἰ καὶ συμβαίνει τι ὑπάτοπον καὶ ἄλλως ὅτι τὸ περὶ ἑκάστου λέγειν μακρόν. μόνον σκοπητέον μὴ πολλάκις λέγοι τὰ αὐτά. ταῦτα εἰπὼν πάλιν ἐπικρίνει λέγων ὅσα καλῶς οἱ ἄνθρωποι ὥρισαν ἤτοι συνήθροισαν καὶ ὡς μίαν τινὰ φύσιν καὶ ἕν τι γένος τετάχασι διὰ τὸ μὴ πολὺ διεστάναι ἀπ' ἀλλήλων, ὁποῖον ἐστὶν ὁ ὄρνις (τούτων γὰρ ὡς μίαν φύσιν νομίζεσθαι ἔθεντο διὰ τὸ μὴ πολὺ διεστηκέναι κόρακα κορώνης καὶ τοὺς ἄλλους ὄρνιθας ἀπ' ἀλλήλων) ὅσα μὲν οὖν τοιαῦτα, δεῖ περὶ τούτων κοινῶς λέγειν, ὅσα δὲ μὴ τοιαῦτα, καθ' ἕκαστον, τουτέστι χωρὶς περὶ ἑνὸς ἑκάστου, οἷον χωρὶς μὲν περὶ ἀνθρώπου καὶ ἰδίως περὶ ἵππου, χωρὶς δὲ περὶ ὄνου καὶ τῶν λοιπῶν. τίνα δὲ εἰσὶν ἅπερ ἕν τι γένος ἐτάχθη, ἐπήγαγεν εἰπὼν σχεδὸν γὰρ ὅσα τῶν μορίων ἔχει ὁμοιότητα καὶ τὸ ὅλον σῶμα, ὥρισταί τε καὶ ὡς μία τις φύσις καὶ ἕν τι γένος νενόμισται, ὥσπερ ὁ ὄρνις, ὁμοίως καὶ τὰ μαλάκια· καὶ ταῦτα γὰρ διὰ τὴν τῶν μορίων ὁμοιότητα ὡς γένος εἶναι διώρισαν. ἀλλὰ καὶ τὰ ὄστρεα· τὰ γὰρ μόρια τούτων οὐ τῇ ἀνάλογον ὁμοιότητι τὸ ταὐτ' ἔχειν (l. τὸ ταὐτὸν ἔχει) τῇ φύσει δὲ καὶ τῷ σχήματι τὸ διάφορον, ἀλλὰ μόνοις τοῖς πάθεσι μεγέθει καὶ σμικρότητι, λειότητι καὶ τραχύτητι, καὶ ὅλως τῷ μᾶλλον καὶ ἧττον.

p. 22,15 ταῦτα εἰπὼν συμπεραίνεται τὸν ἅπαντα λόγον, πῶς οὖν ἀποδέχεσθαι χρὴ τὴν περὶ φύσεως μέθοδον καὶ τὰ ἑξῆς τῶν εἰρημένων. ⟨πῶς μὲν οὖν ἀποδέχεσθαι⟩ δεῖ. συμπεραινόμενος ἐντεῦθεν λέγει πῶς δεῖ ἀποδέχεσθαι τὴν περὶ φύσεως μέθοδον ἤγουν τὴν περὶ τοῦ ὁρισμοῦ τῶν εἰδι⟨κωτάτων⟩, ὅτι οὐκ ἐκ τῆς ἐφεξῆς δισσοτομίας ἀλλ' ἐκ τῶν ἐπιδιαιρέσεων τοῦ αὐτοῦ γένους. οὕτω γὰρ εὑρίσκονται αἱ ἕτεραι διαφοραί, αἳ δὴ συνέρχονται καὶ ποιοῦσιν εἶδος ἕν. τὸ γὰρ ⟨δισ⟩σοτομεῖν τῇ μὲν ἀδύνατον, ὅταν ἄτμητος ἡ διαφορὰ ᾖ, ὡς τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν, τῇ δὲ ὑπόκενον, ὅταν οὐ δυνησώμεθα (sic) τὰς πάσας λαμβάνειν διαφορὰς ἐκ τῆς ὑποδιαιρέσεως τῆς ἐφεξῆς [εἴρηται].

p. 22,17 σαφῆ δὲ τὰ λοιπὰ διὰ τὸ τούτων τὰ μὲν αὐτὸν εἰπεῖν ἐν τῷ περὶ οὐρανοῦ,

τὰ δὲ καθαρῶς ἐνταῦθα καὶ σαφῶς ἀπαγγέλλειν· ὅμως εἰσί τινα δεομένα βραχείας ἐξετάσεως. ὧν οὐδὲν ἀνεξέταστον καταλειφθήσεται. διωρισμένων δὲ τούτων. ποιεῖται διαίρεσιν τῶν οὐσιῶν καὶ τὰς μὲν τούτων λέγει ἀγεννήτους καὶ ἀφθάρτους ὡς τὰς θείας περὶ ὧν ἐν τοῖς μετὰ τὰ φυσικὰ λέγει, τὰς δὲ μετέχειν γενέσεως καὶ φθορᾶς. ἐκείνας γοῦν ὡς τιμίας οὔσας καὶ θείας φησὶν ἐλάττους ἡμῖν παρέχειν τὰς δυνάμεις εἰς θεωρίαν. τὰ γὰρ φανερὰ κατὰ τὴν αἴσθησιν ἐν ἐκείναις ὀλίγα εἰσὶ πάντη. περὶ τούτων δὲ γενητῶν τε καὶ φθαρτῶν φυτῶν δηλαδὴ καὶ ζώων εὐποροῦμεν μᾶλλον λέγειν διὰ τὸ συντεθράφθαι ἡμᾶς αὐτοῖς καὶ αἰσθάνεσθαι τούτων καὶ φανερῶς ἔχειν αὐτὰ ἀνὰ χεῖρας καὶ βλέπειν ταῦτα. περὶ γὰρ ἕκαστον γένος αὐτῶν, κἂν τε περὶ φυτῶν βουλώμεθα λέγειν κἂν τε περὶ ζώων καὶ τοσότων χερσαίων ἢ πτηνῶν ἢ θαλασσίων, πολλὰ λάβοι τις ἂν τὰ ὑπάρχοντα, εἰ θέλει διαπονεῖν. τέως δὲ ἐκείνων εἰ καὶ κατὰ μικρὸν ἐφαπτόμεθα, χάριν ἔχει διὰ τὴν τιμιότητα πολλὴν ἢ εἴπερ τὰ λοιπὰ λέγοιμεν. ὥσπερ καὶ τῶν ἐρωμένων: καὶ ἀμηγέπη ἁπτόμενοι τῆς τῶν θείων θεωρίας ἥδιον ἔχομεν ταῦτα ⟨ἢ⟩ ἄλλα γνωρίζειν μετ' ἀκριβείας, ὥσπερ ἔχει καὶ ἐπὶ τῶν ἐρωμένων. ὅτι δὲ ἐρῶντα (l. ἐρῶνται) τὰ θεῖα παρ' ἡμῶν, δῆλον ἐκ τοῦ θαυμασμοῦ οὗπερ εἰς ἐκεῖνα ἔχομεν. θαυμαζόμενα γὰρ ποθοῦνται. διὸ καὶ ἡ Ἶρις ἀντικαταλλάττεταί τι πρὸς ⟨τὴν περὶ⟩ τὰ θεῖα φιλοσοφίαν, ὥσπερ ἂν εἰ ἔλεγε πρὸς ἡμᾶς τὰ φυτὰ καὶ ζῶα ἄνθρωποι, εἰ γὰρ τίμια καὶ θειότερα τὰ οὐράνια τῶν τοιούτων τυγχάνει ἀλλ' ἦν (l. οὖν) ἐπειδὴ ἔνεισι καὶ ἡμῖν θαυμασιώτατα, ποιητέον λόγον καὶ περὶ τῶν τοιούτων, καὶ μὴ πάντη καταφρονητέον. μὴ κεχαρισμένα δὲ πρὸς αἴσθησιν εἴρηκε τὰ εὐειδέστατά τε (l. ἀηδέστατα) καὶ εἰδεχθέστατα, οἷά εἰσιν ὁ κοχλίας καὶ ἄλλα πάμπολλα. καὶ τὸ μὲν δυσχεραίνειν παιδικῶς ἴσον ἐστὶ τῷ οὐ δεῖ ὥσπερ τοὺς παῖδας φεύγειν τὰ μὲν (l. μὴ) ἡδέα τῶν ζώων, ἀλλὰ προσιέναι τούτοις διὰ τὸ ἐν αὐτοῖς θαυμάσιον. καὶ καθάπερ ἡράκλειτος. ἡράκλειτος ὁ ἐφέσιος (p. 22,18) ‖

p. 23,1 αὐτοῦ] αὐτῶν ‖ post αὐτῶν add. ὡς γὰρ ἡράκλειτος πάντα πλήρη θεῶν ἔλεγεν, οὕτως εἰκὸς λέγειν καὶ ὑπονοεῖν πάντα πλήρη θαυμασμῶν καὶ ἀειδῆ πολλάκις ὄντα καὶ δυσειδῆ. εἰ δέ τις τὴν περὶ τῶν ἄλλων ζώων. **p. 36,14** φησί om. ‖ 19. 20 ζῶον semel habet ‖ 24 τὸ ζώω εἶναι ‖ 31 πάσχειν ἢ ὑπὸ ψυχροῦ ἢ ὑπὸ θερμοῦ ‖ 34. 35 οὐκ ἔστι μυελὸς διὰ πολλῶν ἐπιχειρημάτων, ἀλλὰ τοῦ ἐν τοῖς ὀστοῖς καὶ φησὶν ‖ **p. 37,11** ante οὕτω add. ἐκ τοῦ αἱματώδους εἰς τὸ λευκὰ φαίνεσθαι αὐξανομένων τῶν ζώων ‖ post μυελὸς add. μεταβάλλει καὶ τῶν μὲν πιμελωδῶν λιπαρὸς ὁ ἐν τοῖς ὀστέοις μυελὸς τῶν δὲ στεατωδῶν στεατώδης ‖ **p. 37,24. 25** διὰ—ἔχειν om. ‖ 26 καίτοι ‖ 27 ἐν τῷ τοιούτῳ ‖ 28 post πυκνὰ add. καὶ συνεχῆ ‖ **p. 38,13** ἐγένετο ‖ 14 καὶ τὸ] καὶ τοῦ ‖ 19 οὖν om. ‖ 20 λέγει δὲ] καὶ λέγει ‖ 23 δύνασθαι ‖ 26 ἐγγὺς ὄν] συνεργόν ἐστι ‖ 27 καὶ διὰ τούτου τὸ ἔργον ‖ οὕτως ἐστὶ καὶ ἡ ‖ 35 post φλεβὸς add. καὶ ‖ **p. 39,7** ἀνάδοσις] ἀνάζεσις ‖ 9 καραβαριῶσι ‖ 17. 18 ἄνεισι τὸ πνεῦμα ‖ 21. 22 τουτέστι ψυχρότατος om. ‖ 24 ὅτι καὶ τὰ ‖ ὡς] καὶ ‖ 25 καλὸς ‖ 26 καὶ ante ὕδατος om. ‖ ante δέδεικται add. ἐντεῦθεν ‖ 27 ἔχει πλείων ὁ ἄνθρωπος ὡς ‖ 29 ὑποδεκαπλάσιον ‖ οὐκ ἔστι καὶ ‖ 34 διαδιδομένου ‖ 37 ἦν καὶ θερμὸν ‖ **p. 40,3** οὐ (ante πήξει) om. ‖ 8 ὅτι—δῆλον] διὸ ‖ 11 δ' ἐστὶν] δὲ ‖ 13 σάρξ, καθ' αὐτὸ δηλονότι ἡ σὰρξ τοῖς ζώοις ‖ 14. 15 εἰπὼν—σάρξ om. ‖ 15 ἐπήγαγε δὲ ἤτοι ‖ 18 ἐστὶ πρῶτον τῆς ὄψεως αἰσθητήριον ‖ 22 ὅτι] ὡς ‖

p. 40,23. 24 τούτων—τοιοῦτον om. ‖ 24 τῆς γοῦν ἁφῆς ‖ 26 συνειλημμένον—δι' οὗ om. ‖ ἤτοι ἢ om. ‖ 27. 28 ὥσπερ ἐκεῖ ὁ ἀὴρ μὴ συνειλημμένος, ἡ δὲ σὰρξ ἡμῖν σύμφυτος ἀλλ' οὐ ‖ 30 καὶ τὸ τῆς ante ὄψεως om. ‖ ἦν] ἐστίν ‖ 31 ὁμοίως om. ‖ αὐτοῦ om. ‖ 32 τῶν δύο om. ‖ 32. 33 ἀδύνατον—σαρκὶ καὶ om. ‖ 33 προὔργου καὶ ὠφέλιμον τῇ φύσει ποιῆσαι τὸ αἰσθητήριον τὸ ἀναλογοῦν τῇ σαρκὶ σάρκινον· ἐπὶ δὲ τῆς ἁφῆς, ὅτι πολλῶν οὖσα ἀντιληπτική, σκληρῶν μαλακῶν, ψυχρῶν θερμῶν τῶν λοιπῶν εὐλόγως σάρκινον ἐγένετο. σωματῶδες οὖν ἀντὶ τοῦ σύνθετον ‖ **p. 41,12** post σηπίας add. σῶμα ‖ 21 μάτην ἀν] μία τε ‖ 22. 23 αἷμα—ἐσώζετο om. ‖ 35 post τῶν ζώων add. ἐπεὶ δ' ἀνάγκη: περὶ τῆς ῥάχεως λέγει πῶς μία καὶ πολυμερὴς ἡ αὐτὴ ἅμα, μία μὲν διὰ τὴν συνέχειαν καὶ τὴν σύστασιν τῶν ζώων, πολυμερὴς δὲ διὰ τῶν σπονδύλων, διὰ τὴν κάμψιν καὶ τὴν κίνησιν τῶν ζώων διηρημένης μὲν οὔσης αὐτῆς, οὐ μὴν δὲ οὕτως ὥστε μὴ ἀσφαλίζεσθαι. συνδεδεμένη γάρ ἐστι παντοίοις νεύροις· τοῖς μὲν οὖν ἄλλοις: τῶν ὀστῶν φησι τὰ μέν εἰσι χάριν τῆς σαρκός. deficit F

II CONSPECTUS CODICUM AD RECENSIONEM NON ADHIBITORUM

PARISINUS gr. 1924 chartaceus saec. XVI [Omont II 164] fol. 1 Michaelis Eph. scholia in libros de part. animalium. titulus deest. specimen lectionis dedit Hermannus Diels

p. 1,5 post τούτων add. τε || 7 ἄρα] καὶ || 11 τε καὶ ταπεινοτέραν om. || 17 ὡς γεωμέτρης || **p. 2,2** πρώτερος || 18 καὶ post δὲ om. || 23 καὶ om. || 24 δὲ om. || 33 ὕπνων || 35 οἷς οἷον || **p. 3,4** λαμβάνοντες || 6 θύτερον || 9 ἢ om. || 11 ὑγίαν || 13 οἰκείας || οἰκονόμος || 16 τούτων || φιλόσοφοι om. || 19. 20 ἕτερος semel habet || 26 ὑγίαν || 30 εἰ δέ ἐστιν ||

Nonnulla ad haec addidit Paulus Wendland: p. 37,12 οὐ τοιοῦτος ἀλλὰ non om. || **p. 38,15** πρότερον — θερμόν non om. || **p. 40,12.** 13 εἰ δὴ — σάρξ om. (ut Sa) || deficit fol. 62ᵛ in vv λιπεῖν τὸ ὅπλον, λαβεῖν δ' ἕτερον καὶ διότι δύναται πλείω ὄργανα λαμβάνειν ἐμηχανήσατο ἡ φύσις καὶ τὸ τῆς χειρός (cf. S).

PARISINUS gr. 2066 chartaceus saec. XV [Omont II p. 186]: fol. 178 Michaelis scholia in Arist. de anim. incessu, fol. 201ᵛ eiusdem scholia in l. de anim. motione.

PARISINUS gr. 1882 membraneus saec. XV [Omont II p. 157]: fol. 129 Mich. scholia in l. de anim. motione. plerumque cum PR congruit. specimen dedit K. Kalbfleisch.

p. 103,4 τοῖς ζώοις || 8 κριτικῇ om. || 10 πρακτικὸν καὶ τὸ κριτικὸν coll. || 13 οὗ φάντασμα om. || 19 τὸν κόσμον || 23 νοοῦντες] κινοῦντες || 25 post εἶτα add. λέγει || κινούμενα || **p. 104,2** οὕτω κινεῖται || 5 ἡμῖν δοῦναι τὴν κατανόησιν || 10. 11 αὐτῶν — τὰ μέν ἐστιν om. || 12 πρὸς] εἰς || 17 τὸν παρ' ἐκείνω πρῶτον θεόν.

PARISINUS gr. 1922 chartaceus saec. XVI [Omont II p. 164]: fol. 58 Michaelis scholia in l. de anim. incessu; fol. 133 scholia in l. de anim. motione. ad familiam Sa pertinet (cf. Wendland XXII I p. IX). specimen dedit K. Kalbfleisch.

p. 103,2 δύναμις καὶ ὁρμητικὴ τῆς ψυχῆς coll. || 3 αἴτιαι || 4 ὁρμῇ || 7 τέλος] τελεία || 8 κριτικὴ om. || 13 εἰκόνος] εἰκός || 20 ἐντὸς ex ἐκτὸς corr. || **p. 104,1** οὐχ ἑκούσας || 4 λεγομένων ex λέξεων corr. || 6 ἑκάτερον || 10 αὐτῶν τετράσημα κινεῖται || **p. 135,7** αὐτοῖς ex αὐτῆς corr. || τοῦ om. || 8 ἑνὸς om. || 17 λέγει || 18 προβλήματα] πράγματα (sic etiam S, quod in adn. crit. praetermisi) || 24 γενήσεται || **p. 136,2** γαστροκνήμους || 5 κάμψῃ || 8 εἰ ὕπτιοι] οἱ αἰγύπτιοι || 9 καὶ — ῥάχει] ἡ ῥάχη || 13 κάμπτειν || 15 τὴν] τε.

BODLEIANUS misc. 129 chartaceus saec. XVI (de quo cf. Wendland XXII I p. X). specimen lectionis ex scholiis in l. de anim. incessu dedit K. Kalbfleisch.

p. 135,3 τίς τέ ἐστιν || λαβεῖν || 5 τῶν ζώων || 10 τὸ τὰ μὲν || 12 δ] ὅπερ || 14 καὶ ante εἰσὶν om. || 15 ἀναλόγω || 17 ἐπειδὰν || 19 μέλλομεν **p. 170,13** ἐστὶ || 14 φαίνεται || 15 κινεῖται || δεξιὸν || 19 τρόπον || δ] ὅπερ || 25 χηλή] χολή. ex his summus cum PR consensus apparet.

BONONIENSIS gr. 2305 chartaceus saec. XVI: p. 117ᵛ Mich. Ephesii comm. in l. de anim. motione.

MARCIANUS 237 bombycinus saec. XIV et MARCIANUS 238 membraneus saec. XV ex illo descriptus minora h. vol. commentaria exhibent.

LAURENTIANI 85,1 (Oceanus) bombycinus saec. XIV et 86,9 membraneus saec. XV commentaria in l. l. de part. anim. et de anim. incessu continent.

ESTENSES MUTINENSES 194 (II G 1) saec. XV, 209 (III G 5) chart. saec. XVI, 210 (III G 6) chart. saec. XVI primus comm. in l. l. de part. anim. et de anim. incessu, alii duo minora comm. exhibent.

VATICANI 261 P 1 chart. saec. XV et 1032 chart. saec. XV comm. in l. l. de part. anim. continent.

MICHAELIS EPHESII

IN LIBROS

DE PARTIBUS ANIMALIUM

COMMENTARIA

ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ ΠΡΩΤΟΝ ΤΩΝ ΠΕΡΙ ΖΩΩΝ ΜΟΡΙΩΝ ΜΙΧΑΗΛ ΤΟΥ ΕΦΕΣΙΟΥ.

Ὥσπερ ἐν τοῖς ἠθικοῖς ἐπιγραφομένοις Νικομαχείοις πρότερον προεῖπε ποταπὰς δεῖ ζητεῖν τὰς ἀποδείξεις τὰς περὶ τὰ καλὰ καὶ τὰ δίκαια γινομένας, ὁποῖόν τε τὸν περὶ τούτων ἀκουσόμενον εἶναι χρή, ὅτι πεπαιδευμένον (κρίνει γάρ, φησὶν ἐν ἐκείνοις, ἕκαστος καλῶς ἃ γινώσκει, καὶ τούτων ἐστὶν ἀγαθὸς κριτής· καθ' ἕκαστον ἄρα ὁ πεπαιδευμένος) ὡς οὖν ἐν ἐκείνοις ταῦτα προειπὼν οὕτω τὸν περὶ τῶν ἠθῶν λόγον ἐποιήσατο, οὕτω κἀνταῦθα ποιεῖ καὶ ἐκτίθεται τὸν ἀκουσόμενον τῆς περὶ τῶν ζῴων μορίων καὶ τῶν αἰτιῶν, δι' ἃς ταῦτα ἔχει τὰ ζῷα, πραγματείας, καί φησι 'περὶ πᾶσαν θεωρίαν τιμιωτέραν τε καὶ ταπεινοτέραν δύο ἕξεις εἰσίν, ὧν τὴν μὲν ἐπιστήμην προσαγορεύομεν καὶ τὸν ἔχοντα αὐτὴν ἐπιστήμονα καλοῦμεν, θατέραν δὲ παιδείαν καὶ τὸν ἀπ' αὐτῆς πεπαιδευμένον'. πεπαιδευμένος δὲ λέγεται οἷον φέρε εἰπεῖν ἐπὶ γεωμετρίας οὐχ ὁ ἔχων ἀκριβεστάτην πάντων ἕξιν τῶν γεωμετρικῶν θεωρημάτων (ὁ γὰρ τοιοῦτος κυρίως ἐπιστήμων ὀνομάζεται), ἀλλ' ὁ ἔχων γεωμετρικὰς ἀρχὰς καί τινων θεωρημάτων γνῶσιν καὶ δυνάμενος ἐκ τούτων κρίνειν τὸν διαλεγόμενον ὡς γεωμέτρην κατὰ τὰς γεωμετρικὰς ἀρχὰς καὶ ὡς δεῖ γεωμέτρην διαλέγεσθαι. ὅστις οὖν ἔχει ἀρχὰς γεωμετρικὰς ἀριθμητικάς τε καὶ ἀστρονομικὰς καὶ φυσικάς, καὶ ἁπλῶς ἁπασῶν τεχνῶν τε καὶ ἐπιστημῶν, καὶ δυνάμενος ἐκ τούτων κρίνειν τόν τε φυσικόν, εἰ φυσικῶς διαλέγεται, καὶ τὸν μαθηματικόν, εἰ μαθηματικῶς, καὶ τοὺς ἄλλους ὁμοίως, ὁ δὴ τοιοῦτος ὀνομάζεται ὅλως πεπαιδευμένος ἤγουν περὶ ἅπαντα πεπαιδευμένος καὶ ἁπάντων ἀρχὰς ἔχων καὶ πάντων κριτικὸς νομιζόμενος, εἷς ὢν τῷ ἀριθμῷ· οὐ γὰρ πολλοὶ ὁ τοιοῦτος, ἀλλ' εἷς. ὅστις δὲ ἔχει ἀρχὰς μιᾶς τινος φύσεως καὶ ἐπιστήμης, οἷον γεω-

---

1. 2 Tit. Σχόλια—Ἐφεσίου a, itemque (nisi quod τοῦ om.) P: σχόλια εἰς τὸ περὶ ζώων μορίων S 3 ἐν τοῖς ἠθικοῖς—Νικομαχείοις] A 1 p. 1094 b 23 sqq. 5 τε om. a post τούτων add. τε a et (supra v.) P ὅτι om. a 7 ἄρα F a Arist.: καὶ PS 8 post προειπὼν add. καὶ P περὶ τὸν ἠθῶν S 9 τῆς] τε a περὶ τῆς τῶν coll. S 13 δὲ (post θατέραν)] τε a post αὐτῆς add. δὲ a 24 κριτικὸς ex κινητικὸς corr. P 25 τινὸς μιᾶς coll. P

μετρίας μόνης, οὗτος διάκειται περὶ ἕν τι μόριον τῆς ὅλης ἐπιστήμης ὡς ὁ πρότερος περὶ ἅπαντα. ἐκ δὴ τούτων δῆλον ὅτι ὁ μὲν ἐπιστήμων καὶ πεπαιδευμένος ἐστίν, οὐ πᾶς δὲ πεπαιδευμένος ἐπιστήμων. εἰ δὴ ἐπὶ πάντων οὕτως ἔχει, δεῖ καὶ τῆς περὶ φύσεως ἱστορίας ὑπάρχειν ἀρχὰς καὶ ὅρους τοιούτους, πρὸς οὓς ἀναφέρων ὁ ἀκροώμενος ἀποδέξεται τὰ δεικνύμενα χωρὶς τοῦ πῶς ἔχει τἀληθές. εἰ γὰρ τοῦτό ποτε θεωρεῖ, ἀλλ' οὖν οὐ προηγουμένως ὁ πεπαιδευμένος σκοπεῖ, κἂν ἀληθὲς ᾖ μὴ τὸ δεικνύμενον ᾖ (ἐπιστήμονος γάρ ἐστι τοῦτο), ἀλλ' ἔργον ἐστὶν αὐτῷ θεωρῆσαι, εἰ γεωμετρικόν ἐστι τὸ δεικνύμενον, εἰ ἐκ τῶν γεωμετρικῶν ἀρχῶν δείκνυται.

Ταῦτ' εἰπὼν ἐπάγει 'ἆρα δεῖ λαβόντας ἑκάστην οὐσίαν περὶ ἑκάστης ἰδίᾳ ζητῆσαι, οἷον χωρὶς μὲν περὶ | ἀνθρώπου φύσεως καὶ ἰδίως περὶ λέοντος, ᾗ τὰ κοινῇ συμβεβηκότα πᾶσι κατά τι κοινὸν ὑποθεμένους'; οἷον ἐπεὶ συμβέβηκε καὶ ἀνθρώπῳ καὶ ἵππῳ καὶ λέοντι καὶ ἄλλοις πολλοῖς τὸ ἀναπνεῖν, τὸ αὔξειν, τὸ φθίνειν, δεῖ ὡς κοινόν τι πρᾶγμα καὶ κοινήν τινα φύσιν λαβεῖν τὸ ἀναπνευστικὸν καὶ ζητεῖν, ὅπως καὶ διὰ τί ἀναπνέουσι τὰ ἀναπνευστικὰ καὶ αὔξει τὰ αὐξητικά, ᾗ χωρὶς μὲν ἰδεῖν ὅπως ὁ ἄνθρωπος ἀναπνεῖ καὶ ἰδίως ὅπως ὁ ἵππος; εἰπὼν δὲ καὶ ὅτι πολλοῖς ἑτέροις οὖσιν ἀλλήλων τῷ εἴδει ὑπάρχει τὰ αὐτά, οἷον ὕπνος, ἀναπνοή, αὔξησις, φθίσις, θάνατος, ἐπήγαγε καὶ πρὸς τούτοις ὅσα τοιαῦτα τῶν λειπομένων παθῶν τε καὶ διαθέσεων, ὃ ἴσον ἂν εἴη τῷ καὶ πρὸς τούτοις ἄλλα πλεῖστα κοινῶς ὑπάρχει τοῖς ζῴοις, ἃ παραλέλειπται καὶ οὐ κατείληκται νῦν ἡμῖν· ταῦτα δ' ἂν εἶεν ἐγρήγορσις, μακροβιότης, βραχυβιότης καὶ τὰ ὅμοια. τὸ δὲ ἄδηλον γὰρ καὶ ἀδιόριστόν ἐστι λέγειν νῦν περὶ τούτων εἴρηται ἀντὶ τοῦ οὔπω γὰρ περὶ τούτων ὑπό τινος τῶν πρὸ ἡμῶν ἢ τῶν σὺν ἡμῖν ὄντων διώρισταί τε καὶ σεσαφήνισται, εἴτε χωρὶς δεῖ λέγειν εἴτε κοινῶς. εἰπὼν οὖν ὅτι πότερον δεῖ λαβόντας μίαν ἑκάστην οὐσίαν καὶ τὰ ἑξῆς, ἐπάγει φανερὸν δὲ καὶ ὅτι κατὰ μέρος μὲν λέγοντες περὶ πολλῶν ἐροῦμεν πολλάκις τὰ αὐτά, αἰνιττόμενος διὰ τούτων ὡς οὐ δεῖ χωρὶς περὶ ἑκάστου λέγειν, ὅπως τε ὁ ἵππος ἀναπνεῖ καὶ ὅπως ὁ ἄνθρωπος, ἀλλὰ ληπτέον ὡς μίαν τινὰ φύσιν τὸ ἀναπνευστικὸν καὶ σκοπητέον, ὅπως γίνεται. ἐπεὶ δὲ τῶν κοινῶς ὑπαρχόντων τοῖς ζῴοις τὰ μέν ἐστι συνώνυμα, τὰ δ' ὁμώνυμα, θεὶς ὑποδείγματα τῶν συνωνύμων ὕπνον, ἀναπνοήν, αὔξησιν, φθίσιν, τίθησι καὶ τῶν ὁμωνύμων λέγων ἕτερα δὲ ἴσως ἐστὶν οἷς συμβαίνει τὴν μὲν κατηγορίαν ἔχειν τὴν αὐτήν, τὸ ἕτερα ἀντὶ τοῦ ὁμώνυμα νῦν λαβών· ἡ γὰρ πορεία ὁμωνύμως βαδίσεως καὶ ἕρψεως καὶ πτήσεως κατηγορεῖται· τὸ δὲ ἴσως ᾗ ἀντὶ τοῦ

---

3 δὴ] δὲ P 6 εἰ γὰρ—ἀληθὲς (7) om. P post γὰρ add. καὶ a 8 ᾗ] ἐστιν a 11 λαβόντα Pa 12 ἰδίᾳ a, sed cf. v. 18 24 δὲ om. S 24. 25 περὶ τούτων νῦν coll. a 28 καὶ post δὲ supr. v. S ὅτι καὶ Arist. 29 post αἰνιττόμενος add. οἶμαι a 30 οὐ infra v. P 31 post ἄνθρωπος add. πολλάκις γὰρ ἀναγκασθησόμεθα λέγειν ταυτὰ a 31. 32 σκεπτέον a 35 μὲν om. P 36 τοῦ ὁμώνυμον P

ἁπλῶς καὶ καθόλου κεῖται ἢ διὰ φιλόσοφον εὐλάβειαν. τὸ δὲ πότερον καθάπερ οἱ μαθηματικοὶ τὰ περὶ τὴν ἀστρολογίαν δεικνύουσιν, οὕτω δεῖ καὶ τὸν φυσικὸν ἴσον ἂν εἴη τῷ ἀρά γε ὥσπερ οἱ μαθηματικοὶ λαβόντες τὸ πρᾶγμα ὅτι ἐστὶν οὕτω τὰς αἰτίας, διὰ τί οὕτως ἔχει, ζητοῦσι (λαβόντες γὰρ ἐξ αἰσθήσεως ὅτι τῶν ἀστέρων οἱ μὲν ἀεὶ δύνουσιν, ὡς τὸ λεγόμενον θυτήριον, ὡς ὁ στέφανος, οἱ δὲ οὐδέποτε ποιοῦνται δύσιν, ὡς ἡ ἄρκτος, οὕτω τὴν αἰτίαν διὰ τί οὕτως ἔχει ἐζήτησαν) οὕτω δεῖ καὶ τὸν φυσικὸν πρότερον ἰδεῖν, εἰ ἔχει τὰ ζῷα καρδίαν, πνεύμονα, φλέβας, καὶ οὕτω ζητῆσαι, διὰ τί ταῦτα ἔχουσι τὰ μόρια, ἢ ἀνάπαλιν;

p. 639ᵇ16 Ἢ τῇ αἰσθήσει ὁρισάμενος.

Ὁρίζεται τὴν ὑγείαν τῇ αἰσθήσει ὁ ἰατρός, ὅταν λαβὼν ὑγιᾶ χεῖρα φάσκῃ 'ἐπειδὰν ἡ νοσοῦσα χεὶρ ἐνεργῇ ὡς αὕτη, τότε ὑγιανεῖ'. ὁμοίως καὶ ἐπὶ οἰκίας, ὅταν ἀφορῶν ὁ οἰκοδόμος πρὸς τὴν ἤδη οὖσαν ἑτέραν ὁμοίαν ἐκείνῃ ποιῇ.

p. 639ᵇ22 Εἰς ὃ πειρῶνται πάντες σχεδόν.

Οἱ γὰρ πρεσβύτεροι τούτου φιλόσοφοι τὸ ὑλικὸν ἅπαντες ἐζήτουν αἴτιον καὶ περὶ ἐκεῖνο διέτριβον ἧττον φροντίσαντες τῶν ἄλλων αἰτίων, κἂν ἐπὶ μικρὸν καὶ ἐκείνων, ὅσον ὀνειρώξασθαι, ἥψαντο.

p. 639ᵇ30 Ἀλλ' ὁ τρόπος τῆς ἀποδείξεως καὶ τῆς ἀνάγκης ἕτερος.

Ἕτερος, φησίν, ἐστὶν ὁ τρόπος τῆς ἀποδείξεως καὶ τῆς ἀνάγκης ἤγουν τῆς ὕλης ἐπί τε τῆς φυσικῆς καὶ τῶν θεωρητικῶν ἐπιστημῶν καὶ ἐπὶ τῶν τεχναστῶν· τοῦτο γὰρ δεῖ προσυπακούειν. τῆς μὲν γὰρ φυσικῆς ἀρχὴ τὸ ὄν· ὡς ἤδη γὰρ ὄντα λαβοῦσα τὸν ἄνθρωπον, κἂν μήπω ἐστί, λέγει 'ἐπειδὴ τοιονδί ἐστιν ὁ ἄνθρωπος, δεῖ τοιᾶσδε ὕλης', καὶ οὐ φησιν ὡς ἐπειδὴ τοιαύτη ἐστὶν ἡ ὕλη, δεῖ ἄνθρωπον εἶναι. καὶ ἡ ἰατρικὴ ὁμοίως τὴν ὑγίειαν ὡς οὖσαν, κἂν μὴ ἔστι, καὶ ὁ γεωμέτρης τὸ τρίγωνον ὡς ὂν λαβὼν ζητεῖ, εἰ ἔχει τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας. ἐπὶ δὲ τῶν τεχναστῶν οὐχ οὕτως, ἀλλ' ὡς μὴ ὂν καὶ δυνάμενον γενέσθαι· φαμὲν γὰρ 'εἰ ἔσται πρίων, δεῖ τοιᾶσδε ὕλης', καὶ ἐπὶ τῆς οἰκίας ὁμοίως.

p 640ᵃ6 Οὐδ' ἔστιν εἰς ἀίδιον συναρτῆσαι.

Οὐ δυνατόν ἐστι, φησίν, εἰς ἀίδιον συναρτῆσαι τῆς τοιαύτης ἀποδείξεώς ἤγουν τῆς ἀντιστρεφούσης τὴν ἀνάγκην ἐπὶ τῶν τεχναστῶν, ὥστε

---

2 ἀστρονομίαν Pa 4 et 5 λαμβάνοντες S 7 ἡ om. P 11 ὑγιῆ S
14 ἐκείνῃ om. P 16 τούτων S φιλόσοφοι om. S ἅπαντες om. S
17 καὶ—διέτριβον om. S 18 μικρὸν ὅσον καὶ ἐκεῖνοι ὀνειρώξασθαι S 19 δείξεως P
19. 20 ἕτερος semel habet S 22 δεῖ om. a

λέγειν 'ἐπειδὴ ἡ | οἰκία τοδί ἐστι, δεῖ τοιαύτης ὕλης, καὶ ἐπεὶ τοιαύτη ὕλη 69
ἐστίν, ἔσται οἰκία'. ἐπὶ δὲ τῶν ἀιδίων δυνατὸν λέγειν 'ἐπεὶ ὁ ἥλιος ἐν
κριῷ ἐστιν, ἦν ἐν τοξότῃ, καὶ ἐπεὶ ἐν τοξότῃ ἐστίν, ἔσται ἐν κριῷ'. ἀλλὰ
περὶ μὲν τούτων εἴρηκε καὶ ἐν τῷ δευτέρῳ τῆς Ἀποδεικτικῆς καὶ ἐν τῷ
5 τέλει τῆς Περὶ γενέσεως καὶ φθορᾶς, καὶ ἐν τῇ Μετὰ τὰ φυσικά.

p. 640ª10 Δεῖ δὲ μὴ λεληθέναι καὶ πότερον προσήκει λέγειν. 5

Καὶ τοῦτό φησι δεῖν γινώσκειν ἡμᾶς, ἆρ' οὕτω ποιητέον τὴν παρ-
οῦσαν σκέψιν, ὥσπερ οἱ πρὸ ἡμῶν ἐποίουν. ἐκεῖνοι γὰρ ἔλεγον ὅτι τὴν
τοῦ πράγματος γένεσιν, ὅπως γίνεται, πρότερον ζητεῖν ἄξιον· ταύτης γὰρ
10 καταληφθείσης καὶ γνωρίμου γεγονυίας ἕπεται καὶ ἡ γνῶσις τῆς τοῦ πρά-
γματος ὑπάρξεως καὶ τῆς οὐσίας αὐτοῦ. ἀλλ' ἐκεῖνοι μὲν οὕτως· ὁ δὲ οὐκ
ἀρέσκεται, ἀλλά φησιν ἔοικεν ἐντεῦθεν ἀρκτέον εἶναι, καθάπερ καὶ 10
πρότερον εἴπομεν, καὶ ληπτέον τὰ ὑπάρχοντα ἑκάστῳ γένει ὡς ὑπ-
άρχοντα, καὶ θεωρητέον τίνα τίσιν ὑπάρχει καὶ ἐστίν, οἷον τοῖς μὲν βουσὶν
15 ἐχῖνος, σηπίᾳ δὲ τὸ σήπιον καὶ ἄλλοις ἄλλα. καὶ μετὰ τὴν γνῶσιν τῶν
ὑπαρχόντων ἑκάστοις οὕτω ζητητέον τήν τε γένεσιν αὐτῶν καὶ τὰς αἰτίας,
καθ' ἃς ταῦτα αὐτοῖς ὑπάρχει. εἰ γὰρ μὴ γνῶμεν πρότερον ὅτι εἰσί, πῶς 15
ἂν ὅπως γέγονεν εὕροιμεν; οὕτω γὰρ καὶ ἐπὶ οἰκοδομήσεως ποιοῦμεν· ὡς
οὖσαν γὰρ τὴν οἰκίαν λαβόντες, οὕτω τὴν γένεσιν αὐτῆς ζητοῦμεν, ὅπως
20 ἐγένετο. εἰ δὲ ἡ γένεσις ἕνεκα τῆς οὐσίας ἐστίν, οὐκ ὀρθῶς Ἐμπεδοκλῆς
εἴρηκεν ὑπάρχειν πολλὰ τοῖς ζῴοις κατὰ συμβεβηκὸς καὶ ἀπὸ τύχης. ἔλεγε
γὰρ τὴν ῥάχιν ἀπὸ τύχης καὶ κατὰ συμβεβηκὸς ἔχειν τοὺς σπονδύλους·
μία γὰρ οὖσα, φησί, καὶ συνεχὴς ὥσπερ ἡ ῥάβδος ἢ κάλαμος, καὶ στρα- 20
φέντος τοῦ ζῴου ἢ κύψαντος κατεάγη, ἀγνοήσας πρῶτον μὲν ὅτι τὸ σπέρμα,
25 ἀφ' οὗ τὰ μέρη τοῦ ζῴου συνέστη, δεῖ δυνάμει ταῦτα πάντα εἶναι, εἶθ'
ὅτι καὶ ὁ πατήρ, ἀφ' οὗ τὸ σπέρμα, πρότερός ἐστι τοῦ υἱοῦ· ὥστε διὰ τὸ
τὸν πατέρα τοιόνδε εἶναι καὶ τὸ σπέρμα δυνάμει τὰ μέρη, διὰ τοῦτο γέ-
γονεν ἡ ῥάχις τοιαύτη καὶ τὰ λοιπὰ μόρια, ἀλλ' οὐχ ὅτι ἐστράφη ἢ ἔκυψε
κατεαγεῖσα ἔσχε τοὺς ἁρμούς. ἰστέον δὲ καὶ τόδε ὅτι ὥσπερ ἐπὶ τῶν ἀπὸ 25
30 φύσεως καὶ τέχνης γινομένων προϋπάρχοντος τοῦ ποιητικοῦ ὑπ' αὐτοῦ
γίνεται τὰ γινόμενα οἷά ἐστιν, οὕτω καὶ ἐπὶ τῶν αὐτομάτως δοκούντων
γίνεσθαι ἔνια γίνεται οἷα ἂν ἐποίησε φύσις ἢ τέχνη. εἰπὼν δὲ ὅτι τῶν
τεχναστῶν προϋπάρχει τὸ ποιητικὸν ὅμοιον ὂν τῷ γινομένῳ ἐπήγαγεν 'ἡ
γὰρ τέχνη λόγος καὶ εἶδος τοῦ τεχναστοῦ ἐστιν ἄνευ τῆς ὕλης'. καὶ τοῦτο 30
35 πανάληθες· ἡ γὰρ οἰκοδόμησις οὐδὲν ἄλλο τυγχάνει οὖσα ἢ τὸ εἶδος τῆς

---

1 τοδί] τοιαδί S ἐπειδὴ S ἥλη P 4 τῷ prius om. a 4. 5 ἐν τῷ δευτέρῳ τῆς Ἀποδεικτικῆς—Μετὰ τὰ φυσικά] cf. Anal. post. B 11. 12 de gener. et corr. B 11 Metaph. Δ 5 8 post ἐποίουν add. ἢ τοὔμπαλιν S 11 αὐτῆς P (supr. v.) a 15 σηπείᾳ a σήπιον scripsi: σηπήιον libri 21 τοῖς om. a 23 ἡ] καὶ a 25 δεῖ δυνάμει εἶναι ταῦτα τὰ πάντα Pa 29 κατεάγη καὶ ἔσχε S 30 γενομένων P 31 γενόμενα P 33 ὑπάρχει Pa 34 εἶδος καὶ λόγος coll. S

οἰκίας χωρὶς ξύλων καὶ λίθων. διὸ οὐ τὴν τύχην καὶ τὸ κατὰ συμβεβηκὸς αἰτιατέον, ἀλλὰ λεκτέον 'ἐπεὶ τοῦτό ἐστι τὸ ἀνθρώπῳ εἶναι, διὰ τοῦτο ταῦτα τὰ μόρια ἔχει'. οὐ γὰρ ἐνδέχεται εἶναι ἄνευ τῶν μορίων τούτων ἢ πάντων ἢ τῶν γε κυριωτάτων καὶ ὧν ἄνευ ἀδύνατον εἶναι. τούτου γάρ
5 ἐστι δηλωτικὸν τὸ εἰ δὲ μή, ἀλλ' ὅτι ἐγγυτάτω τούτοις, καὶ ἢ 35
ὅλως ἐχέτω τὰ μόρια, ἤτοι καὶ ἢ τὰ κυριώτατα ἐχέτω μόρια, καρδίαν, ἧπαρ, τὰ ὅμοια, ὅτι χωρὶς τούτων ἀδύνατον εἶναι, ἢ καλῶς γε οὕτως, τουτέστιν ἢ πάντα ἐχέτω· τὸ γὰρ κάλλιον τοῦτό ἐστι τὸ μηδὲν ἐλλείπειν τῶν ἐν αὐτῷ μορίων. τὸ δὲ ταῦτα δὲ ἕπεται ἴσον ἐστὶ τῷ εἰ καλῶς
10 ἔχοι ὁ ἄνθρωπος, ἕπεται ταῦτα πάντα μόρια αὐτοῦ· τῷ γὰρ καλῶς ἔχοντι τοῦτ' ἀκολουθεῖ, τὸ μηδὲν ἐλλείπειν μήτε τῶν κυριωτάτων μήτε τῶν 40
ἀκύρων.

Εἰπὼν δὲ ἀνωτέρω ὅτι πρῶτον τὰ φαινόμενα καὶ ὄντα ληπτέον περὶ ἕκαστον γένος, εἶθ' οὕτω τὰς αἰτίας τούτων λεκτέον, καὶ μεταξὺ πολλὰ
15 παρενείρας ἐπάγει ἐπεὶ δὲ ἔστι τοιοῦτον, τὴν γένεσιν ὡδί, δυνάμει λέγων 'δεῖ δὴ τὸ πρᾶγμα ὡς ὂν λαμβάνειν, εἶτα λέγειν, ἐπειδὴ τοιοῦτόν ἐστι καὶ φύσιν εἴληφε τοιαύτην, δεῖ τὴν γένεσιν ὡδὶ γενέσθαι, πρότερον 45
μὲν καρδίαν, εἶτα ἄλλο καὶ οὕτως ἕτερον'. ἀλλ' οὗτος μὲν οὕτω δαιμονίως περὶ τούτου διορίζει· Ἐμπεδοκλῆς δὲ τὴν ὕλην αἰτιᾶται τῆς γενέσεως
20 λέγων 'ἐπεὶ καὶ τὸ πῦρ καὶ ὁ ἀὴρ ἄνω πεφύκασι φέρεσθαι, γῆ δὲ καὶ ὕδωρ κάτω, συναγούσης τῆς Φιλίας τὰ στοιχεῖα τὸ ἐν ἐμοὶ ὕδωρ κάτω πεφυκὸς φέρεσθαι ἐκοίλανε τὸν τόπον | ὃν καλοῦμεν κοιλίαν, καὶ 70
πεποίηκεν αὐτήν (ῥανὶς γὰρ ἐνδελεχείῃ καὶ πέτραν κοιλαίνει), ὁμοίως καὶ ὁ ἀὴρ ἐπὶ τὸ ἄνω φερόμενος διέρρηξε τὸν τόπον καθ' ὃν οἱ μυκτῆρες,
25 καὶ γεγόνασι μυκτῆρες. εἰ οὖν ἄτοπον ταῦτα λέγειν, ἔστι δὲ καὶ ὁ ἄνθρωπος καὶ τὰ ζῷα καὶ τὰ μόρια αὐτῶν φύσει, λεκτέον ἂν εἴη περὶ σαρκὸς καὶ ὀστοῦ καὶ τῶν ὁμοίων· οὐ γὰρ ἱκανὸν τὸ λέγειν ὅτι ἐκ πυρός εἰσι καὶ 5
ἀέρος, ὥσπερ κἂν εἰ περὶ κλίνης ἐποιούμεθα τὸν λόγον, ἐπειρώμεθα μᾶλλον περὶ τοῦ εἴδους λέγειν ἢ περὶ τῆς ὕλης, εἰ δὲ μή, ἀλλ' οὖν περὶ ἀμφοῖν
30 καὶ τῆς ὕλης καὶ τοῦ εἴδους, ἀλλ' οὐ περί γε τῆς ὕλης μόνης. καὶ πῶς ἂν περὶ ἀμφοῖν ἐλέγομεν, ἐπήγαγε 'κλίνη γάρ ἐστι τόδε ἐν ὑποκειμένῳ οὖσα τῳδί, ἢ τόδε τὸ ὑποκείμενόν ἐστι τοιονδί'.

p. 640b29 Εἰ μὲν οὖν τῷ σχήματι καὶ τῷ χρώματι ἕκαστον τῶν 10
ζῴων.

35 Δημόκριτος τὴν ἅπασαν ζήτησιν περὶ τῆς ὑλικῆς αἰτίας ποιούμενος ἀπεκρίνατο, τὸ δὲ τίνος ἕνεκα ἤτοι τὴν εἰδικὴν εἶα λέγων 'ἅπαντι δῆλόν

---

1 κατὰ om. S 2 τὸ] τῷ a 3. 4 ἢ πάντων—κυριωτάτων om. P 5 ἐστι om. P 6 τὰ (post ἢ)] καὶ S 10 πάντα om. a 11 ἀκολουθεῖ τοῦτο S 19 περὶ τούτων S 20 ἐπειδὴ τὸ S 23 ῥανὶς—κοιλαίνει] cf. Naeke Choeril. p. 169 ἐνδελεχίῃ libri 24 ὁ om. S 28 κἂν] γὰρ Pa 36 τὸ δὲ om. S τινος Pa ἤτοι om. S

ἐστιν ὁποῖόν τι κατὰ τὴν μορφὴν καὶ τὸ χρῶμα ὑπάρχει ὁ ἄνθρωπος καὶ ἕκαστον τῶν ζῴων, κατὰ δὲ τὴν ὕλην ἄδηλον· εἰ δὲ τοῦτο, περὶ τοῦ ἀδήλου τὴν ζήτησιν ποιητέον, καὶ οὐ περὶ τοῦ φανερωτάτου'. πρὸς ταῦτα ἐνίσταται ὁ Ἀριστοτέλης λέγων 'εἰ μὲν οὖν κατὰ τοιονδὶ σχῆμα καὶ χρῶμα ὁ ἄνθρωπος οὐσίωται καὶ ἕκαστον τῶν ζῴων καὶ τῶν μορίων, ὀρθῶς ἂν ὁ Δημόκριτος λέγοι· εἰ δὲ μὴ κατὰ ταῦτα, ἀλλὰ κατὰ τὸν ὁριστικὸν λόγον, οὐκ ὀρθῶς. εἰ γὰρ ἦν τῷ ἀνθρώπῳ τὸ ἀνθρώπῳ εἶναι κατὰ τοιονδὶ σχῆμα, ἦν ἂν καὶ ὁ τεθνεὼς ἄνθρωπος· σώζει γὰρ καὶ οὗτος τὸ τῶν ζώντων σχῆμα· ἀλλ' ἄνθρωπος οὐκ ἔστιν. λίαν οὖν περὶ τούτων ἁπλῶς καὶ ἀνεπισκέπτως εἴρηκε, καὶ τὸν αὐτὸν τρόπον ὥσπερ ἂν εἰ τέκτων λέγοι περὶ χειρὸς ξυλίνης ὅτι χεὶρ ἐστι ξύλον οὕτωσὶ λεανθὲν κοιλανθέν τε καὶ σχισθέν. οὕτω γὰρ καὶ οἱ φυσιολόγοι τὰς τῶν σχημάτων αἰτίας λέγουσιν· ἐπεὶ τὸ ὕδωρ κάτω ῥεῖ, γέγονεν ἡ κοιλία, καὶ οἱ μυκτῆρες, ὅτι ὁ ἀὴρ ἄνω· ἀπὸ γὰρ τῆς ὕλης καὶ τῶν δυνάμεων, κουφότητος βαρύτητος, τὰς αἰτίας τοῦ σχήματος ἀποδιδόασι. καὶ ἴσως ὁ μὲν τέκτων αἴτια τοῦ σχήματος εἶπεν ἂν τὰ ὄργανα, τρύπανον καὶ σκέπαρνον, ὁ δὲ Δημόκριτος ἀέρα καὶ γῆν, ἀλλὰ βέλτιον ὁ τέκτων τὰς αἰτίας ἐρεῖ λέγων * * καταλέγει οὖν αὐτὰς οὗτος λίαν σαφῶς. δῆλον οὖν ὅτι οὐκ ὀρθῶς λέγουσιν, ἀλλὰ λεκτέον τὸ εἶδος τοῦ ζῴου, κἂν ἄνθρωπος κἂν ἄλλο ὁτιοῦν ἐστιν, ὅτι τοιοῦτον, καὶ περὶ ἐκείνου τοῦ εἴδους ζητητέον καὶ τί ἐστι καὶ ποῖόν τι, καὶ τῶν μορίων ἕκαστον. καὶ εἰ ἔστι τὸ εἶδος τοῦ ἀνθρώπου ἡ πᾶσα ψυχή, ἡ λογική τε καὶ ἄλογος, ἢ μέρος ψυχῆς, τουτέστι μόνη ἡ ἄλογος, ἢ ἂν ἀδύνατον χωρὶς ψυχῆς εἶναι τὸ τοῦ ἀνθρώπου εἶδος (ἀπελθούσης γὰρ τῆς ψυχῆς οὐκέτι ζῷόν ἐστιν ὁ ἄνθρωπος οὐδὲ τῶν μορίων οὐδὲν πλὴν τῷ σχήματι μόνον, καθάπερ καὶ τὴν μυθευομένην Νιόβην ἀπολιθωθεῖσαν ἄνθρωπον μὲν μηκέτι εἶναι, σώζειν δὲ τὸ σχῆμα * *) εἰ δὴ εἶδος ἀνθρώπου ψυχὴ ἢ μέρος ψυχῆς, τοῦ φυσικοῦ περὶ ψυχῆς ἂν εἴη λέγειν, καὶ εἰ μὴ περὶ πάσης, τῆς τε λογικῆς καὶ ἀλόγου, ἀλλὰ τέως περὶ τῆς ἀλόγου, καθ' ἣν τὰ ζῷα τὸ ζῷα εἶναι ἔσχηκεν. ἄλλως τε καὶ τῆς φύσεως τῆς μὲν ὡς ὕλης λεγομένης, τῆς δὲ ὡς εἴδους (καὶ ἔστιν ἡ εἰδικὴ φύσις καὶ ὡς κινοῦσα καὶ ὡς τέλος· αὕτη γὰρ ὡς ἐφετὸν καὶ κοσμοῦν κινεῖ τὴν ὕλην· ἀλλὰ καὶ τὸ τέλος αὕτη· πάντα γὰρ τὰ πρὸ τοῦ εἴδους γινόμενα ἕνεκα τούτου γίνεται) διχῶς οὖν τῆς φύσεως λεγομένης, ὧν ἡ μέν ἐστιν ὡς οὐσία καὶ ἔστιν αὕτη ἤτοι ἡ πᾶσα ψυχή, ἡ λογικὴ καὶ ἄλογος, ἢ μέρος τι αὐτῆς οἷον ἡ ἄλογος, καὶ διὰ τοῦτο ῥητέον ἂν εἴη τῷ φυσικῷ περὶ ψυχῆς καὶ τοῦ εἴδους μᾶλλον ἢ περὶ τῆς ὕλης, ὅσῳ μᾶλλον ἡ ὕλη ὥσπερ φύσις ἐστὶ διὰ τὸ εἶδος ἢ τοῦτο δι' ἐκείνην.

Ταῦτα εἰπὼν ζητεῖ, πότερον περὶ πάσης ψυχῆς ἐστι τῆς φυσικῆς εἰπεῖν ἢ περί τινος. εἰ γὰρ περὶ πάσης, δῆλον ὅτι καὶ περὶ τοῦ νοῦ· ὁ δὲ νοῦς

4 οὖν supr. v. P 6 λέγει a 9 ζώντων] ζώων Pa 11 λεανθὲν S κοιλανθέν τε om. S 17 lacuna ex Arist. p. 641ᵃ12 sqq. explenda 18 οὗτος] fort. οὕτως 23 τῆς om. a 24 ὁ om. a 26 addendum λέγομεν δὴ scripsi: δὲ libri 30 εἶδος PS τέλεια (sic) a 38 ἐστὶ ψυχῆς coll. S τῆς om. S

τῶν πρός τι (ὁ γὰρ νοῦς νοητῶν ἐστι νοῦς), ἐν δὲ τοῖς πρός τι ὁ θάτερον εἰδὼς καὶ θάτερον οἶδεν· ὥστε εἰ περὶ τοῦ νοῦ λέγει ὁ φυσικός, ἐρεῖ καὶ περὶ τῶν νοητῶν. εἰ οὖν ἡ φυσικὴ λέγει καὶ περὶ τῶν αἰσθητῶν καὶ περὶ τῶν νοητῶν, οὐδεμία ἔσται ἄλλη ἐπιστήμη παρὰ τὴν φυσικήν· οἰ|χήσεται 71
ἄρα ἡ θεολογία. εἰπὼν δὲ ὅτι τῆς αὐτῆς ἐστιν ἐπιστήμης λέγειν περὶ νοῦ καὶ τῶν νοητῶν, ἐπήγαγεν εἴπερ ἄλλα, τουτέστιν εἴπερ ἕτερον ὁ νοῦς καὶ τὰ νοητά, ἀλλὰ μὴ ταὐτά· εἴρηκε γὰρ ἐν τῷ τρίτῳ τῶν Περὶ ψυχῆς ὅτι πᾶς νοῦς νοητὸς καὶ πᾶν κυρίως νοητὸν νοῦς. ἀπορήσας οὖν λύει λέγων οὐκ ἔστι πᾶσα ψυχὴ κινήσεως ἀρχή, οὐδὲ τὰ μόρια πάντα τῆς ψυχῆς, ἀλλ' αὐξήσεως μὲν αἴτιον τὸ θρεπτικὸν μόριον, ἀλλοιώσεως δὲ τῆς μετὰ συναισθήσεως γινομένης καὶ μὴ ἄνευ αἰσθήσεως τὸ αἰσθητικόν, φορᾶς δὲ τὸ ὀρεκτικὸν καὶ οὐ τὸ νοητικόν. ἐπεὶ οὖν ἡ φύσις ἀρχὴ κινήσεώς ἐστι καὶ ἠρεμίας, τὸ δὲ νοητικὸν αἴτιον κινήσεως οὐκ ἔστι, δῆλον ὅτι περὶ τῶν κινητικῶν μορίων τῆς ψυχῆς ὁ φυσικὸς ἐρεῖ καὶ οὐ περὶ τοῦ νοητικοῦ. τὸ δὲ ἓν ἢ καὶ πλείω εἶπεν ὡς εἰ ἔλεγε 'τὰ δὲ κινητικὰ τῆς ψυχῆς μόρια εἴτε ἕν ἐστιν εἴτε καὶ πλείω ἑνός, περὶ τῶν τοιούτων ὁ φυσικὸς ἐρεῖ καὶ οὐ περὶ τοῦ νοητικοῦ'. δείκνυσι δὲ ὅτι οὐδὲ περὶ τῶν μαθηματικῶν ὁ φυσικὸς ἐρεῖ, διότι ἡ φύσις ἕνεκά του πάντα ποιεῖ, τὰ δὲ ἐξ ἀφαιρέσεως, ἅπερ ἐστὶ τὰ μαθηματικά, οὐχ ἕνεκά του εἰσί. καὶ ὥσπερ, φησίν, ἐν τοῖς τεχναστοῖς ἐστιν ἀρχὴ κινήσεως ἡ τέχνη, οὕτως ἐν ἡμῖν ἄλλη τις ἀρχὴ καὶ αἰτία, εἴτε ψυχὴν εἴτε φύσιν αὐτὴν καλεῖν δεῖ. αὐτὸς γὰρ καὶ τὴν ψυχὴν φύσιν ἐνταῦθα εἴρηκεν, ὥστε καθολικώτερον ἡ φύσις τῆς ψυχῆς. ταύτην δέ, φησί, τὴν ἀρχὴν καὶ αἰτίαν τὴν ἀνάλογον οὖσαν τῇ τέχνῃ, ἔχομεν ἐκ τοῦ σύμπαντος κόσμου ὥσπερ καὶ τὸ ψυχρὸν καὶ τὸ θερμόν· ἐκ τοῦ κόσμου γὰρ καὶ αὐτὰ σύνεισιν ἡμῖν. σαφῆ δὲ τὰ λοιπά.

Τὸ δὲ ἀλλὰ μὴν τούτου πρότερον τὸ οὗ τὸ σπέρμα εἴρηκεν ἀντὶ τοῦ τὸ δὲ σπέρμα ὕστερόν ἐστι τοῦ οὗ ἐστι σπέρμα. τὸ γὰρ ποιῆσαν τὸν Σωκράτην σπέρμα εἰ καὶ πρότερόν ἐστι Σωκράτους τῷ χρόνῳ, ἀλλὰ τῇ φύσει καὶ τῷ τιμίῳ καὶ ὅλως τῷ τελείῳ ὕστερόν ἐστι τοῦ Σωκράτους. ὃ καὶ κατασκευάζων ἐπήγαγε τὸ γένεσις μὲν γὰρ τὸ σπέρμα, οὐσία δὲ τὸ τέλος, ἴσον λέγων τῷ τὸ μὲν σπέρμα γένεσίς ἐστι, πᾶσα δὲ γένεσις ἀτελής, τὸ δὲ ἐκ τοῦ σπέρματος γεγονὸς τέλος καὶ οὐσία· τὸ δὲ τέλος καὶ ἡ οὐσία πρότερον τῇ φύσει τοῦ ἀτελοῦς. ἀλλ' ὁ μὲν Σωκράτης πρότερος τῇ φύσει τοῦ ἐξ οὗ γέγονε σπέρματος, ὁ δὲ Σωφρονίσκος ἀμφοτέρων τῷ χρόνῳ καὶ Σωκράτους καὶ τοῦ ἐξ οὗ ὁ Σωκράτης σπέρματος. λέγεται δὲ τὸ σπέρμα διχῶς· τὸ γὰρ σπέρμα ἐξ οὗ ὁ Σωκράτης λέγεται καὶ Σωκράτους σπέρμα, λέγεται καὶ Σωφρονίσκου, ἀλλ' οὐ τὸν αὐτὸν τρόπον, ἀλλὰ τὸν εἰρημένον· τοῦ μὲν γὰρ Σωφρονίσκου ὡς ἐξ οὗ· ἐξ αὐτοῦ γὰρ ἐξῆλθε· τοῦ δὲ Σωκράτους ὡς οὗ· αὐτοῦ γὰρ ἕνεκα, ἢ τούτου γάρ ἐστι ποιητικόν.

---

6 ἄλλα] sic libri et Arist. ESUY: ἅμα Arist. P: πρὸς ἄλληλα Arist. vulg. 7 ἐν τῷ τρίτῳ τῶν Περὶ ψυχῆς] c. 4 9 κινήσεως] κινουμένου a 11. 12 αἰσθητὸν a 14 τῶν νοητικῶν Pa 15 ἢ καὶ] καὶ om. P: ἢ om. S 16 ἐστιν ἢ καὶ Pa 18 ποιεῖ πάντα coll. S 23 ταύτην] ταῦτα Pa οὖσαν om. Pa 27 ποιοῦσαν a 39 γάρ ἐστι] χάριν a

p. 642ª3 Ἴσως δ' ἄν τις ἀπορήσειε ποίαν λέγουσιν ἀνάγκην. 30

Εἰπὼν ὅτι πολλὰ γὰρ γίνεται καὶ διὰ τὴν ἀνάγκην, λέγει 'ἀπορήσειε δ' ἄν τις, ἐπειδὴ πολλαχῶς ἡ ἀνάγκη λέγεται', ὡς ἐν τῷ Δ τῶν Μετὰ τὰ φυσικὰ εἴρηται'. ταῦτα γὰρ ᾐνίξατο διὰ τοῦ ὡς ἐν τοῖς κατὰ φιλο-
5 σοφίαν εἴρηται· εἶπε γὰρ ἐκεῖ 'ἀναγκαῖον λέγεται καὶ τὸ βίᾳ ἀναγκαῖον, καὶ αἱ προτάσεις· εἰ γὰρ ἔσται τοιόνδε συμπέρασμα, ἀνάγκη τοιάσδε εἶναι προτάσεις. λέγεται ἀναγκαῖον καὶ οὗ ἄνευ οὐκ ἔστι τόδε εἶναι'. λέγει οὖν 35 ὅτι ἡ ζητουμένη ἐνταῦθα ἀνάγκη κατ' οὐδένα λέγεται τῶν πρότερον δύο τρόπων, οὔτε ὡς τὸ βίᾳ οὔτε ὡς αἱ προτάσεις, ἀλλὰ κατὰ τὸν τρίτον τὸν
10 οὗ ἄνευ οὐκ ἔστι τόδε εἶναι· ἄνευ γὰρ τροφῆς οὐχ οἷόν τε ζῷον εἶναι. τοῦτο, δέ, φησί, τὸ τρίτον ἀναγκαῖον ὥσπερ ἐξ ὑποθέσεώς ἐστιν, ἤτοι τρόπον τινὰ ἐξ ὑποθέσεώς ἐστι· καὶ σαφηνίζει διὰ παραδείγματος, ὅπως ἐστὶν ὥσπερ ἐξ ὑποθέσεως. ὥσπερ γάρ, φησίν, ἐπειδὴ δεῖ σχίζειν τῷ 40 πελέκει, ἀνάγκη σκληρὸν εἶναι, εἰ δὲ σκληρόν, χαλκοῦν, οὕτω καὶ ἐπειδὴ
15 τὸ σῶμα ὄργανον, ἀνάγκη τάδε εἶναι. καὶ συμπεραίνεται λέγων ὅτι μὲν οὖν δύο τρόποι εἰσὶ τῆς αἰτίας, ὕλη καὶ εἶδος, καὶ δεῖ λέγοντας τυγχάνειν ἀμφοῖν, εἰ δὲ μή, δῆλόν γε πειρᾶσθαι ποιεῖν· τουτέστιν εἰ δὲ μή ἐστιν ὕλη, ὥσπερ ἐν τῷ οὐρανίῳ σώματι, δεῖ πειρᾶσθαι δηλοῦν καὶ φανερὸν ποιεῖν ὡς ἐνταῦθα ὑλικὸν αἴτιον οὐκ ἔστιν. ὅτι μὲν οὖν ταῦθ' 45
20 οὕτως ἔχει, δῆλον· λείπει γὰρ τὸ δῆλον. τὸ δὲ ἐνιαχοῦ δέ που αὐτῇ καὶ Ἐμπεδοκλῆς περιπίπτει εἴρηται ἀντὶ τοῦ ἄκων ὑπ' αὐτῆς τῆς ἀληθείας ἀναγκαζόμενος ἅπτεται τῆς εἰδικῆς αἰτίας. ἥψατο δέ, φησίν, αὐτῆς καὶ Δημόκριτος, οὐχ ὡς ἀναγκαίας δὲ οὔσης τῷ περὶ φύσεως λέγοντι εἴρηκε περὶ αὐτῆς, ἀλλὰ καὶ οὗτος ἄκων ὑπὸ τῆς ἀληθείας παρασυρείς·
25 τούτου γάρ ἐστι δηλωτικὸν τὸ ἀλλ' ἐκφερόμενος ὑπ' αὐτοῦ τοῦ πράγματος.

Ταῦτα εἰπὼν λέγει καὶ πῶς δεῖ ποιεῖσθαι τὰς τοιαύτας ἀποδείξεις τῆς 72 ἀνάγκης λέγων 'ἔστιν ἡ ἀναπνοὴ χάριν τοῦ περιψύχεσθαι τὴν καρδίαν· τοῦτο δὲ γίνεται διὰ τάδε ἐξ ἀνάγκης'. ἐπὶ δὲ τῆς ἀνάγκης, φησίν, ὅταν
30 λέγῃ τις ὅτι τοῦτο γίνεται διὰ τάδε ἐξ ἀνάγκης, ὁτὲ μὲν τοῦτο λέγει ὡς εἰ μέλλει ἔσεσθαι ἐκεῖνο τὸ οὗ ἕνεκα, ἀνάγκη ταῦτα ἔχειν τὰ μόρια (εἰ γὰρ ἔσται ἀναπνοή, δεῖ πνεύμονος, τραχείας ἀρτηρίας † πνοῆς ἧς ἕνεκα 5 ἀναπνοῆς ταῦτα γέγονεν), ὁτὲ δὲ οὐ τοῦτο σημαίνει διὰ τοῦ ἐξ ἀνάγκης, ἀλλ' ὅτι ἔστι τόδε, ὅτι οὕτω πέφυκεν· ἔστι γὰρ ἐξ ἀνάγκης τῷ πυρὶ τὸ
35 ἄνω φέρεσθαι οὐχ ὅτι ἕνεκα τῆς ἄνω φορᾶς γέγονέ τινα, ἀλλ' ὅτι οὕτω πέφυκεν. ὥστε εἴ τις εἴπῃ 'ἀνάγκη τὸ πῦρ ἄνω φέρεσθαι', τοῦτό φησι

---

2 ὅτι om. S 3. 4 ἐν τῷ Δ τῶν Μετὰ τὰ φυσικά] c. 5 6 εἰ γὰρ τοιόνδε ἐστὶ συμπέρασμα S 13 ἐπεὶ S 16 οὖν om. S 17 post τυγχάνειν add. μάλιστα μὲν Arist. 20 δὲ post τὸ om. S 24 ὑποσυρείς S 27 ἀποδόσεις Pa 29 διὰ τάδε om. S 30 λέγει τις a 31 τὸ οὗ ἕνεκα post ἀνάγκη ponunt libri 32 πνοῆς ἧς] sic libri: res tale quid postulat ὥστε ἐξ ἀνάγκης ἕνεκα κτλ. 34 ἔστι (ante γὰρ) scripsi: ἔσται libri 36 ὥστε om. Pa εἴποι Pa

'πέφυκε τὸ πῦρ ἄνω φέρεσθαι'. ἀσαφῶς δὲ τῆς ἀνάγκης τῆς δευτέρας τέθεικε τὸ παράδειγμα εἰπὼν τὸ θερμὸν γὰρ ἀναγκαῖον ἐξιέναι καὶ πάλιν εἰσιέναι ἀντικροῦον. ῥητέον δὲ πρὸς σαφήνειαν αὐτοῦ ταῦτα· ὁ Πλάτων πῶς ποτε τὸ ἀναπνεῖν γίνεται λέγων, εἴρηκεν ὅτι ὁ εἰσερχόμενος ἐν τῷ πνεύμονι ἀὴρ διὰ τῶν μυκτήρων ἢ τοῦ στόματος, θερμαινόμενος ἐν τῷ πνεύμονι καὶ διὰ τοῦτο λεπτυνόμενος φέρεται ἄνω καὶ ἐξέρχεται διὰ τῶν μυκτήρων, ἐξερχόμενος δὲ καὶ προσεγγίζων τῷ ἐκτὸς ἀέρι τῷ εὐθὺς ἁπτομένῳ τῶν μυκτήρων ψυχρῷ ὄντι πυκνοῦται καὶ συστέλλεται ἐντὸς εἰς ἐλάττονα κατὰ πολὺ τόπον τοῦ ὃν κατεῖχε πρὸ τοῦ πυκνωθῆναι. ἐπεὶ δὲ οὐκ ἔστι κενόν, διὰ τὴν τοιαύτην ἀνάγκην συνέπεται τῷ πυκνωθέντι ἀέρι ἐκτὸς ἄλλος ἀὴρ ἀναπληρώσων τὸν τόπον ὃν ἀπέλιπεν ὁ πυκνωθείς. οὕτως οὖν ὁ Πλάτων ἐφυσιολόγει τὸ ἀναπνεῖν. λαμβάνει δὲ ταύτην Ἀριστοτέλης τὴν δόξαν εἰς παράδειγμα οὐχ ὡς ἀρεσκόμενος ταύτῃ, ἀλλὰ σαφηνίσαι δι' αὐτῆς βουληθείς, πῶς τὸ ἀναγκαῖόν ποτε σημαίνει τὸ οὕτω πέφυκε. τὸ θερμὸν γάρ, φησίν, ἀναγκαῖον ἐξιέναι, λέγων θερμὸν τὸν ἐν τῷ πνεύμονι ἀέρα· ἀναγκαῖον οὖν, τουτέστι πέφυκε τὸ θερμὸν ἄνω φέρεσθαι ἐξέρχεσθαί τε ᾗ ἂν εὑρήσει δίοδον, καὶ ἐξερχόμενον ἀντικροῦσαν τῷ ἐκτὸς ἀέρι καὶ πυκνωθὲν πέφυκε συστέλλεσθαι καὶ εἰσιέναι ἐντὸς ὥσπερ τις κοχλίας ἢ χελώνη ἐν τῷ οἰκείῳ ὀστράκῳ, τούτου δὲ συστελλομένου εἰσρεῖν τὸν ἐκτὸς ἀέρα εἴσω διὰ τῶν μυκτήρων. τοῦτο δὲ ἀναγκαῖον, ἤτοι τοῦτο δὲ οὕτω πέφυκε γίνεσθαι. τίθησι δὲ καὶ παράδειγμα τοῦ αὐτοῦ λέγων τοῦ ἐντὸς δὲ θερμοῦ ἀντικόπτοντος ἐν τῇ ψύξει τοῦ θύραθεν ἀέρος ἡ εἴσοδος. ὑποστικτέον δὲ εἰς τὸ ἀντικόπτοντος, εἶτα ἐπακτέον τὸ ἐν τῇ ψύξει τοῦ θύραθεν ἀέρος. τὸ δὲ λεγόμενον τοιοῦτόν ἐστιν 'τοῦ ἐντὸς δὲ θερμοῦ ἀντικοπτομένου καὶ οἱονεὶ ἀναχαιτιζομένου καὶ εἰς τοὐπίσω παλινοστοῦντος, ἐν τῇ ψύξει ἤτοι διὰ τῆς ψύξεως γίνεται τοῦ θύραθεν ἀέρος ἡ εἴσοδος· τούτου δὲ εἰσελθόντος καὶ θερμανθέντος καὶ φερομένου ἄνω, ὡς πέφυκε φέρεσθαι, γίνεται ἡ ἔξοδος.

p. 642ᵇ5 Λαμβάνουσι δ' ἔνιοι τὸ καθ' ἕκαστον διαιροῦμενοι τὸ γένος εἰς δύο διαφοράς.

Τὰ εἰδικώτατα εἴδη λαμβάνειν ὁ Πλάτων βουλόμενος (ταῦτα γὰρ εἶπε καθ' ἕκαστον) ἐλάμβανε τὸ γένος καὶ διῄρει εἰς δύο, καὶ ἑκάτερον πάλιν τῶν τμημάτων εἰς δύο κἀκεῖνο, οὕτω λέγων 'τῆς ποδότητος τὸ μέν ἐστι πολύπουν, τὸ δ' ὀλιγόπουν', καὶ ἑκάτερον τούτων διῄρει πάλιν εἰς δύο, καὶ διὰ τῆς τοιαύτης διαιρέσεως ἐπειρᾶτο λαμβάνειν τὰ εἰδικώτατα εἴδη. δείκνυσι δὲ οὗτος διὰ πλειόνων ὡς ἀδύνατόν ἐστι διὰ τῆς τοιαύτης μεθόδου λαμβάνειν τὰ εἴδη· συμβαίνει γὰρ οὕτω τὸ αὐτὸ καὶ ἓν εἶδος πίπτειν ὑπὸ τὰς

2 τέθηκε a 4 ὁ Πλάτων] cf. Tim. p. 79 A sqq. 5 ἢ τοῦ στόματος—μυκτήρων (7) in marg. add. P 12 ἀναπνεῖ S 12. 13 τὴν δόξαν Ἀριστοτέλης coll. S 13. 14 βουληθεὶς δι' αὐτῆς coll. S 14 ποτε om. S 21 δὲ post τίθησι om. Pa 23 ἡ εἴσοδος om. P ἐπακτέον] ἀπαρκτέον Pa 26 παλιννοστοῦντος P 28 ἄνωθεν S 31 ὁ Πλάτων] cf. Bonitz, Ind. Ar. p. 599ᵃ14 32 ἑκάτερον scripsi: ἕκαστον libri

ἐναντίας διαφοράς, ὡς δείξει, ὅπερ οὐ καλόν· ἡ γὰρ διαίρεσις ἐπὶ τούτῳ γίνεται, ἵνα ἐν θατέρῳ τμήματι τὸ ζητούμενον ἐμπεσεῖται, ἀλλ' οὐκ ἐν τοῖς ἀμφοτέροις· γίνεται δὲ τοῦτο διὰ τὸ τὴν διαίρεσιν εἰς δύο βούλεσθαι ποιεῖν. πῶς δὲ δεῖ τὰς διαιρέσεις ποιεῖσθαι, αὐτὸς ἐρεῖ μετὰ τὰς πρὸς τὴν Πλάτωνα ἀντιλογίας. ἃ δὲ νῦν λέγει ταῦτα ἂν εἴη· λαμβάνειν, φησί, πειρῶνται τὸ καθ' ἕκαστον ἤτοι τὸ εἰδικώτατον εἶδος, διαιροῦντες τὸ γένος εἰς δύο διαφοράς· τὸ δὲ οὕτω λαμβάνειν αὐτὸ πειρᾶσθαι τῇ μέν ἐστιν οὐ ῥᾴδιον, τῇ δὲ ἀδύνατον. καὶ τῆς δυσκολίας καὶ τοῦ ἀδυνάτου τὴν αἰτίαν ἐπήγαγεν εἰπὼν ἐνίων γὰρ ἔσται διαφορὰ μία μόνη, τουτέστιν ἐπί τινων μία διαφορὰ ἡ τελευταία ἐστὶν ἡ τὸ πρᾶγμα εἰδοποιοῦσα· συμβαίνει οὖν ἐκ τῆς διχοτομίας πολλάκις λέγειν τὸ αὐτό. ἔστω οὖν λαβεῖν ἐκ τῆς τοιαύτης διαιρέσεως τὸν ἄνθρωπον καὶ ῥητέον 'τοῦ ζῴου τὸ μέν ἐστιν ὑπόπουν τὸ δ' ἄπουν· ὁ δὲ ἄνθρωπος ἄπουν μὲν οὐκ ἔστιν, ὑπόπουν ἄρα. καὶ τοῦ ὑπόποδος τὸ μέν ἐστι δίπουν τὸ δὲ πολύπουν· | ὁ δ' ἄνθρωπος πολύπουν 73 μὲν οὐκ ἔστι, δίπουν δ' ἄρα. ὁ ἄνθρωπος ἄρα ἔστι ζῷον ὑπόπουν δίπουν'. ὥστε δὶς εἴρηται τὸ ὑπόπουν· τὸ γὰρ δίπουν ὑπόπουν ἐστίν. οὕτως δὲ ἔδει λέγειν, ὁ ἄνθρωπός ἐστι ζῷον δίπουν, οὐ μὴν ζῷον ὑπόπουν δίπουν. πάλιν τὸ ζῷον διαιρεῖται εἰς ὑπόπουν καὶ ἄπουν, τὸ ὑπόπουν εἰς δίπουν καὶ πολύπουν, τὸ δίπουν εἰς σχιζόπουν καὶ ἀσχιδές· ὁ ἄνθρωπος ἄρα ἐστὶ ζῷον πεζὸν δίπουν σχιζόπουν. τρὶς ἄρα εἴρηται τὸ ὑπόπουν [καὶ δὶς τὸ δίπουν, καὶ πολύπουν τὸ δίπουν]· ὅτε γὰρ εἶπε δίπουν, ὑπόπουν εἶπεν, ἀλλὰ μὴν εἶπε τὸ ὑπόπουν καὶ ἐν τῇ ἀπαριθμήσει, ὅτε ἔλεγεν ὁ ἄνθρωπός ἐστι ζῷον ὑπόπουν δίπουν· ὥστε ὅτε εἶπεν ὑπόπουν, εἶπεν ἐξ ἀνάγκης τὸ ὑπόπουν, ἀλλὰ καὶ ὅτε εἶπε τὸ δίπουν, ὑπόπουν εἶπε· τὸ γὰρ δίπουν ὑπόπουν ἐστίν. ἀλλὰ καὶ ὅτε σχιζόπουν εἶπεν, ὑπόπουν εἴρηκεν ὁμοίως [καὶ δίπουν]. εἰ δὴ ἡ ἐσχάτη διαφορὰ κυρία ἐστὶ τοῦ εἰδοποιεῖσθαι τὰ πράγματα, μάτην ἦσαν εἰλημμέναι αἱ λοιπαί· συνεπιφέρει γὰρ ἡ ἐσχάτη τὰς πρὸ αὐτῆς. εἰ δὲ λέγει τις ὡς οὐκ ἔστιν αὕτη κυρία, ἀλλὰ καὶ αἱ λοιπαί, καὶ δεῖ κἀκείνας λέγειν, συμβήσεται τὸ αὐτὸ πολλάκις λέγειν. τοῦτο δὲ εἴρηκε καὶ ἐν τῷ Z τῶν Μετὰ τὰ φυσικά.

Ἔτι, φησί, προσήκει μὴ διασπᾶν ἕκαστον γένος, λέγων γένος τὸ εἰδικώτατον εἶδος. οὐ δεῖ οὖν διασπᾶν καὶ τιθέναι τὸ αὐτὸ καὶ ἓν εἶδος ἐν ταῖς ἐναντίαις διαφοραῖς, οἷον εἴ τις διαιρεῖ τοὺς ὄρνιθας καὶ τοὺς μὲν τίθησιν ἐν τῇδε τοὺς δὲ ἐν ἄλλῃ διαιρέσει, καθάπερ ἔχουσιν αἱ γεγραμμέναι τῷ Πλάτωνι διαιρέσεις· ἐν ἐκείναις γὰρ τοὺς μὲν τῶν ὀρνίθων μετὰ τῶν ἐνύδρων τετάχθαι λέγει, τοὺς δὲ ἐν ἄλλῳ γένει.

---

2 γίνεται] γέγονεν S ἐμπεσῆται Pa τοῖς rurs. del. P 5 post εἴη add. λέγων S 11 ἔσται οὖν a 13 δ' ἄρα P sed δ' rurs. del. καὶ τοῦ—δ' ἄρα (15) in marg. add. P 15 δίπουν ἄρα S 20 ζῷον om. S 20. 21 καὶ δὶς—πολύπουν τὸ δίπουν delevi: καὶ πολύπουν τὸ δίπουν om. S 21 εἶπε om. S 22 ἔλεγεν] λέγει a 23. 24 τὸ ὑπόπουν] τὸ καὶ δίπουν a 25 ὅτε] οὔτε a 25. 26 καὶ δίπουν delevi 30 ἐν τῷ Z τῶν Μετὰ τὰ φυσικά] c. 12 31 προσήκειν S 34. 35 γεγραμμέναι—διαιρέσεις] cf. Bonitz Ind. Arist. p. 98ᵇ18, 104ᵃ21 ᵇ28, 599ᵃ14 sqq. 36 ἐνύδρων τέταχε τοὺς δὲ Pa ἐν om. P

Καὶ ταύτῃ μὲν οὖν τῇ ὁμοιότητι, τῷ τε σχιζοπτέρῳ ⟨καὶ⟩ τῷ ῥυγχωτῷ κεῖται ὄνομα ὄρνις, ἄλλῃ δὲ ὁμοιότητι ἰχθύς, τινὲς δὲ ὁμοιότητες ἀνώνυμοί εἰσιν· ἐπὶ γὰρ τῶν ἐναίμων οὐ κεῖται ὄνομα ὥσπερ ἐπὶ τῶν σχιζοπτέρων ὁ ὄρνις. ἀπορήσειε δ' ἄν τις, πῶς ὥσπερ ὁ ὄρνις ὄνομά ἐστιν, οὐκ ἂν εἴη καὶ τὸ ἔναιμον ὄνομα, ἀλλ' ἀνώνυμον. ἢ ἐπὶ μὲν τῶν ὀρνίθων πάνυ πολλὴ ἡ πρὸς ἄλληλα ὁμοιότης· καὶ γὰρ κατὰ τὸ σχιζόπτερον ὅμοιά εἰσι κόραξ, κορώνη, τὰ ἄλλα καὶ κατὰ τὰ ῥύγχη καὶ κατὰ τοὺς πόδας, ἀλλὰ δὴ καὶ κατὰ τὰ ἐντός, μόνῳ δὲ τῷ μεγάλῳ καὶ μικρῷ διαφέρουσι· τῶν γὰρ ὀρνίθων τινῶν μέν εἰσι καὶ οἱ πόδες καὶ τὰ πτερὰ μείζονα, τινῶν δ' ἐλάττονα. διὰ οὖν τὴν τοιαύτην ὁμοιότητα ὄνομα καλεῖν τὸ κοινῶς κατ' αὐτῶν λεγόμενον, φημὶ δὴ τὸν ὄρνιν, οὐκ ἀπηξίωσεν. ἐπὶ δὲ τῶν ἐναίμων, ἐπειδὴ λίαν ἀνόμοια ἢ καὶ πάντῃ πρὸς ἄλληλα τυγχάνουσιν, οὐκ ἠθέλησε τὸ ἔναιμον ὄνομα εἰπεῖν. τίνα γὰρ ὁμοιότητα ἔχει ὁ τοῦ ἀνθρώπου ποὺς πρὸς τὸν τοῦ ἵππου ἢ ἡ κεφαλὴ πρὸς τὴν κεφαλὴν ἢ τὰ πλείω τούτων, ἵνα μὴ λέγω πάντα.

Εἰπὼν οὖν ἔτι προσήκει μὴ διασπᾶν ἕκαστον γένος, καὶ μεταξὺ ἀκόλουθά τινα τοῖς λεχθεῖσιν εἰπὼν ἐπήγαγεν εἴπερ οὖν μηδὲν τῶν ὁμογενῶν διασπαστέον, ἡ εἰς δύο διαίρεσις μάταιος ἂν εἴη, τουτέστιν εἰ δεῖ μὴ διασπᾶν τὰ ὁμογενῆ μηδὲ τὸ αὐτὸ καὶ ἓν ὑπὸ τὰς ἐναντίας τιθέναι διαιρέσεις, μάταιός ἐστιν ἡ εἰς δύο διαίρεσις· διασπᾷ γὰρ καὶ ὑπὸ ἐναντίας τίθησι διαιρέσεις τὸ αὐτὸ καὶ ἕν. τοῦ γὰρ πολύποδος τὸ μέν ἐστιν ἐν τοῖς πεζοῖς, τὸ δ' ἐν τοῖς ἐνύδροις.

Ἔτι τοὺς εἰς δύο τὴν διαίρεσιν ποιοῦντας ἀναγκαῖον στερήσει διαιρεῖν, καὶ οὐχ ἡμεῖς τοῦτό φαμεν, ἀλλὰ κἀκεῖνοι οὕτω ποιοῦσι. τοῦ γὰρ ζῴου φασὶ τὸ μέν ἐστιν ὑπόπουν τὸ δ' ἄπουν, καὶ τὸ μὲν πτερωτὸν τὸ δ' ἄπτερον· στέρησις δὲ καὶ τὸ ἄπτερον καὶ τὸ ἄπουν, συμβαίνει δ' ἐκ τούτου εἴδη εἶναι τῆς στερήσεως. οὐκ ἔστι δὲ διαφορά, τουτέστιν οὐκ ἔστιν εἴδη τῆς στερήσεως, καθὸ στέρησις· τοῦ γὰρ μὴ ὄντος (μὴ ὂν γὰρ ἡ στέρησις, ὡς ἐν τῷ A τῆς Φυσικῆς ἀκροάσεως εἴρηται) τοῦ γὰρ δὴ μὴ ὄντος ἀδύνατον εἶναι εἴδη. δεῖ δὲ καὶ ἔχειν εἴδη, εἴπερ ἐστὶ καθόλου διαφορά· εἰ γὰρ μὴ ἔχει εἴδη, διὰ τί ἂν εἴη τῶν καθόλου καὶ οὐ τῶν καθ' ἕκαστα; τὰ μὲν οὖν λεγόμενα οἶμαι τοιαῦτα· κατὰ δὲ τὴν λέξιν τὴν οὐκ ἔστι δὲ διαφορὰ στερήσεως ἢ στέρησις τὸ διαφορὰ ἀντὶ τοῦ εἶδος εἶπεν· ἔδει γὰρ εἰπεῖν 'οὐκ ἔστι δὲ εἶδος στερήσεως'. τοῦτο δὲ εἶπε διὰ τὸ τὰ εἴδη ὑπὸ τῶν διαφορῶν συνίστασθαί τε καὶ οὐσιῶσθαι.

---

1 καὶ deest Arist. οὖν om. S καὶ addidi 3 ἀναίμων a 5 ἄναιμον Pa 6 post πάνυ add. ἡ sed rurs. del. P ἡ πολλὴ coll. a 11 ἀναίμων a 12 ἀνόμοιοι Pa post καὶ add. οὐ P 13 ἄναιμον Pa 17 ἐπήγαγεν ex ἐπήνεγκεν corr. P 21 ἓν ras. deletum S 23 τοὺς et ποιοῦντας scripsi: οἱ et ποιοῦντες libri ἀναγκαίως S 24 ante οὐχ add. ποιεῖν sed rursus del. P 26 ἀπτέρωτον Pa 29 ἐν τῷ A τῆς Φυσικῆς ἀκροάσεως] A 8 p. 191b13 sqq. 30 εἴδη εἶναι coll. S 32 δὲ post οὐκ ἔστι om. P

p. 642ᵇ30 Χαλεπὸν μὲν οὖν διαλαβεῖν καὶ εἰς τοιαύτας διαφοράς, ὧν ἔστιν εἴδη.

Εἰπὼν ὅτι τοῖς διαιροῦσιν εἰς δύο τὰ γένη ἀναγκαῖον στερήσει τὴν διαίρεσιν ποιεῖν, καὶ δὴ ποιοῦσι, καὶ εἰς ἄτοπον συνωθήσας τὸν λόγον τὸ εἴδη εἶναι τῆς στερήσεως καὶ τοῦ μὴ ὄντος, λέγει ὅτι καὶ ἐπὶ τῶν διαφορῶν τῶν ὡς ἕξεων λεγομένων, ὑφ' ἃς φανερῶς ἐστιν εἴδη, χαλεπόν ἐστι διχοτομοῦντας διαλα|βεῖν καὶ ὑπὸ μίαν διαίρεσιν θεῖναι εἴδός τι, ὡς μὴ 74 ἐμπεσεῖν καὶ εἰς τὴν ἀντικειμένην. εὐθὺς γὰρ ὁ μύρμηξ καὶ ὑπὸ τὸ πτερωτόν ἐστι καὶ ὑπὸ τὸ ἄπτερον· ἀνάγκη οὖν μὴ μόνον ἐπὶ τῆς στερήσεως τοῦτο πάσχειν πρὸς τῷ καὶ εἴδη εἶναι αὐτῆς, ἀλλὰ καὶ ἐπὶ τῶν ἕξεων. πάντων δὲ χαλεπώτατον ἢ ἀδύνατον εἰς τὰ ἄναιμα. τοῦτο οὐ πρὸς τὸ χαλεπὸν μὲν οὖν διαλαβεῖν καὶ εἰς τοιαύτας διαφοράς, ὧν ἔστιν 5 εἴδη εἴρηται, ἀλλὰ πρὸς τὸ δεῖ δὲ τῆς καθόλου διαφορᾶς εἴδη εἶναι· εἰ γὰρ μὴ ἔσται, διὰ τί ἂν εἴη τῶν καθόλου; ὥστε ἔσται τῆς στερήσεως εἴδη, ⟨οἷον⟩ τῆς ἀποδίας. τοῦτο δὴ κἀνταῦθα κατασκευάζει λέγων πάντων δὲ χαλεπώτατον ἢ ἀδύνατον εἰς τὰ ἄναιμα, καὶ προσυπακουστέον τὸ μὴ εὑρίσκεσθαι εἴδη. ἀδύνατον γάρ, φησί, μὴ εἶναι εἴδη τῆς ἀναιμίας, καὶ συντόμως ἐπήγαγε τὴν τοῦ ἀδυνάτου αἰτίαν εἰπὼν 10 ἀναγκαῖον ἑκάστην τῶν διαφορῶν ὑπάρχειν τινὶ τῶν καθ' ἕκαστον. εἰ οὖν τὸ ἔναιμον ὑπάρχει τινί, δῆλον ὅτι καὶ τὸ ἀντικείμενον τὸ ἄναιμον, εἴπερ ἐστὶ διαφορά. δείξας οὖν οὕτως ὅτι ὑπάρχει καὶ τὸ ἄναιμόν τισι τῇ τοῦ ἐναίμου παραθέσει, κατασκευάζει τὸ προκείμενον, φημὶ δὴ τὸ εἶναι εἴδη καὶ τοῦ ἀναίμου, λέγων εἰ δὲ μὴ ἐνδέχεται τοῖς εἴδει διαφέρουσι, καὶ τὰ ἑξῆς. διαφέρει δὲ τῷ εἴδει ἄνθρωπος καὶ ὄρνις καὶ τὰ ὅμοια· εἰ 15 οὖν μὴ ἐνδέχεται τοῖς διαφέρουσι τῷ εἴδει ὑπάρχειν εἰδός τι ἄτομον τῆς οὐσίας καὶ ἕν (λέγων εἰδός τι ἄτομον καὶ ἓν ἐνταῦθα τὴν διαφοράν, οἷον τὴν διποδίαν), εἰ οὖν μὴ ἐνδέχεται τὴν αὐτὴν καὶ μίαν τῷ ἀριθμῷ διποδίαν ὑπάρχειν ἀνθρώπῳ καὶ ὄρνιθι (ἄλλη γὰρ ἡ ἐν τῷ ἀνθρώπῳ διποδία καὶ ἑτέρα ἡ ἐν τῷ ὄρνιθι) ὡσαύτως ἄλλο τὸ ἐν ἀνθρώπῳ ἔναιμον καὶ ἕτερον τὸ ἐν ὄρνιθι. καὶ ὅτι ἕτερον καὶ ἕτερον καὶ τὸ ἔναιμον καὶ τὸ δίπουν, κατασκευάζει διὰ τοῦ ἢ οὐδὲν τῆς οὐσίας τὸ αἷμα θετέον. 20 ἐλλιπῶς δὲ τοῦτο τεθὲν καὶ ἀσαφῶς εἴη ἂν τὸ πλῆρες τοιοῦτον· πότερον τὸ ἔναιμον τῆς οὐσίας ἔστι τοῦ ἀνθρώπου καὶ ὄρνιθος ἢ οὔ; εἰ μὲν οὐκ ἔστιν, ἔσται ἄναιμον ὁ ἄνθρωπος καὶ ὁ ὄρνις, ὅπερ ἀδύνατον· εἰ δ' ἔστι τῆς οὐσίας, πότερον ἕτερον τὸ ἐν ἀνθρώπῳ ἔναιμον καὶ ἄλλο τὸ ἐν ὄρνιθι, ἢ

---

4 δὴ om. S 6 ἕξεις S 7 διαλαβεῖν] διχοτομεῖν P 8 τὸ ἀντικείμενον Pa γὰρ om. Pa 12 οὖν supr. v. P εἰς τὸ τὰς τοιαύτας P 15 οἷον addidi 17 τὸ] τοῦ Pa 22 τὰ προκείμενα Pa 24 καὶ post ὄρνις om. PS 26 λέγει S 30 καὶ ἄλλο τὸ ἐν S 32 Ἐλλειπῶς a 33 post μὲν ras. II litt. S 34 ὁ ante ὄρνις om. a 34. 35 εἰ– οὐσίας] εἴπερ δὲ τῆς οὐσίας αὐτοῦ Pa (δὲ supr. v. P)

ταὐτόν; εἰ μὲν οὖν ταὐτόν, ἡ μία καὶ ἡ αὐτὴ διαφορὰ ὑπάρξει δυσί, καὶ ἔσται ὁ ἄνθρωπος καὶ ὁ ὄρνις τὸ αὐτό· λείπεται ἄρα ἕτερον εἶναι καὶ ἕτερον. εἰσὶν ἄρα εἴδη τοῦ ἐναίμου· εἰ δὲ τοῦτο, ἢ ἀδύνατον τὸ ἄναιμον καὶ τὴν στέρησιν διαφορὰν εἶναι, ἢ εἴπερ ἔστιν, ἔσονται τῆς στερήσεως εἴδη· διὰ τί γὰρ τοῦ ἐναίμου διαφορᾶς ὄντος ἔσονται εἴδη, τοῦ δὲ ἀναίμου διαφορᾶς καὶ αὐτοῦ ὄντος οὐκ ἔσται; ἔστιν οὖν ἡ συναγωγὴ τοῦ λόγου τοιαύτη ‘εἰ οὖν μὴ ἐνδέχεται τὴν αὐτὴν καὶ μίαν διαφορὰν ὑπάρχειν τοῖς διαφέρουσι τῷ εἴδει, ἔσονται τοῦ ἐναίμου εἴδη. ἀλλὰ μὴν οὐκ ἐνδέχεται, ὡς δέδεικται· εἰσὶν ἄρα τοῦ ἐναίμου εἴδη. εἰ δὲ τοῦτο, καὶ τοῦ ἀναίμου, ὅπερ ἔδει δεῖξαι.

p. 643ᵃ7 Ἔσονται δὲ διαφοραὶ ἴσαι τοῖς ἀτόμοις ζῴοις.

Καὶ τοῦτο ἐκ τῆς εἰς δύο διαιρέσεως τῶν γενῶν συνάγεται, τὸ εἶναι τοσαύτας τὰς διαφοράς, ὅσα τὰ εἴδη. ἐπειδὴ γὰρ τὴν διαίρεσιν ποιοῦνται, ἕως ἂν εἰς διαφορὰν καταντήσωσι μὴ ἐπιδεχομένην διαίρεσιν, αὕτη δὲ μετὰ τοῦ οἰκείου γένους εὐθὺς εἶδός ἐστι, φανερὸν ὅτι ὅσα ἄτομα ζῷα, ἤγουν εἰδικώτατα εἴδη, τοσαῦται καὶ αἱ διαφοραί, εἴπερ ἄτομοι καὶ αὗται καὶ μηδεμία κοινή· εἰ γάρ ἐστι κοινή τις διαφορά, ἔσται τὸ αὐτὸ ὑπὸ τὰς ἀντικειμένας διαφοράς, ὅπερ ἤδη λέγειν πεπαύμεθα. τὸ δὲ εἰ ἐνδέχεται μὴ ὑπάρχειν καὶ κοινήν, ἄτομον δέ, δῆλον ὅτι ἐν τῷ αὐτῷ ἐστι δυνάμει τοιοῦτόν ἐστιν ‘εἰ δὲ λέγουσιν οἱ τὰς τοιαύτας διαιρέσεις ποιούμενοι ὅτι οὐκ ἐνδέχεται ἐν τῇ τοῦ εἴδους συστάσει κοινὴν καὶ κατ᾽ ἄλλων εἰδῶν λεγομένην λαμβάνειν διαφοράν, ἀλλ᾽ ἄτομον, εἰ δὲ τοῦτο, οὐκ ἔσονται τῆς στερήσεως εἴδη (εἰς τοῦτο γὰρ πάλιν ὁ λόγος τείνει), εἰ οὖν τοῦτο, φησί, λέγουσι, δῆλον ὡς εἰ μὴ κατὰ τὰς ἀτόμους τοῦτο συμβαίνει διαφοράς, ἀλλὰ κατὰ τὴν κοινὴν συμβήσεται, καὶ ἔσται τὰ ἕτερα τῷ εἴδει ζῷα ἐν τῇ αὐτῇ διαφορᾷ· τοῦτο δὲ ταὐτόν ἐστι τῷ εἶναι εἴδη τῶν διαφορῶν, ὥστε καὶ τῶν στερήσεων, εἴπερ καὶ αὗται διαφοραί. εἰ οὖν ἴδιοι καὶ ἄτομοί εἰσιν αἱ διαφοραί, οὐκ ἔσται οὐδεμία κοινή, ἢ εἰ ἔσονται κοιναί, τὰ ἕτερα τῷ εἴδει εἰς τὴν αὐτὴν βαδιεῖται καὶ ἔσται καὶ τῆς στερήσεως, ὡς πολλάκις εἴπομεν, εἴδη᾽. ταῦτα εἰπὼν προσδιορίζεται λέγων δεῖ δὲ οὔτε τὸ αὐτὸ καὶ ἄτομον εἰς ἑτέραν καὶ ἑτέραν ἰέναι διαφοράν, ὥσπερ ὁ μύρμηξ εἰς τὸ πτερωτὸν καὶ ἄπτερον, οὔτε εἰς τὴν αὐτὴν τὰ ἕτερα, ὥσπερ ὁ ἄνθρωπος καὶ ὁ ὄρνις εἰς τὸ ὑπόπουν· οὕτω γὰρ ἔσται καὶ τῶν στερήσεων εἴδη. | καὶ πάντα εἰς ταύτας, τουτέστι καὶ δεῖ τὴν τοῦ ζῴου διαίρεσιν οὕτω ποιήσασθαι, ἵνα πάντα τὰ ζῷα εἰς τὰς τοῦ ζῴου διαφορὰς ἐμπεσεῖται. καὶ λοιπὸν συμπεραίνεται λέγων ‘φανερὸν τοίνυν ὅτι οὐκ ἔστιν ἐκ τῆς διχοτομίας λαβεῖν τὰ ἄτομα εἴδη. ἀναγκαῖον γὰρ κατ᾽ ἐκείνους ἴσας εἶναι τὰς

---

1 ὑπάρχει P 3 τοῦ ἐναίμου εἴδη coll. S 5 εἴδη ἔσονται coll. S 15 ἤγουν] ἢ ὡς a 28 ante οὐκ add. καὶ S 32 τὸ πτερὸν καὶ P εἰς αὐτὰ τὰ ἕτερα S 36 τῆς om. S

διαφορὰς τοῖς εἴδεσιν, ὅπερ ἀδύνατον· δεῖ γὰρ τὰ εἴδη πλείονα εἶναι τῶν διαφορῶν. εἶτα καὶ δι' ὑποδείγματος σαφηνίζει, πῶς συμβαίνει ἴσας εἶναι τὰς διαφορὰς τοῖς εἴδεσιν. ἔστω γάρ, φησίν, σαφηνείας ἕνεκα τόδε τι γένος καὶ διῃρήσθω πρῶτον εἰς δύο φέρε εἰπεῖν λευκὸν καὶ μέλαν, καὶ ἑκάτερον τούτων πάλιν εἰς δύο, καὶ ἔστωσαν αὗται αἱ τελευταῖαι καὶ ἄτομοι τοῦ προκειμένου γένους διαφοραί. τέσσαρες οὖν, δύο μὲν αἱ τοῦ λευκοῦ, δύο δὲ αἱ τοῦ μέλανος, ἑκάστη δὲ τούτων μετὰ τοῦ οἰκείου γένους, ὡς κἂν αὐτοὶ φαῖεν, εἴδους ἐστι γεννητική· τέσσαρα οὖν καὶ τὰ εἴδη. ὅσαι ἄρα αἱ διαφοραὶ τοῦ προκειμένου γένους, τοσαῦτα καὶ τὰ εἴδη. τοῦτο καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων. τὸ δὲ ἢ ἄλλο τι πλῆθος τῶν ἀφ' ἑνὸς διπλασιαζομένων ἴσον ἐστὶ τῷ κἂν μὴ λευκὰ καὶ μέλανα εἴη τὰ διαιρούμενα καὶ διπλασιαζόμενα. εἰς δύο γὰρ τὸ λευκὸν διῄρηται ἓν ὄν· τὰ δὲ δύο διπλάσια τοῦ ἑνός. κἂν οὖν μὴ λευκὸν εἴη ἀλλ' ἄλλο τι, τὸ αὐτὸ ποιήσει. ἐπεὶ οὖν ἡ διαφορὰ ἐν τῷ οἰκείῳ γένει ὡς εἶδος ἐν ὕλῃ ἐστίν, ὅσαι ἂν εἶεν αἱ διαφοραί, τοσαῦτα ἔσται καὶ τὰ εἴδη. οὔτε γὰρ τὰ εἴδη, τουτέστιν αἱ εἰδοποιοὶ διαφοραί, χωρὶς ὕλης ἤτοι χωρὶς τοῦ γένους ζῷον ποιοῦσιν οὔτε ἡ ὕλη καὶ τὸ γένος χωρὶς τῶν εἰδῶν.

Ἔτι δεῖ τὰς δαιρέσεις ποιεῖσθαι τοῖς ἐν τῇ οὐσίᾳ, τουτέστι διὰ τῶν οὐσιωδῶς ὑπαρχόντων, ἀλλ' οὐ τοῖς καθ' αὑτὸ συμβεβηκόσιν, ὡς οὗτοι ποιοῦσιν, ἐξ οὗ μάλιστα συμβαίνει τὸ καὶ τὸ αὐτὸ εἶδος ὑπὸ τὰς ἐναντίας πίπτειν διαφορὰς καὶ εἶναι τῶν στερήσεων εἴδη. τὸ γὰρ πτερωτὸν καὶ ἄπτερον, καὶ ἄπουν καὶ ὑπόπουν τῶν καθ' αὑτὸ συμβεβηκότων εἰσὶ τῷ ζῴῳ, ὥσπερ καὶ τῷ τριγώνῳ τὸ ἔχειν τὰς τρεῖς γωνίας δυσὶν ὀρθαῖς ἴσας. ἔτι, φησί, τοῖς ἀντικειμένοις διαιροῦσιν, οἷον εἰς λευκότητα καὶ μελανίαν, καὶ οὐκ εἰς λευκότητα καὶ λειότητα· ἐξ οὗ συμβαίνει εἶναι εἴδη τῶν στερήσεων.

Πρὸς δὲ τούτοις, ἐπεὶ τὰ ζῷα ἐκ ψυχῆς εἰσι καὶ σώματος, καὶ τὰ ἐν τοῖς ζῴοις τὰ μὲν τῆς ψυχῆς ἐστι, τὰ δὲ τοῦ σώματος, τὰ δὲ τοῦ συναμφοτέρου, ὡς ἐν τοῖς Περὶ ψυχῆς εἴρηται, τὴν διαίρεσιν, φησί, τῶν ζῴων κατὰ τὰ κοινὰ πάθη τῆς ψυχῆς καὶ τοῦ σώματος ποιοῦνται· τὸ γὰρ πτηνὸν καὶ τὸ πορευτικὸν καὶ τὰ ὅμοια τοῦ συναμφοτέρου τοῦ ἐκ ψυχῆς καὶ σώματος. συμβαίνει δ' ἐκ τούτου τὰ ἀντικείμενα τῷ αὐτῷ ὑπάρχειν * * ὧν ἕκαστον τῶν ἀπηριθμημένων, εἰ μὲν ὁμώνυμον τὸ ἄγριον πρόβατον καὶ τὸ ἥμερον, οὐ διῄρηται χωρὶς ἡ τοῦ προβάτου φύσις εἰς ἕτερα τῷ εἴδει, ὥσπερ χρὴ τὰς διαιρέσεις ποιεῖσθαι, ἀλλὰ μόνον τὸ ὄνομα· εἰ δὲ ἓν εἰσι τῷ εἴδει τὰ ἥμερα καὶ τὰ ἄγρια πρόβατα, οὐ διαφοραὶ τὸ ἥμερον καὶ τὸ ἄγριον, ἀλλὰ συμβεβηκότα· τοῦτο δὲ οὐ διαίρεσις. εἰ δὲ διαφοραί, ἔσται τὸ αὐτὸ καὶ ἓν ἐν τοῖς ἀντικειμένοις.

---

6. 7 δύο δὲ] καὶ δύο Pa 10 πάντων S 14 ἐν ante τῷ om. S 18 τοῖς ἐν] ἐν τοῖς coll. S: ἐν τοῖς ἐν P 19 et 22 καθ' αὑτὰ Pa 19 οὗτοι] αὐτοὶ S 20 ἐξ ὧν S 22 ὑπόπουν καὶ ἄπουν coll. S 25 εἴδη εἶναι coll. S 28 εἰσὶ Pa 29 ἐν τοῖς Περὶ ψυχῆς] A 1 30 ποιοῦσι S 32 lacunam indicavi: explenda est ex Arist. p. 643b3 sqq. 34 τὸ om. a

p. 643b9 Ὅλως δὲ ὁποιανοῦν διαφορὰν μιᾷ διαιροῦντι τοῦτο συμβαίνειν ἀναγκαῖον.

Πρὸς τοῖς ἄλλοις ἀτόποις τοῖς τῇ ἐκ διαιρέσεως μεθόδῳ παρακολουθοῦσι καὶ ἐκεῖνο ἕπεσθαι δείξας, τὸ συμβαίνειν τὸ αὐτὸ καὶ ἓν εἶδος ὑπὸ τὰ ἐναντία εὑρίσκεσθαι ἢ τὰ ἐναντία ἐν τῷ αὐτῷ (ὁ γὰρ μύρμηξ καὶ πτερωτόν ἐστι καὶ ἄπτερον, καὶ τὸ πτερωτὸν καὶ ἄπτερον ἐν τῷ μύρμηκι), λέγει ὅλως δὲ τοῖς διαιροῦσιν ὁποιανοῦν διαφορὰν μιᾷ διαιρέσει, ἤτοι δίχα, ἀνάγκη τοῦτο συμβαίνειν, ἤγουν τὸ τὰ ἐναντία ἐν τῷ αὐτῷ εὑρίσκεσθαι καὶ τὸ αὐτὸ εἰς τὰ ἐναντία. καὶ τοῦτο θεὶς πάνυ διὰ βραχέων ᾐνίξατο, ὅπως δεῖ τὰς διαιρέσεις ποιεῖσθαι, καὶ φησὶν 'ἀλλὰ πειρατέον κατὰ γένος λαμβάνειν τὰ ζῷα, ὥσπερ καὶ οἱ πολλοὶ ποιοῦσιν'. παράγει δὲ τοὺς πολλοὺς συνήθως· σύνηθες γὰρ αὐτῷ μαρτύρασθαι καὶ τὴν τῶν πολλῶν ὑπόληψιν, ὅταν συμφωνῇ τῇ ἀληθείᾳ. δεῖ οὖν κατὰ γένος πειρᾶσθαι λαμβάνειν τὰ ζῷα· πῶς δέ, ῥητέον οὕτω. τοῦ ζῴου τὸ μέν ἐστι πτερωτόν, τὸ δὲ πεζόν, τὸ δὲ ἔνυδρον· εἶτα τοῦ ζῴου τὸ μέν ἐστι πολύπουν, τὸ δὲ δίπουν· εἶτα τοῦ ζῴου τὸ μέν ἐστι λεπιδωτὸν τὸ δὲ φολιδωτόν· πάλιν τοῦ ζῴου τὸ μέν ἐστιν ἔναιμον τὸ δ' ἄναιμον. καὶ | διαιρετέον τὸ ζῷον εἰς ὅσα ἂν διαιρεθῆναι δύνηται. εἶτα βλεπτέον εἰς ποῖα τῶν τῆς διαιρέσεως ὁ ὄρνις ἐμπεσεῖν δύναται, κἂν μὲν ἐμπίπτῃ φέρε εἰπεῖν εἰς τὸ πτερωτόν, εἰς τὸ ἔναιμον, εἰς τὸ δίπουν, εἰς τὸ ῥυγχωτόν, ῥητέον 'ὄρνις ἐστὶ ζῷον πτερωτὸν ἔναιμον δίπουν ῥυγχωτόν· καὶ ἐπὶ τοῦ ἰχθύος ὁμοίως, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. οὕτως οὖν τὰ τοῦ ζῴου γένη πειρατέον λαμβάνειν ἐπιδιαιρέσεις ποιουμένους τοῦ ζῴου, ἀλλ' οὐχὶ ἑκάστης τῶν διαιρέσεων ὑποδιαιρέσεις· κἂν οὕτω ποιῶμεν, τά τε γένη καὶ τὰ εἴδη ληψόμεθα καὶ τὰ ἑπόμενα ἄτοπα τοῖς τὰς ὑποδιαιρέσεις ποιουμένοις φευξούμεθα· εἵπετο γὰρ αὐτοῖς πρὸς ἄλλοις πολλοῖς καὶ τὸ εἶναι εἴδη τῆς στερήσεως ἢ μὴ εἶναι τὴν στέρησιν διαφοράν. ἡμῖν δὲ ὥσπερ λέγομεν ποιουμένοις οὐχ ἕψεται τοῦτο· ἐκεῖνοι γὰρ λέγοντες ὅτι τοῦ ζῴου τὸ μέν ἐστι πτερωτὸν τὸ δὲ ἄπτερον, καὶ ἑκάτερον τούτων ὑποδιαιροῦντες καὶ λέγοντες 'τοῦ δὲ πτερωτοῦ τὸ μέν ἐστι σχιζόπτερον τὸ δὲ ἀσχιδές, καὶ τοῦ ἀπτέρου τὸ μέν ἐστι πολύπουν τὸ δ' οὐ πολύπουν', καὶ ἐπὶ τοῦ ἀναίμου καὶ τῆς ἀναιμίας καὶ τῶν ἄλλων ὁμοίως ποιοῦντες, οὕτως οὖν ἐκεῖνοι ποιοῦντες ἀναγκαίως αὐτοῖς εἵπετο τὸ εἶναι εἴδη τῆς στερήσεως, ἤγουν τοῦ ἀπτέρου τὸ πολύπουν καὶ τὸ μὴ πολύπουν, ἢ μὴ εἶναι τὸ ἄπτερον διαφοράν. ἡμεῖς δὲ τὰς διαιρέσεις ποιοῦντές φαμεν 'τοῦ ζῴου τὸ μέν ἐστιν ἔναιμον τὸ δ' ἄναιμον', καὶ τοῦτο εἰπόντες οὐχ ὑποδιαιροῦμεν τούτων ἑκάτερον, ὥστε ἐκ τούτου συμβαίνειν καὶ ἡμῖν εἴδη

---

1 ὁποιαοῦν διαφορᾷ libri, sed cf. v. 7 et Arist. vulg. 3 τῇ scripsi: τῆς P: om. Sa 4 ἕπεται Pa 6 τὸ πτερὸν S 8 ἤγουν] ἢ ὡς a 10. 11 λαμβάνειν κατὰ τὸ γένος S 12 μαρτύρεσθαι S 18 post ποῖα add. ἂν Pa 20 εἰς τὸ ῥυγχωτὸν post εἰπεῖν (19) ponit S ὁ ὄρνις S 22 γένη post λαμβάνειν ponit S ποιούμενοι S 23 post ζῴου add. ἤτοι τοῦ ζῴου S 29 ὑποδιαιροῦντα a 33 ἤγουν] ἢ ὡς a

ποιεῖν τῆς ἀναιμίας, ἀλλὰ πάλιν ἐπιδιαίρεσιν τοῦ ζῴου ποιούμεθα λέγοντες τοῦ ζῴου τὸ μέν ἐστι πτερωτὸν τὸ δ' ἄπτερον, καὶ πάλιν τοῦ ζῴου τὸ μέν ἐστιν ὑπόπουν τὸ δ' ἄπουν, καὶ πάλιν τοῦ ζῴου τὸ μέν ἐστιν ἀμφίβιον τὸ δὲ χερσαῖον τὸ δὲ ἔνυδρον, εἶτα τοῦ ζῴου τὸ μέν ἐστι πελάγιον τὸ δὲ πετραῖον, καὶ τὸ μὲν ἀγελαῖον τὸ δὲ μοναδικόν. καὶ οὕτω διαιρήσαντες τὸ ζῷον εἰς ἅπαντα ὅσα ἂν διαιρεθῆναι δύνηται, ὁρῶμεν εἰς τίνας τούτων ἐμπίπτειν ὁ ἄνθρωπος ἢ ὁ κόραξ ἢ ἄλλο ὁποιονοῦν δύναται, καὶ συντιθέντες ἀποτελοῦμεν τὸ ζητούμενον εἶδος. ὥστε καὶ τὸ ἔναιμον μετὰ καὶ ἄλλων τινῶν οἷον φέρε εἰπεῖν τοῦ ὑπόποδος, τοῦ πτερωτοῦ συντεθὲν εἶδος μὲν ποιήσει, ὥσπερ καὶ αἱ ἄλλαι, εἴδη δὲ αὐτοῦ οὐκ ἔσται· οὐ γὰρ ὑποδιαίρεσιν αὐτοῦ πεποιήκαμεν, ὥσπερ οἱ τὰς διαιρέσεις οὕτω ποιοῦντες.

Ἀλλὰ ταῦτα μὲν εἴρηταί μοι πρὸς σαφήνειαν τῶν λεχθησομένων, καὶ ὅπως τὰς διαιρέσεις γίνεσθαι ὁ δαιμόνιος οὗτος βούλεται· λοιπὸν δ' ἐπὶ τὰ ἑξῆς ἰέναι. δεῖ, φησί, πειρᾶσθαι λαμβάνειν κατὰ γένος τὰ ζῷα· ἔχοντες γὰρ ἁπάσας τὰς τοῦ ζῴου διαιρέσεις οὕτως ληψόμεθα τὸν ὄρνιν, τὸν ἰχθύν, τὰ ἄλλα· καὶ ἐπεὶ πάλιν τούτων ἕκαστον, τοῦ τε ὄρνιθος, ἰχθύος καὶ τῶν ἄλλων, εἰς πολλὰ διαιρεῖται (τούτου γάρ ἐστι δηλωτικὸν τὸ τούτων δ' ἕκαστον πολλαῖς ὥρισται διαφοραῖς) εἴς τε μακρόπτερα καὶ βραχύπτερα καὶ εἰς ἄλλα πλεῖστα, ἔχοντες οὖν καὶ τούτων τὰς τοιαύτας διαφορὰς ἐν τῇ τοῦ ζῴου διαιρέσει (εἰς ἅπαντα γὰρ ὅσα δυνατὸν ἦν διαιρεθῆναι διῄρηται τὸ ζῷον) ληψόμεθα καὶ τὰ τούτων εἴδη, τὸν κόρακα, τὴν κορώνην, τὸν δελφῖνα, τὸν λάβρακα, τὰ ὅμοια. εἰπὼν δὲ ὅτι τούτων ἕκαστον πολλαῖς ὥρισται διαφοραῖς ἐπήγαγεν οὕτω μὲν γὰρ ἤτοι οὐκ ἔστι τὸ παράπαν λαβεῖν, τουτέστιν οὕτω μὲν ἐκ τῆς διχοτομίας τῆς κατὰ Πλάτωνα ἢ οὐκ ἔστι τὰ εἴδη λαβεῖν (εἰς πλείους γὰρ ἐμπεσεῖται διαφοράς, ὥσπερ ὁ μύρμηξ εἰς πτερωτὸν καὶ ἄπτερον) ἢ μία μόνον διαφορὰ ἔσται, ἥτις ἢ ἐκ συμπλοκῆς ἢ ἁπλῶς ποιήσει τὸ τελευταῖον εἶδος. εἰδοποιείσθω λόγου ἕνεκα τὸν ἄνθρωπον τὸ δίπουν· εἰ οὖν λέγει τις 'ἄνθρωπός ἐστι ζῷον δίπουν', ἁπλῇ αὕτη, εἰ δὲ λέγει 'ἄνθρωπός ἐστι ζῷον ὑπόπουν δίπουν', ἐκ συμπλοκῆς. συνέπλεξε γὰρ τὸ ὑπόπουν τῇ ἑαυτοῦ διαφορᾷ· τὸ γὰρ δίπουν διαφορὰ ὑπόποδός ἐστιν. εἴτε δὲ ἁπλῶς εἴτε συμπεπλεγμένως τοῦτο ποιεῖ, συμβήσεται τὸ ἔναγχος λεχθέν, λέγω δὴ τὸ δὶς λαμβάνειν τὸ ὑπόπουν. ἐπεὶ δέ τις ἔμελλε προχείρως ἐνίστασθαι καὶ λέγειν ἀλλ' οὐ ληψόμεθα τῆς τοῦ ὑπόποδος διαφορᾶς ἄλλην διαφοράν, οἷον τὸ δίπουν, ὥστε συμβαίνειν δὶς τὸ ὑπόπουν λαμβάνειν, ἀλλὰ ἑτέραν, ἥτις οὐκ ἔσται ὑπὸ τὸ ὑπόπουν· εἴποιμεν γὰρ ἄν, φησίν, οὕτω· τοῦ ζῴου τὸ μὲν

---

6 τίνας τούτων] fort. addendum διαιρέσεις 7 ἄλλο ὁποιοῦν a συντιθέντες scripsi: συντεθεν PS: συντεθέντα a 8 ἀποτελούμενον a τὸ ζητούμενον om. a 9 εἰπεῖν om. Pa συντεθέντα Pa 10 αἱ om. a αὐτῶ S οὐδὲ γὰρ Sa 12 μὲν πρὸς σαφήνειαν εἴρηται τῶν S 13 γίνεσθαι—πειρᾶσθαι (14) in marg. add P 15. 16 τὸν ἰχθὺν τὸν ὄρνιν coll. S 19 βραχύπτερα] κοντόπτερα P: κουλεόπτερα a 21 καὶ] κατὰ a 22 λαύρακα Pa 25 τῆς om. a 28 fort. εἰδοποιείτω 36 εἴποιμι Pa

ἐστιν ἄπτερον, τὸ δὲ πτερωτόν· ὁ δὲ κόραξ ἄπτερον μὲν οὐκ ἔστι, πτερωτὸν ἄρα. πάλιν | τοῦ πτερωτοῦ τὸ μέν ἐστιν ἥμερον τὸ δὲ ἄγριον, 77
ὁ δὲ κόραξ ἄγριον· πάλιν τοῦ πτερωτοῦ τὸ μέν ἐστι λευκὸν τὸ δὲ μέλαν, ὁ δὲ κόραξ μέλαν. ἔστιν ἄρα ὁ κόραξ ζῷον πτερωτὸν ⟨ἄγριον⟩ μέλαν, καὶ
5 οὐδέτερον τούτων δὶς εἴρηται, οὔτε τὸ πτερωτὸν οὔτε τὸ ἄγριον'. εἰ δὴ ταῦτά τις ἐνιστάμενος λέγει, 'ὥσπερ', φησί, 'τὸ Σωκράτης περιπατεῖ καὶ Πλάτων ἀναγινώσκει καὶ Θεμιστοκλῆς ναυαρχεῖ εἷς ἐστι ταῦτα λόγος, ἀλλὰ 5
τῷ συνδέσμῳ εἷς, οὕτω κἀκείνους ἀναγκαῖον τοῖς συνδέσμοις ἕνα λόγον τοῦ κόρακος ποιῆσαι ἐκ τῶν τοιούτων διαιρέσεων, ἄλλως δ' οὐκ ἐνδέχεται.'
10 πῶς γὰρ ἐκ τοῦ πτερωτοῦ καὶ ἀγρίου καὶ μέλανος, ἑτέρων ὄντων, ὥσπερ καὶ τὸ Σωκράτης διαλέγεται ἕτερον τοῦ Πλάτων βαδίζει, πῶς οὖν ἐκ τούτων ἄλλως δυνατόν ἐστιν ἕνα καὶ συνεχῆ ποιήσασθαι λόγον, εἰ μὴ τῷ συν- 10
δέσμῳ; οὐ γάρ ἐστι διαφορὰ τοῦ πτερωτοῦ τὸ ἥμερον ἢ τὸ μέλαν, ἵνα φύσει ἓν γένωνται καὶ μὴ τῷ συνδέσμῳ, ἀλλ' ἑτέρας ἀρχὴ διαφορᾶς
15 (ἄλλη γάρ τις διαφορὰ διαιρεῖται εἰς τὸ ἄγριον, ἀλλ' οὐ τὸ πτερωτόν), ἐκεῖ δὲ κατὰ συμβεβηκός, τουτέστι κατὰ συμβεβηκὸς δὲ τὸ πτερωτὸν εἰς τὸ ἄγριον καὶ τὸ ἥμερον διαιρεῖται ἢ τὸ μέλαν καὶ λευκόν. διό, φησίν, οὐ διχοτομητέον, ἀλλ' εὐθὺς πολλαῖς διαφοραῖς τὸ ἓν διαιρετέον, ὥσπερ 15
προείπομεν· καὶ γὰρ οὕτω μέν, ὡς ἡμεῖς λέγομεν τὰς διαιρέσεις γίνεσθαι,
20 ποιήσουσι διαφορὰν αἱ στερήσεις, κατὰ δὲ τὴν διχοτομίαν οὐδαμῶς· ἔσονται γὰρ εἴδη τῆς στερήσεως.

p. 643b26 Ὅτι δ' οὐκ ἐνδέχεται τῶν καθ' ἕκαστον εἰδῶν λαμβάνειν οὐδὲν διαιροῦσι δίχα τὸ γένος, ὥσπερ τινὲς ᾠήθησαν.

Καὶ διὰ τούτων δείκνυσιν ὅτι ἐκ τῆς κατὰ τὴν διχοτομίαν διαιρέσεως
25 ἀδύνατόν ἐστι λαμβάνειν τὰ καθ' ἕκαστα εἴδη. ἰστέον δὲ ὅτι, ὅτε ἔλεγε 20
καὶ ἐν τῷ Z τῶν Μετὰ τὰ φυσικὰ καὶ ἐνταῦθα μίαν εἶναι τὴν ἐλαχίστην διαφοράν, καθ' ἣν εἰδοποιεῖται καὶ τὸ εἶναι τάδε τινὰ λαμβάνει τὰ εἴδη, οὐχὶ ἀρεσκόμενος τοῦτο ἔλεγεν, ἀλλ' ὡς ἑπόμενος τοῖς τὰς διαιρέσεις δίχα ποιουμένοις. εἰ γὰρ ἐκ τοῦ ζῴου ὑπόποδος πεζοῦ φέρε ὁ ἄνθρωπός ἐστι,
30 τὸ δὲ ὑπόπουν συνεπιφέρει τὸ πεζόν, φανερώτατον ὅτι ἐκ τοῦ ζῴου καὶ 25
τοῦ πεζοῦ συνίσταται ὁ ἄνθρωπος. καὶ τοῦτο μὲν προλελέχθω πρὸς δήλωσιν τῆς τοῦ Ἀριστοτέλους γνώμης καὶ βουλήσεως. εἰπὼν δὲ ὅτι κἀντεῦθεν δῆλον ὡς οὐκ ἐνδέχεται οὐδὲν τῶν καθ' ἕκαστον εἰδῶν λαμβάνειν δίχα διαιροῦσιν, ἐπήγαγεν ἀδύνατον γὰρ μίαν ὑπάρχειν διαφορὰν

---

2. 3 ἐστὶν λευκὸν τὸ δὲ μέλαν, ὁ δὲ κόραξ μέλαν S 3 μέν ἐστιν ἥμερον τὸ δὲ ἄγριον S 4 ἄγριον addidi 5 εἴρηται δὶς coll. S 8 ἀναγκαῖον om. P 10 καὶ τοῦ ἀγρίου S 15 fort. εἰς τὸ ἥμερον καὶ τὸ ἄγριον 17 εἰς] καὶ a τὸ post καὶ om. a 26 ἐν τῷ Z τῶν Μετὰ τὰ φυσικὰ] c. 12 p. 1038a19 εἶναι μίαν coll. S 27 τόδε τι Pa 28 τοῦτο] τούτῳ a 30 δὲ om. a φανερώτατα a 31 πεζοῦ] immo ὑπόποδος 33 εἰδῶν ex ὁδῶν corr. P 34 διαίρεσιν S

τῶν καθ' ἕκαστον διαιρετῶν, τουτέστιν ἀδύνατον γὰρ ὑπὸ μιᾶς διαφορᾶς συνίστασθαι τὸ ἄτομον εἶδος τὸ διαιρούμενον εἰς τὰ καθ' ἕκαστα καὶ ἓν ἀριθμῷ· τὸ γὰρ ἐλάχιστον πᾶν εἶδος ἐκ δύο διαφορῶν συνίσταται. εἴρηκε δὲ τὸ τῶν καθ' ἕκαστον διαιρετῶν ἀντὶ τοῦ τῶν εἰς τὰ καθ' ἕκαστα καὶ ἓν ἀριθμῷ διαιρουμένων· ὁ γὰρ ἄνθρωπος εἰς Σωκράτην καὶ Πλάτωνα καὶ τοὺς ἄλλους τοὺς καθ' ἕκαστα διαιρεῖται. εἰ οὖν ἀδύνατον ἐκ μιᾶς διαφορᾶς μὴ διαιρουμένης εἰς ἄλλας διαφορὰς συνίστασθαι τὰ εἴδη, ἐκ δὲ τῆς κατὰ διαίρεσιν διχοτομίας τοιαύτας διαφορὰς δύο ἢ τρεῖς λαβεῖν οὐκ ἐνδέχεται, εἰ μὴ μίαν μόνην, πῶς οἷόν τε λέγειν ὅτι ἐκ τῆς διχοτομίας ληψόμεθα τὰ εἴδη; σαφέστερον δὲ ἔσται τὸ λεγόμενον ἐκ τοῦ παραδείγματος. κείσθω εἶναι τοῦ κόρακος ὁρισμὸν τὸ ζῷον δίπουν ῥυγχωτόν, δέον δὲ ἔστω ἐκ τῆς διχοτομίας λαβεῖν τὸν τοιοῦτον ὁρισμόν. πειρατέον οὖν κατ' ἐκείνους οὕτω· τὸ ζῷον διαιρεῖται εἰς πτερωτὸν καὶ ἄπτερον, τὸ πτερωτὸν εἰς ὑπόπουν καὶ ἄπουν, τὸ ὑπόπουν εἰς δίπουν καὶ πολύπουν· ὁ δὲ κόραξ πολύπουν μὲν οὐκ ἔστι, δίπουν ἄρα. κείσθω δὲ ὅτι καὶ τὸ δίπουν τελευταία ἐστὶ καὶ ἐσχάτη διαφορὰ καὶ εἰς ἄλλας διαιρεῖσθαι μὴ δυναμένη· ἔστιν ἄρα ὁ κόραξ ζῷον δίπουν. ἀλλ' οὐκ ἐκ τοῦ δίποδος μόνον καὶ τοῦ ζῴου ὑπόκειται συγκεῖσθαι, ἀλλὰ καὶ ἐκ τοῦ ῥυγχωτοῦ, τὸ δὲ ῥυγχωτὸν ἐκ τῆς τοιαύτης διαιρέσεως οὐδαμῶς ἐπακολουθῆσαν ἔχομεν. ἀνάγκη οὖν καὶ ἄλλην διαίρεσιν ποιήσασθαι, ἵνα ἐκ ταύτης ληφθῇ καὶ τὸ ῥυγχωτόν. εἰ οὖν, ὥσπερ λέγομεν, τὰ εἴδη ἐκ πλειόνων ἀτόμων διαφορῶν συνίσταται, ταύτας δὲ ἐκ μιᾶς διαιρέσεως λαβεῖν οὐκ ἐνδέχεται, ⟨ἀλλ'⟩ ἀνάγκη δύο ποιεῖν διαιρέσεις, εἰ δύο εἰσὶν αἱ συστατικαὶ διάφοραί, ἢ τρεῖς, ἐὰν τρεῖς, τί οὐκ εὐθὺς διαιροῦμεν τὸ ζῷον εἰς ὅσα δυνατὸν ἦν | διαιρεθῆναι, 78
κἀκεῖθεν λαβόντες τὰς συμπληρωτικὰς τοῦ κόρακος διαφορὰς ἀπετελέσαμεν τὸν κόρακα, ἀλλὰ πολὺν χρόνον πονοῦμεν καὶ κακοπαθοῦμεν τῇ ἐκ διχοτομίας διαιρέσει; ἡ μὲν οὖν αἰτία, δι' ἣν καὶ νῦν κακίζει τὴν διχοτομίαν διὰ τὸ μὴ δύνασθαι ἐκ ταύτης τὰ εἴδη λαμβάνειν, αὕτη ἐστίν. εἰπὼν δὲ ὅτι ἀδύνατον γὰρ μίαν ὑπάρχειν τὴν συστατικὴν διαφορὰν τῶν εἰς τὰ καθ' ἕκαστα καὶ ἓν ἀριθμῷ διαιρουμένων εἰδῶν, προσέθηκε τὸ ἐάντε ἁπλᾶ λαμβάνῃ ἐάντε συμπεπλεγμένα, τουτέστιν εἴτε τὴν τελευταίαν διαφορὰν μόνην μετὰ τοῦ γένους λαμβάνει, ἡνίκα λέγει ζῷον δίπουν, εἴτε συμπεπλεγμένην, ὅταν μετὰ τῆς καθολικωτέρας, ἐπειδὰν λέγῃ ζῷον ὑπόπουν δίπουν, εἴτε οὖν ἁπλᾶ εἴτε συμπεπλεγμένα, ἀδύνατον ἐκ μιᾶς διαφορᾶς τὸ εἶδος συνίστασθαι. σαφηνίζων δὲ τί τὸ ἁπλοῦν καὶ τί τὸ συμπεπλεγμένον, προσέθηκε τὸ ἁπλᾶ μέν, ἐὰν μὴ ἔχῃ διαφοράν, τουτέστιν ἐὰν ἡ ἐσχάτη διαφορὰ μετὰ τοῦ οἰκείου γένους μόνου ληφθῇ, οἷον τὸ σχιζόπουν μετὰ τοῦ ζῴου, συμπεπλεγμένα δέ, ἐὰν ἡ καθολικωτέρα διαφορὰ μετὰ τῆς ὑπ' αὐτὴν καὶ τοῦ οἰκείου γένους συντεθῇ, οἷον ζῷον σχιζόπουν πολυ-

---

5 καὶ prius om. Pa 12 δέ ἐστιν S 15 ἄρα om. a, in marg. add. P
16 τελευταῖον Pa 22 συνίστανται Pa ἀλλ' addidi post ἀνάγκη supra
v. add. δὴ P 26 post ἐκ add. τῆς Pa 28 τὰ εἴδη om. Pa 29. 30 τὸν
καθ' ἕκαστα S 32 λαμβάνειν S 39 συνθετῇ a

σχιδές· καθολικώτερον δὲ τὸ σχιζόπουν τοῦ πολυσχιδοῦς. τὸ δὲ τοῦτο γὰρ ἡ συνέχεια βούλεται ἴσον ἐστὶ τῷ βούλεται γὰρ αὐτοῖς ἡ συνέχεια καὶ ἡ σύζευξις τῶν καθολικωτέρων διαφορῶν μετὰ τῶν μερικωτέρων ἕν τι ἐκ τῶν πολλῶν ποιεῖν, καὶ ἐπὶ τούτῳ συντιθέασι τὰ πολλά. τοῦτο δ' ἄν, οἶμαι, ἐνδεικτικὸν εἴη τοῦ ὅτι οὐκ ἐνδέχεται ἐκ μιᾶς διαφορᾶς συνίστασθαι εἶδος τὸ οἱονοῦν, ὡς ἂν εἰ ἔλεγε 'τοσοῦτόν ἐστι χρεία πλειόνων μιᾶς διαφορᾶς εἰς σύστασιν παντὸς εἴδους, ὥστε καὶ ἐκεῖνοι πολλὰς λαμβάνοντες πειρῶνται ἕν τι ἐξ αὐτῶν ἀποτελεῖν'. ἀλλὰ κἂν ποτε τὸ γένος λάβωσι καὶ τὴν τελευταίαν μόνην διαφοράν, οἷον τὸ ζῷον καὶ τὸ δίπουν ἢ τὸ ζῷον καὶ τὸ πολυσχιδές, ἐν τῷ λέγειν καὶ τῷ προφορικῷ λόγῳ, αὐτῇ δὴ τῇ ἐκφωνουμένῃ φωνῇ δοκεῖ ὅτι μία ἐστὶ διαφορά, κατ' ἀλήθειαν δὲ οὐ μία, ἀλλὰ πολλαὶ διὰ τὸ συνεπιφέρειν τὴν ἐσχάτην τὰς πρὸ αὐτῆς, κἂν μὴ ἐκφωνῶνται. τοσοῦτον δὲ συνεπιφέρει, ὥστε κἂν ἐκφωνηθείη ἢ τὸ πολύπουν ἢ τὸ ὑπόπουν, περίεργον καὶ μάτην εἰρῆσθαι δοκεῖ.

Εἰπὼν οὖν ὅτι ἀδύνατον ἐκ μιᾶς ἀτόμου διαφορᾶς συνίστασθαι τὸ εἶδος λέγει ὅτι δὲ ἀδύνατον ἐκ μιᾶς διχοτομίας πλείους λαβεῖν τοιαύτας διαφορὰς ἤγουν ἀτόμους, δῆλον· ἀεὶ γὰρ βαδίζων ἐκ τῆς διαιρέσεως ἐπὶ τὴν ἐσχάτην μὲν βαδίζει καὶ ἄτομον διαφοράν, ἀλλ' οὐκ ἐπὶ τὴν εἰδοποιὸν καὶ τελειωτικὴν τοῦ εἴδους· διὰ τί; διότι οὐκ ἐκ μιᾶς, ὡς πολλάκις εἴρηται, συνίσταται διαφορᾶς τὸ οἱονοῦν εἶδος. αὕτη δὲ ἡ ἐσχάτη διαφορά, εἰς ἣν οἱ διχοτομοῦντες καταντῶσιν, ἢ τὸ σχιζόπουν ἐστὶ μόνον· ἢ γὰρ τὸ σχιζόπουν μόνον μετὰ τοῦ ζῴου λήψεται ὁ τὸν ἄνθρωπον λαβεῖν ζητῶν, ἢ καὶ τὰς ἐπάνω τοῦ σχιζόποδος τὸ ὑπόπουν καὶ τὰς λοιπάς· σύμπλεξιν γὰρ τὴν σύνθεσιν εἴρηκε τῶν καθολικωτέρων μετὰ τῶν μερικωτέρων διαφορῶν. ἀλλ' εἰ μὲν ἦν ὁ ἄνθρωπος ζῷον σχιζόπουν μόνον, δυνατὸν ἦν ληφθῆναι τὸν ἄνθρωπον ἐκ τῆς κατὰ διχοτομίαν διαιρέσεως· νῦν δ' ἐπειδὴ οὐκ ἔστιν ὑπὸ ζῴου καὶ σχιζόποδος, ἀλλὰ καὶ ἐξ ἄλλων, αἵτινες οὐκ εἰσιν ὑπὸ τὴν αὐτὴν διαίρεσιν, ἐξ ἧς τὸ σχιζόπουν ἐλήφθη, ἀλλ' ἄλλη μὲν διαίρεσις τελευτᾷ καὶ περατοῦται εἰς τὸ σχιζόπουν, ἄλλη δὲ εἰς ἄλλο, νῦν δ' ἐπειδὴ οὐκ ἔστι τοῦτο, ἀδύνατον ὁτιοῦν τῶν καθ' ἕκαστον ζῴων λαβεῖν διαιρουμένους δίχα, λέγων πάλιν καθ' ἕκαστον ζῷον τὸ εἰδικώτατον εἶδος.

p. 644a12 Ἀπορήσειε δ' ἄν τις διὰ τί οὐκ ἄνωθεν ἑνὶ ὀνόματι ἐμπεριλαβόντες ἅμα ἓν γένος προσηγόρευσαν οἱ ἄνθρωποι.

Ζητήσειεν ἄν τις, φησί, διὰ τί οἱ ἄνθρωποι, ὥσπερ κόρακα, κορώνην, ἀετόν, τὰ τοιαῦτα κοινῷ ὀνόματι τῷ ὄρνιθι προσηγόρευσαν ὄρνιθας, οὐχ οὕτω καὶ τὸ πτηνὸν καὶ ἔνυδρον ἐκάλεσαν φέρε εἰπεῖν ἔμψυχον ἢ αἰσθη-

---

3 σύνευξις τὸν καθολικωτέρων a 5 ante εἴη add. ἂν S 7 καὶ om. S
9 καὶ τὸ δίπουν om. Pa 10 τῷ λέγειν] τῶ λόγω, sed supr. v. τῇ λέξει S
16 ἐκ τῆς μιᾶς Pa 19 διότι] ὅτι Pa 30 ζῶν Pa 34 ἐμπεριλαβόντες] λαβόντα P γένος προσηγόρευσαν] sic etiam Arist. S: post γένος add. ἄμφω Arist. vulg.

τικόν, ὥσπερ ἐκεῖνα ὄρνις. εἰ γὰρ διὰ τὸ ἔχειν κοινὰ πάθη ὁ κόραξ, ἡ κορώνη, ὁ ἀετός (ταῦτα δ' ἂν εἶεν τὸ ῥύγχος, τὸ πτερόν, τὰ λοιπά, ὅσα κοινῶς αὐτοῖς ὑπάρχει) εἰ οὖν διὰ τὴν τῶν παθῶν κοινωνίαν κοινῷ ὀ|νόματι 79
ὄρνιθας αὐτὰ προσηγόρευσαν, διὰ τί οὐ καὶ τὸ πτηνὸν ταὶ τὸ ἔνυδρον; εἰσὶ
5 γὰρ καὶ ἐν τούτοις, τῷ τε πτηνῷ καὶ ἐνύδρῳ, ἔνιά τινα κοινὰ πάθη. θεὶς οὖν τὴν ἀπορίαν λύει αὐτὴν λέγων 'καλῶς τοῦτο πεποιήκασιν οἱ ἄνθρωποι, καὶ τὰ μὲν ἑνὶ ὀνόματι περιέλαβον, τὰ δὲ ἐχώρισαν καὶ ἄλλως μὲν ταῦτα, ἑτέρως δὲ ἐκεῖνα προσηγόρευσαν'. ὅσα μὲν γὰρ κατὰ τὴν φύσιν οὐ διαφέρει, ἀλλὰ μόνην τὴν ὑπεροχὴν καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον, ταῦτα 5
10 ὑπέζευκται ἑνὶ γένει, τουτέστι ταῦθ' ὡς ἕν τι γένος περιέλαβον καὶ κοινῷ ὀνόματι προσηγόρευσαν τόδε τι, οἷον ὄρνιν ἢ ἰχθύν. τὸ γὰρ τοῦ κόρακος πτερὸν ἢ τὸ ῥύγχος καὶ τοῦ πυργίτου ὁμοίως καὶ τῶν ἄλλων ὀρνίθων, ᾗ πτερὰ καὶ ᾗ ῥύγχη, οὐδὲν διαφέρει, μόνῳ δὲ τῷ μακρῷ καὶ βραχεῖ· τὰ μὲν γὰρ τῶν ὀρνίθων ἐστὶ μακρόπτερα, τὰ δὲ βραχύπτερα. 10
15 ἀλλὰ καὶ οἱ πόδες γεράνου καὶ πυργίτου καὶ ἀλεκτορίδος καὶ ἀετοῦ τῷ μὲν σχήματι διαφέρουσιν οὐδέν, τῷ μᾶλλον δὲ καὶ ἧττον. ἀλλὰ καὶ κατὰ τὰ ἐντὸς μέρη πολλὴν ἔχουσιν ἅπαντες οἱ ὄρνιθες πρὸς ἀλλήλους τὴν ὁμοιότητα. ὅσα μὲν οὖν ἦν τοιαῦτα, ταῦτα ὑπέζευκται ἑνὶ γένει· ὅσα δὲ μὴ τῇ φύσει κοινωνεῖ ἀλλὰ διαφέρει, μόνῃ δὲ τῇ ἀναλογίᾳ ἔχουσι τὸ 15
20 ταὐτόν, ταῦτα κεχώρισται, καὶ διαφόροις ὀνόμασιν ὠνόμασταί τε καὶ ὡς διάφορα φύσει νενόμισται· τίνα γὰρ κοινωνίαν φύσεως καὶ ταυτότητα ἔχει λεπὶς καὶ πτερὸν ἢ βράγχιον καὶ πνεύμων, ὥστε ὡς μία τις φύσις λογίζεσθαι [ὁ ὄρνις καὶ ὁ ἰχθύς] καὶ διὰ τοῦτο καὶ κοινῷ ὀνόματι πρὸς τῇ ταυτότητι τῆς φύσεως προσαγορεύεσθαι; πάντως οὐδεμίαν, ἀλλὰ μόνῃ τῇ
25 ἀναλογίᾳ τὸ ταὐτὸν σώζει· ὁ γὰρ ἐν κόρακι ποιεῖ πνεύμων, τοῦτο ἐν 20
λάβρακι ποιεῖ βράγχιον. τὸ δὲ τοῦτο δὲ ποιεῖν ἐπὶ πᾶσιν οὐ ῥᾴδιον εἴρηται ἀντὶ τοῦ ἐπὶ πᾶσι δὲ εὑρίσκειν κοινότητα μὲν φύσεως, ὥσπερ ἐπὶ τῶν πτερῶν καὶ τῶν ῥύγχων, διαφορὰν δὲ κατὰ μόνον τὸ μᾶλλον καὶ ἧττον οὐ ῥᾴδιον. τὰ γὰρ πλεῖστα τῶν ζῴων τῇ ἀναλογίᾳ τὸ ταὐτὸν
30 σώζει, οὐ τῇ φύσει· εἰ δὲ τοῦτο, πῶς οἷόν τ' ἦν ἅπαντα ἑνὶ προσαγορεῦσαι ὀνόματι.

p. 644a 23 Ἐπεὶ δὲ οὐσίαι μέν εἰσι τὰ ἔσχατα εἴδη. 25

Ἡ μὲν τοῦ ῥητοῦ διάνοια αὕτη ὅτι μᾶλλον οὐσίαι εἰσὶ τὰ εἴδη τῶν γενῶν. ἐλλιπῶς δὲ πέφρασται· λείπει γὰρ τὸ τὰ διαιρούμενα εἰς τὰ ἔσχατα,
35 λέγων ἔσχατα Σωκράτην, Πλάτωνα, ἁπλῶς τὰ ἄτομα. καὶ εἴη ἂν τὸ

---

1 ἐκεῖνο Pa ὁ] ὅ τε libri 12 πυργίτου] πτερυγίου P 15 ἀλεκτορίδου Pa 17 οἱ om. S ἄλληλα Pa 19 fort. ἔχει τὸ om. S
21 διάφοροι φύσεις νομίζονται S καὶ] ἢ a ταυτότητος S 22 ἢ] καὶ S
23 ὁ ὄρνις—ἰχθύς delevi 26 λαύρακι Pa 33 αὕτη] τοιαύτη Pa
35 ἔσχατα λέγων coll. S

πλῆρες τῆς λέξεως τοιοῦτον 'ἐπεὶ δὲ μᾶλλον οὐσίαι εἰσὶ τὰ εἴδη τὰ εἰς τὰ ἄτομα προσεχῶς διαιρούμενα, ταῦτα δὲ τὰ ἄτομα κατ' εἶδος ἀδιάφορα', καὶ τὰ ἑξῆς. ἔστι δὲ τὸ λεγόμενον λύσις ἀπορίας τινὸς δυναμένης φέρεσθαι πρὸς τὰ λεγόμενα· ἠπόρησε γὰρ ἄν τις 'ἐπειδὴ μᾶλλον οὐσίαι τὰ εἴδη τῶν γενῶν εἰσι, διὰ τί οὐκ ἐπὶ τῶν μᾶλλον οὐσιῶν τὰ μέλλοντα δείκνυσθαι δεικνύεις, ἀλλ' ἐπὶ τῶν καθολικωτέρων, ἃ ἧττόν εἰσιν οὐσίαι; δεῖ δὲ τὰς δείξεις ἐπὶ τῶν μᾶλλον ὄντων ποιεῖσθαι· μᾶλλον δὲ ὄντα αἱ μᾶλλον οὐσίαι'. πρὸς δὴ τοιαύτην ἀπορίαν ἐπάγει ταῦτα, δυνάμει λέγων 'ᾗ μὲν γάρ εἰσι μᾶλλον οὐσίαι τὰ ἔσχατα εἴδη, ὅ τε κόραξ, κορώνη καὶ τὰ ὅμοια, δεῖ ἐπὶ τούτων τὰς δείξεις ποιεῖσθαι· ᾗ δὲ ἐκ τούτων συμβαίνει πολλάκις τὰ αὐτὰ λέγειν, ὥσπερ καὶ ἐν ἀρχῇ τοῦδε τοῦ βιβλίου εἴπομεν, ἀναγκαῖον τὰ καθόλου καὶ κοινῶς πᾶσιν ὑπάρχοντα πρῶτον εἰπεῖν· εἰ δέ πῃ καὶ ἴδιά τινα πρόσεστιν αὐτοῖς, ὕστερον καὶ περὶ τούτων λελέξεται'.

p. 644a28 Ἀπορίαν δ' ἔχει περὶ πότερα δεῖ πραγματεύεσθαι.

Τὴν προρρηθεῖσαν ὑφ' ἡμῶν ἀπορίαν νῦν ἐκτίθεται καὶ λύει· ἔχει γάρ, φησίν, ἀπορίαν περὶ ποῖα δεῖ τὴν πραγματείαν ποιεῖσθαι· ᾗ μὲν γὰρ οὐσία, τὸ τῷ εἴδει ἄτομον κράτιστον, τουτέστι καθὸ μὲν γὰρ οὐσία, κράτιστον καὶ κυριώτατον τὸ τῷ εἴδει ἄτομόν ἐστι· τοῦτο δὲ ταὐτόν ἐστι τῷ ἐπεὶ δὲ κρατίστη καὶ κυριωτάτη καὶ μᾶλλον οὐσία ἐστὶ τὸ ἄτομον καὶ εἰδικώτατον εἶδος (μᾶλλον γὰρ οὐσία τὸ εἶδος τοῦ γένους, ὥσπερ καὶ Σωκράτης καὶ ὅλως τὰ ἄτομα τῶν εἰδῶν), εἴ τις ἐν τοῖς τοιούτοις εἴδεσι δύναται τὴν πραγματείαν οὕτω ποιεῖσθαι χωρὶς μὲν περὶ ἀνθρώπου, χωρὶς δὲ περὶ ὄρνιθος (λέγων ὄρνιθα οὐ τὸ τῶν ὀρνίθων γένος, ἀλλὰ στρουθὸν ἢ γέρανον ἢ τοιοῦτον, ὃ καὶ σαφηνίζων ἐπήγαγεν ἔχει γὰρ εἴδη τὸ γένος τοῦτο, δυνάμει λέγων 'ἐπεὶ ὁ ὄρνις λέγεται μὲν καὶ κατὰ τοῦ | τῶν ὀρνίθων γένους, λέγεται δὲ καὶ κατὰ τῶν τοῦ ὄρνιθος εἰδῶν, κόρακος, κορώνης, τῶν ἄλλων, ὄρνιθος εἰπὼν οὐ τὸ γένος εἶπον τῶν ὀρνίθων, ἀλλ' εἶδος ὄρνιθος), εἴ τις οὖν δύναιτο τὴν πραγματείαν ποιεῖσθαι περὶ ὁτουοῦν ὄρνιθος, ὥστε μὴ πολλάκις λέγειν τὰ αὐτά, δικαίως ἂν τοῦτο ποιήσειεν. ὁ δέ τις, φησίν, ὄρνις ἢ στρουθός ἐστιν ἢ γέρανος, ἢ ἄλλο τι τοιοῦτον. ᾗ δὲ περὶ ἑνὸς ἑκάστου τούτων λέγων συμβαίνει πολλάκις λέγειν περὶ τοῦ αὐτοῦ πάθους διὰ τὸ κοινῶς πλείοσιν ὑπάρχειν, ταύτῃ δ' ἐστὶν ὑπάτοπον τὸ χωρὶς περὶ ἑκάστου λέγειν. ὑπάτοπον δέ ἐστι τὸ μεταξὺ ἀτόπου καὶ μὴ ἀτόπου ὥσπερ ὑπόξηρον τὸ μεταξὺ χλοεροῦ καὶ ξηροῦ. ταῦτα εἰπὼν πάλιν ἐπικρίνει λέγων 'ὅσα καλῶς οἱ ἄνθρωποι ὥρισαν ἤτοι συνήθροισαν καὶ ὡς

---

1 εἰσὶ om. S 1. 2 εἰς ἄτομα S 2 διάφορα S 5 ἐστὶ S 6 τὰς supr. v. P 9 fort. κόραξ καὶ ἡ κορώνη καὶ om. S 11 καὶ om. a 12 ὑπάρχοντα πᾶσι coll. S 20 τοῦ γένους τὸ εἶδος coll. S 26 ὄρνιθος] ὄρνιθα S post κόρακος add. καὶ Pa 27 εἶπον] εἶπεν a 28 οὖν] γοῦν Pa 34 χλοεροῦ] τοῦ χλωροῦ S 34. 35 ἐπικρίνει πάλιν coll. S

μίαν τινὰ φύσιν καὶ ἕν τι γένος τετάχασι διὰ τὸ μὴ πολὺ διεστάναι ἀπ' ἀλλήλων, ὁποῖόν ἐστιν ὁ ὄρνις (τοῦτον γὰρ ὡς ἕν τι γένος καὶ μίαν φύσιν νομίζεσθαι ἔθοντο διὰ τὸ μὴ πολὺ διεστηκέναι κόρακα κορώνης, καὶ τοὺς ἄλλους ὄρνιθας ἀπ' ἀλλήλων), ὅσα μὲν οὖν τοιαῦτα, δεῖ περὶ τούτων κοινῶς λέγειν, ὅσα δὲ μὴ τοιαῦτα, καθ' ἕκαστον, τουτέστι χωρὶς περὶ ἑνὸς ἑκάστου, οἷον χωρὶς μὲν περὶ ἀνθρώπου, ἰδίως δὲ περὶ ἵππου'. τίνα δέ εἰσιν ἅπερ ὡς ἕν τι γένος ἐτάχθη, ἐπήγαγεν εἰπὼν 'σχεδὸν γὰρ ὅσα τῶν μορίων ἔχει ὁμοιότητα καὶ ὅλον τὸ σῶμα, ὥρισταί τε καὶ ὡς μία τις φύσις καὶ ἕν τι γένος νενόμισται καὶ καθ' ἑαυτὸ κεχωρισμένον καὶ τῶν ἄλλων ἀφωρισμένον εἶναι λελόγισται, ὥσπερ ὁ ὄρνις. ὁμοίως καὶ τὰ μαλάκια· καὶ ταῦτα γὰρ διὰ τὴν τῶν μορίων ὁμοιότητα ὡς γένος εἶναι διώρισαν. ἀλλὰ καὶ τὰ ὄστρεια· τὰ γὰρ μόρια τούτων οὐ τῇ ἀνάλογον ὁμοιότητι τὸ ταὐτὸν ἔχει, τῇ φύσει δὲ καὶ τῷ σχήματι τὸ διάφορον, ἀλλὰ μόνοις τοῖς πάθεσι, μεγέθει καὶ μικρότητι, λειότητι τραχύτητι, καὶ ὅλως τῷ μᾶλλον καὶ ἧττον'. ταῦτα εἰπὼν συμπεραίνεται τὸν ἅπαντα λόγον λέγων πῶς μὲν οὖν ἀποδέχεσθαι χρὴ τὴν περὶ φύσεως μέθοδον, καὶ τὰ ἑξῆς.

Σαφῆ δὲ τὰ λοιπὰ διὰ τὸ τούτων τὰ μὲν εἰπεῖν αὐτὸν ἐν τῷ Περὶ οὐρανοῦ, τὰ δὲ καθαρῶς ἐνταῦθα καὶ σαφῶς ἀπαγγέλλειν. ὅμως εἰσί τινα δεόμενα βραχείας ἐπιστάσεως· ὧν οὐδὲν ἀνεξέταστον καταλειφθήσεται. αὐτίκα τὸ ἀντικαταλλάττεταί τι πρὸς τὴν περὶ τὰ θεῖα φιλοσοφίαν εἴρηται ὥσπερ ἂν εἰ ἔλεγε πρὸς ἡμᾶς τὰ φυτὰ καὶ ζῷα 'ἄνθρωποι, εἰ γὰρ καὶ τίμια καὶ θειότατα τὰ οὐράνια σώματα τυγχάνει, ἀλλ' οὖν ἐπειδὴ ἔνεισι καὶ ἡμῖν πολλὰ θαυμάσια, ποιητέον λόγον καὶ ἡμῶν, καὶ μὴ πάντῃ καταφρονητέον'. μὴ κεχαρισμένα δὲ πρὸς αἴσθησιν εἴρηκε τὰ ἀηδέστατά τε καὶ εἰδεχθέστατα, οἷόν ἐστιν ὁ κοχλίας καὶ ἄλλα πάμπολλα. καὶ τὸ μὴ δυσχεραίνειν παιδικῶς ἴσον ἐστὶ τῷ οὐ δεῖ ὥσπερ τοὺς παῖδας φεύγειν τὰ μὴ ἡδέα τῶν ζῴων, ἀλλὰ προσιέναι τούτοις διὰ τὸ ἐν αὐτοῖς θαυμάσιον. τὸ δὲ περὶ Ἡρακλείτου τοιοῦτόν ἐστιν· Ἡράκλειτος ὁ Ἐφέσιος καθήμενος ἐντός ποτε τοῦ ἰπνοῦ (ἰπνὸς δέ ἐστιν οἷον οἰκίδιον ἐν ᾧ τοὺς ἄρτους ἕψομεν, ἀφ' οὗ καὶ ἰπνίτης ἄρτος λέγεται) καθήμενος οὖν ἐντὸς τοῦ ἰπνοῦ καὶ θερόμενος ἐκέλευσε τοὺς προσιόντας αὐτῷ ξένους εἰσελθεῖν· εἶναι γάρ, φησί, καὶ ἐνταῦθα θεούς· τὸ γὰρ 'πάντα πλήρη θεῶν' Ἡρακλείτειόν ἐστι δόγμα. καὶ ἐπεὶ μάλιστα ἐν τοῖς τῆς φύσεως ἔργοις ἔνεστι τὸ οὗ ἕνεκα, ἕκαστον δὲ οὗ ἕνεκα τέλους ἢ ἔστιν ἢ γίνεται, ὡς τέλος τὴν τοῦ καλοῦ χώραν εἴληφε (πᾶν γὰρ τὸ γινόμενον ἕνεκά τινος ὡς καλοῦ

2 τοῦτο γὰρ Pa 3 τὸ] τοῦ (ex τὸ) S² 4 post ἀλλήλων spatium XXVI litt. vacuum rel. S 4. 5 λέγειν κοινῶς coll. S 6 ἰδίως δὲ] καὶ ἰδίως Pa S fort. ὅλου τοῦ σώματος 9 ἑαυτὴν κεχωρισμένην Pa 10 ἀφωρισμένην Pa λελόγισται] νενόμισται S 15 λέγων om. S 17 αὐτὸν om. S 17. 18 ἐν τῷ Περὶ οὐρανοῦ] cf. A 2 sqq. 19 ἐπιστασίας S 22 καὶ post γὰρ om. Pa τυγχάνει om. S ἐπεὶ S 23 καὶ ante ἡμῶν om. S 25 ἄλλα πολλὰ S 27 μὴ τὰ coll. Pa 28 τὸ δὲ—θεούς (32) σαφὲς δὲ καὶ τὸ περὶ τοῦ ἰπνοῦ καὶ ἡρακλείτου S 33 ἔργοις om. Pa 35 post καλοῦ add. τινὸς S

ἐκείνου ἐφιέμενον γίνεται) ἐπεὶ οὖν οὕτω ταῦτα, σκεπτέον περὶ αὐτοῦ. εἰ δέ τις ἄτιμον νενόμικε τὴν θεωρίαν τῶν μερῶν, ἐξ ὧν τὰ ἄλλα ζῷα συνέστηκε, διὰ τὸ μὴ ποιεῖν ἡδύτητα τῇ αἰσθήσει, τοῦτο καὶ περὶ ἑαυτοῦ νομιζέτω· τίνα γὰρ ἡδονὴν ἐμποιεῖ καταμήνιον ἢ χιτὼν ὁ περιέχων τὸ
5 βρέφος, ὅτε ἐξέρχεται ἐκ τῆς κοιλίας τῆς μητρός, ἢ σάρκες, νεῦρα, τὰ τοιαῦτα, ἐξ ὧν ὁ ἄνθρωπος συνέστηκε; τούτου γάρ ἐστι δηλωτικὸν τὸ οὐκ 45
ἔστι γὰρ ἄνευ πολλῆς δυσχερείας ἰδεῖν, ἐξ ὧν συνέστηκε τὸ τῶν ἀνθρώπων γένος, δυσχέρειαν εἰπὼν τὴν γινομένην τῇ αἰσθήσει λύπην καὶ ὡς ἂν εἴποι τις ἀηδίαν.

10 Ταῦτα εἰπὼν πάλιν διορίζει τὰ περὶ τὴν ὕλην καὶ τὸ εἶδος λέγων δεῖ νομίζειν τὸν διαλεγόμενον περὶ οὐ|τινοσοῦν μορίου τῶν ζῴων ἢ καὶ 81
περὶ σκεύους μὴ περὶ τῆς ὕλης μόνης ποιεῖσθαι τὴν μνήμην μηδὲ ταύτης χάριν, ἀλλὰ περὶ τῆς ὅλης μορφῆς', λέγων ὅλην μορφὴν τὸ σύνθετον τὸ ἐξ ὕλης καὶ εἴδους, 'ἔν τε τοῖς κατὰ τέχνην, καὶ ἐν τοῖς φυσικοῖς'. καὶ
15 ἐν τοῖς φυσικοῖς γὰρ περὶ τῆς ὅλης οὐσίας τῆς ἐξ ὕλης καὶ εἴδους ποιητέον τὴν μνείαν, ἀλλὰ μὴ περὶ τῆς ὕλης, ἥτις οὐδέποτε χωρίζεσθαι πέφυκε τῆς 5
οὐσίας αὐτῶν. τούτου γάρ ἐστι δηλωτικὸν τὸ ἀλλὰ μὴ περὶ τούτων, ἃ μὴ συμβαίνει χωριζόμενά ποτε τῆς οὐσίας αὐτῶν. οὐδέποτε γὰρ χωρὶς τῆς οἰκείας ὕλης ἢ ἡ σὰρξ σάρξ ἐστιν ἢ ἡ χεὶρ χεὶρ ἢ ἄλλο τι τῶν
20 τοιούτων. τὸ δὲ πράξεώς τινος ἕνεκα πλήρους, τὸ πλήρους ἀντὶ τοῦ τῆς ὅλης· εἰ γὰρ ἡ χεὶρ ἕνεκά τινος πράξεως συνέστηκε καὶ ὁ ὀφθαλμός, 10
δῆλον ὅτι καὶ τὸ ὅλον σῶμα ἕνεκα πράξεως ὅλης συνέστηκε, καὶ ὃν λόγον ἔχει τὰ μέρη πρὸς τὸ ὅλον, τὸν αὐτὸν καὶ αἱ τῶν μερῶν πράξεις πρὸς τὴν τοῦ ὅλου. λέγει δὲ καὶ τίνες αἱ κοιναὶ πράξεις καὶ τίνες οὔ· κοιναὶ
25 μὲν οὖν, φησί, πράξεις εἰσίν, ὅσαι πᾶσιν ὑπάρχουσι τοῖς ζῴοις, κατὰ γένος δέ, ὅσων παρ' ἄλληλα τὰς διαφορὰς ὁρῶμεν καθ' ὑπεροχὴν οὔσας, τουτέστιν ὅσων τὰ μέρη παρ' ἄλληλα τιθέμενα καὶ ἐξεταζό- 15
μενα μὴ ἔχει διαφορὰς τῇ φύσει, μόνῳ δὲ τῷ μᾶλλον καὶ ἧττον· πτερὸν γὰρ πτεροῦ καὶ ῥύγχους ῥύγχος τῷ μᾶλλον καὶ ἧττον μόνῳ διαφέρουσιν.

30 p. 645ᵇ28 Ὅσαι μὲν οὖν πράξεις ἄλλων ἕνεκα, δῆλον ὅτι καὶ ὧν αἱ πράξεις τὸν αὐτὸν τρόπον διεστᾶσι.

Τὸ λεγόμενον ὧδε ἔσται φανερόν· πρᾶξίς ἐστι καρδίας τὸ γεννᾶσθαι ἐν αὐτῇ τὸ ἔμφυτον θερμόν, πράξεις δὲ χειρός εἰσι μὲν καὶ ἄλλαι, ἀλλὰ καὶ τὸ προσάγειν τὰ βρώματα ἐν τῷ στόματι, ὀδόντων δὲ τὸ λεαίνειν αὐτά, 20
35 κοιλίας τὸ δέχεσθαι καὶ ἕψειν, ἥπατος τὸ ἐξαιματοῦν. αὗται δὲ πᾶσαι αἱ

---

1 περὶ αὐτῶν Pa 5 ὅτε ἐξέρχεται—εἰπὼν τὴν (8)] καὶ τὰ ἐξ ὧν ὁ ἄνθρωπος. δυσχέρειαν δὲ εἶπε τὴν S 13 τῆς τοῦ ὅλου μορφῆς S 13. 14 τὸ—εἴδους] τὸ ἐξ ὕλης καὶ εἴδους σύνθετον S 14 ἐν τοῖς φυσικοῖς] κατὰ φύσιν S 15 τῆς ἐξ—εἴδους supr. v S 15. 16 εἴδους τὸν λόγον δεῖ ποιεῖσθαι καὶ τὴν μνείαν, ἀλλ' οὐ περὶ τῆς ὕλης, ἡ οὐδέποτε S 17 τούτων—αὐτῶν (18) in marg. P 20 τοῦ om. a 21 καὶ ὁ ὀφθαλμός om. S 25 εἰσὶ πράξεις φησίν coll. a 28 τῆς φύσεως a 35 post κοιλίας add. δὲ S

πράξεις ἕνεκα τῆς πράξεως τῆς καρδίας εἰσί· διὰ γὰρ τὸ ἔμφυτον θερμὸν ταῦτα πάντα γίνεται· καὶ ἔστι τῇ τῆς καρδίας πράξει ἐγγυτέρα ἡ τοῦ ἥπατος, πορρωτέρα δὲ ἡ τῆς κοιλίας, καὶ ταύτης ἡ τῶν ὀδόντων, καὶ ταύτης ἡ τῶν χειρῶν. τούτων οὖν προρρηθέντων τὸ λεγόμενόν ἐστι τοιοῦτον· ὅσαι
5 μὲν οὖν πράξεις ἄλλων ἕνεκα (αὐτίκα ἡ τοῦ ἥπατος πρᾶξις καὶ τῆς 25
κοιλίας καὶ τῶν ἄλλων ἕνεκα τῆς πράξεώς εἰσι τῆς καρδίας), ὅσαι οὖν πράξεις ἄλλων πράξεων ἢ ἄλλης ἕνεκά εἰσι, δῆλον ὅτι ὡς αἱ πράξεις πρὸς τὴν πρᾶξιν, οὕτω καὶ τὰ μόρια, ὧν αἱ πράξεις, πρὸς τὸ μόριον. ἐγγυτέρα δέ, ὡς εἴρηται, ἡ τοῦ ἥπατος πρᾶξις τῇ τῆς καρδίας πράξει· καὶ τὸ ἧπαρ
10 ἄρα ἐγγύτερον τῇ καρδίᾳ ἤπερ τἆλλα μόρια. ἐγγύτερον δὲ οὐ τῷ τόπῳ, 30
καίτοι ἴσως καὶ τούτῳ, ἀλλ' ὡς ἡ πρᾶξις ἔχει τὸ ἐγγύς, οὕτω καὶ τὸ μόριον· καὶ ἀντιστρέφει τὸν λόγον λέγων ὁμοίως δὲ κἂν εἴ τινές εἰσι πρότεραι πράξεις καὶ τυγχάνουσιν οὖσαι τέλος ἑτέρων πράξεων, τὸν αὐτὸν τρόπον ἕξει τὰ μόρια ὡς αἱ πράξεις καὶ αἱ πράξεις ὡς τὰ μόρια. 35
15 καὶ τρίτον ὧν ὄντων ἀναγκαῖον τόδε τι ὑπάρχειν, τὸν αὐτὸν τρόπον ἕξουσιν αἱ πράξεις ὡς τὰ πράγματα, καὶ ταῦτα ὡς αἱ πράξεις. τὰ δὲ 40
ἑξῆς σαφῆ ἕως τέλους τοῦ βιβλίου καὶ μηδεμίαν ἔχοντα δυσχέρειαν.

---

4 ἐστι om. S 10 ἐγγυτέρω δὲ S 11 τούτῳ] τοῦτο Pa 13. 14 καὶ τυγχάνουσιν—ὡς αἱ πράξεις in marg. add. P 13 τυγχάνωσιν a Arist. P 14 αἱ post καὶ om. Pa 17 ἑξῆς ἕως τοῦ τέλους σαφῆ S τοῦ βιβλίου—δυσχέρειαν om. S

ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ ΔΕΥΤΕΡΟΝ ΒΙΒΛΙΟΝ ΤΗΣ ΑΥΤΗΣ ΠΡΑΓΜΑΤΕΙΑΣ.

⟨Εἰπὼν⟩ ἐν τῷ πρώτῳ, ποταπὸν δεῖ εἶναι τὸν ἀκροατήν, ὅτι πεπαιδευμένον καὶ ὅτι δεῖ πρῶτα περὶ τῶν κοινῇ πᾶσι τοῖς ζῴοις ὑπαρχόντων εἰπεῖν, εἶθ' ὕστερον περὶ τῶν ἰδίων ἑκάστῳ, ἵνα μὴ πολλάκις περὶ αὐτῶν ἀναγκάζοιτο λέγειν, καὶ ὅτι δεῖ τὰ φαινόμενα περὶ τὰ ζῷα θεωρῆσαι πρῶτον, ἔπειτα καὶ τὰς αἰτίας τούτων ζητεῖν, καὶ ποσαχῶς τὸ ἀναγκαῖον, ἔτι τε καὶ τὰς τοῦ Πλάτωνος διαιρέσεις μεμψάμενος, νῦν περὶ τῶν αἰτιῶν μέλλει ἐρεῖν. ἐκ τίνων οὖν, φησί, μορίων συνέστηκε καὶ πόσων ἕκαστον τῶν ζῴων, ζητητέον ἐν τῇ πραγματείᾳ τῇ Περὶ ζῴων ἱστορίας, ὅπου ἐν ἐννέα βιβλίοις τὰ περὶ πάντων τῶν ζῴων διαλαμβάνει, τὰς δὲ αἰτίας τούτων καὶ καθ' ὃν τρόπον ἐτάχθη ἕκαστον παρὰ τῆς φύσεως ἐπισκεπτέον.

p. 646ᵃ12 Τριῶν δ' οὐσῶν τῶν συνθέσεων.

Τρεῖς συνθέσεις λέγει ἐν ἑκάστῳ τῶν ζῴων, καὶ πρώτην τὴν ἐκ τῶν τεσσάρων στοιχείων. εἶτα ἀπορίαν ἣν ἄν τις ἠπόρησε λύει, πῶς ἐκ τῶν τεσσάρων στοιχείων συνιστάμεθα ἐναντίων ὄντων καὶ διὰ τοῦτο φθαρτικῶν ἀλλήλων, ὅτι βέλτιον εἰπεῖν συνίστασθαι τὰ σώματα τὴν πρώτην ταύτην σύνθεσιν οὐκ ἐκ τῶν στοιχείων ἀλλ' ἐκ τῶν δυνάμεων τούτων, ψυχροῦ θερμοῦ καὶ ἔτι ξηροῦ καὶ ὑγροῦ, μᾶλλον δὲ τῶν πρώτων ὡς ποιητικῶν ἢ ἐκ τῶν δευτέρων ὡς παθητικῶν· τέως δὲ ἐκ τῶν τεσσάρων ποιοτήτων καὶ δυνάμεων, καθὼς καὶ ἐν τῷ Περὶ γενέσεως καὶ φθορᾶς ἔλεγε. καὶ αὕτη μὲν ἡ πρώτη σύνθεσις ἡ ἐν τῶν δυνάμεων· αἱ γὰρ δυνάμεις διὰ ταύτας εἰσί. δευτέρα σύστασις καὶ σύνθεσις ἡ ἐκ τῶν ὁμοιομερῶν καὶ τρίτη ἡ ἐκ τῶν ἀνομοιομερῶν. πᾶσαι δὲ αἱ ἄλλαι δυνάμεις ἀπὸ τούτων,

---

1. 2 Σχόλια—πραγματείας P, addito tamen uno verbo quod legi non potest: Σχόλια εἰς τὸ δεύτερον τῆς Ἀριστοτέλους πραγματείας περὶ ζώων μορίων a: σχόλια τοῦ δευτέρου β/// ἀπὸ τοῦ μέτρια μὲν οὖν S (cf. p. 36,12)
3 Εἰπὼν ἐν τῷ πρώτῳ] hinc incipit versio codicis F, de quo cf. Praef. Εἰπὼν addidi 21 ἐν τῷ Περὶ γενέσεως καὶ φθορᾶς] B 2 24 πᾶσαι scripsi: πῶς F

οἷον εἰ πλεονάσει τὸ πυρῶδες ἢ ἀερῶδες, γίνεται τὸ σῶμα κοῦφον καὶ μανόν, εἰ δὲ πλεονάσει τὸ γεῶδες, γίνεται βαρὺ καὶ πυκνόν.

p. 646ᵃ24 Ἐπεὶ δὲ ἐναντίως ἔχει.

Γένεσιν τὴν ὕλην φησίν, οὐσίαν δὲ τὸ εἶδος. ἐπεὶ γοῦν ἐναντίως ἔχει ταῦτα· τὰ γὰρ ὕστερα τῇ γενέσει, ὥσπερ ἐστὶν ἡ οὐσία, πρότερα τῇ φύσει ἐστίν· εἰς γὰρ τὸ εἶδος καὶ τὴν μορφὴν ἀποβλέπουσα ἡ φύσις κινεῖ τὴν ὕλην, καὶ διὰ τοῦτο τὸ τῇ γενέσει τελευταῖον πρῶτόν ἐστι. καὶ τίθησι καὶ παράδειγμα ὅτι οὐχ ἕνεκα τῶν πλίνθων καὶ τῶν ξύλων ἡ οἰκία, ἀλλὰ ταῦτα τῆς οἰκίας ἕνεκα. ὡς γοῦν ἐπὶ τῶν τεχνητῶν, οὕτως ἔχει καὶ ἐπὶ τῶν φυσικῶν. τοῦτο δὲ οὐ μόνον ἐκ τῆς ἐπαγωγῆς δῆλον, ἀλλὰ καὶ ἐκ τοῦ λόγου. πᾶν γάρ τι, φησί, τὸ γινόμενον ἔκ τινος ὑλικοῦ εἴς τι εἰδικὸν ποιεῖται τὴν γένεσιν, καὶ ἀπ' ἀρχῆς ὑλικῆς εἰς ἀρχὴν εἰδικὴν ἵησι· τὴν γοῦν ὕλην φύσιν φησί, τὸ δὲ εἶδος οὐσίαν. ἐκ τούτου γοῦν δῆλον ὅτι ἡ ὕλη ἕνεκα τοῦ εἴδους καὶ προτέρα ἡ ὕλη τῷ χρόνῳ, τῷ δὲ λόγῳ ἡ οὐσία καὶ ἡ ἑκάστου μορφή.

p. 646ᵇ2 Δῆλον δ' ἂν λέγῃ τις.

Ἡ ὕλη τῶν στοιχείων ἕνεκα τῶν ὁμοιομερῶν, τὰ δὲ ὁμοιομερῆ ἕνεκα τῶν ἀνομοιομερῶν· τοῦτο γὰρ θέλων δεῖξαι ποιεῖται τὸν λόγον ἐκ τῶν τεχνητῶν ὅτι ὁ τῆς οἰκοδομήσεως λόγος ἔχει τὸν τῆς οἰκίας, ὁ δὲ τῆς οἰκίας ⟨οὐκ⟩ ἔχει τὸν τῆς οἰκοδομήσεως. λόγος γὰρ οἰκοδομήσεως τὸ οἰκίαν ποιῆσαι τοιανδί, λόγος δὲ οἰκίας τὸ σκέπειν καὶ φρουρεῖν τὰ ἐμπεριεχόμενα ἐν αὐτῇ. ὥστε ἡ οἰκοδόμησις ἕνεκα τῆς οἰκίας, οὐ μὴν ἡ οἰκία ἕνεκα τῆς οἰκοδομήσεως. προτέρα γοῦν τῷ χρόνῳ ἡ οἰκοδόμησις τῆς οἰκίας, ὑστέρα δὲ ἡ οἰκία. ὥστε καὶ τὰ στοιχεῖα τῶν ὁμοιομερῶν πρότερα, τὰ δὲ ὁμοιομερῆ τῶν ἀνομοιομερῶν. καὶ ἔσχε καὶ ταῦτα ἐπὶ τοῦ τρία ἀριθμοῦ τὸ τέλος καὶ τὸ πέρας, καθὼς ἐν τῷ Περὶ οὐρανοῦ τὸν τρία ἐξύμνει.

p. 646ᵇ14 Πολυμόρφων δέ.

Πολυειδεῖς εἰσιν αἱ πράξεις τῆς χειρός. ἄλλη γὰρ πρᾶξις τοῦ πιέσαι καὶ ἄλλη πρᾶξις τὸ λαβεῖν καὶ ἄλλη τὸ ἀποτρέψαι. ὁμοίως καὶ τοῦ ποδός· ἄλλη γὰρ πρᾶξις τοῦ βαδίσαι καὶ ἄλλη τοῦ πατάξαι καὶ ἄλλη τοῦ ὀρχήσασθαι. πολυειδῶν γοῦν οὐσῶν τῶν πράξεων καὶ αἱ δυνάμεις, ἐξ ὧν συνίστανται τὰ μόρια, διάφοροι. δυνάμεις δέ εἰσι μαλακότης σκληρότης κραυρότης, τὰ τοιαῦτα. ἀνόμοιοι τοίνυν αἱ πράξεις, ἀνόμοιοι καὶ αἱ δυνάμεις ἐξ ὧν συνετέθησαν οὕτω τῆς φύσεως οἰκονομησάσης εἰς τὴν προσήκουσαν πρᾶξιν. τὰ γὰρ ὁμοιομερῆ κατὰ μέρος διείληφε τὰς δυνάμεις· τοῦ γὰρ ἥπατος τυχὸν τὸ μὲν μέρος σκληρὸν τὸ δὲ μαλακόν, ἢ καρδίας τὸ μὲν ὑγρὸν τὸ δὲ ξηρόν· τὰ δὲ

20 οὐκ addidi 26 ἐν τῷ Περὶ οὐρανοῦ] A 1 p. 268ᵃ9 sqq.

ἀνομοιομερῆ κατὰ πολλὰς δυνάμεις εἰσὶ καὶ ἀλλήλαις συγκειμένας. καὶ δῆλον ἐκ τῆς χειρὸς καὶ τῶν ἄλλων τῶν ὀργανικῶν μορίων, ποδὸς καὶ τῶν τοιούτων.

p. 646ᵇ27 ⟨Ὡς μὲν οὖν ἕνεκά τιν⟩ος.

Ὡς μὲν οὖν ἕνεκά τινος πράξεως ταῦτα τὰ μόρια διὰ ταύτην τὴν αἰτίαν τὴν τελικὴν δηλονότι οὕτως ἔχει. ἐπεὶ δὲ καὶ περὶ τῆς ὑλικῆς αἰτίας ζητεῖται, φανερὸν ὅτι οὕτως ἔχει ὡς πέφυκεν ἔχειν πρὸς ἄλληλα. τὰ γὰρ ἀνομοιομερῆ καὶ ἐκ πλειόνων, οἷον χεὶρ πρόσωπον πούς, τὰ δὲ ἐκ πλειόνων καὶ ἐξ ἑνὸς τὰ σπλάγχνα. ταῦτα γὰρ ἐξ ἑνὸς ὁμοιομεροῦς σύγκειται, λέγω τοῦ αἵματος, ἐκ πλειόνων δὲ σχημάτων· αὐτίκα ἡ καρδία ἔχει σχῆμα κυλινδροειδὲς καὶ κωνοειδὲς καὶ σφαιροειδές. τὰ δὲ ὁμοιομερῆ πολλὰ ἂν εἴη ὁμοιομερῆ. γράφεται καὶ ἀνομοιομερῆ. ἡ μὲν οὖν προτέρα γραφὴ τοῦτ' ἂν βούλοιτο· ἐπεί, φησί, τὸ ἀνομοιομερὲς πολλά ἐστιν ὁμοιομερῆ, διότι ἐξ αὐτῶν σύγκειται, εἴπερ καὶ τὸ ὁμοιομερὲς ἐκ τῶν ἀνομοιομερῶν συνέκειτο, ἦν ἂν καὶ αὐτὸ ἐξ ὁμοιομερῶν συγκείμενον πολλῶν· τὰ γὰρ ἀνομοιομερῆ οὐδέν εἰσιν ἕτερα ἢ ἕκαστον πολλὰ ὁμοιομερῆ. συνέκειτο οὖν τὸ ὁμοιομερὲς ἐξ ὁμοιομερῶν, καὶ αὐτὸ ἐξ ἑαυτοῦ, ὅπερ ἄτοπον. ἡ δὲ δευτέρα τὸ ἀνομοιομερῆ εἴη ἂν τοιοῦτον· εἴπερ, φησί, τὸ ὁμοιομερὲς συνέκειτο ἐκ τῶν ἀνομοιομερῶν, ἦν ἂν καὶ αὐτὸ πολλὰ ἀνομοιομερῆ, ὥσπερ τὸ ἀνομοιομερὲς ἐξ ὁμοιομερῶν συνιστάμενόν ἐστι πολλὰ ὁμοιομερῆ. ἀλλὰ καὶ τοῦτο ἄτοπον τὸ εἶναι τὸ αἷμα τυχὸν (ὁμοιομερὲς γάρ) πολλὰ πρόσωπα ἢ πολλὰς χεῖρας.

p. 647ᵃ5 Ἡ δ' αἴσθησις ἐγγίνεται πᾶσιν.

Τὰ μὲν ὀργανικὰ μόρια ἀνομοιομερῆ εἰσι, τὰ δὲ αἰσθητήρια ὁμοιομερῆ. καὶ γὰρ ἡ αἴσθησις ἐν τοῖς ὁμοιομερέσι, διότι μία ἑκάστη τῶν αἰσθήσεων ἑνὸς γένους καὶ ὑποκειμένου δεκτική ἐστιν, οἷον ἀκοὴ ψόφων, χυμῶν γεῦσις, χρωμάτων ὅρασις, ὀδμῆς ὄσφρησις. περὶ δὲ τῆς ἁφῆς παρακατιὼν ἐπαπορεῖ, ὅτι πλειόνων αὕτη δεκτική ἐστιν. ἡ τοίνυν αἴσθησις δυνάμει οὖσα ὅπερ τὸ αἰσθητὸν πάσχει ὑπὸ τοῦ αἰσθητοῦ ἐνεργείᾳ ὄντος. ὥστε εἰ ἔστι τὸ αἰσθητὸν τὸ αὐτὸ ἤτοι ἓν τῷ γένει, καὶ τὸ αἰσθητήριον λοιπὸν τὸ τούτου ἀντιληπτικὸν ἕν ἐστι καὶ ἁπλούστατον. ἢ γὰρ ὕδωρ ἐστὶν ὡς τὸ κρυσταλλοειδὲς ὑγρὸν τὸ τῆς ὄψεως, ἢ ἀὴρ τὸ τῆς ἀκοῆς ἢ ἄλλο τῶν στοιχείων τὰ τῶν λοιπῶν αἰσθητηρίων, καθὼς ἐν τῷ Περὶ αἰσθήσεων καὶ αἰσθητῶν λέγει.

p. 647ᵃ15 Ἐν ὁμοιομερεῖ μέν.

Τῶν ἄλλων αἰσθήσεων καὶ ὁμοιομερῶν ὄντων καὶ ἁπλῶν, ὡς ἐρρήθη, ὕδατος τοῦ ὀφθαλμοῦ καὶ τῆς ὄψεως, καὶ ἀέρος ἐπὶ τῆς ἀκοῆς, εὐλόγως

---

4 lemma ex Arist. explevi 33. 34 ἐν τῷ Περὶ αἰσθήσεων καὶ αἰσθητῶν] c. 2

συμβέβηκεν ἐπὶ τῆς ἁφῆς ἔχειν μὲν ταύτην τὸ ὁμοιομερές, οὐ μὴν δὲ καὶ τὸ ἁπλοῦν, ὡς εἶναι καὶ ταύτην ἐξ ἑνὸς στοιχείου. οἷόν ἐστιν ἡ σὰρξ καὶ ὁμοιομερὲς καὶ οὐχ ἁπλοῦν, ἀλλ' ἐκ τῶν τεσσάρων συγκείμενον στοιχείων, ὅτι καὶ διάφορα τὰ ὑποκείμενα αὐτῇ θερμὸν ψυχρόν, ξηρὸν ὑγρόν, μαλακὸν σκληρόν, τραχὺ λεῖον, καὶ τὰ τοιαῦτα. ἡ γοῦν σὰρξ τῆς ἁφῆς αἰσθητήριον οὖσα ὡς ὀφθαλμὸς τῆς ὁράσεως, καὶ τὸ ἀνάλογον τῆς σαρκὸς ἐπὶ τῶν ἄλλων, οἱονεὶ ἐπὶ τῆς σηπίας τὸ ὀστρακόδερμον, εἰκότως ὑλικώτερον καὶ σύνθετόν ἐστιν. ἐπεὶ δὲ ἀδύνατον αἴσθησιν ⟨μὴ⟩ ἔχειν τὸ ζῷον, διὰ τοῦτο καὶ ὁμοιομερῆ μόρια ἔχει· ἡ γὰρ αἴσθησις ἐν τοῖς τοιούτοις, αἱ δὲ πράξεις ἐκ τῶν ἀνομοιομερῶν. ἐν δὲ τῇ καρδίᾳ ἐστὶν ἡ αἰσθητικὴ δύναμις καὶ ἡ θρεπτική· διὰ τοῦτο καὶ ἡ καρδία ἀμφότερον ἔχει.

p. 647ᵃ28 Ἡι μέν ἐστι δεκτικὸν πάντων τῶν αἰσθητῶν τῶν ἁπλῶν.

Ἐπεὶ ἡ καρδία ᾗ τὸ ταύτῃ ἀνάλογον ἐν τοῖς ἀναίμοις ἐστὶ καὶ δεκτικὴ πάντων τῶν αἰσθητῶν, ἐστὶ καὶ κινητικὴ διὰ τῶν ἐνόντων αὐτῇ νεύρων, ᾗ μὲν τὰ αἰσθητήρια ὁμοιομερῆ καὶ ἁπλᾶ, τῶν ἁπλῶν καὶ αὐτὴν εἶναι μορίων συμβέβηκεν, ᾗ δὲ κινητικὴ καὶ πρακτική ἐστι καὶ αἱ πράξεις διὰ τῶν ἀνομοιομερῶν, ἀνομοιομερῆ καὶ ταύτην εἶναι. διαιρεῖται γὰρ καὶ αὕτη καθάπερ καὶ τὰ ἄλλα τῶν σπλάγχνων εἰς ὁμοιομερῆ· διὰ δὲ τὸ τῶν σχημάτων πολυειδὲς καὶ ἀνομοιομερής ἐστιν. ἠκολούθηκε δὲ ταύτῃ καὶ τὰ ἄλλα σπλάγχνα· αἱματικὴ γὰρ ἡ φύσις αὐτῶν, διότι διαλείψεις ἔχει τοῦ αἵματος ἐπὶ πόροις φλεβικοῖς· καθάπερ οὖν ὕδατος ἰλύς, οὕτω προχεῖται ἐκεῖσε διὰ τῶν φλεβῶν ἡ τοιαύτη πρόχυσις. ἐπεὶ δὲ καὶ ἡ καρδία τρέφεται ἐξ αἵματος, ⟨εὔλογον ἐξ αἵματος⟩ συνεστάναι· πᾶν γὰρ τὸ τρεφόμενον ὑπὸ τοῦ συγγενοῦς καὶ ὁμοίου τρέφεται, οἷον ἡ σὰρξ ὑπὸ τῆς σαρκὸς καὶ ἡ καρδία ὑπὸ τοῦ αἵματος.

p. 647ᵇ10 ⟨Τῶν δὲ ὁμοιομερ⟩ῶν.

Περὶ τῶν ὁμοιομερῶν μορίων λέγει ὅτι τὰ μὲν μαλακὰ καὶ ὑγρά, τὰ δὲ σκληρὰ καὶ στερεά, ὑγρὰ μὲν ᾗ ὅλως ⟨ᾗ⟩ ἔστ' ἂν ᾖ ἐν τῷ ζῴῳ [ᾗ ὅλως]· τὸ γὰρ αἷμα ἐξελθὸν πήγνυται καὶ οὐ μένει ὑγρόν. [αἷμα] ἰχὼρ οἷον αἷμα διεφθαρμένον, πιμελὴ ἡ ἐπὶ τῶν χοίρων, στέαρ τὸ ἐπὶ τῶν προβάτων, μυελός, γονή, χολή, γάλα ἐν τοῖς ἔχουσι. τούτων γὰρ τὰ μὲν ὑγρά, τὰ δὲ μόνον μαλακά· τὰ δὲ ξηρὰ καὶ στερεὰ ὡς ἄκανθα, τὸ μεσαίτατον ὀστοῦν τοῦ ἰχθύος, νεῦρον, φλέψ. ἡ δὲ φλὲψ εἰ μὲν ἐγκαρσίως διαιρεθῇ, οὐ διαιρεῖται εἰς ὁμώνυμα ἑαυτῇ· οὐκέτι γὰρ τὸ διαιρεθὲν λέγεται φλέψ, ἐπεὶ οὐδὲ κοιλότης ἐστὶ περιεκτικὴ αἵματος, ὅπερ ἐστὶν ὁρισμὸς τῆς φλεβός· εἰ δὲ δίχα διαιρεθῇ, διαιρεῖται εἰς ὁμώνυμα ἑαυτῇ, καὶ φλέβες τὰ μόρια λέγονται.

---

8 μὴ addidi 23 εὔλογον ἐξ αἵματος addidi 26 lemma ex Arist. explevi 28 ᾗ addidi 28. 29 ᾗ ὅλως delevi 29 αἷμα delevi 33 ἐγκαρσίως scripsi: ἐγκαρδίως F

p. 647b18 Ἔστι γὰρ ὡς ἐνίων.

Εἰ μὲν ἐγκαρσίως διαιρεθῇ, οὐχ ὁμώνυμα τὰ μέρη τῆς φλεβός· εἰ δὲ δίχα, ὁμώνυμα. προσώπου δὲ πρόσωπον, ὅπερ ἐστὶν ἀνομοιομερές, οὐδαμῶς ἐστιν ὁμώνυμον μεριζόμενον. τέως δὲ καὶ τοῖς ὑγροῖς καὶ τοῖς ξηροῖς πολλοὶ τρόποι τῆς αἰτίας εἰσίν. ἐκ γὰρ τῶν ὁμοιομερῶν συνέστηκε τὰ ὀργανικὰ μέρη· ἐκ γὰρ ὀστῶν καὶ νεύρων καὶ σαρκῶν καὶ ἰνῶν καὶ φλεβῶν συνίσταται ταῦτα, ὥστε συμβάλλεσθαι τὰ μὲν εἰς τὸ εἶναι, ὡς ἡ γλῶττα οὐκ ἐν τῷ λαλεῖν ἀλλ' ἐν τῷ γεύεσθαι, τὰ δὲ εἰς τὸ ἐνεργεῖν ὡς αἱ χεῖρες, τὰ δὲ ὡς τροφὴ εἶναι τῶν ἄλλων, ὥσπερ τροφή ἐστιν ὁ μυελὸς τῶν ὀστῶν, εἰ καὶ ὀστεογενῆ τὸν μυελὸν Ἐμπεδοκλῆς λέγει. εἴ τι γὰρ ἔστι τὸ ἐν τοῖς σώμασιν αὐξανόμενον, ἐξ ὑγροῦ λαμβάνει τὴν αὔξησιν· εἰ δὲ καὶ ἐξ ἑτέρου ἤγουν ἐκ ξηροῦ, ἀλλ' ὑγρανθέντος τέως. τὰ δὲ περιττώματα ἤγουν ἀφοδεύματα συμβέβηκεν εἶναι τῆς ξηρᾶς τροφῆς ὑπόστασιν, ὥσπερ τοῦ ὑγροῦ τὸ οὖρον.

p. 647b29 Αὐτῶν δὲ τούτων.

Τῶν αἱμάτων αἱ διαφοραὶ πρὸς ἄλληλα τοῦ βελτίονος ἕνεκεν. ὡς γὰρ τὸ παχύτερον ἰσχύος ποιητικώτερον, οὕτω τὸ λεπτότερον νοήσεως. διαφέρει δὲ αἷμα αἵματος καὶ ἐν ἄλλῳ καὶ ἄλλῳ ζῴῳ καὶ ἐν τῷ αὐτῷ καὶ ἑνὶ τοῦ ζῴου σώματι, οἷον ἄλλο αἱμά ἐστι πρὸς τὰ ἄνω μέρη καὶ ἄλλο πρὸς τὰ κάτω. μὴ μόνον δὲ ἐπὶ τοῦ αἵματος ἐν τοῖς ἐναίμοις ἔστι διαφορά, ἀλλὰ καὶ τοῦ ἀναλόγου τῷ αἵματι ἐν τοῖς ἀναίμοις. καὶ γὰρ μέλιττα καὶ μυῖα ἄναιμα, ἀλλ' ἡ μέλιττα πολλῶν ἀναίμων φρονιμωτέρα τὴν φύσιν ἐστίν. ὅρα γὰρ τὴν ἐργασίαν αὐτῆς καὶ τὰς ἑξαγώνους σύριγγας· ἰδὲ πάλιν καὶ τοῦ ἀράχνου τὴν ἱστουργικὴν ἐπιστήμην ἐς τὸ τὰς μυίας ἁλίσκεσθαι.

p. 648a9 Ἄριστα δέ.

Ἧι μὲν γὰρ λεπτὸν τὸ αἷμά ἐστι, ποιεῖ αὐτὰ φρόνιμα, ᾗ δὲ θερμόν, ποιεῖ αὐτὰ ἀνδρεῖα. διὰ τοῦτο πρός τε ἀνδρείαν καὶ πρὸς φρόνησιν ἔχει καλῶς τὰ τοιαῦτα τῶν αἱμάτων. διὸ διαφέρει καὶ ἐν τῷ ἑνὶ ζῴῳ τὸ αἷμα κατὰ τὸ ἄνω καὶ τὸ κάτω, καὶ τὸ θῆλυ ⟨πρὸς⟩ τὸ ἄρρεν καὶ τὰ δεξιὰ μέρη πρὸς τὰ ἀριστερά. ὥσπερ δὲ ἐπὶ τοῦ αἵματος ἔχει, ὅτι ἐστὶ διαφορὰ αὐτοῦ καὶ ἐπὶ διαφόρων σω⟨μάτων τῷ εἴδει⟩ καὶ ἐπὶ διαφόρων τῷ ἀριθμῷ, ὡς ἐπὶ ἀνδρὸς καὶ γυναικός, καὶ ἐπὶ τοῦ αὐτοῦ καὶ ἑνὸς ζῴου τῷ ἀριθμῷ κατὰ τὰ ἄνω καὶ τὰ κάτω καὶ τὰ δεξιὰ καὶ τὰ ἀριστερά, οὕτω καὶ ἐπὶ τῶν ἄλλων μορίων ἔχει τῶν τε ὁμοιομερῶν καὶ τῶν ἀνομοιομερῶν. ἔχουσι γὰρ μὴ μόνον πρὸς ἄλληλα ταῦτα διαφοράν, ἀλλὰ καὶ

---

2 ἐγκαρδίως F 21 ἐναίμοις F 22 ἀναίμων] sic etiam Arist. ESUV: ἐναίμων Arist. vulg. 26 λεπτὸν scripsi: χαλεπὸν F 29 πρὸς addidi 31 σωμάτων—εἴδει] σω deinde IX litt. evanidae F

αὐτὰ πρὸς ἑαυτὰ ἔν τε ἄλλοις καὶ ἄλλοις ζῴοις καὶ ἐν τῷ αὐτῷ καὶ ἑνὶ τῷ ἀριθμῷ, ὥσπερ τὰ σπλάγχνα καὶ αἱ χεῖρες καὶ αἱ κεφαλαὶ καὶ τὰ λοιπά.

p. 648ᵃ23 ⟨Πολλῶν⟩ γὰρ ἡ φύσις.

Πολλῶν γὰρ μορίων φύσις ἀνάγεται εἰς ταύτας τὰς ἀρχὰς ἤτοι τὸ θερμὸν καὶ τὸ ψυχρόν, καὶ διὰ τοῦτό ἐστιν ἀναγκαῖον εἰπεῖν περὶ θερμοῦ καὶ ψυχροῦ. ἀμφισβητοῦσι γὰρ πολλοί, φησί, ποῖα τῶν ζῴων θερμὰ καὶ ποῖα ψυχρά, καὶ λέγουσί τινες τὰ ἔνυδρα θερμά, τὰ δὲ πεζὰ ψυχρά, καὶ τὰ ἄναιμα θερμά, τὰ δὲ ἔναιμα ψυχρά, καὶ τὰ θήλεα θερμά, ὡς Παρμενίδης, τὰ δὲ ἄρρενα ψυχρά· διὰ τοῦτο γὰρ καὶ πολυαίμους γίνεσθαι τὰς γυναῖκας καὶ τοῖς καταμηνίοις συνέχεσθαι· Ἐμπεδοκλῆς τοὐναντίον φησίν. οἱ δὲ λέγοντες τὰ ἄναιμα θερμότερα τῶν ἐναίμων τάχα ἂν εἴποιεν καὶ αἰτίαν, ὅτι οὐκ ἐχώρησεν ἡ φύσις προστιθέναι καὶ αἷμα τοῖς τοιούτοις ἀναίμοις θερμοῖς οὖσι, μή πως πάντῃ θερμανθέντα ἀπόλωνται.

p. 648ᵃ33 Εἰ δ' ἔχει τοσαύτην.

Τὸ θερμὸν καὶ τὸ ψυχρὸν ἐναργέστατον περὶ τὴν αἴσθησίν ἐστιν. εἰ γοῦν περὶ ταῦτα τὰ ἐναργῆ ἐστιν ἀμφισβήτησίς τισι, τί ἂν ποιήσαιεν ἐκεῖνοι περὶ τῶν ἄλλων, ἤγουν τοῦ ὑγροῦ καὶ τοῦ ξηροῦ; ἐπεὶ δὲ φιλόσοφοί εἰσιν οἱ περὶ τούτων ἀμφισβητοῦντες, δεῖ μὲν ὑπολαμβάνειν εὐλόγως τούτους καὶ παρά τινα αἰτίαν εὔλογον ἀμφισβητεῖν. ἔοικε γοῦν διὰ τὸ πολλαχῶς λέγεσθαι οὐχ ἁπλῶς τὸ θερμὸν ἀλλὰ τὸ θερμότερον ταῦτα λέγειν ἐκείνους τὰ ἐναντία. ἕκαστος γὰρ τἀναντία λέγων δοκεῖ τι λέγειν. διὸ ἐπεὶ περὶ φυσικῶν πραγμάτων ζητοῦμεν, ποῖα θερμὰ καὶ ποῖα ψυχρά, δεῖ μὴ λανθάνειν κατὰ ποῖον σημαινόμενον πολλαχῶς λεγομένων τούτων δεῖ λέγειν ἐπὶ τούτοις· ταῦτα γάρ εἰσι καὶ αἴτια σχεδὸν παρὰ τὰς ἄλλας ἐναντιώσεις καὶ ζωῆς καὶ θανάτου καὶ ὕπνου καὶ ἐγρηγόρσεως καὶ νεότητος καὶ γήρως καὶ νόσου καὶ ὑγείας καὶ τῶν λοιπῶν.

p. 648ᵇ12 Ἕνα μὲν οὖν τρόπον.

Ἑξαχῶς φησι τὸ θερμότερον· πρῶτον μὲν ὑφ' οὗ μᾶλλον θερμαίνεται τὸ ἁπτόμενον, ὡς τὸ ζέον ὕδωρ μᾶλλον θερμαίνοι ἂν τὸν ἁψάμενον αὐτοῦ παρὸ τὸ πῦρ· τὸ γὰρ πῦρ φθάνει διαφορεῖσθαι διὰ τὴν λεπτομέρειαν. δεύτερον τὸ μᾶλλον αἴσθησιν ἐμποιοῦν, ὡς ὁ πεπυρακτωμένος σίδηρος θερμότερος πυρός. τρίτον ἐὰν μετὰ λύπης ἤτοι ἀλγηδόνος ἐμποιεῖ τὴν αἴσθησιν τῷ αὐτοῦ θιγγάνοντι· μᾶλλον γὰρ ἂν ἐκεῖνον λυπήσοι ὁ πεπυρακτωμένος σίδηρος παρὸ τὸ πῦρ. ἔστι δ' ὅτε δοκεῖ τοῦτο ψεῦδος· πολλάκις γὰρ ἡ

---

3 lemma explevi ex Arist. 9 πολυαιμου (ν litt. evanid.) σθαι γίνεσθαι F
27 Ἕνα—οὖν] ἐναντίον F 29 ἂν] ἐν F 33 ἂν ἐκεῖνον scripsi: c. IX litt. evanidae F 34 παρὸ] παρὰ F

ἕξις ἐκείνου τοῦ σώματος τοῦ ἁψαμένου αἰτία γίνεται τοῦ ἀλγῆσαι· ἀλλ' οὐ παρὰ τοῦτο ῥηθήσεται τὸ ψυχρὸν ὕδωρ ἁπλῶς θερμόν, ἀλλ' ὡς πρὸς τὴν τοιάνδε ἕξιν τῆς σαρκός. τέταρτον τὸ τηκτικώτερον· τὸ γὰρ πῦρ τήκει πλέον τοῦ ξύλου τοῦ ἁπτομένου. πέμπτον τὸ πλέον πῦρ τοῦ ὀλίγου πυρός. ἕκτον τὸ θαλάσσιον ὕδωρ ὡς μὴ ταχέως ψυχόμενον θερμότερον τοῦ ἄλλου. ἕβδομον τὸ θᾶττον θερμαινόμενον ὡς τὸ ποτάμιον ὕδωρ. ἐκβληθέντος οὖν τοῦ μετὰ λύπης ἐξ ἐγκαταλείπονται.

p. 648ᵇ26 Θερμαίνει μὲν γάρ.

Τίθησιν ἐντεῦθεν τὰ παραδείγματα τῶν τοῦ θερμοῦ τρόπων. τοῦ γοῦν πρώτου τρόπου ὅτι θερμότερον τὸ ζέον ὕδωρ τῆς φλογός, τοῦ δὲ τρίτου παράδειγμα καίει δὲ καὶ τήκει τὸ καυστὸν καὶ τηκτὸν ἡ φλόξ, τὸ δ' ὕδωρ οὐδέν. τοῦ δὲ τετάρτου ἔτι θερμότερον μὲν τὸ ζέον ὕδωρ ἢ πῦρ ὀλίγον, τοῦ δὲ πέμπτου τὸ ψύχεται δὲ καὶ θᾶττον καὶ μᾶλλον τὸ θερμὸν ὕδωρ μικροῦ πυρός. [τοῦ δὲ τρίτου τὸ ἔτι δὲ θερμότερον μὲν κατὰ τὴν ἁφὴν τὸ ζέον, ψύχεται δὲ θᾶττον καὶ πήγνυται τοῦ ἐλαίου.] τοῦ δὲ ἕκτου τὸ ἔτι δὲ λίθοι καὶ σίδηρος καὶ τὰ τοιαῦτα.

p. 648ᵇ35 Πρὸς δὲ τούτοις τῶν λεγομένων θερμῶν.

Καὶ πρὸς τούτοις ἄλλην αὖθις διαφορὰν λέγει τῶν λεγομένων θερμῶν, καὶ ὅτι τὰ μὲν οἰκείαν ἔχει τὴν θερμότητα ⟨τὰ δὲ ἀλλοτρίαν⟩ καὶ ἢ ἀλλοτρίαν ἢ οἰκείαν πλεῖστον διαφέρει. θάτερον μὲν γὰρ αὐτῶν οἱονεὶ τὸ ἔχον ἀλλοτρίαν τὴν θερμότητα κατὰ συμβεβηκὸς θερμὸν ἂν εἴη, ὥσπερ καὶ ὁ μουσικὸς θερμότερος τοῦ ἄλλως πως καὶ εἰς ὑγείαν διακειμένου, διότι πυρέττει. οὐ γὰρ ὁ μουσικὸς θερμότερος, ἀλλ' ὁ πυρέττων πρὸς τὸν μεθ' ὑγείας θερμόν. ἐπεὶ δὲ τὸ μὲν αἷμα ὡς οἰκείαν ἔχον τὴν θερμότητα καθ' αὑτὸ θερμόν, τὸ δὲ ὕδωρ ὡς ἀλλοτρίαν ἔχον τὴν θερμότητα κατὰ συμβεβηκός, ψύχεται μὲν βραδύτερον τὸ καθ' αὑτὸ θερμόν, ὅτι οἰκεῖον ἔχει τὸ θερμὸν ὡς αἷμα καὶ ἔλαιον, μᾶλλον δὲ θερμαίνει τὴν αἴσθησιν τὸ κατὰ συμβεβηκὸς θερμόν, διότι ξένην καὶ ἀλλοτρίαν δεξάμενον τὴν θερμότητα παρὰ λόγον ἔχον ταύτην καὶ πλείονα τοῦ εἰκότος εἰκὸς δέξασθαι τοῦτο τὴν θερμότητα. εἰς δὲ τὴν καῦσιν τὸ ἀνάπαλιν γίνεται· τὸ γὰρ καθ' αὑτὸ θερμὸν μᾶλλον καίει ἢ τὸ κατὰ συμβεβηκός, ἤγουν φλὸξ τοῦ ζέοντος ὕδατος. ὥστε τὸ κρῖναι ὁποῖον θερμότερον δυοῖν ὄντοιν οὐχ ἁπλοῦν ἐστιν.

p. 649ᵃ13 Ἔνια δὲ τῶν τοιούτων.

Εἰσί τινα τῶν θερμῶν ἅπερ οὐκ ἔστιν εἰπεῖν ἁπλῶς ἢ θερμὰ ἢ οὐ θερμά. οὔτε γὰρ κατὰ συμβεβηκὸς ἔχουσι τὸ θερμὸν οὕτως ὥστε γίνεσθαι

---

14 ἔτι] ὅτι F τοῦ δὲ—ἐλαίου (16) delevi 19 τὰ—ἀλλοτρίαν addidi
23 διακειμένης F ὁ μουσικὸς] /// ιχ /// F 36 οὔτε] οὕτω F

καὶ ἀπογίνεσθαι ἐν αὐτοῖς τοῦτο δὴ τὸ θερμόν, καὶ μένειν ἐκεῖνο οἷόν ἐστιν, ὥσπερ [τῷ] ἐν τῷ λίθῳ θερμῷ, οὔτε αὖθις φύσει καὶ ἀρχῆθεν ἔχουσι τὸ θερμὸν ὥσπερ ὁ ἥλιος, εἰ μή γε καὶ περὶ τούτου ἔστιν εἰπεῖν κατά τινας τῶν φυσικῶν ὅτι ἐκ τῆς ταχυτῆτος τὸ θερμὸν λαμβάνει. τίνα δέ εἰσι ταῦτα τὰ μὴ ἁπλῶς θερμὰ ἢ οὐ θερμά; ὥσπερ τὸ αἷμα, φησίν· τοῦτο γὰρ θερμόν ἐστιν, ἀλλ' οὔτε κατὰ συμβεβηκὸς ἔχει τὸ θερμόν, ὥστε γίνεσθαι καὶ ἀπογίνεσθαι ἐν αὐτῷ τὸ θερμόν, μένειν δὲ ἐκεῖνο καὶ πάλιν αἷμα, οὔτε μὴν φυσικῶς καὶ ἀρχῆθεν ἐξ αὐτῆς δὴ τῆς φύσεως τῆς ὑποκειμένης αὐτῷ· τὸ γὰρ φλέγμα ψυχρὸν ὂν ὕλη τοῦ αἵματός ἐστι. καὶ τί λέγω περὶ αἵματος, φησίν, ὅπου γε καὶ αὐτὸ τὸ πῦρ τοιοῦτόν τι ἐστί; τὸ γὰρ ὑποκείμενον τῷ πυρὶ ἢ καπνὸς ἢ ἄνθραξ ἐστίν· ὁ δὲ καπνὸς θερμὸν μέν, οὐ μὴν δὲ ὡς τὸ πῦρ, ἀλλὰ πρὸς τοῦτο συγκρινόμενον ψυχρόν ἐστιν· ὁ δὲ ἄνθραξ ἀποσβεσθεὶς ψυχρός ἐστιν. ἔλαιον δὲ καὶ πεύκη ἤγουν ῥητίνη ἄλλον τρόπον θερμόν, ὅτι γίνοιντο ἂν καὶ ψυχρά, μείναντα ἔλαιον καὶ ῥητίνη.

p. 649a24 Ἔχει δὲ θερμότητα.

Ἀλλὰ λαμβάνουσι τὴν θερμότητα ἐν τῷ πυρωθῆναι, οἷον κονία ἤτοι ἄσβεστος καὶ τέφρα καὶ κατὰ ἀνάλογον ταύτης καὶ τὰ ὑποστήματα τῶν ζῴων, αἱ ἀφοδεύσεις· κἀκεῖνα γὰρ θερμά εἰσιν ὡς ἡ τέφρα. ἀλλὰ καὶ ἐκ τῶν περιττωμάτων ἡ χολή, ἣν ὠχράν φασιν οἱ ἰατροί. ἄλλον τρόπον πάλιν θερμόν ἐστιν τὰ πίονα ἐν τῷ ταχὺ θερμαίνεσθαι καὶ τὸ δυνάμει εἰς ἐνέργειαν γίνεσθαι. τὸ οὖν θερμὸν καὶ πήγνυσι καὶ τήκει ἤγουν διαλύει, καὶ τὸ ψυχρὸν ὁμοίως. καὶ λέγει περὶ τοῦ ψυχροῦ ὅτι τὰ ἐξ ὕδατος συνιστάμενα πήγνυσι τὸ ψυχρὸν ὡς τὸν κρύσταλλον, τὰ δὲ ⟨γῆς ὄντα⟩ πῦρ, ὡς τὸν κέραμον. καὶ τὰ θερμὰ πήγνυται ὑπὸ τοῦ ψυχροῦ ταχὺ μὲν καὶ ἀλύτως ὅσα μᾶλλον γῆς, λυτῶς δὲ [καὶ] ὅσα ὕδατος, ὡς τὸ πηγνύμενον ὕδωρ.

p. 649b1 Οὐ τὸν αὐτὸν τρόπον.

Τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ καὶ τὸ καθ' αὑτὸ καὶ τὸ κατὰ συμβεβηκός, ὥς φασιν ἐξηγηταί, Ἀριστοτέλης πρῶτος ἢ κομιδῇ σὺν ὀλίγοις καὶ εὗρε καὶ ἐπλάτυνε, δι' ὧν ἀμφιβαλλόμενα τοῖς παλαιοῖς φιλοσόφοις συνεβίβασεν, ὥσπερ ἀρτίως καὶ περὶ αἵματος. ψυχρὸν γὰρ εἰπόντων αὐτό τινων θερμοῦ φανεροῦ φαινομένου συμβιβάζει ὁ φιλόσοφος ὅτι τὸ μὲν τί ἦν εἶναι ἤγουν τὸ εἶδος αὐτό, ὅπερ φησὶ συνδυαζόμενον, ἤγουν μετὰ τῆς ὕλης, θερμόν ἐστιν, ἡ δὲ τοῦ αἵματος ὕλη ψυχρά· φλέγμα γὰρ ψυχρὸν ἡ τοῦ αἵματος ὕλη. ἔτι, φησί, καὶ κατὰ τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ πολλὰ καὶ ψυχρά εἰσι κατ' ἐνέργειαν καὶ θερμὰ κατὰ δύναμιν ὡς τὰ ψυχρά ὕδατα, καὶ θερμὰ πάλιν κατ' ἐνέργειαν καὶ ψυχρὰ κατὰ δύναμιν ὡς τὰ ζέοντα ὕδατα.

---

2 τῷ prius delevi 3 μή] μὲν F 10 φησίν] φύσιν F 13 ῥυτίνη F 17 τῶν ζῴων] τῆς ζωῆς F 19 ἦν] καὶ F φασιν] φ/// F 21 οὖν] νῦν F τήκει] /// φει F 23 γῆς ὄντα] litt. VII evanidae F 25 εὐλύτως F post γῆς spatium IX litt. vacuum rel. F καὶ delevi ὕδατα F

p. 649b9 Ἐχόμενον δέ.

Εἰπὼν περὶ τῶν ποιητικῶν δυνάμεων θερμοῦ καὶ ψυχροῦ νῦν λέγει καὶ περὶ τῶν παθητικῶν ξηροῦ καὶ ὑγροῦ· οὕτω γὰρ λέγει ταύτας τὰς τέσσαρας δυνάμεις ἐν τῷ Περὶ γενέσεως καὶ φθορᾶς. εἰσὶ γοῦν τά τε ξηρὰ καὶ ὑγρὰ τὰ μὲν δυνάμει τὰ δὲ ἐνεργείᾳ. πᾶν γὰρ πεπηγὸς ὑγρὸν ξηρὸν μὲν ἐνεργείᾳ καὶ κατὰ συμβεβηκός, δυνάμει δὲ καὶ καθ' αὑτὸ ὑγρόν. γῆ δὲ καὶ τέφρα μιχθέντα ὑγρῷ ἐνεργείᾳ μέν εἰσι καὶ κατὰ συμβεβηκὸς ὑγρά, καθ' αὑτὰ δὲ καὶ δυνάμει ξηρά. διακριθέντα δὲ τὰ ἀπὸ τοῦ ὕδατος ὑγρὰ καὶ ἀναπληστικά. τί δὲ τοῦτό ἐστιν; ὅτι ὑγρόν, φησί, τὸ τῷ οἰκείῳ ὅρῳ δυσόριστον, τῷ δὲ ἀλλοτρίῳ εὐόριστον· ἀναπληστικὸν γοῦν λέγεται τὸ ὑγρόν, ὅτι περιορίζεται ἐν ὁποιῳοῦν ἀγγείῳ καὶ ἀναπληροῖ οἷον δή τινα τόπον. ταῦτα γοῦν εἰσι καὶ ἐνεργείᾳ καὶ δυνάμει ὑγρὰ τὰ ἐξ ὕδατος. τὰ δὲ γῆς ἅπαντα ξηρά. δυνάμει δὲ λέγει ἐν τούτοις τὸ τέλειον δυνάμει καὶ κατὰ φύσιν ὑπάρχον. οὕτω καὶ τὸ αἷμα τῷ εἴδει μέν ἐστι θερμόν, τῷ δὲ ὑποκειμένῳ καὶ τῇ ὕλῃ ψυχρόν· φλέγμα γάρ.

p. 649b25 Ἐν μὲν γὰρ τῷ λόγῳ.

Ἐπεὶ τὸ αἷμα τῷ ὑποκειμένῳ καὶ τῇ ὕλῃ ψυχρὸν τῷ δὲ εἴδει καὶ τῇ οὐσίᾳ θερμόν, ἐν τῷ λόγῳ αὐτοῦ ὑπάρξει ἡ θερμότης, ὥσπερ ἐν τῷ τοῦ λευκοῦ ἀνθρώπου τὸ λευκόν· ᾗ γὰρ κατὰ πάθος αἷμα ἤγουν κατὰ συμβεβηκός, οὐ καθ' αὑτὸ θερμόν. ὁμοίως καὶ περὶ ξηροῦ καὶ ὑγροῦ. διὸ ἐν τῇ ⟨φύσει⟩ τῶν τοιούτων τοῦ ψυχροῦ ὄντος χωριζομένου τοῦ θερμοῦ πήγνυται ταῦτα καὶ ψυχρὰ φαίνονται. χολὴ δὲ θερμὸν οὖσα καὶ πάχος ἔχουσα χωριζομένου τοῦ θερμοῦ ⟨ψύχεται⟩ καὶ ὑγραίνεται. τὸ μὲν γὰρ αἷμα ξηραίνεται, ἡ δὲ ξανθὴ χολὴ ὑγραίνεται. τὸ δὲ μᾶλλον καὶ ἧττον μετέχειν ἢ θερμότητος ἢ ψυχρότητος δεῖ τιθέναι ὡς διαφοράν. αἷμα γὰρ αἵματος διαφέρει ἐν τῷ θερμότερον εἶναι ἄλλου αἵματος ἢ ψυχρότερον παρ' ἄλλο θερμότερον· κεκοινώνηκε γὰρ τῶν ἐναντίων ἡ φύσις τοῦ αἵματος.

p. 650a2 Ἐπεὶ δὲ ἀνάγκη πᾶν τὸ αὐ⟨ξανόμενον⟩.

Ἐπεὶ πᾶν τὸ αὐξανόμενον λαμβάνει τροφήν, ἡ δὲ τροφὴ ξηρὰ ἢ ὑγρά, ἡ πέψις τούτων πάντων καὶ ἡ μεταβολὴ διὰ τῆς τοῦ θερμοῦ δυνάμεως γίνεται. διὰ γοῦν ταύτην τὴν αἰτίαν καὶ τὰ ζῷα πάντα καὶ τὰ φυτὰ ἔχει ἀρχὴν θερμοῦ φυσικήν, καὶ ταύτην εἰς ἐργασίαν τῆς τροφῆς * * ὅτι πλειόνων εἰσὶ μορίων αἱ ἐργασίαι αὗται τῆς τροφῆς. ἡ μὲν γὰρ πρώτη λει-

---

4 ἐν τῷ—φθορᾶς] B 2, cf. Meteorol. Δ 1 p. 378b12 17 τὸ ὑποκείμενον F 19 τὸ λευκὸν bis F 21 φύσει] c. IV litt. evan. F 23 ψύχεται] VII litt. evan. F 25 διαφορὰ F 28 πᾶν τὸ αὐ (sic) F 32 ante ὅτι fort. addendum δῆλον δὲ

τουργία τῆς τροφῆς ἡ διὰ τοῦ στόματός ἐστι καὶ τῶν ἐν αὐτῷ ὀδόντων· δεῖται γὰρ πρῶτον διαιρέσεως ἡ τροφή. ἀλλ' αὕτη ἡ λειτουργία οὐδεμιᾶς ἐστιν αἰτία πέψεως, εὐπεψίας δὲ μᾶλλον. διαιρεῖται γὰρ εἰς μικρὰ διὰ τῶν ὀδόντων, καὶ ῥᾴων γίνεται εἰς τὸ κατεργασθῆναι. εἶτα ἡ ἐν στομάχῳ δύναμις πεπτική, ἥτις γίνεται διὰ τοῦ ἐμφύτου θερμοῦ· καὶ οὕτως αἴτιον τῆς αὐξήσεως τοῦ ζῴου καὶ τῶν φυτῶν ἐστι τὸ θερμόν.

p. 650a13 Ἡ δὲ τῆς ἄνω καὶ τῆς κάτω.

Δύο κοιλίαι εἰσὶν ἐν τῷ ζῴῳ, ἡ μὲν ἄνω τῆς ἀκατεργάστου τροφῆς στόμαχος, ἡ δὲ κάτω τῆς κατεργασίας, ἐξ ἧς αἱ φλέβες λαμβάνουσι τὸ αἷμα καὶ τρέφουσι τὸ ζῷον. ὡς φάτνη γάρ ἐστιν ἡ κοιλία τοῖς ζῴοις, τοῖς δὲ φυτοῖς ἡ γῆ· ἐκ δὲ ταύτης ἀκατέργαστον λαμβάνει διὰ στόματος τὴν τροφήν, ὅθεν καὶ περιττώματα γίνεται ἐν αὐταῖς. τὰ δὲ φυτὰ κατειργασμένην ἐν τῇ γῇ τὴν τροφὴν λαμβάνει ὡς ἐκ κοιλίας αὐτῆς· διὸ καὶ περιττώματα οὐκ ἔστιν ἐν τοῖς φυτοῖς. οὐδὲ γὰρ αὐτοῖς φυσική ἐστιν ἡ θερμότης, ἀλλ' ἡ ἐκ τῆς γῆς θερμότης, ἣν λαμβάνει ἐκ τοῦ ἡλίου καὶ τοῦ περιέχοντος ἀέρος κατεργαστική ἐστι τῆς τούτων τροφῆς.

p. 650a27 Ἡ μὲν γὰρ τοῦ στόματος.

Ἡ πρώτη λειτουργία τῆς τροφῆς διὰ τοῦ στόματος γίνεται καὶ τῶν ὀδόντων. διὰ δὲ τοῦ οἰσοφάγου εἰς τὴν ἄνω κοιλίαν κατέρχεται ἡ τροφή, ἀπ' ἐκείνης δὲ εἰς τὴν κάτω κοιλίαν καταντᾷ, κἀκεῖθεν ὡς ἀπὸ φάτνης τρέφεται ἅπαν τὸ ζῷον διὰ τῶν φλεβῶν. τείνουσι γὰρ διὰ τοῦ μεσεντερίου κάτωθεν ἀρξάμεναι μέχρι τῆς κοιλίας. δεῖ δὲ ταῦτα θεωρεῖν, φησίν, ἔκ τε τῶν ἀνατομῶν καὶ ἐκ τῆς φυσικῆς τῶν ζῴων θεωρίας τῆς περὶ γενέσεως πραγματείας. ἡ τελευταία δὲ τροφὴ τὸ αἱμά ἐστι τοῖς ζῴοις, τοῖς δὲ ἀναίμοις τὸ ἀνάλογον τῷ αἵματι. διὰ τοῦτο ὅτε λαμβάνει τὰ ζῷα τροφήν, αὐξάνεται τὸ αἷμα, καὶ ὅτε μὴ λαμβάνει, ὑπολείπει τὸ αἷμα καὶ τὸ σῶμα.

p. 650b3 Καὶ γὰρ διὰ τοῦτο.

Τὸ αἷμα θέλων δεῖξαι ὅτι περίττωμά ἐστι τῆς τροφῆς ἐκ τούτου δεικνύει ὡς ἐκ μέσου τινὸς καὶ αἰτίου, οἷον τὸ αἷμα αἴσθησιν οὐ ποιεῖ θιγγανόμενον, τὸ ἐν σώματι αἴσθησιν οὐ ποιοῦν περίττωμα, τὸ αἷμα ἄρα περίττωμα. καὶ αὐτὴ γὰρ ἡ τροφὴ αἴσθησιν οὐ ποιεῖ ἡ κειμένη ἐντὸς τοῦ στομάχου· οὐ γὰρ διὰ τὴν ἔξω τροφὴν λέγει ταῦτα. ἡ δὲ σὰρξ αἴσθησιν ἐμποιεῖ· οὐ γάρ ἐστι ταύτῃ, φησί, συνεχὲς τὸ αἷμα, ἀλλ' ὡς ἐν ἀγγείῳ [ὥσπερεὶ] ἐστὶ τοῦτο τῇ τε καρδίᾳ καὶ ταῖς φλεψί.

---

7 ἡ δ' ἄνω, deinde X litt. evan. F 8 ἀκατεργάστου] ambig. F 22 δὲ] δεῖ iterat F 31 αἴσθησιν—ἡ] αἳ θησιν ὑπὸ τῇ F 34 ὡσπερεὶ delevi

p. 650ᵇ14 Τὰς δὲ καλουμένας ἶνας.

Εὕρηνται αἵματα ἔχοντα ἶνας, καὶ εἰσὶ ταῦτα γεωδέστερα· αἱ γὰρ ἶνες τοῦ γεώδους εἰσί. τὰ γοῦν τοιαῦτα αἵματα τὰ ἶνας μὴ ἔχοντα οἷα τὰ τῶν ἐλάφων καὶ τῶν προκῶν, οὐ πήγνυνται ὡς καθαρὰ καὶ ψυχρὰ καὶ ὑδατώδη. ἵνα τί δὲ μᾶλλον ὡς ὑδατώδη οὐ πήγνυνται ἔξω γεγονότα; ἢ δῆλον ὅτι αὐτὸς λύει τὴν ἀπορίαν· τὸ δὲ γεῶδες, φησί, πήγνυται συνεξατμίζοντος τοῦ ὑγροῦ· τὸ γὰρ γεῶδες ἐστὶ τὸ ποιοῦν τὴν πῆξιν.

p. 650ᵇ18 Συμβαίνει δ' ἔνιά γε.

Ἔνια, φησί, καὶ νοερώτερά εἰσι τῶν ἐχόντων τοιαῦτα αἵματα, πλὴν οὐ διὰ τὴν ψυχρότητα ἀλλὰ διὰ τὴν καθαρότητα· τὸ γὰρ γεῶδες οὔτε ψυχρόν ἐστι πάντῃ οὔτε καθαρόν. ἀλλὰ διότι ἔχει τὴν ὑγρότητα καθαρωτέραν, διὰ τοῦτο νοερώτερά εἰσι τὰ ἔχοντα τὸ τοιοῦτον αἷμα· εὐκινητότερα γὰρ πρὸς νόησιν ἢ μᾶλλον αἴσθησιν τὰ τοιαῦτα. διὰ τοῦτο ἔλεγε καὶ πρώην ὅτι πολλὰ τῶν ἀναίμων φρονιμώτερά εἰσι τὴν ψυχὴν πολλῶν ἐναίμων, οἷον μέλιττα, ἀράχνης. τὰ δὲ ὑδατώδη αἵματα ψυχρὰ ὄντα φόβον ποιεῖ.

p. 650ᵇ28 Προωδοποίηται οὖν.

Προοδοποιεῖται οἱονεὶ συνεργεῖται τὰ τοιαῦτα τῶν ζῴων ὑπὸ τοῦ τοιοῦδε πάθους, ὅτι τοιαύτην ἔχουσιν ἐν τῇ καρδίᾳ κρᾶσιν τοῦ αἵματος, ψυχρὰν δῆλον. ὥσπερ γὰρ τὸ ὕδωρ τὸ ψυχρὸν πηκτόν ἐστιν, οὕτω πήγνυται καὶ τὸ ὑδαρὸν αἷμα ὑπὸ ψυχρότητος ἐν τῇ καρδίᾳ καὶ φόβον ἐμποιεῖ. διὰ τοῦτο καὶ ὁ φόβος ἐκ ψυχρότητος τοῦ αἵματος. διὸ καὶ τὰ ἄλλα ἄναιμα, μυῖαι δηλονότι καὶ τὰ λοιπά, δειλότατα πάντων ὡς μὴ ἔχοντα αἷμα, καὶ ἀκινητίζει καὶ περιττώματα προΐενται πάντες ἀπὸ ψυχρότητος· οὐδὲ γὰρ ἔχουσι τὴν φυσικὴν θερμότητα ἱκανὴν εἰς τὸ συνέχειν τὰ περιττώματα.

p. 650ᵇ33 Τὰ δὲ πολλὰς ἔχοντα.

Τὰ πολλὰς ἔχοντα ἶνας γεωδέστερα τὴν φύσιν εἰσὶ καὶ θυμώδη τὸ ἦθος. διὰ τί δὲ θυμώδη, αὐτός φησιν, ὅτι πᾶν στερεὸν ἐκπυρούμενον λίαν ἐκκαίει· ὥστε καὶ αἱ ἶνες στερεαὶ οὖσαι καὶ πυρωθεῖσαι οἷον πυρίαι γίνονται αἱ ἐν τοῖς χαλκείοις ἐκ τῶν μύδρων ἀποτινασσόμεναι, καὶ ἐπὶ πλεῖστον κατιλλόμεναι τὸ θερμὸν ἐκπυροῦσι τὸ ζῷον, ὥσπερ καὶ τὸ ταύρου αἷμα ἔχει· ἰνωδέστερον γὰρ παρὰ τὰ ἄλλα. διὰ τοῦτο καὶ εἴ τις πίῃ τοῦ ταυρικοῦ αἵματος, ἀποθνήσκει· πήγνυται γὰρ ἐντὸς ὂν περὶ τὴν καρδίαν καὶ ἀπο-

---

4 ἐλάφων] ἐρφῶν F πλοκῶν F 9 et 12 νοερώτερα scripsi: νοημότερα utrobique F

πνίγει τὸ ζῷον. εἶτα λέγει καὶ τὴν αἰτίαν, πῶς οὐ πήγνυται τὸ αἷμα ἐντὸς τοῦ σώματος ὄν· ὅτι, φησίν, ἐν τοῖς ἔξω τοῦ θερμοῦ ὑπὸ τοῦ ψυχροῦ ἐκθλιβομένου συνεξατμίζεται τὸ ὑγρὸν καὶ πήγνυται ξηραινόμενον οὐχ ὑπὸ θερμοῦ, ὡς πολλά τινα ἄλλα, ἀλλ' ὑπὸ ψυχροῦ· καὶ γὰρ τὸ ψυχρὸν πήγνυσιν.

p. 651a17 Ἰχὼρ δ' ἐστὶ τὸ ὑδατῶδες.

Ὁ ἰχὼρ διττός ἐστιν, ὁ μὲν διὰ τὸ διεφθάρθαι τὸ αἷμα, ὁ δὲ αἵματος χάριν, διὰ τὸ μέλλειν αὐτὸ πεπανθῆναι. τὸ μὲν οὖν πρῶτόν ἐστι τὸ ὑδατῶδες τοῦ αἵματος, τὸ ἄπεπτον αἷμα, ὃς καὶ ἐξ ἀνάγκης ἰχώρ ἐστι, τὸ δὲ πεπεμμένον χάριν αἵματος ὁμοίως καὶ πιμελὴ καὶ στέαρ. ἐὰν μὲν γὰρ πεφθῇ τὸ αἷμα κατὰ πολύ, γίνεται πιμελή, ἐὰν δὲ ὀλίγιστον, γίνεται στέαρ· ὥστε ἐν τοῖς χοίροις ἡ πιμελή, ἐν δὲ τοῖς προβάτοις τὸ στέαρ. |

p. 651a36 Μέτρια μὲν οὖν ταῦτ' ὄντα ἐν τοῖς μορίοις τῶν ζῴων ὠφελεῖ. 83

Μέτρια μὲν οὖν, φησί, τὸ στέαρ καὶ ἡ πιμελὴ ἐν τοῖς τῶν ζῴων μορίοις ὑπάρχοντα ὠφελεῖ, ὑπερβάλλοντα δὲ βλάπτει καὶ φθείρει. καὶ πῶς τῇ ὑπερβολῇ φθείρουσι, λέγει· τὸ ζῷον γάρ, φησί, ζῷόν ἐστι κατὰ τὸ αἰσθητικὸν μόριον, τουτέστι τὸ ζῷον, ᾗ ζῷον, οὐσίωται καὶ εἰδοποιεῖται κατὰ τὸ αἰσθάνεσθαι. οὔτε γὰρ ἡ οὐσία οὔτε τὸ ἔμψυχον εἰδοποιεῖ τὸ ζῷον (ἔστι γὰρ καὶ τὸ φυτὸν οὐσία ἔμψυχος), ἀλλὰ τὸ αἰσθητικὸν ζῷον· ζῷον γάρ ἐστιν οὐσία ἔμψυχος αἰσθητική. ἀλλὰ μὴν καὶ ἡ σὰρξ καὶ τὸ ἀνάλογον ταύτῃ αἰσθητικόν ἐστι, τουτέστιν αἰσθητήριόν ἐστι τῆς ἁφῆς. τὸ γὰρ αἷμα, ὡς εἴρηται, αἴσθησιν οὐ ποιεῖ οὐδὲ εἶναι δύναται αἰσθητήριον, ναὶ μὴν οὐδὲ τὸ στέαρ οὐδὲ ἡ πιμελή· αἷμα γὰρ καὶ αὐτὰ πεπεμμένον. εἰ οὖν τῷ ζῴῳ τὸ ζῷον εἶναί ἐστιν ἐν τῷ αἴσθησιν ἔχειν, αὕτη δὲ διὰ σαρκὸς γίνεται, τὸ μὴ σάρκα ἔχον οὐκ αἰσθήσεται, ὥστε οὐδὲ ζῷον ἔσται· εἰ γὰρ ζῷον, καὶ αἰσθήσεται. εἰ οὖν ἡ πᾶσα σὰρξ πιμελὴ γένοιτο, ἡ δὲ πιμελὴ αἴσθησιν οὐ ποιεῖ, οὐκ ἂν ἔχοι οὐδεμίαν αἴσθησιν. τοῦτο δὲ ταὐτόν ἐστι τῷ ἀναιρεῖσθαι τὸ ζῷον, εἴπερ, ὡς εἴρηται, ζῷον ἄνευ αἰσθήσεως εἶναι οὐ δύναται. σαφῆ δὲ τὰ ἑξῆς. κατὰ δὲ τὴν λέξιν τὴν καὶ τὸ ὀλίγον παθητικὸν καὶ ὑπὸ ψυχροῦ τοῦ τυχόντος ὑποστικτέον εἰς τὸ ὀλίγον· πᾶν γὰρ ὀλίγον πεφυκὸς πάσχειν ὑπὸ ψυχροῦ ἢ θερμοῦ εὐπαθέστερόν ἐστι τοῦ πλείονος.

Μετὰ ταῦτα λέγει καὶ περὶ μυελοῦ, οὐ τοῦ καλουμένου ἐγκεφάλου (περὶ γὰρ τούτου μετὰ ταῦτα ἐρεῖ καὶ δείξει ὅτι ὁ ἐγκέφαλος οὐκ ἔστι μυελός), ἀλλὰ τοῦ ἐν τοῖς ὀστοῖς ἐνόντος, καί φησιν ὅτι ὁ μυελὸς αἷμα-

---

12 Μέτρια μὲν οὖν] hinc incipit versio librorum PSa 14 ἐν τοῖς—μορίοις supr. v. S
19. 20 αἰσθητικὸν ζῶον γὰρ φησὶν οὐσία S 21 post ἀνάλογον add. ἡ οὐσία sed rursus del. S 22 δύναται εἶναι coll. S 23 τὸ om. Pa 24 τὸ ζῴῳ τὸ ζῴῳ εἶναι a ἐστὶν ante τὸ ζῷον ponit S αὐτὴ a 26 ἡ (ante δὲ)] οἱ a

τός τις φύσις ἐστί, καὶ οὐχ ὥσπερ οἴονταί τινες, τῆς γονῆς σπερματικὴ δύναμις, τουτέστιν ἀρχὴ σπέρματος· ἀρχὴν γὰρ σπέρματος ἐτίθεντο τὸν μυελὸν οἱ περὶ Πλάτωνα, ὥσπερ καὶ τὸν ἐγκέφαλον νεύρων. ὅτι δὲ ὁ μυελὸς φύσις τις αἵματός ἐστι, δηλοῖ τῶν νεογνῶν ζῴων ὁ μυελὸς
5 ἐρυθρὸς καὶ αἱματώδης ὤν, ἀλλ' οὐ λευκός, αὐξανομένων δὲ καὶ πεττομένων 25
μεταβάλλει τὴν χρόαν, ὥσπερ καὶ τὰ σπλάγχνα, καὶ γίνεται ἐξ αἱματώδους λευκός. καὶ τὸ μὲν λεγόμενον τοιοῦτόν ἐστι, τὴν δὲ λέξιν οὕτως ἀναγνωστέον· καθάπερ καὶ τὰ μόρια μεταβάλλει καὶ τὰ σπλάγχνα τὰς αἱματώδεις χρόας (ὑπερβολῇ γὰρ αἱματῶδες, τουτέστι λίαν γὰρ αἱματῶδες
10 ἔστιν ἕκαστον τῶν σπλάγχνων ἔτι νέων ὄντων τῶν ζῴων), καθάπερ οὖν ταῦτα μεταβάλλει, οὕτω καὶ ὁ μυελός· ἀλλ' ὁ μὲν τῶν ἄλλων ὀστῶν 30
μυελὸς τοιοῦτός ἐστιν οἷον εἴπομεν, ὁ δὲ τῆς ῥάχεως οὐ τοιοῦτος, ἀλλὰ γλίσχρος καὶ νευρώδης διὰ τὸ δεῖν αὐτὸν εἶναι συνεχῆ καὶ διήκειν ὥσπερ περόνην τινὰ διὰ πάσης τῆς ῥάχεως διῃρημένης κατὰ τοὺς σπονδύλους.
15 ὡς γὰρ ὁ ἄτρακτος, δι' οὗ νήθουσιν αἱ γυναῖκες, τοὺς ἐν αὐτῷ σπονδύλους συνέχει καὶ οὐκ ἐᾷ διαπίπτειν, ἐπειδὰν δὲ ἐξαιρεθῇ, διαπίπτουσιν, οὕτω τρόπον τινὰ ὁ ῥαχίτης μυελὸς οἷον ἄτρακτός τις ἢ περόνη τῶν τῆς ῥάχεώς 35
ἐστι σπονδύλων. εἰ δὲ τοῦτο, οὔτε λιπαρὸν καὶ πιμελώδη οὔτε στεατώδη 84
τὸν ῥαχίτην ἐνδέχεται εἶναι μυελόν· στεατώδης μὲν γὰρ ὢν ἐθραύετο ἄν
20 (θραυστὸν γὰρ τὸ στέαρ) καὶ οὐκέτ' ἂν ἦν συνεχὴς καὶ οἷον περόνη, πιμελώδης δὲ ἦν ἂν ὑγρὸς καὶ ῥυτὸς καὶ οὐδ' οὕτω συνεχὴς οὐδὲ δι' ὅλης τῆς ῥάχεως, ἀλλὰ ῥέων ἐν μὲν τῷ κάτω μέρει ἦν ἄν, ἐν δὲ τῷ αὐχένι 5
οὐκέτι. ἔνια δὲ τῶν ζῴων ἔχει μὲν μυελόν, οὐχ οὕτω δὲ φανερόν, ὥστε ἀξίως ὀνομάσαι αὐτὸν μυελόν, ὥσπερ ὁ λέων· τούτου γὰρ τὰ ὀστᾶ διὰ
25 τὸ πάμπαν ἄσημον ἔχειν, τουτέστι διὰ τὸ λίαν ἔχειν τοὺς τῶν ὀστῶν πόρους στενωτάτους δοκεῖ μὴ ἔχειν ὅλως μυελόν, καίπερ ἔχων ὅσον ἦν εἰκὸς χωρῆσαι ἐν τοιούτῳ πόρῳ.

Ταῦτα εἰπὼν ἐπισημαίνεται ὅτι τῶν ἐχόντων τὰ ὀστᾶ πυκνὰ καὶ ἰσχυρά, τούτων τὰ μὲν οὐδ' ὅλως ἔχει μυελόν, τὰ δ' ἔχει, ἀλλ' ὀλίγον διὰ 10
30 τὸ τὴν τροφὴν ἀναλίσκεσθαι εἰς τὴν τῶν ὀστῶν φύσιν καὶ μὴ ἐπαρκεῖν καὶ εἰς μυελοῦ γένεσιν. χρῄζουσα γὰρ ἡ φύσις μᾶλλον τῶν ὀστῶν, ἤπερ τοῦ μυελοῦ, εἰς ἐκεῖνα τὴν τροφὴν ἀναλίσκει.

p. 652ᵃ24 Μετὰ ταῦτα λέγει περὶ ἐγκεφάλου, καί φησιν ὅτι πολλοῖς, ἐξ ὧν καὶ ὁ Πλάτων, ὁ ἐγκέφαλος δοκεῖ μυελὸς εἶναι καὶ ἀρχὴ τοῦ
35 μυελοῦ, διὰ τὸ τὸν ῥαχίτην ὁρᾶν αὐτῷ συνεχῆ· τοσοῦτον δ' οὐκ ἔστι, φησίν, 15
ὁ ἐγκέφαλος οὔτε μυελὸς οὔτε μὴν ἀρχὴ μυελοῦ, ὥστε καὶ ἐναντίος ἐστὶν ὁ μυελὸς κατὰ τὴν φύσιν τῷ ἐγκεφάλῳ. καὶ πῶς, ἐπάγει· ὁ μὲν γὰρ ἐγκέ-

---

1 τις] τε P 2 σπέρματος (post γὰρ) ex αἵματος corr. S 3 οἱ περὶ Πλάτωνα] cf. Tim. p. 73 B sqq. νεῦρον S 4 post τῶν add. λίαν a 5 ὤν post ἐρυθρὸς ponunt Sa πεπτομένων Pa 6 τὰ λοιπὰ σπλάγχνα Pa 10 ὄντων νέων coll. S 12 οὐ τοιοῦτος ἀλλὰ om. P 15 σφονδύλους P 17 post τινὰ add. καὶ a 19 μὲν om. P 21 post συνεχὴς add. καὶ S 25 τῶν om. S 31 ἤπερ] εἴπερ Pa 34 ὁ Πλάτων] Tim. p. 73 C sq.

φαλος ψυχρότατός ἐστιν, ὁ δὲ μυελὸς θερμός, ἐναντίον δὲ τὸ θερμὸν τῷ ψυχρῷ. καὶ εὐλόγως ἐστὶν ὁ μυελὸς θερμός, ὢν συνεχὴς τῷ ἐγκεφάλῳ, ψυχρῷ ὄντι, ἵνα θερμαίνῃ καὶ κολάζῃ τὴν ὑπερβάλλουσαν αὐτοῦ ψυχρότητα. ἀεὶ γὰρ ἡ φύσις μηχανᾶται πρὸς τὴν ἑκάστου ὑπερβολὴν 20
5 βοήθειαν τὴν τοῦ ἐναντίου παρεδρίαν. ὅτι δὲ ὁ ἐγκέφαλος ψυχρότατός ἐστι, φανερὸν καὶ ἐκ τῆς θίξεως· ἁπτόμενος γὰρ ψυχρός ἐστιν. ἔστι δὲ οὔτε περίττωμα ὁ μυελὸς οὔτε τῶν συνεχῶν μορίων, ὥσπερ αἱ σάρκες, ἀλλ' αὐτὸς καθ' αὑτόν. καὶ ὅτι μὲν οὐκ ἔχει συνέχειαν ὁ μυελός, ἀλλ' ὡς ἐν ἀγγείῳ τινί ἐστιν ἐν τῇ κεφαλῇ καθ' αὑτόν, δῆλον καὶ ἐκ τῆς ὄψεως
10 καὶ ἐκ τοῦ μὴ ποιεῖν αἴσθησιν θιγγανόμενος, ὥσπερ οὐδὲ τὸ αἷμα· οὐδὲ 25 γὰρ τοῦτο συνεχές, ἀλλ' ὡς ἐν ἀγγείῳ ταῖς φλεψίν· ἡ δὲ σὰρξ συνεχὴς οὖσα ποιεῖ αἴσθησιν.

Εἰπὼν δὲ τί ἐστιν ὁ ἐγκέφαλος, λέγει καὶ δι' ἣν αἰτίαν ἐγεγόνει· πρὸς γὰρ σωτηρίαν αὐτῶν, καὶ τὸ περιψύχειν τὸ ἐν τῇ καρδίᾳ θερμόν.
15 πρότερον δὲ δείκνυσιν ὡς ἔνεστιν ἡμῖν θερμόν, καὶ οὕτω λέγει, διὰ τί γέγονεν ὁ ἐγκέφαλος. τοσοῦτον οὖν, φησίν, ἐκδηλότατον τυγχάνει ὅτι ἔνεστιν ἡμῖν θερμόν, ὥστε τινὲς τὴν ψυχὴν πῦρ τιθέασι, δυνάμει λέγοντες 30 ὅτι ὥσπερ ἄνευ ψυχῆς οὐ δύναται ζῷον εἶναι, οὕτω καὶ ἄνευ θερμοῦ, φορτικῶς πῦρ εἰπόντες τὴν ψυχήν. βέλτιον οὖν λέγειν τὴν αἰσθητικὴν
20 ψυχὴν ἐν πυρὶ εἶναι, ἢ λέγειν αὐτὴν πῦρ. λέγει δὲ τὴν αἰτίαν, ἐξ ἧς πῦρ αὐτὴν λέγειν ὡρμήθησαν· ὁρῶντες γάρ, φησί, τὸ ἐν ἡμῖν πῦρ, ἤγουν τὸ ἔμφυτον θερμόν, ὑπηρετικώτατον καὶ οἷον ὄργανον ὑπάρχον τῶν τῆς ψυχῆς 35 ἔργων (ἄνευ γὰρ τούτου οὔτε κινεῖν οὔτε τρέφειν δύναται) ὑπέλαβον ὅτι τὸ πῦρ ἔστιν ἡ ψυχή. ὅμοιον οὖν τὸ τὴν ψυχὴν πῦρ λέγειν καὶ τὸν τέκτονα
25 πρίονα ἢ σκέπαρνον· οὐδὲ γὰρ οὗτος χωρὶς τούτων τὰ τῆς τεκτονικῆς ἔργα πράττειν δύναται. ὥσπερ οὖν τὸ σκέπαρνον ἐγγὺς ὂν τῷ τέκτονι (ἅπτεται γὰρ αὐτοῦ) καὶ οὕτω τῷ σκεπάρνῳ τὸ ἔργον περαίνουσιν, οὕτω καὶ ἡ αἰσθητικὴ ψυχὴ καὶ τὸ ἔμφυτον θερμόν. οὕτω μὲν οὖν δῆλον ὅτι ἔνεστιν 40 ἡμῖν θερμόν. ἐπεὶ δὲ πᾶν ἄκρον, εἴτε θερμόν ἐστι τοῦτο εἴτε ἄλλο
30 ὁτιοῦν, δεῖται τῆς ἐναντίας ῥοπῆς, ἵνα εἰς συμμετρίαν ἔλθῃ (τὴν γὰρ οὐσίαν καὶ τὸν ἑκάστου λόγον ἡ τῶν ἄκρων σύμμετρος ἔχει μῖξις, τῶν δ' ἄκρων ἑκάτερον χωρὶς οὐκ ἔχει), διὰ τοῦτο γέγονεν ὁ ἐγκέφαλος καὶ ποιεῖ τὴν ἐν τῇ καρδίᾳ θερμότητα εὔκρατον. ἵνα δὲ καὶ οὗτος διὰ τὸ ψυχρότατος εἶναι τυγχάνῃ μετρίας θερμότητος, ὅπως μὴ παγῇ ὥσπερ κρύ- 45
35 σταλλος, ἀφ' ἑκατέρας τῆς φλεβός, τῆς μεγάλης καὶ τῆς ἀορτῆς, τελευτῶσι φλέβες εἰς τὴν περὶ τὸν ἐγκέφαλον μήνιγγα· ἵνα δὲ πάλιν μὴ πολλὰ θερμαινόμενος θερμαίνῃ τὴν καρδίαν καὶ βλάπτῃ, ἀντὶ μεγάλων ὀλίγων φλε-

---

1. 2 τῷ θερμῷ τὸ ψυχρόν S 7 et 8 μυελὸς] immo ἐγκέφαλος 10 post ποιεῖν add. τὴν S 13 τί scripsi: τίς Pa: ὅτι τις S ἐστιν om. P 15 πρότερον — θερμόν om. P 20. 21 αὐτὴν πῦρ S 22 ὑπηρετικώτατον post οἷον ponit S 25 σκέπαρνον ἢ πρίονα coll. S 26 οὖν] οὐδὲ P: δὲ a 29 ἡμῖν om. S 33 δὲ om. a 34 τυγχάνει a μετρίας supr. v. P 34. 35 κρύσταλος S

βῶν πυκναὶ καὶ λεπταὶ περιέχουσιν αὐτόν, ἵν' εἰς πολλὰ φλεβία καὶ λε|πτὰ 85
κατακερματιζομένη ἡ εἰς αὐτὸν ἀναδιδομένη θερμότης ἀσθενεστάτη γίνηται.

Ποιεῖ δὲ καὶ τὸν ὕπνον ὁ ἐγκέφαλος ἐν ὅσοις ἔνεστιν, ἐν οἷς δὲ μή ἐστιν, τὸ ἀνάλογον· καὶ πῶς, ἐπήγαγεν καταψύχων γὰρ τὴν ἀπὸ τῆς τροφῆς τοῦ αἵματος ἐπίρρυσιν, καὶ τὰ ἑξῆς. τὸ δὲ λεγόμενον τοιοῦτόν ἐστι· τὸ πνεῦμα τὸ ἀναδιδόμενον σὺν τῷ αἵματι (μετὰ πνεύματος γὰρ ἀεὶ ἡ τοῦ αἵματος ἀνάδοσις) τὸ δὴ πνεῦμα τοῦτο ψυχόμενον ὑπὸ τοῦ ἐγκεφάλου κατέρχεται καὶ ποιεῖ τὸν ὕπνον. διὸ καὶ οἱ ὑπνώττοντες, τουτέστιν οἱ ἤδη πρὸς ὕπνον τραπῆναι μέλλοντες, καρηβαροῦσι· τοῦ γὰρ πνεύματος ψυχθέντος καὶ ἐν τῷ περὶ τὴν καρδίαν τόπῳ πεπτωκότος καὶ ἤδη ἀναισθητεῖν τοῦ ζῴου μέλλοντος καρηβαρεῖ καὶ κλίνει ἔνθεν κἀκεῖθεν τὴν κεφαλήν. σαφῆ δὲ τὰ ἑξῆς. τὰ δὲ τῶν λέξεων τοιαῦτα· καταψύχων γὰρ τὴν ἀπὸ τῆς τροφῆς τοῦ αἵματος ἐπίρρυσιν, τουτέστιν καταψύχων γὰρ ὁ ἐγκέφαλος τὴν ἐπίρρυσιν τοῦ αἵματος (λέγων ἐπίρρυσιν τὸ πνεῦμα τὸ ἀνιὸν σὺν τῷ αἵματι), τὸ δὴ πνεῦμα τοῦτο τὸ ἀπὸ τοῦ αἵματος, ὅπερ αἷμα ἡ ἐσχάτη ἐστὶ τροφή, ψυχόμενον ποιεῖ τὸν ὕπνον. τὸ δὲ ἢ καὶ διά τινας αἰτίας ὁμοίας ἄλλας εἶπεν, ἐπειδὴ οὐκ ἀπὸ τροφῆς ἀεὶ τὸ πνεῦμα ἄνεισι καὶ ποιεῖ ἡμᾶς ὑπνώττειν, ἀλλὰ πολλάκις ὑπνώττομεν καὶ διὰ κόπον· κινουμένων γὰρ λεπτότερον γίνεται τὸ πνεῦμα καὶ ἄνεισι τότε μᾶλλον. καὶ ταῦτα μὲν οὕτως.

Ὅτι δ' ἔστιν ὁ ἐγκέφαλος κοινὸς ὕδατος καὶ γῆς, τουτέστιν ψυχρότατος, δηλοῖ πρὸς τοῖς εἰρημένοις καὶ τὸ συμβαῖνον περὶ αὐτόν· ἑψόμενος γὰρ γίνεται ξηρὸς καὶ σκληρὸς ὥσπερ τὰ τῶν χεδροπῶν ἑψήματα. ὅτι δὲ τὰ χεδροπὰ ἑψηθέντα τοιαῦτά ἐστι, δῆλον ὡς ἐπὶ τοῦ ἀληλεσμένου κυάμου· ὁ γὰρ τοιοῦτος κύαμος καλῶς ἑψηθείς, εἶτα ψυχθεὶς ξηραίνεταί τε καὶ σκληρύνεται. ὅτι δὲ τὰ χεδροπὰ καὶ ὕδατός ἐστι καὶ γῆς, δέδεικται.

Τὸν δ' ἐγκέφαλον ἔχει ὁ ἄνθρωπος πλεῖστον ὡς κατὰ μέγεθος. ἀσφαλῶς δὲ πρόσκειται τὸ ὡς κατὰ μέγεθος· εἰ γὰρ εἴη ὁ ἄνθρωπος ὑποδεκαπλάσιος ἐλέφαντος, οὐκέτι καὶ ὁ τοῦ ἀνθρώπου ἐγκέφαλος ὑποδεκαπλάσιός ἐστι τοῦ ἐγκεφάλου τοῦ ἐλέφαντος, ἀλλ' ἴσως οὐδὲ ὑποτριπλάσιος. καὶ εὐλόγως διὰ τὸ τὸν ἐγκέφαλον ὑγρὸν εἶναι καὶ ψυχρὸν ὀψιαίτατα πήγνυται τὸ καλούμενον βρέγμα· ὑγρότατα γὰρ ὄντα τὰ βρέφη καὶ ἐπὶ τούτῳ πολλῆς τῆς ὑγρᾶς ἀναθυμιάσεως ὑπὸ τοῦ ἐν τῇ καρδίᾳ θερμοῦ πρὸς τὸν ἐγκέφαλον διαδιδομένης πολύν τινα χρόνον ἀπατμίζει· ὥστε εἰ μὴ ἦν τὸ βρέγμα εὔπνουν καὶ ἐξήρχετο ἀπ' αὐτοῦ ἡ ἀναθυμίασις ἡ πρὸς τὸν ἐγκέφαλον ἀναδιδομένη, ἀλλὰ σκληρὸν καὶ κωλυτικὸν τοῦ ἐξέρχεσθαι τὴν ἀναθυμίασιν, ἣν θερμὸν οὗτος εἶπεν, ἢ ἐξηραίνετο ἂν καὶ ἐθερμαίνετο ὁ ἐγκέφαλος, εἰ τοιοῦτον ἦν τὸ ἀνιὸν πνεῦμα, καὶ οὐκ ἂν ἔψυχε τὴν καρ-

---

2 κερματιζομένη S αὐτὴν S γένηται S 4 et 12 καταψύχου P
6 ἀναδιδόμενον] ἐρχόμενον P: ἀνερχόμενον a 9 καρηβαρῶσι S 14 ἐπίρρυσιν λέγων coll. S 16 καὶ om. a 17 εἰπεῖν a 19 κινουμένων ex κινούμενον corr. P: κινουμένοις S 23 ξηρὸς] ψυχρὸς a σκληρὸς καὶ ξηρὸς coll. S
25 ψηχθεὶς a τε om. a 26 εἰσὶ P 28 ὁ om. a 31. 32 ὀψιαίτατον a
37 οὗτος] οὕτως P

δίαν, ἢ ὑγραίνετο ἂν καὶ ἐψύχετο, εἰ πάλιν τοιοῦτον ἦν τὸ ἀνιὸν πνεῦμα· τούτου δὲ γινομένου συνέβαινε σβέννυσθαι τὸ ἐν τῇ καρδίᾳ θερμόν. τούτων γάρ ἐστι δηλωτικὸν τὸ ἢ οὐ ψύξει ἢ [οὐ] πήξει. πῶς δὲ τοῦτο ἔπα- 35
σχεν ἂν τὸ ἐν τῇ καρδίᾳ θερμόν, κατεσκεύασε διὰ τοῦ 'συμπαθέστατον γὰρ
5 ὂν τὸ ἐν τῇ καρδίᾳ θερμὸν ταχέως αἰσθάνεται καὶ πάσχει ὑπὸ τοῦ τυχόντος περὶ τὸν ἐγκέφαλον γινομένου πάθους'.

p. 653ᵇ19 Ταῦτα εἰπὼν λέγει καὶ περὶ σαρκὸς ὅτι ἐστὶν ἀρχὴ καὶ σῶμα καθ' αὑτὸ τῶν ζῴων ἡ σάρξ. ὅτι δὲ τοιοῦτον ἡ σάρξ, δῆλον, φησί, καὶ κατὰ τὸν λόγον· ἐπειδὴ γὰρ τῷ ζῴῳ τὸ εἶναί ἐστιν ἐν τῷ αἴσθησιν ἔχειν καὶ 40
10 πρῶτον ἐν τῷ τὴν πρώτην ἔχειν (εἰδοποιεῖται γὰρ καὶ ὑπὸ τῶν ἄλλων αἰσθήσεων τὸ ζῷον, ἀλλὰ πρώτως ὑπὸ τῆς πρώτης· αὕτη δ' ἐστὶν ἡ ἁφή, ἁφῆς δὲ αἰσθητήριον ἡ σάρξ) εἰ δὴ τὸ ζῷον μᾶλλον ὥρισται τῇ ἁφῇ, ἁφῆς δὲ αἰσθητήριον ἡ σάρξ, δῆλον ὅτι ἡ σὰρξ καθ' αὑτὸ τοῖς ζῴοις ἐστίν, ὥσπερ καὶ τῇ ὄψει ὁ ὀφθαλμός. εἰπὼν δὲ ὅτι τῆς ἁφῆς αἰσθητήριόν ἐστιν
15 ἡ σάρξ, ἐπήγαγεν ἤτοι τὸ πρῶτον, ὥσπερ ἡ κόρη τῆς ὄψεως, ἢ τὸ δι' οὗ συνειλημμένον. ἔσται δὲ τὸ λεγόμενον δῆλον, εἰ προείπομεν ὅτι ὥσπερ ἡ διαφάνεια τοῦ ἀέρος διαπορθμεύει τὰ χρώματα χωρὶς ὕλης 45
πρὸς τὴν κόρην, ἥτις πρῶτον αἰσθητήριόν ἐστι τῆς ὄψεως, οὕτω καὶ ἡ σὰρξ πρὸς τὸ ἔμφυτον θερμόν, ὅπερ ἐστὶ πρῶτον αἰσθητήριον τῆς ἁφῆς.
20 ἀλλ' ἡ μὲν σὰρξ συμφυὴς οὖσα ἡμῖν δοκεῖ ὅτι αὕτη ἐστὶ τὸ πρῶτον αἰσθητήριον, ὁ δ' ἀήρ, μὴ συμφυὴς ὢν τῷ ὀφθαλμῷ ἀλλ' ἁπτόμενος, διάδηλός ἐστιν ὅτι | οὐκ ἔστι τὸ πρῶτον αἰσθητήριον τῆς ὄψεως· εἰ δ' ἦν τῷ ὀφθαλμῷ 86
συμφυής, ἐδόκει ἂν καὶ οὗτος πρῶτον αἰσθητήριον τῆς ὄψεως. τούτων οὕτω προλεχθέντων τὸ λεγόμενον εἴη ἂν τοιοῦτον· τῆς ἁφῆς αἰσθητήριόν
25 ἐστιν ἡ σάρξ, ἤτοι τὸ πρῶτον, ὥσπερ ἡ κόρη τῆς ὄψεως, ἢ τὸ δι' οὗ συνειλημμένον, τουτέστιν ἢ τὸ δι' οὗ αἰσθάνεται, ἤτοι [ἢ] τὸ διαπορθμευτικὸν ὥσπερ ὁ ἀήρ. τὸ δὲ συνειλημμένον ἀντὶ τοῦ συμφυές· συμφυὴς 5
γάρ ἐστιν ἡμῖν ἡ σάρξ, ἀλλ' οὐ χωρὶς ὥσπερ ὁ ἀήρ. ἀλλὰ διὰ τί, ὥσπερ ἐπὶ τῆς ἁφῆς τὸ αἰσθητήριον, δι' οὗ τὸ πρῶτον αἰσθητήριον τὰ ἁπτὰ δέχεται,
30 σάρξ ἐστιν, οὐ καὶ τὸ τῆς ὄψεως καὶ τὸ τῆς ἀκοῆς σὰρξ ἦν, ἀλλὰ τῆς μὲν ἡ διαφάνεια τοῦ ἀέρος, τῆς δὲ ἀκοῆς ὁμοίως τὸ διηχὲς τοῦ αὐτοῦ ἀέρος; ἢ ἐπὶ μὲν τῶν δύο τούτων, φησίν, αἰσθήσεων ἀδύνατον ἦν σάρκινον γενέ- 10
σθαι τὸ αἰσθητήριον τὸ ἀναλογοῦν τῇ σαρκί, καὶ οὐδὲν ἂν ἦν προὔργου οὐδ' ὠφέλιμον. πολλῶν γὰρ οὖσα ἀντιληπτικὴ ἡ ἁφή, σκληρῶν μαλακῶν,
35 ψυχρῶν θερμῶν, τραχέων λείων καὶ ἄλλων πολλῶν, εὐλόγως καὶ τὸ αἰσθητήριον αὐτῆς συνέστησεν ἡ φύσις ἐκ πολλῶν· ἡ δὲ ὄψις ἑνὸς οὖσα γένους (χρώματος γάρ) καὶ ἡ ἀκοὴ ψόφων ἁπλοῦν καὶ τὸ ἀναλογοῦν τῇ σαρκὶ

---

2. 3 τούτων] τοῦτο Pa 3 οὐ ante πήξει delevi 8 καὶ om. P 10 καὶ om. S 12 ἁφῆς] ἀφ' ἧς P εἰ δὴ—αἰσθητήριον ἡ σάρξ (13) om. Sa 14 ἐστιν om. S 16 ἔστι a προείπωμεν a 18 αἰσθητήριον post ὄψεως ponit S 25 τὸ prius supr. v. P 26 αἰσθάνεσθαι S ἢ delev¹ 29 ἐπὶ om. S τὸ αἰσθητήριον δι' οὗ in marg. add. P πρῶτον supr. v. P 30 τὸ τῆς (ante ἀκοῆς) om. Pa 31. 32 τῆς δὲ πάλιν τοῦ αὐτοῦ ἀέρος τὸ διηχὲς· ἢ ἐπὶ S 36 γένους ex γένος corr. P²

αἰσθητήριον ἀπειργάσατο. σωματῶδες οὖν εἴρηκε τὴν σάρκα αἰσθη- 15
θήριον ἀντὶ τοῦ σύνθετον καὶ ἐκ πλειόνων συγκείμενον. ἀλλὰ κατὰ μὲν
τὸν λόγον οὕτω δῆλον ὅτι ἡ σὰρξ πρῶτόν ἐστι καὶ ἀρχή, κατὰ δὲ τὴν
αἴσθησιν οὕτως, ἐπειδὴ τἆλλα πάντα, οἷον νεῦρα [σάρκες] τρίχες, τὰ
5 λοιπὰ δι' αὐτήν εἰσιν, οὗ δὲ ἕνεκα τὰ λοιπά ἐστι, τοῦτο πρῶτον ἐκείνων
ἐστὶ τῇ φύσει. σαφῆ δὲ τὰ λοιπά.

p. 654a8 Τὸ δὲ ἡ δὲ χελώνη καὶ τὸ τῶν ἐμύδων γένος ὁμοίως 20
ἔχειν δοκεῖ τούτοις εἴρηται ἀντὶ τοῦ ὁμοίως τοῖς λεχθεῖσιν ἔχει τὸ μὲν
σαρκῶδες ἐντός, τὸ δὲ συνέχον καὶ φυλάττον ἐκτός. τὰ δ' ἔντομα καὶ τὰ
10 μαλάκια ἐναντίως ἔχει καὶ ἑαυτοῖς καὶ τοῖς ἔχουσιν ἐκτὸς τὴν βοήθειαν.
αὐτίκα ἡ μὲν σηπία ἔχει ἐν τῷ κύτει, ὃ καλεῖται κεφαλή, τὸ σηπίον, ὁ δὲ
πολύπους τοῦτο οὐκ ἔχει. ἡ δὲ αἰτία, ὅτι τὸ μὲν τῆς σηπίας εὔμηκες ὂν εἰ
μὴ εἶχε τὸ σηπίον, ἵν' ὀρθοῖ αὐτὸ καὶ ὄρθιον ἵστασθαι παρασκευάζῃ, ἐκινεῖτο 25
ἂν ὧδε κἀκεῖσε ὥσπερ αἱ κατεψυγμέναι χεῖρες, τὸ δὲ τοῦ πολύποδος διὰ
15 τὸ βραχύτατον εἶναι καὶ χωρίς τινος στερεωτέρου δύναται ἀνορθοῦσθαι.

p. 654a32 Ἔχει δ' ὁμοίως ἥ τε τῶν ὀστῶν καὶ τῶν φλεβῶν φύσις.

Ὥσπερ γὰρ αἱ φλέβες ἀπὸ μιᾶς εἰσιν ἀρχῆς τῆς καρδίας, οὕτως καὶ τὰ
ὀστᾶ ἐκ τῆς ῥάχεως. καὶ διὰ τοῦτο οὐδέν ἐστιν ὀστοῦν αὐτὸ καθ' αὑτὸ
ἀποκεκριμένον, ἀλλὰ πᾶν συνεχές ἐστι πρὸς ἄλλο ἢ ἁπτόμενον, κἀκεῖνο 30
20 πρὸς ἄλλο· ἅπαντα δὲ τελευτῶσιν εἰς τὴν ῥάχιν. εἴτε δὲ ὀστοῦν ἦν τι
καθ' αὑτὸ εἴτε φλέψ, μάτην ἂν ἦν ἑκάτερον τούτων. ἡ γὰρ φλὲψ εἰ μὴ
συνεχὴς ἦν τὴν ἀρχήν, οὐκ ἂν ἐσώζετο αἷμα ἐν αὐτῇ· ἀλλὰ πᾶσα φλὲψ
γέγονε διὰ τὸ σώζεσθαι ἐν αὐτῇ αἷμα. καὶ πῶς οὐκ ἂν ἐσώζετο ἐν αὐτῇ
αἷμα ἐπήγαγεν εἰπὼν ἡ γὰρ ἀπ' ἐκείνης θερμότης κωλύει πήγνυσθαι,
25 ἡ ἀπὸ τῆς καρδίας, ἥτις καρδία ἀρχὴ τῶν φλεβῶν ἐστιν· ἡ οὖν θερμότης 35
αὕτη κωλύει πήγνυσθαι τὸ ἐν ταῖς φλεψὶν ἐνὸν αἷμα. εἰ δὲ ἦν τις φλὲψ
χωρὶς καθ' ἑαυτήν, πῶς ἂν πρὸς αὐτὴν διεπέμπετο τὸ ἐκ τῆς καρδίας
θερμόν;

Τοῦτό τε εἰπὼν καὶ ὅτι πολυμερὴς τῇ διαιρέσει τῶν σπονδύλων ἐστὶν
30 ἡ ῥάχις, ἐπήγαγεν ἐκ δὲ ταύτης τοῖς ἔχουσι κῶλα συνεχῆ πρὸς
αὐτὴν τὰ τούτων ὀστᾶ τῶν ἁρμονιῶν ἐστιν. κῶλα δὲ κυρίως εἰσὶν
αἵ τε χεῖρες καὶ οἱ πόδες. τὸ δὲ λεγόμενον εἴη ἂν τοιοῦτον· τοῖς ζῴοις 40
ὅσοις συμβέβηκεν ἔχειν κῶλα, τούτων τῶν ζῴων τὰ ὀστᾶ ἐκ τῶν ἁρμονιῶν
τῆς ῥάχεώς ἐστι συνεχῆ πρὸς αὐτήν· αἱ γὰρ τῆς ῥάχεως ἁρμονίαι συνε-
35 χίζουσι πρὸς αὐτὴν τὰ κῶλα τῶν ζῴων. τῶν δὲ ὀστῶν, φησί, τὰ μέν

---

2 ante ἀντὶ add. ἢ a 4 σάρκες delevi 6 λοιπὰ] ἑξῆς S 7 ἐμύδων Arist. vulg.: αἰμύδων PS Arist. ESVY: ἀμμύδων a 11 σηπήιον S 12 εὔμηκες ex ἄμηκες corr. P² 12. 13 εἰ μὴ ἔχει τὸ σηπήιον ὀρθοῦν αὐτὸ S 13 σηπεῖον P παρασκευάζον S 15 στερεωτέρου τινὸς coll. S 17 γὰρ om. Pa 20 τε ἦν coll. S 21 εἰ γὰρ ἡ φλὲψ μὴ coll. S 23. 24 αἷμα ἐν αὐτῇ ἐπήγαγεν coll. S 25 ἡ prius om. P ἐστὶ τῶν φλεβῶν coll. S 26 ἐνὸν] ὂν S 27 καθ' ἑαυτὸν S 31 κῶλα δὲ κυρίως – ῥάχεώς ἐστι (34) iterat sed rursus del. P κυρίως ἐστίν a 34. 35 σχίζουσι P

εἰσι χάριν τῆς σαρκός, τὰ δ' ἕνεκα φυλακῆς, ὥσπερ αἱ συγκλείουσαι πλευραὶ τὸ στῆθος· χάριν γὰρ σωτηρίας αὗται τυγχάνουσι τῶν περὶ τὴν καρδίαν σπλάγχνων. ἀλλὰ τὸ μὲν στέρνον ἅπαν ὀστοῖς περικλείεταί τε καὶ συνέ- 45
χεται, τὸ δὲ μετὰ τὸ στῆθος ἄχρι τοῦ ἤτρου, ἐν ᾧ ἡ κοιλία καὶ τὰ ἔντερα
5 κεῖται κάτωθεν τοῦ ὑποζώματος, τὸ δὴ μετὰ τὸ στῆθος ἄχρι τοῦ ἤτρου ἀνόστεόν ἐστιν. εἰ γὰρ ἦν ὀστῶδες, ἐπειδὴ τρωγόντων τῶν ζῴων ὀγκοῦται ἡ κοιλία ὑπὸ τῶν βρωμάτων, καὶ τῶν θηλειῶν ὑπό τε τούτων καὶ τῶν ἐμ|βρύων, ἐπειδὰν ὠδίνωσιν, ἐκωλύετ' ἂν ἡ τῆς κοιλίας ἀνοίδησις καὶ ἐξ- 87
ὀγκωσις· ὥστε συνέβαινεν ἐκ τούτου μήτε τὰ ἔμβρυα αὔξεσθαι καὶ ὀδύνας
10 ἐγγίνεσθαι διὰ τὴν ἐκ τῶν βρωμάτων στενοχωρίαν.

p. 655ª20 Μετὰ ταῦτα λέγει ὅτι τοῖς ὄφεσιν ἀκανθώδης ἐστὶν ἡ τῶν ὀστῶν φύσις, πλὴν τοῖς λίαν μεγάλοις. πλὴν τῶν λίαν μεγάλων ὄφεων ὀστώδης ἡ τοιαύτη φύσις· πρὸς γὰρ τὴν ἰσχὺν ἰσχυροτέρων 5
δεῖται τῶν στερεωμάτων. τὰ δὲ καλούμενα σελάχη τὰς ἀκάνθας ἔχει
15 οἷον χόνδρους· χόνδρος δ' ἐστὶ σαρκὸς μὲν σκληρότερος, ὀστοῦ δὲ μαλακώτερος. ἔχουσι δὲ τὰς ἀκάνθας χονδρώδεις, ἐπειδὴ πλατέα ὄντα οἷον θυρεοί, ἀνάγκη τὴν κίνησιν αὐτῶν ὑγροτέραν εἶναι· ὑγροτέρα δὲ ἡ κίνησις λέγεται λυγιζομένων καὶ καμπτομένων, ὥσπερ λύγος ἢ κάλαμος, τῶν χόνδρων, δι' ὧν κινοῦνται. τὰ γὰρ σελάχη τὴν κίνησιν ποιεῖται διπλού- 10
20 μενα· ἀπερειδόμενα γὰρ τῇ περιφερείᾳ τοῦ σώματος αὐτῶν καὶ κυρτούμενα οὕτω κινεῖται· εἰ δὲ ἦσαν κραῦροι αἱ ἄκανθαι, οὐκ ἂν ἠδύναντο διπλοῦσθαι καὶ κάμπτεσθαι ἢ ὅλως κυρτοῦσθαι. ἄλλως τε καὶ τὸ γεῶδες πᾶν εἰς τὸ δέρμα καταναλώσασα ἡ φύσις (σκληρόδερμα γὰρ τὰ σελάχη) οὐκ ἠδυνήθη χορηγῆσαι καὶ ταῖς ἀκάνθαις ἐκ τοῦ γεώδους καὶ σκληροῦ. εἰσὶ δέ, φησί, 15
25 καὶ ἐν τοῖς ζωοτόκοις χονδρώδη τινὰ τὴν φύσιν, οἷον ῥῖνες καὶ ὦτα, εὐλόγως δέ· εἰ γὰρ μὴ τοιαῦτα ἦσαν ἀλλὰ κραῦρα, ἐπειδὴ ὑπεραναστηκότα εἰσὶ καὶ δυνάμενα μᾶλλον τῶν ἄλλων μορίων προσπταίειν, ἐθραύοντο ἄν.

p. 655ª34 Οἱ μὲν οὖν τοῖς πεζοῖς ἀμύελοι χόνδροι κεχωρισμένῳ μυελῷ.

30 Τὸ ἑξῆς οὕτως 'οἱ μὲν οὖν τοῖς πεζοῖς χόνδροι ἀμύελοι κεχωρισμένῳ μυελῷ'. τὸ δὲ λεγόμενον κατασκευαστικόν ἐστι τοῦ διὰ τί οἱ τῶν πεζῶν 20
ζῴων χόνδροι σκληρότεροί εἰσι τῶν ἐν τοῖς σελάχεσι χόνδρων. λέγει οὖν ὅτι ἐν τοῖς πεζοῖς ζῴοις χόνδροι κεχωρισμένους ἔχουσι τοὺς ἐν αὐτοῖς μυελοὺς καὶ καθ' αὑτούς, ὥσπερ καὶ τὰ ὀστᾶ, καὶ διὰ τοῦτό εἰσι σκληροί,
35 ἐν δὲ τοῖς σελάχεσιν ὁ μυελὸς ἀνακεκραμένος ὢν μετὰ τῶν χόνδρων καὶ οἷον ἀνεζυμωμένος μαλακωτέραν ἀπεργάζεται τὴν φύσιν αὐτῶν, ὥσπερ

---

3 τε om. S 4 τὰ δὲ P τοῦ στήθους S ἐν ᾧ ἡ κοιλία—τοῦ ἤτρου (5) iterat P 5 τὸ δὴ μετὰ—ἤτρου om. S 7 τῶν post ὑπὸ om. a 12 πλὴν τῶν] τῶν γὰρ S 15 οἷον χόνδρος P 18 λιγιζομένων P λίγος P 19 κινεῖται a 20 τὴν περιφέρειαν S 24 καὶ τοῦ σκληροῦ S 26 δὲ] fort. δὴ ἐστὶ a 28 οὖν ἐν τοῖς Arist. κεχωρισμένοι PS 30. 31 οἱ μὲν οὖν—μυελῷ om. S

ἔλαιον πίσσῃ μιχθέν· καὶ γὰρ καὶ τοῦτο μαλακωτέραν τὴν πίσσαν ἀποτελεῖ μιχθὲν μετ' αὐτῆς. εἰπὼν δὲ ἀμυέλους τοὺς ἐν τοῖς πεζοῖς χόνδρους, καίτοι ἔχοντας μυελόν, σαφηνίζων ὅπως εἶπεν αὐτοὺς ἀμυέλους, ἐπήγαγε τὸ κεχωρισμένῳ μυελῷ, ὡς ἂν εἰ ἔλεγε 'μὴ γὰρ πάμπαν ἀμύελοι τυγχάνουσιν· ἔνεστι γὰρ αὐτοῖς μυελός· ἀλλ' ἐπειδὴ κεχωρισμένος ἐστὶ καὶ καθ' ἑαυτόν, ὥσπερ καὶ ὁ οἶνος ἐν τῷ ἀμφορεῖ, καὶ οὐκ ἀναμεμιγμένος οὐδ' ἀνακεκραμένος μετ' αὐτῶν, τρόπον τινὰ ἀμύελόν ἐστιν'. ἰστέον οὖν ὅτι τὸ χωριζόμενον καὶ καθ' αὑτὸ εἶναι δυνάμενον ὥσπερ ὁ μυελὸς μαλακὴν εἰς ἅπαν ποιεῖ τοῦ χόνδρου τὴν σύστασιν καὶ ζυμώδη μιχθεὶς μετ' αὐτοῦ.

p. 655b28 Ταῦτα εἰπὼν οἷον πάλιν ἀπ' ἄλλης ἀρχῆς ἀρξάμενος λέγει ὅτι πᾶσι τοῖς τελείοις ζῴοις δύο τὰ ἀναγκαιότατα ὑπάρχει μόρια, ἓν μὲν ἐν ᾧ δέχεται τὴν τροφήν, τοῦτο δ' ἐστὶ τὸ καλούμενον στόμα, ἄλλο δὲ δι' οὗ ἀφιᾶσι τὸ περίττωμα. τοῦτο δὲ τὸ μόριον τὸ ἀφ' οὗ τὸ περίττωμα ἐξέρχεται τὰ φυτὰ οὐκ ἔχει καίπερ ζωὴν ἔχοντα, ἀλλ' ἀντὶ τοῦ περιττώματος προεῖται τὰ σπέρματα καὶ τοὺς καρπούς. πρὸς δὲ τοῖς εἰρημένοις μορίοις ὑπάρχει καὶ τρίτον τι, ἐν ᾧ ἐστιν ἡ ἀρχὴ τῆς ζωῆς· τοῦτο δ' ἐστὶν ἡ καρδία. ἀλλ' ἐπειδὴ ἔχει καὶ τὰ φυτὰ ἀνομοιομερῆ μέρη, οὐκ ἔστι δὲ τῶν τοιούτων ἀνομοιομερῶν μερῶν ἡ φύσις πολυειδής (ὀλίγων γὰρ πράξεων ὄντα πρακτικὰ ὀλίγων καὶ τῶν ὀργάνων χρῄζει), θεωρητέον περὶ τούτων ἰδίᾳ· περὶ δὲ τῶν ἀνομοιομερῶν μερῶν τῶν ζῴων, ἐπειδὴ τὰ ζῷα πολυμορφοτέραν ἔχει τὴν ἰδέαν, καὶ τούτων ἄλλα ἄλλων πρότερα ἔχει [δὲ] ταύτην τὴν ἰδέαν, καὶ πολυχουστέραν ἤτοι πολυειδεστέραν, θεωρητέον περὶ τούτων, καὶ ἀρκτέον ἀπὸ τῆς κεφαλῆς. τὸ μὲν οὖν ἔχειν τὴν κεφαλὴν ἄσαρκον δῆλον ἐκ τῶν περὶ τὸν ἐγκέφαλον εἰρημένων, ἀλλὰ καὶ νῦν ῥηθήσεται. οὐχ ὥσπερ φασί τινες, ἐστὶν ἄσαρκος· ῥητέον γὰρ οἷά ἐστι τὰ ὑπ' ἐκείνων λεγόμενα. λέγουσι δὴ ὡς, εἰ σαρκώδης ἦν, μακροβιώτερον ἂν ἦν τὸ γένος, ὅμως οὐ πεποίηκεν αὐτὴν σαρκώδη (οὐ γὰρ μέλει τῇ φύσει τῆς μακροβιότητος) πεποίηκε δὲ αὐτὴν ἄσαρκον χάριν εὐαισθησίας· τοῦτο γὰρ | ἀναγκαιότατόν ἐστι τοῖς ζῴοις, εἴπερ αὐτοῖς ἐν τῷ αἰσθάνεσθαι τὸ εἶναί 88 ἐστιν. οὐδέτερον δὲ τῶν λεχθέντων ἀληθές· καὶ γὰρ ὅτι τῷ ἐγκεφάλῳ αἰσθάνεται τὰ ζῷα ψεῦδος (δέδεικται γὰρ ὅτι οὐδεμιᾶς αἰσθήσεως αἴτιος), ἀλλὰ καὶ τὸ λέγειν ὅτι τὰ λίαν σαρκώδη μέρη αἴσθησιν οὐ προσίεται οὐκ ἀληθές· εἰ γὰρ ἡ σὰρξ καὶ αἰσθητήριον, τὰ ἔτι σαρκωδέστερα μᾶλλον αἰσθήσεται. οὐ δὴ οὖν δι' ἃς αὐτοί φασιν αἰτίας ἄσαρκός ἐστιν ἡ κεφαλή, ἀλλ' εἴπερ ἦν πολύσαρκος ὁ τόπος ὁ περὶ τὸν ἐγκέφαλον, ἀλεαίνων, τουτέστι θερμαινόμενος ὁ ἐγκέφαλος ὑπὸ τῆς πολυσαρκίας οὐκ ἂν ἠδύνατο καταψύχειν τὴν καρδίαν. ἐπεὶ δέ τις ἔμελλε λέγειν 'καὶ πῶς ἔνιαι τῶν

---

2 τοὺς] τῶν PS 6. 7 καὶ οὐδ' ἀνακεκραμένος καὶ οὐκ ἀναμεμιγμένος a
7 μετ' αὐτῶν om. S 8 καὶ om. Pa 13 ἀφίησι a 15 προεῖται] sic libri et Arist. ESU: προΐεται recte Arist. vulg. 16 καὶ τὸ τρίτον a 17 καὶ om. a
19 ante περὶ add. καὶ S 21 δὲ delevi 24. 25 νῦν θεωρηθήσεται S
25 ante οὐχ add. καὶ a post τὰ add. καὶ a 27 post ὅμως desideratur δ' ἡ φύσις 30 δὲ] γὰρ S 31 ψευδὲς S ὅτι om. S 37 ἤμελλε S

αἰσθήσεων ἤτοι τῶν αἰσθητηρίων ἐν τῇ κεφαλῇ εἰσι, τοῦ ἐγκεφάλου, ὡς φῄς, οὐδεμιᾶς αἰσθήσεως ὄντος αἰτίου;' λέγει ὅτι τὴν αἰτίαν, δι' ἣν ἔνιαι τούτων ἐν τῇ κεφαλῇ εἰσι, μὴ δυνηθέντες εὑρεῖν οὕτως ἀπεφήναντο. ἔλεγον γὰρ 'τίνος ἕνεκα ἐν τῇ κεφαλῇ τυγχάνουσιν ὄντες ὀφθαλμοί, ῥῖνες, ὦτα; ἆρά γε διὰ τὸ εἶναι ἐν αὐτῇ σάρκας, νεῦρα, φλέβας; καὶ μὴν ἔνεισι ταῦτα καὶ ἐν τῷ λοιπῷ σώματι· διὰ τί οὖν οὐκ ἐν ἄλλῳ μέρει, ἀλλ' ἐν τῇ κεφαλῇ πεποίηκεν αὐτὰ ἡ φύσις; δῆλον οὖν ὅτι οὐ διὰ ταῦτα ἐν τῇ κεφαλῇ τυγχάνουσιν ὄντα, ἀλλ' ἐπειδὴ ὁ ἐγκέφαλος φανερῶς ἕτερός ἐστι τὴν φύσιν τῶν ἄλλων μερῶν. ἔστι δὴ ἐν τῇ κεφαλῇ δι' αὐτὸν καὶ τὰ αἰσθητήρια καὶ αἱ διὰ τούτων αἰσθήσεις ἐν αὐτῇ εἰσιν· εἰκὸς γὰρ διὰ τὸ διαφέρον τῶν ἄλλων ἁπάντων μορίων ἐν αὐτῇ ταύτας εἶναι ἤπερ διὰ τὰ μὴ διαφέροντα.' καὶ ἡ μὲν αἰτία καὶ ὁ συλλογισμός, δι' οὗ συνδυάζουσι τὰς αἰσθήσεις τῷ ἐγκεφάλῳ, αὕτη· τὰ δὲ κατὰ τὴν λέξιν τὴν τοῦτο δ' ὁρῶν-τες ἰδιώτερον ὂν τῶν ἄλλων μορίων ἐκ συλλογισμοῦ πρὸς ἄλληλα συνδυάζουσι, τὰ δὴ κατὰ τὴν λέξιν τοιαῦτα· αὐτίκα τὸ τοῦτο δὲ (τοῦτο λέγων τὸν ἐγκέφαλον) τὸν ἐγκέφαλον δὴ ὁρῶντες ἰδιώτερον καὶ ἕτερον ὄντα τῶν ἄλλων μορίων καὶ ἐν τῇ κεφαλῇ κείμενον συνάπτουσιν αὐτῷ τὰς αἰσθήσεις· διάφορος γὰρ ὢν πρὸς τὰ ἄλλα μέρη διὰ τοῦτο ἂν εἴη ἐν αὐτῇ, καὶ οὐ διὰ τὰ νεῦρα ἢ τὰς σάρκας.

Ὅτι μὲν οὖν οὐκ ἔστιν ὁ ἐγκέφαλος ἀρχὴ τῶν αἰσθήσεων, ἀλλ' ἡ καρδία, διώρισται ἐν τοῖς Περὶ αἰσθήσεως καὶ αἰσθητῶν· ἀλλὰ καὶ νῦν ὧδε ἔσται δῆλον ὅτι ἡ καρδία ἐστὶν ἀρχή, καὶ οὐχ οὗτος. καὶ τέως ὅτι ἡ καρδία ἐστὶν ἀρχὴ τῶν ἁπτῶν καὶ χυμῶν, δῆλον· ἐπεὶ γὰρ ἀμφοτέρων αἰσθητήριόν ἐστιν ἡ σάρξ, ἡ δὲ σὰρξ ἐξ αἵματος, τὸ δὲ αἷμα ἐκ τῆς καρδίας, δῆλον ὡς ἐκεῖθέν ἐστι τῶν δύο τούτων ἡ ἀρχή. τῶν δὲ λοιπῶν τριῶν πρῶτον μὲν φανερὸν ὅτι ἡ ὄσφρησις μέση ἐστὶ καὶ μεταξὺ τῶν ὀμμάτων κεῖται, κἂν οἱ μυκτῆρες κατωτέρω τούτων τὴν θέσιν ἔχωσιν· ἡ δὲ ἀκοὴ καὶ ἡ ὄψις μάλιστά εἰσιν ἐν τῇ κεφαλῇ, ἐπειδὴ καὶ τὰ αἰσθητήρια τούτων, τά τε ὦτα καὶ οἱ ὀφθαλμοὶ ἐν αὐτῇ κεῖνται· ἀλλ' οὐχ ὅτι ταῦτα ἐν ταύτῃ, ἀρχὴ τούτων ὁ ἐγκέφαλος ἐκ τούτου τε ἔχουσι τὴν τοῦ ὁρᾶν καὶ ἀκούειν δύναμιν. καὶ τοῦτο δῆλον ἐπὶ τῶν ἰχθύων· ἀκούουσί τε γὰρ καὶ ὀσφραίνονται, αἰσθητήριον δὲ τούτων οὐδὲν ἔχουσι φανερὸν ἐν τῇ κεφαλῇ, ὡς ἐκ τῶν ἀνατομῶν ἔγνωμεν. εἰ δ' ἦν ὁ ἐγκέφαλος τούτων ἀρχή, ἦν ἂν ἐν αὐτῇ καὶ αἰσθητήρια. ἀλλ' ὅτι μὲν ὁ ἐγκέφαλος οὐκ ἔστι τούτων τῶν αἰσθήσεων ἀρχή, δέδεικται· δι' ἣν δ' αἰτίαν ἐν τῇ κεφαλῇ τυγχάνουσι τὰ τούτων αἰσθητήρια καίπερ οὐκ ὄντος τοῦ ἐγκεφάλου ἀρχῆς,

---

2 μηδεμιᾶς a 8 ἐπεὶ a 9 δὴ scripsi: δὲ libri 10 διαφέρειν P 11 μορίων ἁπάντων coll. S ἤπερ μὴ διὰ τὰ coll. P 12 ὁ om. Sa συνδιάζουσι P 15 τὸ om. P 16 δὴ scripsi: δὲ libri 19 ἐν αὐτῷ S 21 ἐν τοῖς Περὶ αἰσθήσεως καὶ αἰσθητῶν] cf. c. 2 22 καὶ οὐχ—ἀρχὴ (23) in marg. add. P 23 ἐπεὶ—δῆλον (25) om. S 24 ἡ σὰρξ ἐστι coll. a 29 οἱ om. a 32 φανερὸν om. P 34 ἐν αὐτῷ Pa αἰσθητήριον Sa

δῆλον ἐντεῦθεν· ἐπεὶ γάρ ἐστι τὸ τῆς ὄψεως αἰσθητήριον τὸ κρυσταλλο- 40
ειδές, τοῦτο δ' ἐστὶν ὑγρὸν καὶ ψυχρόν, ἔστι δὲ καὶ ὁ ἐγκέφαλος ὑγρὸς
καὶ ψυχρός, ἔθηκεν ἡ φύσις τοὺς ὀφθαλμοὺς ἐν τῇ κεφαλῇ, ἵν' αὐτοῖς
χορηγῆται τὸ κρυσταλλοειδὲς ἐκ τοῦ ἐγκεφάλου. καὶ τὰ μὲν φλεβία, δι'
5 ὧν αὐτοῖς δίδοται τὸ κρυσταλλοειδές, ἄρχονται μὲν ἀπὸ τῆς κόρης, ῥιζοῦνται
δὲ πρὸς τὸν ἐγκέφαλον· ἐκ δὲ τῆς καρδίας ἄγουσιν ἕτερα φλεβία καὶ συμ-
φύονται τοῖς περὶ τὸν ἐγκέφαλον φλεβίοις, ἀφ' ὧν φλεβίων τῶν ἀπὸ τῆς 45
καρδίας ἀνερχομένων ἀναδίδοται ἡ ὀπτικὴ δύναμις εἰς τὰ ὑπὸ τῆς κόρης
πρὸς τὴν κεφαλὴν τείνοντα φλεβία, καὶ διὰ τούτων εἰς τὴν τῶν ὀφθαλμῶν
10 κόρην. ἐπεὶ δὲ ἔδει τοὺς χιτῶνας τῶν ὀφθαλμῶν λεπτοτάτους εἶναι, ἵνα
ταχέως τὰς αὐγὰς δέχωνται (παχύ|τατοι γὰρ ὄντες ἐνεποδίζοντο ἂν πρὸς 89
τοῦτο ὑπὸ τοῦ πάχους) ἐπεὶ οὖν οὕτως ἔδει τούτους εἶναι, πεποίηκεν ἡ
φύσις ἐξ ὑγροῦ τὸ αἰσθητήριον, καὶ οὐκ ἀπὸ ἀέρος· ἐξ ἀέρος γὰρ ὂν διὰ
τὴν λεπτότητα διέπνει ἂν καὶ ἐξήρχετο· δυσκράτητος γὰρ καὶ δυσφύλακτος
15 ὁ ἀήρ, τὸ δ' ὕδωρ εὐφύλακτον. ἔτι ἐπεὶ αἱ ἀκριβέστεραι τῶν αἰσθήσεων 5
ἀκριβέστεραι γίνονται διὰ τῶν καθαρώτερον ἐχόντων τὸ αἷμα μορίων, καθα-
ρώτερον δὲ τὸ ἐνυπάρχον τοῖς ἐν τῇ κεφαλῇ οὖσι φλεβίοις, καὶ διὰ τοῦτο
ἂν εἶεν ἐν τῇ κεφαλῇ ταυτὶ τὰ αἰσθητήρια. σαφῆ δὲ τὰ ἑξῆς.

Τὰ δὲ ὦτα κεῖνται ἐν τῇ κεφαλῇ, ὅτι τῆς ἀκοῆς αἰσθητήριον ὁ ἀήρ
20 ἐστιν, ὡς ἐν τοῖς Περὶ αἰσθήσεως δέδεικται· εἰ δ' ἦσαν τὰ ὦτα ἐν ἄλλῳ
τόπῳ, οὐκ ἂν ῥᾳδίως ἐδέχοντο τὸν ἀέρα. ταῦτα μὲν οὕτως. τῶν δὲ 10
ἐναίμων ζῴων οὐδέν ἐστιν ἄναιμον μόριον αἰσθητικόν, οὔτε μὴν τὸ αἷμα,
ἀλλ' ὄχημα μὲν τὸ αἷμα τῆς αἰσθητικῆς δυνάμεως, ὡς καὶ πρότερον εἴπο-
μεν, ἐστίν, αἰσθητικὸν δὲ οὐκ ἔστιν, ἀλλὰ τὸ ἐξ αἱμάτων, ἤτοι ἡ σάρξ.
25 ἀλλὰ πῶς, εἴπερ ἡ σὰρξ ἐξ αἵματος, τὸ δ' αἷμα ἀναίσθητον, τὸ ἐξ ἀναι-
σθήτου ὂν ἔσται αἰσθητικόν; ἢ ἐπειδὴ τὸ αἰσθησόμενον μόριον λαβὸν τὸ
αἷμα καὶ συμπέψαν καὶ ὅμοιον ἑαυτῷ ποιῆσαν οὕτω τρέφεται, δῆλον ὅτι 15
καὶ τὴν αἰσθητικὴν δύναμιν, ἥτις ἐν τῷ αἵματι ἐποχεῖται, συναναχεραννύει
καὶ ἀναζυμοῖ ἑαυτῷ· εἰ δὲ τοῦτο, δῆλον ὅτι ἡ σὰρξ οἷον κρᾶμά ἐστιν
30 αἰσθήσεως καὶ αἵματος, καὶ εἰ τοῦτο, εὐλόγως, μᾶλλον δ' ἀνάγκη αὐτὴν
μὲν εἶναι αἰσθητικήν, τὸ δ' αἷμα ἀναίσθητον.

Μετὰ ταῦτα λέγει, τίνος ἕνεκεν ὁ ἐγκέφαλος ἔμπροσθέν ἐστι, καί φησιν
ὅτι ἐπεὶ διὰ τὸ τὴν καρδίαν περιψύχειν γέγονεν, αὕτη δ' ἔμπροσθέν ἐστιν, 20
ἀνάγκη καὶ τοῦτον ἔμπροσθεν εἶναι. δι' ἣν δ' αἰτίαν ἡ καρδία ἔμπροσθεν
35 κεῖται, ἐρεῖ ἐν τῷ ἐφεξῆς βιβλίῳ, ὅτε περὶ σπλάγχνων λέγει. ἔτι ἐπεὶ τὸ

---

1 ἐπειδὴ S 1. 2 κρυσταλοειδὲς ubique S 2 ἐστί τ' ὑγρὸν S καὶ post δὲ om. Sa 5 post κρυσταλλοειδές add. εἰσὶν PS ἄρχοντα S 12 exspectas οὖν αὐτοὺς ἔδει τοιούτους εἶναι 13 αἰσθητὸν S 14 διεξήρχετο Pa 15 ἀκριβέστεροι S 18 τὰ αἰσθητήρια ταυτὶ coll. S ἐφεξῆς P 19 Τὰ δὲ ὦτα] περὶ ὤτων in marg. S δὲ om. P κεῖνται post κεφαλῇ ponit S αἰσθητήρια Sa 20 ἐν τοῖς Περὶ αἰσθήσεως] c. 2 p. 438ᵇ20 21 ῥάδιον Sa 22 ἄναιμον post αἰσθητικόν ponit S 24 τὸ δ' ἐξ P 26 λαβὼν a 30 εἰ om. a 31 μὲν om. P αἰσθητικὸν Pa 33 ἐπειδὴ S 35 ἐν τῷ ἐφεξῆς βιβλίῳ] Γ 3 p. 665ᵃ10 sqq. 4 p. 665ᵇ18 sqq.

αἰσθάνεσθαι διὰ τῶν ἐναίμων γίνεται μορίων, τὰ δ' ἔναιμα μόρια, δι' ὧν ἡ αἴσθησις πρὸς τὰ αἰσθητήρια ἄνεισιν, ἔμπροσθέν εἰσιν (ἐκ τῆς καρδίας γὰρ ταῦτα), τῶν δὲ τοιούτων αἰσθητηρίων αἱ φλέβες, ὡς εἴρηται, πρὸς τὸν ἐγκέφαλόν εἰσι καὶ διὰ τοῦτο ἂν εἴη ὁ ἐγκέφαλος ἔμπροσθεν.

p. 656 b 26 Μετὰ ταῦτα λέγει, διὰ τί οὕτω τέτακται τὰ αἰσθητήρια. σαφῶς δὲ καταλέγει τὰ περὶ ὀφθαλμῶν καὶ ὤτων. περὶ δὲ τῶν ῥινῶν δι' ἣν αἰτίαν οὕτω κεῖνται μέλλων εἰπεῖν, πρῶτον λέγει ὅτι ἕκαστον τῶν αἰσθητηρίων διπλοῦν ἐστιν, εἰ καὶ ἐπὶ τῆς ἁφῆς ἄδηλον ὂν τοῦτο διὰ τὸ μὴ εἶναι πρῶτον αἰσθητήριον τὴν σάρκα. ἀλλ' οὖν ἐπὶ τῆς γεύσεως μᾶλλόν ἐστι δῆλον· φαίνεται γὰρ ἡ γλῶττα κεχαραγμένη καὶ οἷον ἐσχισμένη. εἰπὼν οὖν ὅτι ἕκαστον τῶν αἰσθητηρίων διπλοῦν ἐστι, λέγει ὅτι εἰ μὴ ἔκειτο ἡ ῥὶς ὥσπερ κεῖται, ἀλλ' ἦν διεσπασμένη ὥσπερ τὰ ὦτα, ἐπειδὴ οἱ πόροι αὐτῆς κατὰ στάθμην καὶ ἐπ' εὐθείας πρὸς τὴν τραχεῖαν ἀρτηρίαν εἰσβάλλουσιν, οὐκ ἂν ἐποίει τὸ αὐτῆς ἔργον· οὐ γὰρ ἠδύνατο τὸ πνεῦμα πρὸς τὴν τραχεῖαν ἀρτηρίαν εἰσέρχεσθαι τῶν μυκτήρων, τοῦ μὲν ἐν τῇ κεφαλῇ φέρε εἰπεῖν κειμένου, τοῦ δὲ ἐν ἄλλῳ μέρει τοῦ σώματος. λέγει καὶ διὰ τί ποτε οὕτω καὶ τὰ ἄλλα ζῷα ἔχει τὰ ὦτα· διότι, φησί, τὰ τετράποδα κυπτάζει καὶ οὕτω κινεῖται, ἀλλ' οὐκ ὄρθιά ἐστιν· εἰ γὰρ οὕτω κινούμενα [εἰ] μὴ μετέωρα εἶχον τὰ ὦτα καὶ κινούμενα, ἀλλὰ κάτω που καὶ ἀκίνητα, οὐκ ἂν ἐδέχετο πάντοθεν τοὺς ψόφους. οἱ δὲ ὄρνιθες σκληρόδερμοι ὄντες καὶ πτερωτοί, πρῶτον μὲν διὰ τὴν τοῦ δέρματος σκληρότητα ὦτα ποιῆσαι ἐν αὐτοῖς ἡ φύσις οὐκ ἠδυνήθη, ἔπειτα πάσης τῆς ὕλης εἰς τὴν τῶν πτερῶν φύσιν καταναλωθείσης οὐκ εὐπόρησε καὶ ἄλλης εἰς ὤτων γένεσιν. διὰ ταύτας δὲ τὰς αἰτίας οὐδὲ τὰ τετράποδα καὶ ᾠοτόκα ἔχει ὦτα. ἡ δὲ φώκη τετράπους μέν ἐστιν, ἀλλὰ διὰ τὸ λίαν ἔχειν βραχυτάτους καὶ δακτυλιαίους τοὺς πόδας, καὶ οἷον πεπηρωμένη διὰ τοῦτο οὖσα, οὐκ ἔχει ὦτα.

p. 657 a 25 Μετὰ ταῦτα λέγει διὰ τί οἱ ὀφθαλμοὶ ἔχουσι φυλακὴν τὰ καλούμενα βλέφαρα, ὑφ' ὧν καὶ σκαρδαμύττουσι. σκαρδαμύττειν δὲ λέγεται τὸ συνεχῶς καὶ πυκνῶς μύειν. καὶ τὰ μὲν ἄλλα σκαρδαμύττει ταῖς βλεφαρίσιν, οἱ δὲ ὄρνιθες δι' ὑμένος ἐξερχομένου ἀπὸ τῶν κανθῶν τῶν πρὸς τοῖς μυκτῆρσι. σαφῶς δὲ λέγει, διὰ τί τὰ βλέφαρα ἔχει ὅσα βλέφαρα ἔχει. λέγει δὲ καὶ ὅτι σκαρδαμύττουσιν ὅσα σκαρδαμύττει οὐκ ἐκ προαιρέσεως, ἀλλ' ἀπροαιρέτως καὶ μηδὲ | συναισθανόμενα ὅτι τοῦτο πάσχει. μᾶλλον δὲ τῶν ἄλλων σκαρδαμύττει ὁ ἄνθρωπος, ὅτι λεπτόδερμός ἐστιν, εὐκινητότερον δὲ τὸ λεπτόν. τὸ δὲ ἡ δὲ βλεφαρίς ἐστι δέρματι περιειλημμένη ἴσον ἐστὶ τῷ ἡ δὲ βλεφαρὶς δέρμα ἐστί, διὰ δὲ τὸ εἶναι δέρμα τμηθεῖσα οὐ συμφύεται· τοῦτο γὰρ φύσις δέρματος. οὔτε δὲ αὕτη συμφύεται οὔτε ἡ ἀκροποσθία· ἔστι δὲ ἡ ἀκροποσθία τὸ

---

2 ἐστὶν a 6 καταλέγει] κατὰ λέξιν P 16 κειμένου φέρε εἰπεῖν coll. S 17 τὰ post φησί om. S 19 εἰ delevi 25 τετράπουν μὲν Sa 33 ὅσα ἔχει βλέφαρα coll. S καὶ om. Sa 35 τοῦτο πάσχει] σκαρδαμύττει S 36 δὲ post ἡ om. P 37 τῷ δὲ ἡ coll. P 38 γὰρ] δὲ Pa

περιέχον δέρμα τὴν βάλανον τοῦ αἰδοίου, ὃ καὶ τέμνουσιν Ἰουδαῖοι καὶ Αἰγύπτιοι, καὶ λέγουσι τὴν τοιαύτην τομὴν περιτομήν. λέγει δὲ καὶ διὰ τί οἱ ὄρνιθες τῷ κάτω, ἀλλ' οὐ τῷ ἄνω βλεφάρῳ σκαρδαμύττουσι καὶ ὅλως μύουσι, καί φησιν ὅτι διὰ τὴν τοῦ δέρματος τοῦ περὶ τὴν κεφαλὴν σκληρότητα· σκληρὸν γὰρ ὂν δυσκίνητόν ἐστι. καὶ διὰ τί σκληρὸν λέγει, ὅτι οἱ βαρεῖς τῶν ὀρνίθων πτητικοὶ μὴ ὄντες, ἀλλὰ δυσκίνητοι διὰ τὴν τῶν πτερῶν ὀλιγότητα, ὥπλισεν αὐτοὺς ἡ φύσις σκληρῷ δέρματι, ἵνα τυπτόμενοι ὑπὸ τῶν θηρευόντων ἀντέχωσι διὰ τὴν σκληρότητα, καὶ μὴ ταχέως ἀποθνήσκωσιν. ὥπερ οὖν ἔμελλε χρήσασθαι ἡ φύσις πρὸς αὔξησιν τῶν πτερῶν, ἐχρήσατο πρὸς τὴν τοῦ δέρματος σκληρότητα. λέγει δὲ καὶ περὶ τῶν τετραπόδων τῶν ᾠοτοκούντων ὅτι φολιδωτά ἐστιν· καὶ ἔστιν ἡ φολὶς σκληροτέρα τῶν τριχῶν, ὥστε καὶ τὸ δέρμα τὸ τὰς φολίδας ἔχον σκληρότερον τοῦ δέρματος τοῦ τὰς τρίχας ἔχοντός ἐστιν. λέγει δὲ καὶ διὰ τί σκαρδαμύττουσιν οἱ ὄρνιθες τῷ ὑμένι τῷ ὄντι ἐν τοῖς πρὸς τοὺς μυκτῆρας κανθοῖς, καὶ οὐ διὰ τοῦ ὄντος πρὸς τοὺς ἐν τοῖς κροτάφοις κανθούς· καί φησιν ὅτι βέλτιον ἀπὸ μιᾶς ἀρχῆς εἶναι τὴν φύσιν αὐτῶν, δύνανται δὲ ἀπὸ τῶν πρὸς τοὺς μυκτῆρας κανθῶν διὰ τὸ σύνεγγυς εἶναι ἀλλήλων ἀπὸ μιᾶς εἶναι ἀρχῆς, ἐκ δὲ τῶν ὄντων πρὸς τοῖς ὠσὶν οὐ δύνανται, ἀπῳκισμένοις οὖσιν ἀπ' ἀλλήλων, ἄλλως τε τῶν ὤτων πρὸς τὰ πλάγια κειμένων, τῶν δὲ μυκτήρων ἔμπροσθεν. βέλτιον δὲ τὸ ἔμπροσθεν διὰ τὸ καὶ τὴν καρδίαν τὴν ἀρχὴν τῶν ζῴων ἔμπροσθεν κεῖσθαι, καὶ διὰ ταύτην τὴν αἰτίαν βέλτιον ἐκ τῶν ἔμπροσθεν, ὃ ταὐτόν ἐστι τῷ ἐκ τῆς ἀρχῆς πάσης κινήσεως καὶ ζωῆς, σκαρδαμύττειν ἢ ἐκ τῶν πλαγίων. σαφῆ δὲ τὰ ἑξῆς.

p. 657ᵇ34 Τὸ δὲ οἷον βλέποντα διὰ τοῦ βλεφάρου προσπεφυκότος σαφὲς ἔσται, εἰ οὕτω πως εἴποιμεν· νενοήσθω ὅτι συμπεφυκότα καὶ συνεχῆ γεγονότα τὸ ἄνω καὶ κάτω βλέφαρον δύναται ὁρᾶν οὕτω τὸ ζῷον· τοιοῦτόν τί εἰσι τὰ σκληρόφθαλμα, οἱονεὶ βλέποντα συμπεφυκότων τῶν βλεφάρων. ὥσπερ οὖν εἰ ἑώρων ἐγώ τε καὶ σὺ καὶ πάντες συμπεφυκότων τῶν βλεφάρων, οὐδ' ἂν ἦν ἡμῖν ἄλλων χρεία βλεφάρων πρὸς φυλακὴν τῶν ὀφθαλμῶν διὰ τὸ ἅμα τὰ προσπεφυκότα βλέφαρα καὶ φυλάττειν αὐτοὺς καὶ μὴ κωλύειν πρὸς τὸ ὁρᾶν, οὕτως οὐδὲ τοῖς σκληροφθάλμοις ἐστὶ χρεία βλεφάρων. ἀλλ' ἐπεὶ διὰ τὴν τῶν ὀφθαλμῶν σκληρότητα ἀναγκαῖον ἦν ἀμβλύτερον βλέπειν, ὥσπερ τὰ ὦτα τῶν τετραπόδων κινούμενα γέγονεν, ἵνα διὰ τὴν κίνησιν πάντοθεν δέχηται τοὺς ψόφους, οὕτω καὶ τοὺς ὀφθαλμοὺς τούτων κινεῖσθαι παρασκευάζει, ἵνα πάντοθεν δέχωνται τὰς αὐγάς.

Εἶτα λέγει διὰ τί βλέφαρα τοῖς ἰχθύσιν οὐ δέδωκεν ἡ φύσις, καί φησιν ὅτι ἐπειδὴ ἐν τῷ ὕδατι ζῶσιν, ἐμποδιστικὸν δὲ τὸ ὕδωρ πρὸς τὸ

---

1 τὴν scripsi: τὸν libri post τέμνουσιν add. οἱ a 6 μὴ] μὲν S
δυσκίνητοι post ὀλιγότητα (7) ponit S 14 πρὸς τοῖς a 15 κανθούς] κανθοῖς a
fort. ἐν τοῖς πρὸς τοὺς κροτάφους κανθοῖς 22 ἀπάσης S 23 ἐφεξῆς P
24 τῶν βλεφάρων S 25 εἴποιμι Pa νενοήσθω] νενοείσθω P: καὶ νοήσθω a
27 βλέπον P 28 καὶ post σὺ om. S 32 ἐπειδὴ S 34 δέχοιτο S
35 παρασκευάζει] desideratur ἡ φύσις τὰς] πρὸς P 36 post λέγει add. καὶ Sa
οὐ supr. v. P οὐκ ἔδωκεν S 37 ὅτι om. S δὲ] γὰρ S

ὁρᾶν διὰ τὸ μήτε διαφανέστερον εἶναι τοῦ ἀέρος, μήτε εὐδιαιρετώτερον, ἔχουσιν ὑγροτέρους τοὺς ὀφθαλμοὺς καὶ πλέον τῶν ἄλλων τὸ κρυσταλλοειδές, ἵνα νικῴη τὸ τοῦ ὕδατος πρὸς τὸ ὁρᾶν ἐμπόδιον. ἐπεὶ οὖν πολὺ 40
τούτοις τὸ κρυσταλλοειδές, ἀνάγκη ἣν ἔχειν βλέφαρα, ἀλλ' ἐπεὶ ἐν τῷ ὕδατι
5 οὐκ εἰσι κονιορτώδη τινὰ καὶ προσκρούσματα τῶν ὄψεων, οὐ δέδωκεν αὐτοῖς ἡ φύσις βλέφαρα εἰς φυλακὴν τῶν ὀμμάτων, διὰ τὸ μηθὲν μάτην ἢ περίεργον ποιεῖν.

p. 658ᵃ21 Σαφῆ δὲ τὰ περὶ τριχῶν. τὸ δὲ ἀλλ' ἀλεάζει διὰ τὴν κάμψιν ἴσον ἐστὶ τῷ θερμαίνεται διὰ τὸ κυπτάζειν. πρὸ δὲ τούτου ὅταν λέγῃ
10 ὅτι τὰ τετράποδα ἐν τοῖς ὑπτίοις οὐκ ἔχει τρίχας, ἢ τὸ μὴ ἔχειν εἴρηται 45
ἀντὶ τοῦ ἥττονας ἔχουσιν ἐν τοῖς ὑπτίοις, πλείονας δὲ ἐν τοῖς πρανέσιν, ἢ τὰς ἐν τοῖς ὑπτίοις οὐ βούλεται λέγειν τρίχας διὰ τὸ διαφέρειν πρὸς τὰς ἐν τοῖς πρανέσι. λέγει δὲ καὶ πλείονας τρίχας ἔχειν τὸν ἄνθρωπον διά τε τὴν ὑγρότητα τοῦ ἐγκεφάλου καὶ διὰ τὰς ῥαφάς· ἀλλ' ἡ μὲν ὑγρότης ὡς
15 ὑλικὴ | αἰτία, αἱ δὲ ῥαφαὶ ὡς μὴ ἐμποδίζουσαι ἐξέρχεσθαι τὴν ὑγρότητα. 91
διὰ ταύτας δὲ τὰς αἰτίας ἔχει καὶ τὰς ὀφρύας· ἐπὶ συνθέσει γὰρ καὶ ἁρμογῇ ὀστῶν οὖσαι οὐκ ἐμποδίζουσι τὸ ὑγρὸν αἱ ἁρμογαὶ ἐξέρχεσθαι. τὰς δὲ βλεφαρίδας ἔχει ᾗ περατοῦνται τὰ φλεβία· ᾗ δὲ περατοῦνται, πόρους ἔχουσιν, ᾗ δὲ πόροι τυγχάνουσιν ὄντες, δίδοται διέξοδος τῷ ὑγρῷ, εἰ μή 5
20 που ἔργον τι φύσεως ἐμποδίσει πρὸς ἄλλο ἔργον καὶ χρῆσιν.

p. 658ᵇ27 Ταῦτα εἰπὼν ἐπάγει ὅτι οὐ πόρρω διέστηκεν ἀλλήλων τὸ τῆς ὀσφρήσεως αἰσθητήριον, τῷ διέστηκε χρησάμενος ἀντὶ τοῦ μὴ ἔχειν μέγεθος. ἀλλὰ τὸ μὲν τῶν πτηνῶν καὶ τετραπόδων οὔτε μῆκος ἔχει οὐδὲ ὅλως ἐπανέστηκεν, ἀλλὰ καὶ πάντῃ ἀδιάρθρωτον τὸ τῶν πτηνῶν, τῶν δὲ
25 τετραπόδων μᾶλλον διηρθρωμένον. ὁ δὲ ἐλέφας, φησίν, ἰδιώτατον ἔχει 10
τοῦτο τὸ μόριον. σαφῆ δὲ ἃ λέγει περὶ τῆς ῥινὸς τοῦ ἐλέφαντος· τινὰ δὲ δεόμενα μικρᾶς ἐπιστασίας τεύξεται αὐτῆς. αὐτίκα τὸ τὸ γὰρ μέγεθος ὂν ὑπερβάλλον ἀναγκαῖον ὁμοίως ἦν χρῆσθαι τῷ ὑγρῷ ὥσπερ τῇ γῇ ἴσον ἐστὶ τῷ μέγιστος γὰρ ὢν ὁ ἐλέφας καὶ διὰ τοῦτο δυσκίνητος,
30 ἀναγκαῖόν ἐστιν ὅσον ἂν χρόνον ἐν τῇ γῇ διατρίβῃ, τοσοῦτον εἶναι καὶ ἐν τῷ ὕδατι. τὸ δὲ λεγόμενον περὶ τῶν ὀπισθονόμων βοῶν τοιοῦτόν ἐστι· 15
φασὶ γὰρ κινεῖσθαι τὰ κέρατα τούτων, καὶ ἐπειδὰν κύψωσιν εἰς τὴν νομήν, πήγνυνται ἐν τῇ γῇ καὶ οὐκ ἐῶσιν αὐτοὺς πρόσω προβῆναι· καὶ διὰ τοῦτο ὑποχωροῦσιν ὀπίσω. οὕτω δὲ ἑλκόμενα τὰ κέρατα ὑπ' αὐτῶν, ἀλλ' οὐκ
35 ὠθούμενα οὐ πήγνυνται· ἐν γὰρ τῇ ὠθήσει, ἀλλ' οὐ τῇ ἕλξει πήγνυται πᾶν εὐθύ. τὸν δὲ ἐλέφαντά φησι χρῆσθαι τῷ μυκτῆρι ἀντὶ τῆς τῶν ἐμπρο- 20
σθίων ποδῶν χρείας· ὡς γὰρ τὰ τετράποδα χρῶνται τοῖς ἐμπροσθίοις ποσὶν ἀντὶ χειρῶν, οὕτω καὶ οὗτος τῷ μυκτῆρι. ὅτι δὲ χρῶνται τοῖς τοιούτοις

---

3 νικῴη post ἐμπόδιον ponit S 8 ἀλλὰ λεάζει Arist. ESY 10 τὸ μὴ ἔχει a
13 τρίχας πλείονας coll. S 23 post μέγεθος add. μηδὲ μῆκος Pa 25 διηρθρωμένος P: διηρθρωμένων S ἔχειν P 26 τὸ om. a δὲ (post τινὰ) om. P
27 post ἐπιστασίας add. καὶ Pa alterum τὸ om. Pa 33 πήγνυται Sa
36 ἰθὺ S 37 χρῆται S 38 ἀντὶ χειρῶν post τετράποδα (37) ponit S

ποσὶν ἀντὶ χειρῶν, δῆλον μὲν καὶ ἐξ ἄλλων, ἀλλὰ καὶ ἐκ τῶν κυνῶν· οὗτοι γὰρ τοὺς ὀδόντας αὐτῶν διὰ τούτων καθαίρουσι τούς τε κυνορραϊστὰς κἂν ἄλλο τι δάκνῃ, διὰ τούτων μάλιστα ἀπορρίπτουσι, καὶ ἄλλα πολλὰ μετὰ τούτων ἐργάζονται· οἱ κατοικίδιοί τε αἴλουροι τοὺς μῦς μετὰ τούτων τύπτουσί τε καὶ κατέχουσιν.

Οἱ δὲ ὄρνιθες καὶ οἱ ὄφεις καὶ ὅσα ἄλλα ἔναιμα, ἔχουσι τοὺς μυκτῆρας πρὸ τοῦ στόματος· ἐν τῷ πέρατι γὰρ σχεδὸν τοῦ ἄνωθεν χείλους, οἱ δὲ ὄρνιθες ἐν τῷ ῥύγχει. ἔχουσι δὲ οἱ ὄρνιθες τοὺς μυκτῆρας, ὥστε μὲν εἰπεῖν μυκτῆρας διὰ τὸ ἔργον ὃ ποιοῦσιν, οὐκ εἰσὶ δὲ διὰ τὸ μὴ εἶναι φανερῶς διῃρθρωμένοι. αἰτία δὲ τούτου ἡ τῶν ὀρνίθων φύσις, δίπους οὖσα καὶ πτερυγωτή· διὰ μὲν οὖν τὸ πτέρυγας ἔχειν οὐκ ἔχει μυκτῆρας, ὅτι καταναλισκομένη ἡ ὕλη εἰς τὴν τῶν πτερῶν φύσιν οὐκ ἀρκεῖ καὶ εἰς γένεσιν μυκτήρων· δίπους δὲ οὖσα καὶ οὐκ ἐν τῷ μέσῳ τοῦ σώματος ἔχουσα τοὺς πόδας, ἀλλὰ πρὸς τῷ τέλει, εἴπερ εἶχε μυκτῆρας, εἶχεν ἂν καὶ μεγάλην κεφαλήν, ἔχουσα δὲ ταύτην μεγάλην ἔπιπτεν ἂν εἰς τὸ ἔμπροσθεν, ὥσπερ ἐπὶ τῆς τρυτάνης συμβαίνει. ἐν ἐκείνῃ γὰρ εἰ δύο τινὰ βάρη ἐν ἑκάστῃ τῶν πλαστίγγων θήσεις, βρίθει ἐπὶ τὴν ἔχουσαν τὸ μεῖζον βάρος. σαφῆ δὲ τὰ ἑξῆς.

Μετρικοὺς δὲ λέγει τοὺς ποιητὰς τοὺς ἔμμετρα γράψαντας, ὥσπερ Ὅμηρος καὶ οἱ λοιποί. τὸ δὲ τραυλίζειν, φησίν, ἐστὶ καὶ μὴ ἐν τῷ ἔχειν πλατεῖαν ἢ στενὴν τὴν γλῶτταν· ὁ γὰρ πλατεῖαν ἔχων τὴν γλῶτταν καὶ συμμέτρως ἀπολελυμένην οὐ τραυλίζει. ἰστέον δὲ ὅτι ὁ ἔχων πλατεῖαν ἔχει καὶ στενήν, ὥσπερ καὶ ὁ μέγα ἔχων ἔχει καὶ μικρόν (δύναται γὰρ στενοῦν αὐτήν), ἀλλ' οὐχ ὁ στενὴν ἤδη καὶ πλατεῖαν. τὴν δὲ γλῶτταν ἔχουσιν οἱ ὄφεις δικρόαν καὶ ἐσχισμένην διὰ τὴν λιχνότητα· λίχνοι γὰρ ὄντες ἔλαβον αὐτὴν ἐσχισμένην καὶ οἱονεὶ διπλῆν, ἵνα ἔχωσι διπλῆν καὶ τὴν ἡδονήν. οἱ δὲ ἰχθύες ἔχουσι βραχεῖαν τὴν τῆς γλώττης διάρθρωσιν καὶ δι' ἃς μὲν εἶπε σαφῶς αἰτίας καὶ διὰ ταύτην, ἣν καὶ αὐτὸς ἐνταῦθα μετὰ τῶν προειρημένων τίθησιν· ἐν ὕδατι, φησί, διατρίβοντες καὶ ταχέως διαβιβάζοντες τὴν τροφὴν εἰς τὴν κοιλίαν, ἵνα μὴ λεαίνοντες αὐτὴν διὰ τῶν ὀδόντων εἴσεισι τὸ ὕδωρ εἰς τὴν κοιλίαν αὐτῶν καὶ ἀποπνίγωνται, οὐ δέδοται αὐτοῖς γλῶττα. ἐπεὶ γάρ, ὡς εἴρηται, ἅμα τῷ ἅψασθαι τῆς τροφῆς εἰς τὴν κοιλίαν αὐτὴν παραπέμπουσιν, ἐκ τούτου δὲ αἴσθησιν οὐκ ἔχουσι τῶν χυμῶν, ἀφῄρηνται καὶ τὸ τῶν χυμῶν αἰσθητήριον, καὶ τοσοῦτον ὥστε, εἰ μή τις αὐτῶν τὸ στόμα ἐπικλίνει καὶ οἱονεὶ κυρτώσει ἢ κοιλανεῖ, οὐ φαίνεται ἡ τοιαύτη διάρθρωσις.

p. 660b25 Οἱ δὲ κροκόδειλοι πεπηρωμένην ἔχουσι τὴν γλῶτταν ἴσως τοῖς ἰχθύσι, διὰ ταυτηνὶ τὴν αἰτίαν· ἐπεὶ γὰρ ἐν τῇ κάτω σιαγόνι πέφυκεν ἡ

---

2 αὐτῶν S 6 δὲ om. S 10 διῃρθρωμένους Sa τούτων PS
12 ἡ om. a πτερύγων P 17 θήσεις scripsi: θήσειας libri βρίθη a
18 δέ ἐστι τὰ a 19. 20 ὥσπερ—λοιποί om. S 20 ὁ Ὅμηρος a φησίν om. S 21 τὴν γλῶτταν ἔχων coll. a 26 καὶ post διπλῆν om. Pa 33 τὴν οἰκείαν κοιλίαν Sa 34 ἀφῄρηται P 35 αὐτῶν τὸ στόμα αὐτῶν ἐπικλίνῃ S
38 ταύτην S

γλῶττα κεῖσθαι (ἄνω γὰρ κειμένη ἐκώλυε τὴν τροφὴν εἰσέρχεσθαι εἰς τὸν οἰσοφάγον) τοῖς δὲ κροκοδείλοις τὸ κάτω ἄνω ἐστί (τὴν γὰρ ἄνω κινοῦσιν, ἐν ἅπασι δὲ τοῖς ἄλλοις ζῴοις ἡ κινουμένη σιαγὼν κάτω ἐστί), κάτω μὲν τὴν γλῶτταν οὐκ ἔχει, ὅτι τὸ κάτω ἄνω ἐστίν, ἄνω δὲ κεῖσθαι οὐ πέφυκεν· ἄνω δέ, ὅπερ ἐστὶ κάτω, οὐκ ἔχει τὴν γλῶτταν, ἵνα μὴ ἐμποδίζῃ τὴν τροφήν· ἐπάνω γὰρ τῆς γλώττης πίπτει τὰ βρώματα, καὶ οὕτως ὑπ' αὐτῆς διαπέμπεται πρὸς τὸν οἰσοφάγον. αἱ δὲ πορφύραι ἰσχυρότατον ἔχουσαι τὸ κέντρον διατρυπῶσι τὸ τῶν στρόμβων ὄστρακον, ὑφ' ὧν στρόμβων καὶ δελεάζουσιν αὐτὰς οἱ ἀσπαλιεῖς· τίθενται γὰρ περὶ τὸ ἄγκιστρον στρόμβον, ὃν ἰδοῦσαι ἔρχονται πρὸς αὐτόν, καὶ οὕτως ἁλίσκονται. σαφῆ δὲ τὰ λοιπὰ πάντα τοῦ παρόντος βιβλίου, διὸ ἑκτέον τῶν ἐφεξῆς. |

---

2 τὴν μὲν γὰρ S 3 δὲ] μὲν S 3. 4 κάτω δὲ τὴν S 8 διατρυποῦσι P
9 οἱ ἁλιεῖς Pa τιθέασιν a 10 ὃν ἰδοῦσαι—ἐφεξῆς (11)] καὶ τὰ ἑξῆς S

Μετὰ τὰ εἰρημένα, φησί, περὶ κεφαλῆς ἡ τῶν ὀδόντων ἐστὶ φύσις, καὶ τὸ στόμα τὸ περιεχόμενον ὑπὸ ὀδόντων καὶ ἐξ ὀδόντων συνεστηκός. λέγει δὲ καὶ ὅτι οὐ μόνον πρὸς τὴν τῆς τροφῆς ἐργασίαν ἔχει τὰ ζῷα τοὺς ὀδόντας, ἀλλὰ καὶ χάριν ἀλκῆς. διαιρεῖ δὲ τὴν ἀλκὴν εἴς τε τὸ ποιεῖν καὶ ἐπιτίθεσθαι ἀλλήλοις καὶ εἰς τὸ μὴ πάσχειν καὶ ἀμύνεσθαι τὰ ἐπιτιθέμενα. τῶν γὰρ ζῴων τὰ μὲν ἐπιτίθενται ἄλλοις, οἷον λέων, ἀετός, καὶ κατεσθίουσι τὰ οἷς ἐπιτίθενται, τὰ δὲ οὔτε ἐπιτίθεται οὔτε ἐπιβουλεύει, οἷον λαγώς, ἀηδών, ἀλλ' ἀμύνεται καὶ μάχεται, ὡς δύναται, τοῖς ἐπιτιθεμένοις καὶ ἀναιρεῖν αὐτὰ σπουδάζουσιν. ὁ δὲ ἄνθρωπος ἔχει τοὺς κυνόδοντας καὶ τοὺς ἄλλους ἅπαντας τοσούτους πρὸς τὴν διάλεκτον· ἣν γάρ τις λείπῃ, ψελλίζεται ὁ ἄνθρωπος. χαυλιόδοντας δὲ λέγει τοὺς ἐοικότας τοῖς τῶν βουβάλων κέρασιν, οἷοί εἰσιν οἱ τῶν κάπρων. οὐδὲν δὲ τῶν ζῴων ἔστιν ἅμα καρχαρόδουν καὶ χαυλιόδουν· ἐπεὶ γὰρ τὸ καρχαρόδουν ἕνεκα τοῦ δάκνειν ἐστί, τὸ δὲ χαυλιόδουν τοῦ πλήττειν καὶ τιτρώσκειν, οὐδὲν δὲ μάτην ἡ φύσις ποιεῖ, διὰ τοῦτο οὐδέν ἐστιν ἅμα καρχαρόδουν καὶ χαυλιόδουν. ἐπεὶ δὲ ὅ τε κάπρος καὶ ἡ θήλεια ὗς ἐκ τοῦ αὐτοῦ εἰσι γένους (λέγων γένος τὸ εἶδος), ὅ τε ἄρρην ἔλαφος καὶ ἡ θήλεια (ὁμοειδῆ γὰρ καὶ ταῦτα) καὶ ὁ μὲν κάπρος ἔχει χαυλιόδοντας, ἡ δὲ ὗς οὐκ ἔχει, ὁμοίως ὁ ἄρρην ἔλαφος ἔχει κέρατα, ἡ θήλεια δὲ οὔ, ἐπεὶ οὖν ταῦθ' οὕτως ἔχει, καὶ ἦν εἰκὸς τὸν μὴ ἀργὸν τὴν διάνοιαν ζητεῖν, διὰ τί ὁμοειδῆ ὄντα ὅ τε κάπρος καὶ ἡ ὗς ὁ μὲν ἔχει χαυλιόδοντας, ἡ δὲ οὐκ ἔχει, ὁμοίως καὶ ἐπὶ τῶν ἐλάφων ὁ μὲν κέρατα, ἡ δὲ οὔ, μέλλων τὴν αἰτίαν τούτων εἰπεῖν λέγει ὅτι δεῖ καθόλου περὶ τούτων εἰπεῖν, ὃ χρήσιμον ἔσται καὶ περὶ τούτων καὶ τῶν ἄλλων τῶν ὕστερον λεχθησομένων· καὶ ἐπάγει ὅτι ἐπειδὴ χάριν ἀλκῆς καὶ βοηθείας ὑπὸ τῆς φύσεως δίδοται οἷς δίδοται κέρατα, κέντρα, πλῆκτρα,

---

1 Tit. om. S: Σχόλια τῶν δεομένων ῥητῶν σαφηνείας τοῦ γ βιβλίου τῶν περὶ ζώων μορίων a
3 ὑπὸ τῶν ὀδόντων a 6 ἄλλοις a 8 καὶ om. a οὔτε ἐπιτίθενται P
10 σπουδάζει S κοινόδοντας P 11 post τοσούτους add. δὲ S λείψῃ Pa
13 βουβαλίων Pa 14 post ἅμα add. καὶ a 17 δὲ om. Pa λέγω P
21 ὁμοειδῆ τε ὄντα P 24 περὶ τούτου εἰπεῖν S καὶ περὶ τούτου P
26 φύσεως ex βοηθείας corr. P rec.

ἐκείνοις ταῦτα δίδωσιν ἡ φύσις τοῖς δυναμένοις χρῆσθαι. ὥσπερ γὰρ στρατηγὸς οὐκ ἂν δώσει τῷ βρέφει σπάθην ἢ κόντον, ἀλλ' ἀνδρί, καὶ ἀνδρὶ τῷ δυναμένῳ χρῆσθαι, οὕτω καὶ ἡ φύσις τοῖς μὲν ἄρρεσι τῶν ζῴων ἰσχυροτέροις οὖσι καὶ δυναμένοις χρῆσθαι δέδωκε κέρατα, κέντρα, χαυλιό- 30
5 δοντας, τοῖς δὲ θήλεσι διὰ τὴν ἀσθένειαν οὐ δέδωκε, καὶ τῶν ἀρρένων πάλιν τὰ μείζω κέρατα καὶ πλῆκτρα καὶ τὰ λοιπὰ δέδωκε τοῖς ἰσχυροτέροις, τὰ δ' ἐλάττω τοῖς ἀσθενεστέροις. εἰ δέ που συμβαίη τὰ αὐτὰ ἔχειν τὸ θῆλυ, ἅπερ καὶ τὸ ἄρρεν, οἷά εἰσι τὰ πρὸς τὴν τροφὴν χρησιμεύοντα, ἥττονά εἰσι τὰ τῶν θηλειῶν, μείζω δὲ τὰ τῶν ἀρρένων. λέγει
10 δὲ τοὺς ἰχθύας ἔχειν τοὺς ὀδόντας γαμψοὺς καὶ κεκαμμένους, ὥσπερ τὸ 35
τῶν ἱεράκων ῥύγχος, διὰ τὸ πᾶσαν τὴν ἰσχὺν αὐτῶν ἐν τούτοις εἶναι· ἐπιτηδειότερα δὲ τὰ γαμψὰ πρὸς τὸ σπαράττειν καὶ διατέμνειν.

p. 662ᵃ16 Ἔχει δέ, φησί, τὰ ζῷα τὸ στόμα ἕνεκεν τῶν ἔργων τούτων, λέγων ἔργα τὸ ἐσθίειν, τὸ ἔχειν ὀδόντας ἐν αὐτῷ, καὶ πρὸς
15 τούτοις χάριν | τοῦ ἀναπνεῖν· ἀναπνεῖ γὰρ καὶ ἐκ τοῦ στόματος. ἔχει 94
δὲ τῶν ζῴων τινὰ μὲν τὸ στόμα χάριν τοῦ ἐσθίειν μόνον, τὰ δὲ καὶ πρὸς τὸ ἀμύνασθαι, τὰ δὲ πρὸς τούτοις καὶ πρὸς τὸ διαλέγεσθαι, ὥσπερ ὁ ἄνθρωπος· καὶ διὰ τοῦτο γέγονε τὰ στόματα τῶν ζῴων διάφορα, ὅτι καὶ αἱ ἐργασίαι αὐτῶν διάφοροί εἰσι. μύουρον δὲ εἶπε τὸ τῶν μὴ
20 σαρκοφάγων ἰχθύων στόμα, ὅτι ἐκ παχέος ἢ πλατέος εἰς λεπτὸν λήγει· 5
τοιαύτη γάρ ἐστι καὶ ἡ τῶν μυῶν οὐρά. γλαφυρὸν δὲ εἶπε τὸ τῶν μικρῶν ὀρνίθων ῥύγχος ἀντὶ τοῦ περιφερὲς καὶ κυρτόν. στεγανόποδα δὲ λέγει τὰ μὴ ἐσχισμένους ἔχοντα τοὺς δακτύλους, οἷοί εἰσιν οἱ τῶν χηνῶν καὶ νηττῶν. τὸ δὲ πρόσωπον, φησίν, ἢ ἐκ τοῦ πρόσθεν ὀπωπέναι καλεῖται πρόσωπον ἢ
25 ἐκ τοῦ πρόσω τὴν φωνὴν διαπέμπειν.

p. 662ᵇ23 Σαφῆ δὲ ἃ περὶ κεράτων λέγει· κατὰ δὲ τὴν λέξιν τὴν 10
ὅσοις δὲ μή, δέδωκεν ἡ φύσις ἄλλην ἀλκὴν πρὸς σωτηρίαν, οἷον ταχυτῆτα σώματος λείπει τὸ 'κέρατα δέδωκεν', ἵν' ᾖ τὸ πλῆρες τοιοῦτον 'ὅσοις δὲ μὴ δέδωκεν ἡ φύσις κέρατα, δέδωκεν αὐτοῖς ἄλλην ἀλκὴν πρὸς
30 σωτηρίαν'. καὶ τίς ἡ τοιαύτη ἀλκή, ἐπάγει λέγων 'οἷον τοῖς μὲν ἵπποις βεβοήθηκε, τουτέστιν εἰς βοήθειαν δέδωκε ταχυτῆτα σώματος, ταῖς δὲ καμήλοις μέγεθος. ἡ γὰρ ὑπερβολὴ τοῦ μεγέθους ἱκανὴ ὑπάρχει βοηθεῖν 15
αὐταῖς'. ταῦτα μὲν οὕτω βεβοήθηκεν, ἄλλα δέ, ὥσπερ εἴρηται, πεποίηκε χαυλιόδοντα. ἐπεὶ δέ τινα, ὥσπερ οἱ ἔλαφοι, κέρατα μὲν ἔχουσιν, οὐδὲν δὲ
35 πρὸς βοήθειαν αὐτοῖς συντελεῖ, διά τε τὸ μέγιστα εἶναι καὶ πολυσχιδῆ (κατεσχισμένα γὰρ τὰ τῶν ἐλάφων κέρατα καὶ πολλαῖς παραφυάσι καταπεπύκνωται, ὥσπερ καὶ τὰ δένδρα τοῖς κλάδοις), δέδωκεν αὐτοῖς ταχυτῆτα. οἱ δὲ 20
βόνασοι, φησίν, ἐπειδὰν διώκωνται, ἀπορρίπτουσιν ἐκ τοῦ ἐν τῇ κοιλίᾳ αὐτῶν

---

1 δώσειε Pa 3 τῷ om. Sa 4 post οὖσι add. τῶν ζώων, sed rursus del. S
4. 5 καυλιόδοντας a 5 οὐκ ἔδωκε S 8 πρὸς τροφὴν P 9 τὰ post εἰσὶ om. S 13 ἔχειν S 19 μὴ supr. v. add. P rec. m.: om. S
20 ἢ] καὶ S 21 μυῶν] μυούρων P 22 στεγανόποδα ex στυγανόποδα corr. P
24 καλεῖται πρόσωπον om. S 30 ἐπάγη a 31 εἰς τὴν βοήθειαν a 32 προσβοηθεῖν Pa 33 αὐτοῖς S ταῦτα] sic libri 38 βόννασοι Pa διώκονται a

ἐνόντος περιττώματος· τοῦτο δὲ λίαν δυσωδέστατον ὂν ἀποπνίγει ἢ φεύγειν παρασκευάζει τὸ διῶκον· ὥστε διὰ τῆς τοιαύτης τοῦ περιττώματος προσθήκης ἐφεῦρεν ἡ φύσις σωτηρίαν τοῖς ζῴοις. ἐπεὶ δέ εἰσι μονόκερα καὶ διχηλὰ καὶ μώνυχα, εὐλογώτερόν ἐστι, φησί, τὸ τὰ μώνυχα μονόκερα εἶναι ἤπερ τὰ δι- 25
5 χηλά· τῷ μωνύχῳ γὰρ διὰ τὸ ἓν ἁρμόζει καὶ τὸ μονόκερων, τῷ δὲ διχηλῷ διὰ τὴν δυάδα τὸ δίκερων. ἔτι ἐπεὶ ἡ σχίσις κατ' ἔλλειψιν ὕλης ἐστί· μὴ γὰρ εὐποροῦσα ἡ φύσις ὕλης ὁλόκληρον ὥσπερ τὸ τῶν μωνύχων ἀπεργάσασθαι, πεποίηκεν αὐτὸ διχηλόν. ἀποβάλλει δὲ μόνος ὁ ἔλαφος τὰ κέρατα διὰ τὴν εἰδικὴν αἰτίαν καὶ διὰ τὴν ὑλικήν· διὰ μὲν τὴν εἰδικήν, ὅπως τῇ
10 ἀποθέσει ἐλαφριζόμενα ὠφελοῖντο, ἐξ ἀνάγκης δέ, τουτέστι διὰ τὴν ὕλην, 30 ὅτι βαρύτατα ὄντα καὶ διὰ τοῦτο διηνεκῶς κινούμενα σάττεταί τε καὶ ἐκριζοῦται. οὐ πέφυκε δὲ τὰ κέρατα ἐκ τοῦ δέρματος, ἀλλ' ἐν τῷ δέρματι ἐνήρμοσται στερεὸν ἐκ τῶν ὀστῶν, τουτέστιν ἐκ τοῦ κρανίου διὰ τοῦ δέρματος δίεισιν ὀστοῦν τι, καὶ εἰσέρχεται εἰς τὸ τοῦ κέρατος κοῖλον.

15 p. 663ᵇ22 Ταῦτα εἰπὼν λέγει ὅτι ῥητέον πῶς ἔχουσα ἡ ἀναγκαία καὶ ὑλικὴ φύσις λαμβάνει αὐτὴν τὸ εἶδος καὶ καταχρῆται ἕνεκά του. 35 καὶ λέγει ὅτι τῷ σωματώδει καὶ γεώδει, ὅπερ ἐστὶν ἡ φύσις τῶν ὀστῶν, καταχρῆται ἡ φύσις ἐπὶ βοήθειαν καὶ τὸ συμφέρον. τὰς δὲ θηλείας τῶν ἐλάφων, τὰς αὐτὰς τὴν φύσιν οὔσας τοῖς ἄρρεσι καὶ μηδὲ ὀδόντας
20 ἄνωθεν ἐχούσας ὅσον ἐπὶ τούτῳ ἔδει κέρατα ἔχειν· οὐκ ἔχει δὲ διὰ τὸ μηδὲ τοῖς ἄρρεσιν, ὥσπερ εἴρηται, χρήσιμα εἶναι· ἔχουσι δὲ ταῦτα οἱ ἄρρενες, ὅτι ἰσχυρότεροι τῶν θηλειῶν ὄντες, ἧττον βλάπτονται. 40

p. 664ᵃ23 Λέγει δὲ καὶ περὶ τοῦ οἰσοφάγου ὅτι οὐκ ἀναγκαῖον ἔχειν αὐτὸν ἕνεκα τῆς τροφῆς. οὐθὲν γὰρ παρασκευάζει πρὸς αὐτήν, τουτέστι οὐθὲν
25 συντελεῖ πρὸς αὐτήν· οὔτε γὰρ λεαίνει ταύτην ὥσπερ οἱ ὀδόντες οὔτε πέττει ὡς ἡ κοιλία οὔτ' ἄλλο οὐδὲν ποιεῖ πρὸς αὐτήν. ἔτι ἐπεὶ ἐνδέχεται εὐθὺς μετὰ τὸ στόμα κεῖσθαι τὴν κοιλίαν, ἱκανόν ἐστι τὸ στόμα διακομίζειν τὴν τροφὴν 45 πρὸς τὴν κοιλίαν, ὥστε οὐδεμία ἐστὶ τοῖς οὕτως ἔχουσι κειμένην τὴν κοιλίαν οἰσοφάγου χρεία. τὸν δὲ πνεύμονα ἐπεὶ οὐκ ἐνδέχεται εὐθὺς μετὰ τὸ στόμα
30 κεῖσθαι, χρεία τῆς τραχείας ἀρτηρίας, δι' ἧς μερισθήσεται τὸ πνεῦμα κατὰ τὰς ἀρτηρίας, αἵτινες περιέχονται ὑπὸ τῶν ἐν τῷ πνεύμονι συρίγγων· οἷον γὰρ σωλῆνες οὖσαι αἱ ἐν τῷ | πνεύμονι σύριγγες ἔχουσιν ἐν ἑαυταῖς τὰς 95
ἀρτηρίας. ἐπεὶ δὲ ἡ κοιλία πόρρω κεῖται τοῦ στόματος, ἀναγκαῖος γέγονε μεταξὺ τοῦ στόματος καὶ τῆς κοιλίας ὁ οἰσοφάγος, ἵνα δι' αὐτοῦ ἀπὸ τοῦ

---

1 τοῦτο δὲ] καὶ τοῦτο S 2 τῆς om. S 3 et 4. 5 διχαλὰ a 4 εἴπερ a
5 διὰ om. Pa μονόκερον a τὸ δὲ a 6 δίκερον a 7 τὸ om. a
8 post δὲ add. καὶ a 9 ὅπως] ὥσπερ S 10 post ὕλην add. δὲ Sa
13 στερὸν PS 16 et 18 καταχρᾶται a 22 ἰσχυρότεροι scripsi: ἰσχυρότατοι libri 24 ante ἕνεκα add. τοῦ S post τουτέστι add. περὶ a 25 ὥσπερ οἱ ὀδόντες om. S 25. 26 οὔτε πέττει, τὸ μὲν ὡς οἱ ὀδόντες τὸ δ' ὡς ἡ κοιλία S
30 χρεία τῆς τραχείας ἀρτηρίας in marg. add. P μερισθήσεται ex μετρυθήσεται corr. P 30. 31 πνεῦμα κατὰ τὰς supr. v. add. P 32 post οἷον γὰρ add. ἡ κοιλία sed rursus del. P οὖσαι supr. v. S: ὄντες Pa, itemque in contextu S
ἐν αὐταῖς PS 34 δι' αὐτοῦ Pa

στόματος πρὸς τὴν κοιλίαν κομίζηται τὰ βρώματα. ἡ δὲ τραχεῖα ἀρτηρία κεῖται ἔμπροσθεν τοῦ οἰσοφάγου, καίπερ ἐμποδίζουσα αὐτόν· πεφειδημένως γὰρ καὶ οἱονεὶ μετὰ ἐμποδισμοῦ ὁ οἰσοφάγος τὰς τροφὰς ἐκ τοῦ στόματος λαμβάνει διὰ τὸ ὥσπερ δεδιέναι μή τι ἐκδραμὸν εἰσέλθοι τῆς ξηρᾶς ἢ ὑγρᾶς τροφῆς πρὸς τὴν τραχεῖαν ἀρτηρίαν. σαφῆ δὲ τὰ ἑξῆς.

p. 664ᵇ14 Τὸ δὲ δῆλον δὲ ὅτι οὐκ εὐθέως εἰς τὴν κύστιν συλλέγεται τὸ ὑγρὸν λύσις ἐστὶν ἐνστάσεως ὑπὸ τῶν ἀντιδοξούντων λεγομένης. ἔφασκον γὰρ ὅτι μὴ γὰρ εἰς τὴν κοιλίαν ἀπέρχεται τὸ ποτόν, ἵν' ὦσιν ἐκ τοῦ πνεύμονος πόροι πρὸς αὐτήν, ἀλλ' εἰς τὴν κύστιν. πρὸς δὴ ταύτην τὴν ἔνστασιν ἐπῆκται τὸ 'δῆλόν ἐστιν ὅτι οὐκ εὐθέως εἰς τὴν κύστιν συλλέγεται τὸ ὑγρόν, ἀλλ' εἰς τὴν κοιλίαν πρότερον'. πίστις δὲ τούτου ὅτι μελαίνεται τὰ τῆς κοιλίας περιττώματα ὑπὸ τοῦ ἐρυθροῦ οἴνου· ὥστε, εἰ μὴ ἀπήρχετο ὁ οἶνος πρότερον εἰς τὴν κοιλίαν, οὐκ ἂν ἐμελαίνετο ὑπ' αὐτοῦ τὰ περιττώματα. ἀλλὰ καὶ κοιλίας πολλάκις ὑπὸ βέλους τρωθείσης ὡράθη ἐξ αὐτῆς ἐξερχόμενον τὸ ποτόν. ἀλλὰ περὶ μὲν τούτων, φησί, εὔηθες ἀντιλέγειν. ἡ δὲ φύσις πεποίηκε τὴν ἐπιγλωττίδα, ἥτις περίκειται τὴν τραχεῖαν ἀρτηρίαν, ὅπως μὴ ἐᾷ εἰς αὐτὴν εἰσέρχεσθαι ὑγρὸν ἢ ξηρόν. ὅσα δὲ μὴ ἔχουσιν ἐπιγλωττίδα, τούτων συνάγεται καὶ συστέλλεται ὁ φάρυγξ εἰσιούσης τῆς τροφῆς καὶ οὐκ ἐᾷ εἰσέρχεσθαί τι τῆς τροφῆς εἰς αὐτήν. μεμηχάνηται δὲ θαυμαστῶς καὶ ἡ ταύτης καὶ ἡ τῆς ἐπιγλωττίδος κίνησις· τῆς γλώττης γὰρ κινουμένης ἡνίκα ἡ τροφὴ ὑπὸ τῶν ὀδόντων λεαίνεται, οὐδαμῶς αὕτη δήκεται ὑπὸ τούτων, εἰ μὴ σπανίως· τούτου γάρ ἐστι δηλωτικὸν τὸ ὥστε τῆς τροφῆς ἐν μὲν τῷ στόματι λεαινομένης, παρ' αὐτὴν δὲ διιούσης καὶ τὰ ἑξῆς. τὸ δὲ ἀλλ' αὐτῆς τῆς ἀρτηρίας τῶν ἐσχάτων θᾶσσον ἂν ἐγίνετο ἡ συναγωγὴ τῆς ἐκ τῆς οἰκείας σαρκὸς ἐπιγλωττίδος τοιοῦτόν ἐστιν 'ἀλλ' ἀπὸ τῶν ἐσχάτων μορίων τῆς τραχείας ἀρτηρίας θᾶσσον γίνεται ἡ συναγωγὴ τῆς ἐπιγλωττίδος, ἤ τις ἂν ἐγίνετο ἐκ τῆς οἰκείας σαρκός'. τοῦτο δὲ ταὐτόν ἐστι τῷ 'θᾶσσον συνάγεται καὶ συστέλλεται τὰ ἔσχατα μέρη τῆς τραχείας ἀρτηρίας', ἔσχατα λέγων τὰ ἐγγὺς τοῦ στόματος· 'εἰ δὲ εἶχεν ἀπὸ τῆς οἰκείας σαρκὸς ἐπιγλωττίδα, ἐπειδὴ ξηρά ἐστιν ἡ σάρξ, βραδέως ἂν συνήγετο'. κεῖται δ' ἔμπροσθεν ὁ φάρυγξ τοῦ οἰσοφάγου ἐξ ἀνάγκης· ἐπεὶ γὰρ ἡ καρδία ἔμπροσθεν κεῖται δι' ἃς αὐτὸς σαφῶς λέγει αἰτίας, ὁ δὲ πνεύμων περὶ τὴν καρδίαν, ἵνα καταψύχῃ αὐτήν, ἡ δὲ ἀρτηρία, ἣν φάρυγγα εἶπε, κομίζει περὶ τὸν πνεύμονα τὸ πνεῦμα, ἀνάγκη τὴν ἀρτηρίαν ἔμπροσθεν κεῖσθαι τοῦ οἰσοφάγου. τὸ μὲν οὖν λεγόμενον τοιοῦτον· τὸ δὲ αὐτῷ γὰρ τῷ λόγῳ τούτῳ διώρισται τὸ ἔμπροσθεν καὶ ὄπισθεν ἴσον ἐστὶ τῷ 'οὕτω γὰρ ὁριζόμεθα τὸ ἔμπροσθεν· ἔμπροσθέν ἐστιν ἐν ᾧ ἐστιν ἡ ἀρχὴ τῆς κινήσεως καὶ τῆς

7 et 11 συστέλλεται S 14 κοιλία et τρωθεῖσα S 15 ἐξερχόμενον ἐξ αὐτῆς coll. a post μὲν add. οὖν P φησί om. P 18 συνεισάγεται a
20 ἐπιγλωττίδος corr. in γλώττης al. m. P 22 διήκεται a 25 ἐγίνετ' ἂν a
26 τοιοῦτόν ἐστιν—ἐπιγλωττίδος (27) in marg. add. P 31 ἡ τούτου σάρξ S
32 δ] ἡ S ἐπεὶ ex ἐπειδὴ corr. P: ἐπειδὴ a 33 σαφῶς αὐτὸς coll. S
38 ἐστιν ante ἐν om. S

αἰσθήσεως'. τὸ δὲ τὰ μὲν γὰρ πρὸς τὸν πνεύμονα τείνει, τὰ μὲν εἶπε φάρυγγα καὶ τὴν ἀρτηρίαν· ὁ δὲ πνεύμων εἰς τὴν κοιλίαν. σημειωτέον δὲ ὅτι πρότερον μὲν φάρυγγα καὶ ἀρτηρίαν τὸ αὐτὸ ἔλεγε, νῦν δὲ φάρυγγα λέγει τὴν ἀρχὴν τῆς ἀρτηρίας τὴν εὐθὺ μετὰ τὸ στόμα, ἀρτηρίαν δὲ τὸ λοιπὸν ἅπαν· καὶ διὰ τοῦτο ἀντὶ τοῦ εἰπεῖν 'ὁ μὲν γὰρ' ἢ 'ἡ μὲν γὰρ' ἑνικῶς, εἶπεν ὅτι τὰ μὲν γάρ. ὅλως δέ, φησίν, ἀεὶ τὸ βέλτιον καὶ τιμιώτερον ἐν τῷ βελτίονι τίθησιν ἡ φύσις τόπῳ, κἂν μὲν εἴη τὸ βέλτιον ἄνω, ἐν τῷ ἄνω, εἰ δὲ τὸ ἔμπροσθεν, ἐν τῷ ἔμπροσθεν, εἰ δὲ τὸ δεξιόν, ἐν τούτῳ· ταῦτα γὰρ ἐδήλωσε διὰ τοῦ τοῦ μὲν ἄνω καὶ κάτω ἐν τοῖς μᾶλλόν ἐστιν ἄνω καὶ ἐξῆς. ἐλλιπῶς δὲ καὶ ἀσαφῶς ἀπήγγελται τὸ τοῖς μάλιστά ἐστιν ἄνω· εἴη δ' ἂν τὸ πλῆρες τοιοῦτον 'ἐν τοῖς ἔχουσι τὸ ἄνω μᾶλλον, ἤτοι τιμιώτερον, ἐν ἐκείνοις τὸ τιμιώτερον ἄνω κεῖται'.

p. 665b2 Ἃ δὲ λέγει περὶ τῶν σπλάγχνων σαφῆ. τὸ δὲ ὥσπερ τῶν ἐκτὸς μορίων οὐ πᾶσι τῶν αὐτῶν χρῆσις ἴσον ἐστὶ τῷ 'οὐ πᾶσι τοῖς ἐκτὸς μορίοις πρὸς τὰ αὐτὰ χρώμεθα'. οὐ γὰρ οἷς χρώμεθα μορίοις πρὸς βάδισιν, τούτοις καὶ πρὸς τὸ τὴν τροφὴν | λεαίνειν, ἀλλ' 96
ἑτέροις. τὸ δὲ αἱματωδέστερα γὰρ καὶ μέγιστα κατὰ λόγον, μέγιστα μὲν εἶπε, διότι αἱματικά εἰσι, πάμπολυ δὲ ἐν τοῖς νεογνοῖς τὸ αἷμα. τούτου γάρ ἐστι δηλωτικὸν τὸ διὰ τὸ εἶναι τὸ εἶδος τῆς ὕλης καὶ τὸ πλῆθος ἐμφανέστατον, εἶδος καὶ πλῆθος ἐκ παραλλήλου θείς, ἐμφανέστατον δὲ ἀντὶ τοῦ πολύ· πολὺ γὰρ ἐν αὐτοῖς τὸ αἷμα, ὅπερ ἐστὶν ὕλη τῶν σπλάγχνων. τὸ δὲ κατὰ λόγον πρόσκειται, ὅτι ὑπερβαίνει τὴν ἀναλογίαν τοῦ ὅλου σώματος. ἀναγκαῖον δὲ λέγει σῶμα τὸ ἀπὸ τῆς κεφαλῆς μέχρι τοῦ ἀφ' οὗ ἐξέρχεται τὰ περιττώματα. κεῖται οὖν ἡ καρδία ἐν τῷ μέσῳ τοῦ ἀναγκαίου σώματος· ὥσπερ δὲ ἀρχὴ τοῦ ἀναγκαίου σώματος ἡ κεφαλή, οὕτω πέρας ᾗ τὰ περιττώματα ἐκκρίνεται. ἀναγκαῖον δὲ καλεῖ τὸ τοιοῦτον σῶμα διὰ τὸ μὴ δύνασθαι χωρὶς τούτου εἶναι τὸ ζῷον· χωρὶς μὲν γὰρ χειρῶν ἢ ποδῶν ἢ ὤτων ἢ ῥινῶν εἶναι δύναται, ἄνευ δ' ἐκείνου ἀδύνατον. τὸ δὲ δῆλον δ' ὡς οὐδὲ προστιθέμενα φθείρει εἴρηκε διὰ τὸ γίνεσθαί τινας ἀνθρώπους ἑξαδακτύλους, ὅμως μὴ φθείρεσθαι τὸν ἄνθρωπον ὑπὸ τῆς τοιαύτης προσθέσεως. δύσριγον δὲ εἶπε τὸν ἐγκέφαλον ἀντὶ τοῦ ταχέως ῥιγοῦντα. καὶ ἐπεὶ ψυχρὸς ὁ ἐγκέφαλος, αἱ δὲ φλέβες θερμαί, ἐπεὶ καὶ τὸ ἐν αὐταῖς αἷμα, οὐκ ἂν εἶεν αἱ φλέβες ἐκ τοῦ ἐγκεφάλου· ψυχραὶ γὰρ ἂν ἦσαν καὶ αὗται. τῷ δὲ αὕτη γάρ ἐστιν ἀρχὴ καὶ πηγὴ αἵματος προστέθεικε τὸ ἢ ὑποδοχὴ πρώτη, ὥσπερ εἰ ἔλεγεν 'εἰ δέ τις ἀρχὴν αἵματος μὴ λέγοι τὴν καρδίαν, ἀλλὰ τὴν ἐν αὐτῇ ψυχήν, λεγέτω τὴν καρδίαν πρώτην ὑποδοχὴν τοῦ

---

1 τὸ δὲ—γὰρ om. S 2 εἶπε τὴν φάρυγγα S τὴν post καὶ om. S πνεύμων] immo οἰσοφάγος 6 ἀεὶ ex Arist. scripsi: εἰ PS: εἰς a 7 κἂν] ἐὰν a 10 ἐστιν ἄνω—τοῖς μάλιστα (11) in marg. add. P καὶ τὰ ἑξῆς Sa δὲ om. P ἐπήγγελται P 14 post αὐτῶν add. ἡ a 20 post εἶδος add. δὲ S παραλλήλων a 22 ante ὕλη add. ἡ S 23 λέγει ex λέγειν corr. P al. m. 28. 29 εἶναι δύναται ἢ ῥινῶν coll. P 32 ῥιγῶντα P 34 τῷ] τὸ P 35 καὶ om. P προσέθηκε Pa 36 λέγει P

αἵματος'. τὸ δὲ καὶ ἐπὶ πᾶν ἐφικτὸν ὁμοίως ἢ παραπλησίως. δυνάμει τοιοῦτόν ἐστι 'τὸ κείμενον μέσον μᾶλλον δύναται μεταδιδόναι 20 ὁμοίως δυνάμεώς τινος τοῖς κύκλῳ αὐτοῦ· ἡ δὲ καρδία μέση κεῖται· αὕτη ἄρα δυνήσεται ὁμοίως καὶ τοῖς πρὸς τῇ κεφαλῇ καὶ τοῖς πρὸς τοῖς ποσὶ μέρεσι χορηγεῖν ζωτικήν τινα δύναμιν, ἥπερ ὁ ἐγκέφαλος ἄνω κείμενος'. τὸ δὲ ἢ παραπλησίως εἴρηται ἀντὶ τοῦ ἧττον ὁμοίως· ἢ γὰρ ὁμοίως πᾶσι χορηγεῖ ἢ ὀλίγον τι νεύει πρὸς τὸ ἀνομοίως χορηγεῖν. τὸ δὲ αἷμα 25 ἔχει ἡ καρδία ὥσπερ τὸ ἀγγεῖον τὸν οἶνον. τὸν δὲ σπλῆνα εἶπεν ἀντίζυγον ἀντὶ τοῦ ὁμόζυγον· ὡς γὰρ ὁ δεξιὸς ὀφθαλμὸς ὁμόζυγον ἔχει τὸν ἀριστερόν, οὕτως καὶ τὸ ἧπαρ τὸν σπλῆνα. λέγει δὲ τὴν καρδίαν κεῖσθαι ἐν τοῖς ἔμπροσθεν τοῦ σώματος, ὅπως μὴ καταψύχηται, καὶ τὴν αἰτίαν ἐπήγαγε διὰ τοῦ πᾶσι γὰρ ἀσαρκότερον τὸ στῆθος, τὰ δὲ πρανῆ σαρκωδέστερα· ἐπεὶ γὰρ τὰ ἄλογα κυπτάζει καὶ διὰ τοῦτο δέχεται ἐν τοῖς πρανέσι τούς τε ὄμβρους τά τε ψύχη, ἐν δὲ 30 τοῖς ὑπτίοις διὰ τὴν κάμψιν οὐδαμῶς, ὥστε καὶ θερμότερα, διὰ τοῦτο κἂν ἀσαρκωδέστερα τυγχάνῃ, τέθεικεν ἡ φύσις τὴν καρδίαν πρὸς τῷ στήθει. εἰ γὰρ ἔκειτο πρὸς τοῖς πρανέσιν, ἐπειδήπερ, ὡς εἴρηται, ἐν τούτοις δέχεται τοὺς ὄμβρους καὶ τὰ ψύχη, ἐψύχετο ἄν. διὰ τοῦτο καὶ σαρκωδέστερα γέγονε ταῦτα, ἵνα μὴ ταχέως διέρχηται διὰ τούτων εἰς τὴν καρδίαν τὸ ψῦχος. ἐν δὲ τοῖς ἀνθρώποις γέγονε τὰ πρανῆ * * διὰ τὴν 35 αὐτὴν αἰτίαν, ἔχει δὲ τὸ στῆθος τὸ θερμὸν διὰ τὴν ἀπὸ τῶν χειρῶν φυλακήν. ἐπεὶ δὲ τὸ ὀξὺ τῆς καρδίας ἐν μὲν τοῖς ἄλλοις ζῴοις πρὸς τῷ στήθει κεῖται (τοῦτο γάρ ἐστι τὸ ἔμπροσθεν, ὥσπερ ἡ κεφαλὴ τὸ ἄνω) ἐν δὲ τοῖς ἰχθύσιν οὐχ οὕτω κεῖται, ἀλλὰ πρὸς τῇ κεφαλῇ, ἐπήγαγε τὸ ὅτι δὲ καὶ ἐν τοῖς ἰχθύσιν ἡ καρδία ὁμοίως κεῖται, τουτέστιν ἔμπροσθεν, κἂν πρὸς τῇ κεφαλῇ κειμένη οὐ φαίνεται εἰς τὸ ἔμπροσθεν κεῖσθαι, ἀλλ' εἰς 40 τὸ ἄνω, δῆλον· ἐν γὰρ τοῖς ἰχθύσι τὸ ἔμπροσθεν ἡ κεφαλή ἐστι. πῶς δὲ ἐν τοῖς ἰχθύσιν ἡ κεφαλή ἐστι τὸ ἔμπροσθεν, κατασκευάζων ἐπήγαγεν ἐπὶ ταύτην γὰρ ἡ κίνησις· ἐφ' ὃ δὲ ἡ κίνησις, τοῦτό ἐστι τὸ ἔμπροσθεν. ἔχει δὲ καὶ νεύρων πλῆθος ἡ καρδία εὐλόγως· ἀπὸ ταύτης γὰρ αἱ κινήσεις πᾶσαι περαίνονται. πῶς δὲ ἀπὸ ταύτης περαίνονται, ἐπήγαγε τὸ διὰ τοῦ 45 ἕλκειν καὶ ἀνιέναι· ἕλκουσα γὰρ ἡ καρδία διὰ τῶν ἐξ αὐτῆς νεύρων τὰ τῆς πορείας ὄργανα καὶ πάλιν ἀνιεῖσα, κινεῖ τὸ ζῷον. ἐπεὶ οὖν διὰ τῶν νεύρων κινεῖ τὸ ζῷον, δεῖ αὐτῇ τῆς ἀπὸ τῶν νεύρων ὑπηρεσίας καὶ ἰσχύος. διὰ ταύτην ἄρα τὴν αἰτίαν ἐστὶ καὶ τῶν νεύρων ἀρχὴ ἡ καρδία. λέγει δὲ καὶ διὰ τί αἱ τῶν μεγάλων ζῴων καρδίαι ἀνὰ τρεῖς ἔχουσι κοιλίας, ἄλλαι 97 δὲ ἀνὰ δύο, πρὸς δὲ τούτοις καὶ διὰ τί οὐδεμία καρδία ἀκοίλιός ἐστιν,

---

2 μέσον Pa 7 νεύει εἰς τὸ S 9 ὥσπερ γὰρ S 13 ἄλογα] ἄλλα S
15 θερμότερα scripsi: θερμότερον libri 16 τέθεικεν] καὶ ἔθηκεν P 17 ἐπείπερ S
18 τοῦτο δὲ καὶ Sa 19 γέγονεν αὐτὰ Pa 20 lacunam indicavi: addendum tale quid σαρκωδέστερα μὲν ἀλλ' οὐ 21 τὸ ante θερμὸν om. Pa 24 καὶ om. S
25 κἂν] καὶ S 27 πῶς—ἔμπροσθεν (28) om. PS 31 ἀπὸ ταύτης περαίνεται PS
33 ἀνιοῦσα S: ἀνεῖσα a 36 ἀνὰ τριῶν Pa κοιλίας scripsi: κοιλιῶν libri

ἀλλὰ τοὐλάχιστον τέως μίαν ἔχει· τὸ γὰρ μίαν δὲ πᾶσαι, ἴσον ἐστὶ τῷ 'οὐκ ἔστι δέ τις καρδία, ἵνα τέως μίαν μὴ ἔχῃ· τρεῖς μὲν γὰρ μὴ ἔχειν μηδὲ δύο εὕρηνται πολλαί, μηδεμίαν δὲ οὐδεμία ὤπται'. καὶ ἡ αἰτία τοῦ τίνος χάριν ἔχει μίαν εἴρηται· ἀνάγκη γὰρ ἀρχὴν οὖσαν τοῦ αἵματος τὴν καρδίαν ἔχειν ἀγγεῖον τὸ ὑποδεξόμενον τὸ αἷμα· ἐπεὶ δὲ αἱ ἀρχηγοὶ καὶ πρῶται καὶ ῥίζαι τῶν ἄλλων φλεβῶν δύο εἰσίν, ἥ τε μεγάλη καὶ ἡ καλουμένη ἀορτή, βέλτιον καὶ τὰς ἀρχὰς αὐτῶν κεχωρίσθαι, ἀρχαὶ δὲ τῶν τοιούτων δύο φλεβῶν τὸ ἐν τῇ καρδίᾳ αἷμα. βέλτιον οὖν τὸ καὶ τὸ ἐν τῇ καρδίᾳ αἷμα κεχωρισμένον εἶναι καὶ διάφορον τὸ ἐξ οὗ γέγονεν ἡ μεγάλη πρὸς τὸ ἀφ' οὗ ἡ ἀορτή· διάφορον δὲ οὐκ ἂν ἦν, εἰ μὴ δύο ἦσαν αἱ ἐν τῇ καρδίᾳ κοιλίαι, καὶ ἐν θατέρᾳ μὲν ἦν τὸ ἀφ' οὗ ἡ μεγάλη φλὲψ γέγονεν αἷμα, ἐν δὲ τῇ λοιπῇ τὸ ἀφ' οὗ ἡ ἀορτή. δι' ἣν μὲν οὖν αἰτίαν ἀνάγκη πρὸς τῇ μιᾷ καὶ ἄλλην εἶναι κοιλίαν ἐν τῇ καρδίᾳ εἴρηται· δι' ἣν δὲ καὶ τρίτη προσευρίσκεται, ἐπάγει λέγων 'ἀνάγκη καὶ τρίτην εἶναι ἐν τοῖς μεγάλοις, ὅπως ᾖ ἀρχὴ τῶν λοιπῶν δύο· δύο γὰρ οὐσῶν τῶν κοιλιῶν τίνος ἂν ἕνεκα ἡ ἐν τῷ δεξιῷ μέρει φέρε εἰπεῖν ἀρχὴ ἦν τῆς ἐν τῷ ἀριστερῷ, καὶ οὐχ αὕτη ἐκείνης; διὰ τοῦτο καὶ μέσου τινὸς ἐδέησεν, ἵν' ᾖ τὸ περισσὸν καὶ τρίτον ἀρχὴ τῶν λοιπῶν δύο'. τὸ δὲ ὥστε μεγέθους δεῖ μείζονος αὐταῖς ἀεὶ ἴσον ἐστὶ τῷ 'ὥστε ταῖς μελλούσαις ἔχειν καρδίαις τρεῖς κοιλίας ἀνάγκη μέγεθος ἔχειν· εἰ γὰρ μὴ ὦσι μεγάλαι, πῶς ἂν χωρήσωσι τὰς τρεῖς κοιλίας; σαφῆ δὲ τὰ ἑξῆς.

p. 667 a 4 Διὰ τί δὲ καθαρώτατον τὸ ἐν τῇ μέσῃ τῆς καρδίας κοιλίᾳ αἷμά ἐστι, σαφῶς ἐκτίθεται λέγων δεῖ γὰρ τὴν ἀρχήν, λέγων ἀρχὴν τὴν αἰσθητικὴν ψυχὴν καὶ ὅλως πᾶσαν ψυχὴν τὴν ἐν τῇ καρδίᾳ καθιδρυμένην, δεῖ οὖν, φησί, τὴν ἀρχὴν ἠρεμεῖν· ἠρεμήσειε δ' ἂν καθαροῦ τοῦ αἵματος ὄντος καὶ μέσου τῷ τε πλήθει καὶ τῇ θερμότητι. εἰ γὰρ ὑπερβάλλῃ ἢ τῷ πλήθει ἢ τῇ θερμότητι, ταραχὴν παρέξει τῇ ἀρχῇ. λέγει δὲ τὴν καρδίαν ἔχειν διαίρεσιν καὶ οἱονεὶ ῥαφήν, οἷα τυγχάνει ὄντα τὰ χαράγματα τὰ ἐν τῇ μέρει τῆς χειρός, ὃ καλεῖται θέναρ. τοιαύτην δή τινα διαίρεσιν ἔχειν λέγει τὴν καρδίαν· οὐκ εἰσὶ δὲ συναφεῖς καὶ συνεχεῖς ὑπὸ τῶν τοιούτων διαιρέσεων αἱ καρδίαι ὥσπερ τὰ ἐκ διαφόρων τινῶν καὶ ἀνομοίων μερῶν συγκείμενα. τὰ γὰρ ἀνομοιομερῆ, ὥσπερ αἱ ἐπιφάνειαι φέρε εἰπεῖν, ὑπὸ τῶν γραμμῶν συνεχίζονται, καὶ ταῦτα ὑπὸ τῶν τοιούτων ῥαφῶν· αἱ δὲ καρδίαι ὁμοιομερεῖς οὖσαι ἑαυταῖς ἔχουσι τὰς ῥαφὰς οἱονεὶ διαρθρώσεις καὶ ῥαφάς, οἷαί εἰσι καὶ αἱ ἐν τοῖς δακτύλοις ᾗ κάμπτονται ῥαφαί· φανερῶς γὰρ φαίνονται, καὶ μάλιστα ἐν ταῖς περιφερείαις, καθ' ἃς κάμπτονται οἱ τῶν χειρῶν

---

1 δὲ om. S 2 ἔχῃ] ἔχει a 4 τινὸς Pa 8 τὸ post οὖν om. Pa
12 δὲ post λοιπῇ ponunt Sa 13. 14 καὶ τῇ τρίτῃ S 15 ante ἀρχὴ add. ἡ S
16 ἦν τῇ ἐν P 21 τὰς om. Sa 22 post μέσῃ add. καρδία, sed rursus del. P
23 ἐντίθεται P 25 ἠρεμίσειε a 26 ὑπερβαλεῖ Pa 28 ἐν om. P
29 post τοιαύτην add. ἀλλὰ S δὴ] δεῖ S ἔχειν διαίρεσιν λέγει coll. S: διαίρεσιν λέγει ἔχειν coll. a 30 συνεχεῖς καὶ συναφεῖς coll. S 31 post ὥσπερ add. καὶ S καὶ om. S 31. 32 ἀνομοιομερῶν συγκείμενα S 33 σχίζονται S 34 αὐταῖς S
35 αἱ om. PS

δάκτυλοι, ῥαφαί τινες, ἃς ῥαφὰς καὶ ἄρθρα ὀνομάζει πολλάκις, διὰ τὸ ἐν τοῖς ἄρθροις εὑρίσκεσθαι περικειμένας. ἀλλ' αἱ μὲν τῶν αἰσθητικῶν καρδίαι, φησίν, εἰσὶν ἀρθρωδέστεραι, τουτέστιν ἔχουσιν εἰς βάθος ἐνσεσημασμένας καὶ διὰ τοῦτο διαδηλοτέρας τὰς τοιαύτας ῥαφάς, τῶν δὲ νωθρο- 5 τέρων ἀναρθρότεροι ἤγουν ἐπιπόλαιοι αἱ ῥαφαὶ τούτων εἰσί, καὶ οὐ διάδηλοι, ἀλλ' ἀμαυραί. λέγει δὲ καὶ διὰ τί τὰ μεγάλας ἔχοντα τὰς καρδίας δειλά ἐστι, καί φησιν ὅτι ἐπεὶ ὁ φόβος γίνεται ψυχρανθέντος τοῦ αἵματος, ἐν δὲ τῇ μεγάλῃ καρδίᾳ μικρὸν ὂν τὸ αἷμα (λέγει μικρὸν τὸ ὀλίγον) ὀλίγον οὖν ἐν ταύτῃ ὂν τὸ αἷμα ψύχεται διὰ τὸ μὴ ἀνάλογον ἔχειν τῷ 10 μεγέθει αὐτῆς τὸ θερμόν, δῆλον τὸ διὰ τί δειλά ἐστι τὰ μεγάλας ἔχοντα τὰς καρδίας. παραπλήσιον δὲ ταύτῃ εἰσὶ ψυχραὶ καὶ αἱ μεγάλαι κοιλίαι, ὁμοίως δὲ καὶ αἱ μεγάλαι φλέβες. ὡς γὰρ τὸ αὐτὸ καὶ ἓν ἀριθμῷ πῦρ ἐν μὲν μεγάλῃ οἰκίᾳ τεθὲν ἧσσον θερμαίνει, ἐν δὲ βραχυτάτῃ μᾶλλον, οὕτως καὶ ἐν ταῖς μικραῖς καρδίαις ἢ φλεψὶ τὸ αὐτὸ θερμὸν μᾶλλον θερ- 15 μαίνει, ἧττον δὲ ἐν ταῖς μεγάλαις. ἄλλως τε ἐπειδὴ αἱ ἀλλότριαι κινήσεις, οἷον ἀνέμων καὶ ἀέρος, καταψύχουσιν ἕκαστον τῶν θερμῶν (εἰ γάρ τι θερμὸν ὂν ἐν ἀνέμῳ ἢ ἀέρι ὑπ' ἀνέμου κινουμένῳ τεθείη, ψυχρὸν γίνεται), ἐν δὲ ταῖς εὐρυχωροτέραις καρδίαις ἢ φλεψὶν ἢ κοιλίαις ἔνεστι πολὺ πνεῦμα, ἀνάγ|κη ὑπὸ τούτου ψύχεσθαι τὸ ἐν αὐταῖς αἷμα· καὶ διὰ τοῦτο οὐδὲ 98 20 πίονά ἐστι τὰ μεγαλόφλεβα καὶ μεγαλοκοίλια, ὅτι ὀλίγον τὸ ἐν αὐταῖς θερμόν, τὸ δὲ πῖον πέψις ἐστὶν αἵματος διὰ θερμοῦ. λέγει δὲ καὶ τίνος ἕνεκα τὰ μὲν ἄλλα σπλάγχνα ὑπομένει χαλεπὰ πάθη, ἡ καρδία δὲ οὐδαμῶς, ἀλλ' ἄν τι τοιοῦτον περὶ αὐτὴν συμβῇ, εὐθὺς φθείρεται τὸ ζῷον. οἱ δοθιῆνες δὲ εἶδός ἐστι φυμάτων. περὶ δὲ τὴν τραχεῖαν ἀρτηρίαν καὶ ἐν τῷ ἥπατι 25 περὶ τὸ μέρος ἐκεῖνο, καθ' ὃ συνάπτει ἐν αὐτῷ ἡ μεγάλη φλέψ, λέγει μηδ' ὅλως γίνεσθαι ὑπομονὴν καὶ καρτερίαν χαλεποῦ πάθους. διὰ τί; ὅτι κατὰ ταῦτα τὰ μέρη κοινωνοῦσι τῇ καρδίᾳ, ὥστε τὸ γεγονὸς ἐν τούτοις πάθος εὐθὺς ὑπὸ τούτων διαδιδόμενον εἰς τὴν καρδίαν φθείρει τὸ ζῷον. καὶ διά τινα δὲ πάθη εἰ ἀποθάνοι ζῷον καὶ ἀνατμηθῇ, ὁρᾶταί τι πάθος περὶ τὴν 30 καρδίαν αὐτοῦ· εἰ μὴ γὰρ εἰς αὐτὴν φθάσει τὸ πάθος, οὐκ ἀποθνήσκει τὸ ζῷον.

p. 667ᵇ21 Λέγει δὲ καὶ διὰ τί δύο εἰσὶν αἱ μεγάλαι φλέβες, καὶ ἀπὸ μιᾶς ἀρχῆς τῆς καρδίας. ἀπὸ μὲν οὖν μιᾶς ἀρχῆς λέγει εἶναι αὐτὰς διὰ τὸ καὶ τὴν αἰσθητικὴν ψυχὴν μίαν εἶναι. μιᾶς δὲ οὔσης ταύτης τῆς ψυχῆς εὔλογον καὶ τὸ 35 ταύτην ἔχον μόριον ἓν εἶναι· ἀμερὴς γὰρ οὖσα καὶ ἀσώματος, πῶς ἐνδέχεται ἐν πλείοσι μέρεσι τὴν οὐσίαν αὐτῆς εὑρίσκεσθαι; ἀλλ' ἐν μὲν τοῖς ἐναίμοις καὶ πᾶσι τοῖς γεννῶσιν ὅμοια ἑαυτοῖς ἐστιν ἡ αἰσθητικὴ ψυχὴ καὶ δυνάμει

---

5 ἐπίπολοι a 6 μεγάλην ἔχοντα τὴν καρδίαν S 6 et 11 τὰς om. a
11 αἱ om. S 13 post μὲν add. γὰρ P 14 καὶ om. P 17 ὑπ' ἀνέμω S κινούμενον P 22 χαλεπὰ] πολλὰ S 23 εὐθὺ S οἱ δοθιῆνες scripsi coll. Arist. vulg.: οἱ δοθήϊνοι S: οἱ δοθήνιοι P: αἱ δοθῖναι a 27 γεγονὸς ex γένος corr. al. m. P 29 ante ζῷον add. τὸ S περὶ] ὑπὸ S 30 φθάσοι P
32 εἰσὶ δύο coll. S 35 ἀμεροῦς γὰρ οὔσης καὶ ἀσωμάτου a 36 εὑρίσκεσθαι ante μέρεσι ponit S

καὶ ἐνεργείᾳ, ἐνεργείᾳ μέν, καθὸ ἔχουσι τὴν τοιαύτην ψυχὴν ἐνεργείᾳ, δυνάμει δέ, καθὸ δύνανται μεταδοῦναι τοιαύτης ψυχῆς καὶ τοῖς ἐξ αὐτῶν γινομένοις· ἐν δὲ τοῖς μὴ γεννῶσιν ὅμοια ἑαυτοῖς, οἷά ἐστι τὰ ἐκ σήψεως γινόμενα, ἐνεργείᾳ μόνον, καθὸ ἤδη ἔχουσιν αὐτήν, οὐδαμῶς δὲ δυνάμει, διότι οὐ γεννῶσιν ὅμοια ἑαυτοῖς, ἵνα ἐκ τούτου ἔχωσι δύναμιν τοῦ καὶ ἄλλοις διδόναι. ὅτε οὖν ἔστιν ἡ τοιαύτη ψυχὴ ἐνεργείᾳ ἐν τῇ καρδίᾳ, ἀνάγκη τότε ἐν αὐτῇ εἶναι καὶ τὴν τοῦ αἵματος ἀρχήν· αὕτη γὰρ ἡ ψυχὴ ἐστὶν αἰτία καὶ τοῦ εἶναι τὸ αἷμα ὑγρὸν καὶ θερμόν. διότι μὲν οὖν ἐστιν ἡ αἰσθητικὴ ψυχὴ ἐν τῇ καρδίᾳ, διὰ τοῦτο καὶ τὸ αἱμά ἐστιν ἐν αὐτῇ, διὰ δὲ τὴν τοῦ αἵματος ἑνότητα, ἤτοι διὰ δὲ τὸ αἷμα ἐν αὐτῇ ἠθροῖσθαι, διὰ τοῦτο καὶ αἱ φλέβες εἰσὶν ἀπ' αὐτῆς. δύο δὲ τυγχάνουσιν οὖσαι, ὅπερ προὔκειτο ζητῆσαι, διὰ τὸ καὶ τὰ τῶν ζῴων σώματα διμερῆ εἶναι. εὐθὺ γὰρ τὸ ἔμπροσθεν καὶ τὸ ὄπισθεν δύο καὶ οὐχ ἕν, καὶ τὸ ἄνω δὲ καὶ τὸ κάτω δύο, ὁμοίως δὲ καὶ τὸ δεξιὸν καὶ τὸ ἀριστερόν. λέγει δὲ καὶ τὴν μεγάλην φλέβα πάντα ἔχειν τὰ ἔναιμα, ἔνια δὲ τὴν ἀορτὴν ἀφανῶς. σαφῆ δὲ τὰ ἑξῆς· ἐν δὲ τῇ λέξει τῇ καὶ ἄλλους αἰεὶ πρὸς τὸ πάντῃ μεταδιδόναι, λείπει ἡ εἰς πρόθεσις, ἵν' ᾖ τὸ πλῆρες 'εἰς πολλοὺς ὀχετοὺς καὶ ἐκ τούτων εἰς ἄλλους πρὸς τὸ πάντῃ μεταδιδόναι'. τὰ δὲ περὶ τῶν τάφρων, ἃς ὁ πολὺς ἄνθρωπος τράφους καλεῖ, δῆλον ὅτι αἱ μὴ εἰς βάθος, ἀλλ' ἐπιπολαίως ὀρωρυγμέναι ταχέως ἀφανίζονται ὑπὸ τῆς ἰλύος, ἣν κατάγει τὸ ὕδωρ, αἱ δὲ μὴ τοιαῦται βραδέως. δῆλον δὲ καὶ ὅτι καθαιρομένης πάλιν τῆς ἰλύος φαίνονται αἱ τάφροι. λέγει δὲ καὶ ὅτι ἐπειδὰν ἐλάσσους αἱ φλέβες γένωνται, δίοδος αἵματος ἐν αὐταῖς οὐ γίνεται δι' ἣν ἔχει παχύτητα. καὶ αἵματος μὲν δίοδος οὐ γίνεται ἐν αὐταῖς, γίνεται δὲ τοῦ περιτώματος, ὃ καλοῦμεν ἱδρῶτα· λεπτότατον γὰρ τοῦτο. λέγει δὲ καὶ ὅπως συνέβη τισὶ διὰ καχεξίαν ἱδρῶσαι αἷμα, καί φησι 'γενομένου γὰρ τοῦ σώματος αὐτῶν ῥυάδος', καὶ σαφηνίζων, τί δηλοῖ ἡ ῥυάς, ἐπήγαγε τὸ καὶ μανοῦ. ῥυάδος γὰρ καὶ μανοῦ γενομένου τοῦ σώματος, ὑγροῦ δὲ τοῦ αἵματος διὰ τὴν ἀπεψίαν, καὶ μὴ δυναμένου τοῦ σώματος δι' ἣν πέπονθε μανότητα καὶ ἀραιότητα τὴν τοιαύτην κατέχειν ὑγρότητα, συμβαίνει αἱματώδεις ἱδρῶτας ἐκκρίνεσθαι ἀπ' αὐτοῦ. λέγει δὲ καὶ τὴν ὑπερβολὴν δισσὴν εἶναι ἢ τῷ ποσῷ ἢ τῷ ποιῷ. τῷ μὲν ποιῷ φέρε εἰπεῖν τῆς δυσπεψίας ὑπερβάλλει ὁ τυρός· ὁ γὰρ καρυαῖος τυρὸς δυσπεπτότερός ἐστιν, εἰ τύχῃ, ἀλεκτορίδος· ὑπερβάλλει οὖν ὁ τοιοῦτος τυρὸς καὶ νικᾷ τὴν ἀλεκτορίδα οὐ τῷ ποσῷ (σμικρότατος γάρ), ἀλλὰ τῷ ποιῷ. αἱ δὲ πέντε ἀλεκτορίδες ὑπερβάλλουσι τὴν μίαν οὐ τῷ ποιῷ (εὐχυμόταται γὰρ πᾶσαι), ἀλλὰ τῷ ποσῷ. τὰς δὲ αἱμορροίας λέγει γίνεσθαι ἐκ τῆς τραχείας ἀρτηρίας μετὰ βίας· μετὰ γὰρ βηχῶν καὶ ὀδυνῶν ἀποπτύονται. διεστῶσαι δὲ

---

4 ἔχουσιν ἤδη coll. S 7 εἶναι ἐν αὐτῇ coll. a αὐτὴ γὰρ a 12 ὥσπερ P
13 τὸ ante ὄπισθεν om. Pa δὲ om. a 19 τάφρων corr. ex τράφων S² τράφας P 20 ἐπιπολῆς Sa ὀρωρυγμέναι om. a 21 καθαιρομένοις a
22 οἱ τάφροι PS¹ λέγοι a 23 αἱ scripsi: καὶ libri οὐ γίνεται ante δίοδος ponit S 25 post γὰρ add. καὶ S 27 ἡ ῥυάς] sic libri: fort. τὸ ῥυάδος
33 καρναῖος Sa τύχοι Sa 34 καὶ νικᾷ om. P

ἄνωθεν (λέγων ἄνωθεν τὴν καρδίαν) ἄνωθεν οὖν ἐκ τῆς καρδίας διεστῶσαι καὶ εὐθὺ χωριζόμεναι αἱ δύο φλέβες, ἥ τε μεγάλη καὶ ἡ ἀορτή, κάτω δὲ πρὸς τοὺς μηροὺς καὶ ἄνω ὁμοίως πρὸς τῇ κεφαλῇ ἐναλλάσσουσαι αὐταί τε καὶ αἱ ἀπ' αὐτῶν φυόμεναι φλέβες, καὶ αἱ μὲν πρὸς τὰ δεξιὰ κείμεναι γινόμεναι πρὸς τὰ ἀριστερά, ἐκεῖναι δὲ πρὸς τὰ δεξιά, συνέχουσι τὸ σῶμα. σαφῆ δὲ τὰ ἑξῆς.

p. 669ᵃ12 Ἐν δὲ τῇ λέξει τῇ ὥστε ἐν τῷ πνεύματι αὐτῶν εἶναι τὸ τέλος τοῦ ζῆν ἴσον ἐστὶν τῷ ἕως ἂν ἀναπνέῃ, ἕως τότε καὶ ζῇ. ὄργανον δὲ τοῦ ἀναπνεῖν ἐστιν ὁ πνεύμων· τὴν δὲ ἀρχὴν τοῦ εὐρύνεσθαι καὶ πάλιν συστέλλεσθαι ἔχει ὁ πνεύμων ἀπὸ τῆς καρδίας. τοῦ Πλάτωνος δὲ λέγοντος ὅτι κεῖται δὲ ἡ καρδία ὑπὸ τὸν πνεύμονα διὰ τὴν ἅλσιν (διότι γάρ, φησίν, ἅλλεται ἡ καρδία, τέθεικεν αὐτὴν ἡ φύσις ἐπάνω τοῦ πνεύμονος, ἵνα ἐν αὐτῷ σομφῷ ὄντι καὶ μαλακῷ προσκρούουσα μὴ βλάπτηται· εἰ γὰρ μὴ τοῦτον τέθεικεν ἐπάνω αὐτῆς, προσέκρουεν ἂν στερεοῖς τισι καὶ ἐβλάπτετο), ταῦτα τοῦ Πλάτωνος λέγοντος ἐπάγει τὸ 'τὸ δὲ διὰ τὴν τῆς καρδίας ἅλσιν γενέσθαι τὸν πνεύμονα, ἵνα ἐν αὐτῷ προσπταίῃ ἡ καρδία καὶ μὴ ἐν στερεῷ τινι, οὐ καλῶς εἴρηται· ἐν πολλοῖς γὰρ πλεῖστον ἀφέστηκεν ἡ καρδία τοῦ πνεύμονος, ὥστε μηδὲ προσεγγίζειν αὐτῷ κἂν λίαν ἅλληται, ἔν τισι δὲ οὐδὲ ὑπὸ τὸν πνεύμονα κεῖται, ἀλλ' ἐπάνω αὐτοῦ'. τὸ δὲ φαινόμενον ἐν τοῖς ὄρνισιν αἱματῶδες ἰστέον ὅτι οὐκ ἔστιν ὁ πνεύμων, ἀλλὰ τὸ ἧπαρ· ὁ δὲ πνεύμων αὐτῶν ἐστι τὸ κείμενον ἐν τῇ ῥάχει καὶ ἁπτόμενον αὐτῆς μακρὸν καὶ φλεβῶδες. τὸν δὲ ἀφρὸν λέγει ἐκ μεγάλου μικρὸν γίνεσθαι διὰ τὸ ἐξέρχεσθαι τὸν ἐν αὐτῷ ἀέρα· τοῦ γὰρ τοιούτου ἀέρος ἐξερχομένου συστέλλεται ὁ ἀφρὸς εἰς ἐλάττονα ὄγκον. ἄδιψοι δὲ καὶ ὀλιγόποτοί εἰσιν οἱ ὄρνιθες διὰ τὸ τὸν πνεύμονα αὐτῶν ὀλίγαιμον εἶναι καὶ διὰ τοῦτο ψυχρόν. τοῦτο δὲ αἴτιον τοῦ καὶ τοὺς ὄρνιθας πολὺν χρόνον ὑπὸ τὸ ὕδωρ εἶναι· ξηρὸς γὰρ ὢν διὰ τὴν ὀλιγαιμίαν καὶ σομφὸς ὁ πνεύμων αὐτῶν, καὶ διὰ μὲν τὴν ὀλιγαιμίαν, ὡς εἴρηται, ψυχρός, διὰ δὲ τὴν σομφότητα πολὺν ἔχων ἀέρα, ἱκανῶς ἐμψύχονται ὑπ' αὐτοῦ, καὶ διὰ τοῦτο οὐ δεῖται τοῦ θύραθεν ἀέρος· τούτου δὲ μὴ δεόμενα οὐδὲ σπεύδει γενέσθαι ἐκτὸς τοῦ ὕδατος. λέγει δὲ καὶ ὅτι οὐδὲν τῶν ζωοτόκων τρωγλοδυτεῖ· θερμὰ γὰρ ὄντα ὄρθιά ἐστι, τὸ δὲ ὄρθιον οὐ δύναται ὑπὸ τὴν τρώγλην εἰσέρχεσθαι, ὥσπερ οἱ σαῦροι· οὗτοι γάρ, καίπερ ὑπόποδες ὄντες, ὅμως διὰ τὴν τῶν σκελῶν βραχύτητα καὶ μᾶλλον διὰ τὸ μὴ ὄρθιοι εἶναι, οὐκ ἐμποδίζονται εἰσέρχεσθαι, καθάπερ οὐδὲ οἱ ὄφεις. ὅλως μὲν οὖν ὁ πνεύμων ἐστὶ χάριν τοῦ ἀναπνεῖν. τὸ δὲ γένους τινὸς πρόσκειται, διότι οὐ πάντα ἀναπνεῖ. ἔστι δὲ ὁ πνεύμων

---

2 αἱ om. P 3 μηροὺς] μικροὺς P¹a αὗται PS 8 τὸ—ζῆν fort. iteranda τῷ om. a ἀναπνῇ Pa: ἀναπνεῖ S 11 Πλάτωνος] Tim. p. 70 C 12. 13 φύσις τοῦ πνεύμονος ἄνω S 12 ἐπάνω] immo ὑποκάτω 14 τοῦτον scripsi: τοῦτο libri 15 alterum τὸ om. P 19 κἂν καὶ λίαν (ex κἂν κοιλίαν corr.) P 21 αὐτοῦ libri 24 ὁ γὰρ τοιοῦτος ἀὴρ ἐξερχόμενος S 26. 27 τούτου δὲ αἴτιον καὶ τὸ τοὺς S 27 καὶ τοῦ coll. a 30 ἐψύχωνται P: ἐμψύχον S τούτου] τοιούτου a 31 σπεύδει et ὕδατος scripsi: συνεύδει et ἀέρος libri 35 ὄρθιοι scripsi: ὀρθίους libri

καὶ ἄναιμος καὶ τοιοῦτος, τουτέστι καὶ ἔχων αἷμα· τινῶν μὲν γὰρ ὁ πνεύμων ἔχει αἷμα, τινῶν δὲ ἔχει μέν, ἀλλὰ πάμπαν ὀλίγον, ὥσπερ ὁ τῶν ὀρνίθων· τοὺς γὰρ ὀλιγαίμους πνεύμονας εἶπε καὶ ἀναίμους.

p. 669b15 Τοῦ δὲ σπληνὸς παραπλησίαν ἔχοντος τὴν φύσιν τῷ ἥπατι, πῇ μὲν δοκεῖ τὸ ἧπαρ μονοφυὲς εἶναι, πῇ δὲ διφυές· ᾗ μὲν γὰρ διαφέρει σπληνός, ταύτῃ δόξειεν ἂν μονοφυές, ᾗ δὲ κοινωνεῖ αὐτῷ, ταύτῃ διφυές. αἴτιον δὲ τοῦ διφυὲς εἶναι δοκεῖν καὶ μονοφυὲς τό τε διφυῆ μὲν εἶναι τὴν τοῦ σώματος φύσιν, συντελοῦσαν δὲ πρὸς μίαν ἀρχήν, λέγων πάλιν ἀρχὴν ἢ τὴν καρδίαν ἢ τὴν ἐν αὐτῇ ψυχήν. ὡς μὲν οὖν διφυὲς τὸ σῶμα δοκεῖ καὶ τὸ ἧπαρ διφυὲς εἶναι, ὡς δὲ συντελοῦν πρὸς μίαν ἀρχήν, ταύτῃ πάλιν μονοφυὲς δόξειεν ἂν εἶναι. τὰ δὲ ἑξῆς σαφῆ. τὸ δὲ ἐνίοις δὲ κἀκεῖ τὸ κἀκεῖ ἀντὶ τοῦ τοῖς ᾠοτόκοις· κἀκεῖ δὴ ἐν τοῖς ᾠοτόκοις ἐπιδήλως διέστηκε τὸ ἧπαρ, ὥσπερ ἐν τοῖς ζῳοτόκοις. πάντα δέ, φησί, τὰ κάτω τοῦ ὑποζώματος σπλάγχνα χάριν τῶν φλεβῶν εἰσι· μετεώροις γὰρ οὔσαις ὑπέστρωσεν αὐταῖς ἡ φύσις τὰ σπλάγχνα, ἵνα ἀνέχωσιν αὐτάς. ὥσπερ γὰρ ἀγκύρας τινὰς καὶ βοηθείας τῶν φλεβῶν πεποίηκεν αὐτὰς ἡ φύσις, ἵνα μὴ τέμνωνται ὑπὸ τού|των ἀνεχόμεναι. βέβληνται δὲ ὑπ' αὐτὰς τὰ σπλάγχνα διὰ τῶν ὑποτεταμένων μορίων, τουτέστιν ὑπὸ τὰ ὑποτεταμένα μόρια, λέγων ὑποτεταμένα μόρια τὰς ἀπὸ τῶν μεγάλων φλεβῶν σχιζομένας φλέβας. καὶ ποῦ αἱ τοιαῦται φλέβες τέτανται λέγει, ὅτι ἀπὸ τῆς μεγάλης ἀρχόμεναι φλεβὸς τείνουσι πρός τε τὸ ἧπαρ καὶ τὸν σπλῆνα. προσλαμβάνουσι γὰρ καὶ ἑαυτοῖς τό τε ἧπαρ καὶ ὁ σπλὴν συμφύουσιν αὐτήν, ἤτοι τὴν μεγάλην φλέβα, διὰ μέσων τῶν λοιπῶν σπλάγχνων. ὥσπερ γὰρ εἰ νοήσειέ τις δύο ἄνδρας ἱσταμένους τὸν μὲν πρὸς τῇ ἀρχῇ τοῦ καμπτῆρος τὸν δὲ πρὸς τῷ τέλει, κατέχοντας ἐν ταῖς χερσὶν ἑνὸς σχοινίου τὰ ἄκρα καὶ τείνοντας αὐτό, μεταξὺ δὲ τῶν δύο τούτων ἀνδρῶν ἄλλους ἐπ' εὐθείας ἱσταμένους καὶ ἀνέχοντας τὸ τοιοῦτον σχοινίον διὰ τῶν ὤμων, ἀλλ' ἔστω καὶ τοῦτο ὅτι ὁ πρὸς τῇ ἀρχῇ τοῦ καμπτῆρος ἱστάμενος δέδωκε τῷ μετ' αὐτὸν τὸ ἄκρον τοῦ σχοινίου κἀκεῖνος τῷ μετ' ἐκεῖνον, καὶ οὕτως ἐφεξῆς ἕως τοῦ ἱσταμένου πρὸς τῷ πέρατι τοῦ καμπτῆρος, καὶ εἰ τοῦτο γένοιτο, δυνάμεθα λέγειν ὅτι προσλαμβάνουσιν οἱ ἄκροι τὰ τοῦ σχοινίου ἄκρα διὰ τῶν μεταξὺ ἀνδρῶν, τοιοῦτόν τι καὶ ἐνταῦθα γίνεται καὶ προσλαμβάνουσι τῇ συστάσει τῶν ζῴων, ἤτοι πρὸς σύστασιν τῶν ζῴων. ταῦτα οὖν (λέγω ταῦτα τό τε προσλαμβάνεσθαι τὴν φλέβα διὰ τῶν σπλάγχνων εἰς τὸ ἧπαρ καὶ τοὺς νεφροὺς) ταῦτα οὖν γίνεται διὰ μέσων τῶν σπλάγχνων πρὸς σύστασιν τῶν ζῴων. λέγει δὲ ὅτι καὶ ἡ καρδία ἀναγκαία ἐστὶ τοῖς ζῴοις· δεῖ γὰρ αὐτὴν εἶναι οἷον ἑστίαν καὶ οἴκημα καὶ τὸ ὅλον ἀκρόπολιν, ἐν ᾗ ὥσπερ τις βασιλεὺς κείσεται τὸ τῆς φύσεως ζωπυροῦν. τοῦτο δ' ἂν

---

1 ἄναιμος] ἄνεμος a 5 γὰρ om. Pa 8 post λέγων add. δὲ Pa 11 ἂν om. S 12 ἐπιδήλως—ζῳοτόκοις (13) iterant Sa 14 μετέωροι γὰρ οὔσαι P 15 αὐτάς] αὐτά P 18 ὑποτεταγμένων P 18. 19 ὑποτεταγμένα utrobique P, sed post λέγων (19) corr. in ἀποτεταμένων 19 λέγων ἀποτεταμένα S 22 καὶ ἑαυτοῖς fort. post σπλὴν ponendum 24 γὰρ om. S 26 τείνοντος S τούτων τῶν δύο coll. S 34 ante τὴν add. καὶ S 38 ζώπυρον S

εἴη ἢ τὸ ἔμφυτον θερμὸν ἢ αἰσθητικὴ ψυχή. ὁ δὲ σπλήν, φησί, κατὰ συμβεβηκὸς ἐξ ἀνάγκης ὑπάρχει τοῖς ἔχουσιν, ὥσπερ καὶ τὰ περιττώματα. ὡς γὰρ οὐκ ἔχει σκοπὸν ἡ φύσις περίττωμα ποιῆσαι, ἀλλ' ἐξ ἀνάγκης γίνεται τοῦτο, διὰ τὸ μὴ δύνασθαι ἅπασαν τὴν ξηρὰν καὶ ὑγρὰν τροφὴν πεφθῆναι, καὶ γίνεται μὲν ἐξ ἀνάγκης διὰ τὴν ὕλην, κατὰ συμβεβηκὸς δέ, ὅτι μὴ ἔχει σκοπὸν ἡ φύσις περίττωμα ποιῆσαι, οὕτω καὶ ἐπὶ τοῦ σπληνός· οὗτος γὰρ ἀντισπῶν καὶ ἕλκων πρὸς ἑαυτὸν τὰς περιττευούσας ἰκμάδας ἐκ τῆς κοιλίας καὶ συμπέττων, αἱματώδης ὢν συνίσταταί τε καὶ ἔστιν· ὥστε διὰ μὲν τὴν τοιαύτην ἰκμάδα ἐξ ἀνάγκης ἐστί, διὰ δὲ τὸ μὴ σκοπὸν ἔχειν σπλῆνα ποιῆσαι, κατὰ συμβεβηκὸς ἐνυπάρχει τοῖς ἔχουσιν. εἰ μὲν οὖν σύμμετρός ἐστιν ἡ τοιαύτη ἰκμάς, ὥστε δύνασθαι ὑπὸ τῆς τοῦ σπληνὸς θερμότητος συμπέττεσθαι, ὑγιεινὰ καὶ εὔχροα τὰ σώματα τυγχάνει· ἂν δὲ τὸ περίττωμα πλέον ᾖ καὶ νικῴη τὴν τοῦ σπληνὸς θερμότητα, νοσακερὰ καὶ ὠχρὰ τὰ σώματα γίνεται πληρωθέντα τροφῆς. καὶ διὰ τὸ τὴν τοιαύτην ὑγρότητα πρὸς τὸν σπλῆνα ἐκ τῆς κοιλίας ἕλκεσθαι καὶ παλίρροιαν πρὸς αὐτὸν γίνεσθαι, σκληραὶ καὶ λιθώδεις τοῖς σπληνιῶσιν αἱ κοιλίαι γίνονται, ὥσπερ καὶ τοῖς λίαν οὐρητικοῖς, λέγων λίαν οὐρητικοὺς ὧν ἐν τῇ κύστει πολὺ τὸ περίττωμα συναθροίζεται· καὶ ἐν τούτοις γὰρ ὥσπερ καὶ τοῖς σπληνιῶσι πολὺ τὸ ὑγρὸν ἐκ τῆς κοιλίας διὰ μέσων τῶν νεφρῶν, ὡς ἐρεῖ, ἀντισπᾶται. οἷς δὲ οὐ γίνεται πολλὴ ἡ περίττωσις, ἐξ ἧς ὁ σπλὴν συνίσταται καὶ τὸ εἶναι ἔχει, τοῖς μὲν οὐ μέγας ἐστὶν ὁ σπλήν, τοῖς δὲ σμικρότατος, ὅπερ ἐδήλωσε διὰ τοῦ εἰπεῖν σημείου χάριν. ἀλλὰ καὶ ἐν τοῖς τετράποσι τοῖς ᾠοτόκοις μικρὸς καὶ στιφρός ἐστι, λέγων στιφρὸν τὸ μανὸν καὶ ξηρόν, ὥσπερ ἐστὶν ὁ μὴ βεβρεγμένος σπόγγος. ἐπεὶ δὲ ὁ σπλὴν ἐκ τῆς ὑγρότητος τρέφεται, ὡς εἴρηται, τὰ δὲ ἔχοντα τὸν πνεύμονα σομφὸν καὶ ὀλίγαιμον ὀλιγοποτεῖ, τὰ δὲ ὀλιγοποτοῦντα ἔνδειαν ἔχει ὑγρότητος, διὰ ταύτην τὴν αἰτίαν τὰ τὸν πνεύμονα σομφὸν ἔχοντα ἔχει τὸν σπλῆνα μικρόν. ὀλιγοποτεῖ δὲ τὰ ἔχοντα τὸν πνεύμονα σομφὸν διὰ τὸ ὀλίγαιμον καὶ οἱονεὶ κενὸν εἶναι· τὸ δὲ ὀλίγαιμον ψυχρόν ἐστιν, ἡ δὲ δίψα γίνεται διὰ τὴν πνεύμονος θερμότητα. εἰ δὲ καὶ συμβαίη γενέσθαι τοῖς ὀλιγοποτοῦσι περίττωμα ὑγροῦ, εἰς πτερῶν ἢ λεπίδων σύστασιν τὸ τοιοῦτον ἀναλίσκεται. οἷς δὲ ἔνεστι κύστις καὶ ὁ πνεύμων ἔναιμος, τούτων ὁ σπλὴν ὑγρός ἐστι διὰ τὴν εἰρημένην αἰτίαν καὶ διὰ τὸ τὴν φύσιν τῶν ἀριστερῶν ὑγροτέραν εἶναι καὶ ψυχροτέραν· ἔδει γὰρ τὸν σπλῆνα, ὑγρὸν ὄντα καὶ ψυ|χρόν, 101
κεῖσθαι πρὸς τὸ ὑγρὸν καὶ ψυχρὸν μέρος. καὶ ὁ μὲν σπλήν, ὡς εἴρηται, κατὰ συμβεβηκὸς ἐξ ἀνάγκης, οἱ δὲ νεφροὶ οὐχ οὕτως, ἀλλὰ τοῦ εὖ καὶ καλῶς ἕνεκεν * * δι' αὐτῶν εἰς τὴν κύστιν συναθροίζεσθαι τὴν τῆς ὑγρᾶς

---

2 ἐξ—ὑπάρχει] ἐστὶν ἐξ ἀνάγκης S 7 πρὸς] εἰς a 9 δὲ om. a 10 σκοπὸν μὴ coll. S 13 κἂν δὲ P 14 νοσερὰ S τὰ om. S 16 σπληνῶσιν P 17 λέγων] λέγει a 18 συναθροίζεται scripsi: συναθροίζεσθαι libri 23 τετράποσι καὶ ᾠοτόκοις S 24 τὸν μανὸν S ἐστὶν om. S 25 τὸν om. P 28 σμικρὸν S 30 γενέσθαι scripsi: γεύεσθαι libri 35 ὥσπερ Sa 36 ἐξ ἀνάγκης om. Pa 37 lacunam indicavi: fort. addendum ὑπάρχουσι διὰ τὸ

τροφῆς περίττωσιν. τὸ δὲ κατὰ τὴν ἰδίαν φύσιν ἴσον ἐστὶ τῷ χάριν τῆς περιττώσεως ταύτης γέγονεν ἡ τῶν νεφρῶν φύσις.

p. 670ᵇ33 Σαφῆ δὲ ἃ λέγει περὶ κύστεως, πλὴν ἐνίων· αὐτίκα δεῖται ἐπιστάσεως τὸ τοῖς ἔχουσι τὸν πνεύμονα ἔναιμον καὶ μέγαν, τούτοις ἀποδέδωκε κύστιν διὰ τοιαύτην αἰτίαν. ἀνάγκη γὰρ μεγάλου ὄντος καὶ ἐναίμου τοῦ πνεύμονος θερμὸν αὐτὸν εἶναι, θερμοῦ δὲ τούτου ὄντος ἀνάγκη διψητικώτατα τὰ τοῦτον ἔχοντα εἶναι· διψητικὰ δὲ ὄντα ἀνάγκη δι' ἃς αἰτίας σαφῶς αὐτὸς λέγει, κύστιν ἔχειν. ὅσα δὲ τὸν πνεύμονα ἔχει σομφὸν καὶ πλήρη ἀέρος, ἀλλ' οὐχ αἵματος (τὸ γὰρ πλῆρες αἵματος οὐ σομφόν) ὅσα οὖν σομφὸν ἔχει τὸν πνεύμονα καὶ διὰ τοῦτο ψυχρόν, ὀλιγόποτά ἐστι καὶ ἄδιψα. σαφῆ δὲ τὰ ἑξῆς. ἐν δὲ τῇ λέξει τῇ διὰ τὸ τρέπεσθαι εἰς ταῦτα τὸ περιγινόμενον τοῦ περιττώματος εἰς ταῦτα λέγει τὰς φολίδας καὶ τὰς λεπίδας. λέγει δὲ μὴ ἔχειν κύστιν ὅσα φολίδας ἔχει, πλὴν τῶν χελωνῶν· αἱ γὰρ χελῶναι, καίπερ οὖσαι φολιδωταί, ἔχουσι κύστιν. αἴτιον δ' ὅτι αἱ μὲν θαλάττιαι χελῶναι ἔχουσι τὸν πνεύμονα σαρκώδη καὶ ἔναιμον καὶ διὰ τοῦτο θερμόν, καὶ διὰ τοῦτο διψητικώταται, αἱ δὲ χερσαῖαι μείζω τῆς ἀναλογίας τοῦ ὅλου σώματος αὐτῶν, καὶ διὰ τοῦτο καὶ θερμόν· μείζων γὰρ ὢν τῇ ἀναλογίᾳ νικᾷ καὶ ἡ ἐν αὐτῇ θερμότης. διά τοι τοῦτο καὶ αἱ κύστεις τῶν θαλαττίων χελωνῶν μείζους εἰσί, τῶν δὲ χερσαίων σμικρόταται. ἀλλ' οὐδὲ νεφροὺς οὐδὲν ἔχει τῶν φολιδωτῶν ἢ λεπιδωτῶν πλὴν τῶν εἰρημένων χελωνῶν· ἔν τισι δέ, φησί, τῶν ὀρνίθων νεφροὶ μὲν οὐχ ὑπάρχουσιν, ἀλλὰ σαρκία πλατέα εἰς πολλὰ διεσπαρμένα, νεφροειδῆ ὄντα εὑρίσκεται, ἅπερ πλατέα καὶ νεφροειδῆ ἔχουσιν ἀντὶ νεφρῶν· τούτων γάρ ἐστι δηλωτικὸν τὸ ἀλλ' ὡς τῆς εἰς τοὺς νεφροὺς τεταγμένης σαρκὸς οὐκ ἐχούσης χώραν, καὶ τὰ ἑξῆς. εἴη δ' ἂν τὸ τῆς λέξεως κατάλληλον τοιοῦτον 'ἀλλ' ἐν ἐνίοις τῶν ὀρνίθων οὐκ ἐχούσης χώραν τῆς σαρκὸς τῆς εἰς τοὺς νεφροὺς τεταγμένης, τουτέστι μὴ δυνηθείσης συστῆναι καὶ εἰς ἕν τι συναθροισθῆναι τῆς σαρκὸς τῆς εἰς γένεσιν νεφρῶν ὑπὸ τῆς φύσεως δημιουργουμένης, ἀλλὰ τῇδε κἀκεῖσε διασπαρείσης καὶ εἰς πλείονα μέρη κατακερματισθείσης, ἀντὶ νεφρῶν ἔν τισιν αὐτῶν εὑρίσκεται πλατέα νεφροειδῆ'. σαφῆ δὲ τὰ ἑξῆς. λέγει δὲ καὶ τοὺς νεφροὺς πάντων εἶναι κοίλους, τοὺς μὲν μᾶλλον, τοὺς δ' ἧττον, πλὴν τῆς φώκης· τούτους δέ φησι στερεωτάτους εἶναι καὶ ναστοὺς καὶ μὴ ἔχοντας κοιλότητα ἢ κενὸν συγγενοῦς σώματος. λέγει δὲ καὶ τὸν πόρον τὸν ἀπὸ τῆς φλεβὸς πρὸς τοὺς νεφροὺς φέροντα μὴ τελευτᾶν ἔσωθεν εἰς τὸ κοῖλον τῶν νεφρῶν, ἀλλὰ μέχρι τῆς κυρτῆς περιφερείας αὐτῶν ἐρχόμενον ἐν ταύτῃ καταναλίσκεσθαι. σημεῖον δὲ τοῦ μὴ ἄχρι τοῦ κοίλου φέρεσθαι τὸν

---

7 διψητικώτατα S: διψηκώτατα a 8 αὐτὸς σαφῶς coll. a λέγει] εἶπε S 11 τῇ τὸ διατρέπεσθαι Pa 12 περιγενόμενον S εἰς ταύτας P λέγει om. P 14 φολιδωτὰ a 16 διψηκώτατον a 18 καὶ post νικᾷ om. S 20 ἢ] οὐδὲ S 21 πλὴν—χελωνῶν in marg. add. P 25 καὶ τὰ ἑξῆς—χώραν (27) in marg. adscr. P 26 ἐν om. S 27 τεταγμένους S 31 εὑρίσκεσθαι P 33 τούτους] τοὺς S post ναστοὺς add. φησὶ S 34 ἢ κενὸν] ἡ μὲν S 37 τὸ μὴ P

πόρον τὸ μὴ γίνεσθαι αἷμα ἐν τῷ τῶν νεφρῶν κοίλῳ. ὥστε εἴπερ ὁ τῆς φλεβὸς πόρος ἐκεῖσε ἐτελεύτα, ἦν ἂν αἷμα ἐν αὐτῷ, νῦν δὲ τελευτησάντων καὶ ἀποθανόντων τῶν ζῴων οὐχ εὑρίσκεται. ἀπὸ δὲ τῆς κοιλότητος ἑκάστου τῶν νεφρῶν εἰς φέρεται πόρος πρὸς τὴν κύστιν· ὥστε ἐπεὶ δύο οἱ νεφροί, ἀφ' ἑκάστου δὲ τούτων εἰς φέρεται πόρος πρὸς τὴν κύστιν, δῆλον ὅτι καὶ οἱ πόροι δύο εἰσὶ καὶ οὐ πλείους. ἔχει δὲ ταῦτα οὕτω διὰ ταύτην τὴν αἰτίαν, ὅπως ὑπὸ μὲν τῆς φλεβὸς βαδίζῃ τὸ περίττωμα εἰς τὴν τοῦ νεφροῦ κυρτὴν περιφέρειαν· ἐνταῦθα γὰρ ἡ φλέψ, ὡς εἴρηται, τελευτᾷ· ἐνταῦθα δὲ γενόμενον τὸ περίττωμα καὶ διὰ τὴν τῆς τῶν νεφρῶν σαρκὸς μανότητα διηθηθὲν καὶ εἰς τὸ κοῖλον συρρεῦσαν ἀπὸ τοῦ τοιούτου κοίλου εἰς τὴν κύστιν φέρεται διὰ τῶν εἰρημένων πόρων. ἡ δὲ κύστις καθώρμισται τουτέστιν ἀπῃώρηται ἐκ τῶν νεφρῶν. κεῖται δὲ ὁ δεξιὸς νεφρὸς ἀνωτέρω τοῦ ἀριστεροῦ διὰ τὸ τὴν κίνησιν ἐκ τῶν δεξιῶν εἶναι, ὥστε εἴπερ ἔκειτο τὰ ἐν τοῖς δεξιοῖς σπλάγχνα κάτω, βάρος ἂν παρεῖχε καὶ ἐνεπόδιζε τὰ ἄρχοντα τῆς κινήσεως.

p. 672ᵃ1 Σαφῆ δὲ τὰ περὶ τῶν νεφρῶν. εἰπὼν δὲ πῶς διὰ τὴν ὕλην πιμελώδεις ἢ στεατώδεις γίνονται, ἐπάγει ὅτι πιμελώδεις ἢ στεατώδεις γίνονται ἐκ τῶν συμβαινόντων ἐξ ἀνάγκης, λέγων ἀνάγκην τὴν ὕλην. διὰ μὲν τὴν ὕλην | εἰσὶ τοιοῦτοι, ἀλλὰ καὶ διὰ τὸ εὖ· κείμενοι γὰρ κάτωθεν τοῦ νώτου καὶ πρὸς τῇ ὀσφύι, καὶ δεόμενοι ἀλέας διὰ τὴν τῆς ὀσφύος ἀσαρκίαν καὶ τὴν ἐκ τῆς ἀσαρκίας ἐπιγινομένην ψυχρότητα, χρεία πιμελῆς τοῖς νεφροῖς, ἵνα θερμαίνωνται ὑπ' αὐτῆς. οἱ δὲ νεφροί, φησί, τῶν προβάτων κἂν πάνυ πίονες ὦσιν, ἐλλείπει τι ἐν αὐτοῖς· εὑρίσκεται γάρ τινα διαλείμματα ἐν αὐτοῖς, ἔνθα οὐ κεῖται πιμελή, ἀλλ' εἰσὶν ἀπίμελα. λέγει δὲ καὶ διὰ τί μόνα τὰ πρόβατα ἀποθνήσκει, ἐπειδὰν οἱ νεφροὶ αὐτῶν πιμελώδεις γένωνται, καί φησιν ὅτι τὰ πιμελώδη οὐκ ἀποθνήσκουσι διὰ τὸ ὑγρὸν καὶ ἀραιὸν εἶναι τὸ πῖον καὶ διὰ τοῦτο μὴ κωλῦον ἐξέρχεσθαι τὸ ἐν τοῖς νεφροῖς συνιστάμενον πνεῦμα. αἱ δ' αἶγες στεατῶδες μὲν ἔχουσι τὸ πῖον ὥσπερ καὶ τὰ πρόβατα, ἀλλ' οὐχ ὁμοίως πυκνόν· λίαν γάρ ἐστι πυκνότατον τὸ τῶν προβάτων.

p. 672ᵇ10 Τὸ δὲ διάζωμα λέγει κεῖσθαι μεταξὺ τῆς καρδίας καὶ τῆς κοιλίας, ἵνα κωλύῃ τὰ ἀνερχόμενα ἐκ τῆς κοιλίας πνεύματα, καὶ μὴ ἐᾷ προσβάλλειν τῇ καρδίᾳ καὶ ταράττειν τὴν ἐν αὐτῇ ψυχήν. λέγει δὲ καὶ ὅτι ἄνω ἐκεῖνο λέγομεν, οὗ χάριν ἐστὶ τὰ κάτω (διὰ γὰρ τὸ ἄνω τὰ κάτω) κάτω δ' ἐστὶν τὸ ἕνεκεν τοῦ ἄνω ὑπάρχον. ἔστι δὲ τοῦτο τὸ δεχόμενον τὴν τροφήν· τὸ γὰρ δεκτικὸν τῆς τροφῆς ἐκεῖνο ἔστι τὸ κάτω καὶ ἀναγκαῖον διὰ τὴν τροφήν. ὅτι δὲ αἱ φρένες διὰ τὸ κωλύειν τὴν ἀπὸ τῆς κοιλίας ἀνιοῦσαν θερμότητα γεγόνασι, σημεῖον τὸ συμβαῖνον· ὅταν γὰρ αὗται διὰ τὴν γειτνίασιν, ἣν ἔχουσι πρὸς τὴν κοιλίαν, ἑλκύσωσιν ἀπ' αὐτῆς θερμότητα, εὐθὺς τῇ καρδίᾳ μεταδιδοῦσαι ταράττουσι τὴν διάνοιαν, ὅπερ ἐπὶ τῶν μεθυ-

2. 3 τελευτήσαντα καὶ ἀποθανόντα τὰ ζῶα P 5 ἐφ' ἑκάστου P 7 βαδίζει a 10 διιθυθὲν P 16 Σαφῆ—νεφρῶν fort. delenda sunt 17 ἢ posterius] καὶ Pa 25 θνήσκει a 31. 32 κοιλίας καὶ τῆς καρδίας coll. S 36 τὸ γὰρ—τροφήν (37) in marg. add. P

ὄντων ἔστιν ἰδεῖν. σαρκώδη δὲ λέγει εἶναι τὰ τῶν φρενῶν μέρη τὰ πρὸς ταῖς πλευραῖς ὄντα, ὅτι καὶ αἱ πλευραὶ σαρκώδεις, ἐξ ὧν αἱ φρένες τὴν ἀρχὴν ἔχουσι, τὸ δὲ μᾶλλον πλησιάζον τῷ ἐξ οὗ γέγονεν ἀνάγκη μᾶλλον κοινωνεῖν ἐκείνῳ. ὅτι δὲ αἱ φρένες θερμαινόμεναι μεταδιδόασι τῇ αἰσθητικῇ ψυχῇ τοῦ τοιούτου πάθους, σημεῖον καὶ τὸ περὶ τοὺς γέλωτας συμβαῖνον· ὅταν γάρ τις γαργαλίσῃ καὶ κινήσῃ τὴν μασχάλην, εὐθὺ θερμαίνονται ὑπὸ τῆς τοιαύτης κινήσεως αἱ φρένες διὰ τὸ ἔχεσθαι τῶν μασχαλῶν, ἡ δὲ ὑπὸ τοῦ γαργαλισμοῦ γενομένη θερμότης, ξηρὰ οὖσα, διαχέει τὴν ἐν τῇ καρδίᾳ θερμότητα καὶ ποιεῖ τὴν διάνοιαν κινεῖσθαι· ἡ δὲ τοιαύτη κίνησις γέλως ἐστίν. ἔστι δὲ γέλως κίνησις παρὰ τὴν προαίρεσιν. ἰστέον δὲ ὅτι τὸ ἐκ τῆς κοιλίας ἀνιόν, θερμὸν ὂν καὶ ὑγρόν, ἐπιθολοῖ μᾶλλον τὸ ἐν τῇ καρδίᾳ θερμόν, τὸ δὲ θερμὸν καὶ ξηρὸν διὰ τὴν ξηρότητα λεπτύνει καὶ διαχέει. μόνος δὲ ὁ ἄνθρωπος γαργαλίζεται, διὰ τὴν τοῦ δέρματος λεπτότητα καὶ διὰ τὸ γελᾶν· οὐ γὰρ γελᾷ καὶ τὰ ἄλλα, ἵνα γνοίημεν εἰ γαργαλίζεται. σαφῆ δὲ τὰ ἑξῆς. λέγει δὲ τὸ τοῦ Ὁμήρου ἔπος τινὰς 'φθεγγομένη' γράφειν διὰ τοῦ η̄, ἀλλ' οὐ 'φθεγγομένου' διὰ τῆς οῡ διφθόγγου, ἵν' ᾖ κατ' ἐκείνους τὸ λεγόμενον ὅτι καὶ ἀποκοπεῖσα ἡ κεφαλὴ φθεγγομένη ἦν, ἀλλ' οὐχὶ φθεγγομένου τοῦ ἀνθρώπου ἀπεκόπη ἡ κεφαλή. ἔτι δέ, φησί, διὰ τί καὶ τὰ ἄλλα ζῷα ἀποτεμνόμενα τὴν κεφαλὴν οὐ φθέγγεται αὐτῶν ἡ κεφαλή, ὡς πέφυκε φθέγγεσθαι;

p. 673ᵃ33 Λέγει δὲ καὶ τὰ σπλάγχνα ὅμοια εἶναι ἀλλήλοις, διὰ τὸ εἶναι πάντα αἱματικά· ὅμοιος γὰρ ὁ σπλὴν τῷ ἥπατι. γεγόνασι δὲ τὰ σπλάγχνα ἐντός, ὅτι καὶ αἱ φλέβες, ἐξ ὧν τὰ σπλάγχνα, ἐντός εἰσι. λέγει δὲ καὶ ἔνια τῶν ζωοτόκων μὴ ἔχειν χολὴν διὰ τὴν τοῦ ἥπατος θερμότητα. αὕτη γὰρ εὔπεπτα καὶ διὰ τοῦτο εὔχρατα τούτων ἀποτελοῦσα τὰ σώματα οὐ δίδωσι χώραν τοῦ συστῆναι φαύλην περίττωσιν, ἀφ' ἧς ἂν γένοιτο χολή. λέγει δὲ διαφέρειν τὰ σπλάγχνα πρὸς τὴν σάρκα οὐ μόνον τῷ ὄγκῳ ἤτοι τῷ πάχει, ἀλλὰ καὶ τῇ θέσει. τὰ μὲν γὰρ σπλάγχνα ἐντὸς κεῖται, ὅτι καὶ αἱ φλέβες, ἀφ' ὧν τὰ σπλάγχνα, ἡ δὲ σὰρξ ἐκτός· μεταξὺ γὰρ τοῦ θώρακος, ἐν ᾧ κεῖται τὰ σπλάγχνα, σὰρξ οὐκ ἔστι. καὶ τινὰ μὲν τῶν σπλάγχνων, ὡς εἴρηται, χάριν τῶν φλεβῶν εἰσιν, αὐτὰ δὲ φλέβας οὐκ ἔχει, ὥσπερ τὸ ἔπιπλον, τινὰ δὲ οὐκ ἄνευ φλεβῶν. καταλέγει δὲ καὶ τίνα ἐστὶ τὰ μονοκοίλια, μεθ' ὧν τάττει καὶ τὰ διχηλὰ καὶ ἀμφώδοντα, οἷόν ἐστιν ὁ χοῖρος ὁ ὕσπληξ. πολλάκις δέ, φησί, τινὰ τῶν ζῴων διὰ τὸ μέγιστα εἶναι καὶ ἐσθίειν τροφὴν ἀκανθώδη | καὶ ξυλικήν (ῥίζας γὰρ δένδρων 103
καὶ φλοιοὺς καὶ κλάδους ἐσθίουσι) τοιαύτην οὖν ἐσθίοντα τροφὴν δύσπεπτον ἔχουσιν ἐξ ἀνάγκης πλείους κοιλίας, ἵνα κατεργάζηται διὰ τούτων ἡ τροφή. πάντα δὲ τὰ κερατοφόρα μὴ ἀμφώδοντα καὶ τὰ μὴ ἀμφώδοντα κερατοφόρα,

---

6 εὐθὺς a 8 γινομένη a 10 ἐστίν om. a 14 οὐδὲ γὰρ P καὶ τὰ ἄλλα iterum scr., sed rursus del. P 15 Ὁμήρου] K 457 cf. χ 329 τινὲς S φθεγγομένην S: φθεγομένους P 15. 16 γράφουσι S 19 ἡ om. P 24 ἔχει S 32 τὸ scripsi: δ' libri 34 ὁ prius om. S ὕσπληξ] sic libri: ὑσπλήξ Arist. codd., cf. Lob. Phryn. p. 71: ὃς Arist. vulg. 35 μέγιστον P 36 οὖν ἐστιώμενα (sic) P 37 κατεργάζηται—δι' ἃς (p. 66,1) in marg. add. P

καὶ ἔχει ταῦτα πλείους κοιλίας δι' ἃς μετ' ὀλίγον εἴποι αἰτίας. ἡ δὲ κάμηλος, καίπερ οὖσα μὴ ἀμφώδους, κέρατα μὲν οὐκ ἔχει, ἔχει δὲ κοιλίας πλείους ὁμοίως τοῖς μὴ ἀμφώδουσι διὰ τὸ δύσπεπτον τῆς τροφῆς, ἐξ ἧς τρέφεται. ἄλλως τε καὶ ἐπειδὴ ἡ τῆς καμήλου τροφὴ ἀκανθώδης ἐστίν, ἀνάγκη δὲ διὰ τὰς ἀκάνθας σκληρὰν καὶ σαρκώδη τὴν γλῶτταν ἔχειν, ὁμοίως δὲ καὶ τὸν οὐρανόν, τῇ σκληρότητι τῆς τοιαύτης γλώττης καὶ τοῦ οὐρανοῦ κέχρηται ἀντὶ ὀδόντων· τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ πρὸς σκληρότητα τοῦ οὐρανοῦ κατακέχρηται τῷ ἐκ τῶν ὀδόντων γεώδει ἡ φύσις. ὥστε τὸ μὲν πρὸς σκληρότητα εἴη ἂν ἴσον τῷ τῇ σκληρότητι τοῦ οὐρανοῦ, καὶ προσυπακουστέον οἶμαι καὶ τοῦ 'καὶ τῆς γλώττης'· τὸ δὲ τῷ ἐκ τῶν ὀδόντων γεώδει ἀντὶ τοῦ τῶν ὀδόντων. σαφῆ δὲ τὰ ἑξῆς. τὸ δὲ λεγόμενον κατὰ τὴν λέξιν τὴν οἱ δὲ τὸν οἰσοφάγον ἔχουσι πλατὺν τοιοῦτόν ἐστιν· 'πλατὺς ὢν ὁ οἰσοφάγος καὶ εὐρὺς καὶ διὰ τὴν εὐρότητα κοιλαίνεσθαι δυνάμενος δύναται κατέχειν διὰ τῶν κοιλοτήτων τὰ βρώματα καὶ πέττειν ἐκεῖσε χρονοτριβοῦντα'. ἢ τὸν μὲν οἰσοφάγον πλατὺν οὐκ ἔχουσιν, ἔχουσι δὲ τὴν κοιλίαν ἰσχυρὰν καὶ σαρκώδη, ὥσπερ αἱ χῆνες καὶ ἄλλα πολλά, ἥτις δι' ἄμφω θερμή ἐστι, διὰ μὲν τὸ σαρκῶδες, ὅτι ἡ σὰρξ θερμή, διὰ δὲ τὸ ἰσχυρὸν καὶ πυκνόν, ὅτι οὐ δίδωσι χώραν διεξόδου τῷ ἐν αὐτῇ θερμῷ. τοῦ δὲ πρὸς τὸ δύνασθαι πολὺν χρόνον θησαυρίζειν ἑρμηνευτικὸν ἐπῆκται τὸ πέττειν· τὸ γὰρ πολὺν χρόνον κατεχόμενον μᾶλλον πέττεται, τὸ δ' ἐν ὀλίγῳ ἧττον. ἡ οὖν θερμότης τῆς σαρκώδους καὶ σκληρᾶς κοιλίας ἀναλαμβάνει καὶ ἀναπληροῖ τὴν τοῦ στόματος ἔνδειαν. ἄλλα δέ τινα οὔτε κοιλίαν ἔχει οὔτε τινὰ ἐν τῇ κοιλίᾳ ἐπανεστηκότα μόρια ἐοικότα τοῖς προλόβοις, ἀλλ' ἔχει τὸν πρόλοβον μακρόν, οἷά ἐστι τὰ μακροσκελῆ ὥσπερ γέρανος. εἰσὶ δὲ τῶν μακροσκελῶν τὰ σκέλη λεῖα καὶ παντελῶς ἐστερημένα πτερῶν διὰ τὴν τῆς τροφῆς ὑγρότητα καὶ ψυχρότητα· τοῦτο γὰρ λείπει. ὥσπερ γὰρ τὰ θερμὰ καὶ ὑγρὰ δασέα, οὕτω τὰ ψυχρὰ καὶ ὑγρὰ λεῖα. ἔχουσι μὲν οὖν τὰ μακροσκελῆ ἀντὶ κοιλίας καί τινος ἐπανεστηκότος τὸν πρόλοβον μακρόν. ἡ γὰρ τροφὴ τούτων εὐλέαντος οὖσα (ἐν τέλμασι γὰρ καὶ λίμναις τὰ πλεῖστα διαιτᾶται) οὐ δεῖται χρόνου πρὸς τὸ κατεργασθῆναι· οὐ γάρ ἐστι ξυλώδης ἢ χορτώδης ἤ τις τῶν δυσκατεργάστων. καὶ διὰ τὸ τὴν τροφὴν αὐτῶν εἶναι ὑγρὰν καὶ τελματώδη συμβαίνει τὰς κοιλίας αὐτῶν εἶναι ὑγράς, καὶ διὰ τὴν ἀπεψίαν· καὶ ᾗ μὲν εὐλέαντός ἐστιν ἡ τροφή, ταύτῃ εὐκατέργαστος καὶ εὔπεπτός ἐστιν, ᾗ δὲ πολλῇ ταύτῃ χρῶνται, ταύτῃ ἀπεπτοῦσι καὶ ἔχουσιν ὑγρὰς τὰς κοιλίας. τὸ δὲ τῶν ἰχθύων γένος ἅπαν καὶ ἀμφώδουν καὶ καρχαρόδουν ἐστί, πλὴν τοῦ σκάρου· οὗτος γὰρ διὰ τὸ μὴ ἀμφώδους εἶναι οὐδὲ καρχαρόδους ἐστί. μὴ ὄντων γὰρ τῶν ἄνω ὀδόντων πῶς ἂν ἐπάλλαξις γένηται, ἵν' ᾗ καρχα-

---

1 εἴποι Pa: εἴπῃ S: exspectas ἐρεῖ 3 ἀμφόδουσι S 6 τῇ σκληρότητι om. P 6. 7 τῶν οὐρανῶν P 10 καὶ τὸ καὶ τῆς a 12 prius τὴν om. S 13 καὶ ante διὰ om. S 15 πέττεσθαι Sa 17 δ' ἄμφω a 19 τὸ ἐν αὐτῇ θερμὸν P ἐν αὐτῷ a 20 τῶν πέττειν P 24 post μόρια add. καὶ Pa οἷα εἰσὶ P 30 τέλματι P 33 κοιλείας a 36 καρχαρώδουν P 38 post ᾗ add. καὶ a

ρόδους; ὥστε διὰ τὸ μὴ ἀμφώδοντα εἶναι καὶ διὰ τοῦτο μηδὲ καρχαρόδοντα τὸν σκάρον, ἀνάγκη αὐτὸν μηρυκάζειν· πᾶν γὰρ μὴ ἀμφώδουν μηρυκάζει. ἀποφυάδας δὲ λέγει τὰ ἐπανεστηκότα ἐν ταῖς κοιλίαις καὶ προλόβοις ἐοικότα. ἐν δὲ τῇ λέξει τῇ ἀλλ' ἄπεπτα διαχωρεῖν τὸ ἀλλά ἀντὶ τοῦ καί συνδέσμου εἴρηται. ἐν δὲ τῇ καί τινας ἔχουσι μετρίας πλάνας τὸ πλάνας ἀντὶ τοῦ ἕλικας κεῖται. δύνανται γὰρ αἱ ἕλικες διὰ τὴν ποικίλην καὶ κεκλασμένην αὐτῶν θέσιν κατέχειν τὴν τροφήν, ὥσπερ πάλιν τὰ ἐοικότα εὐθείαις γραμμαῖς μὴ κατέχειν. τοῦτο δὲ τὸ μόριον λέγει τὸ ἔντερον. κατὰ δὲ τὴν λέξιν τὴν πάντα γὰρ ὡς εἰπεῖν μεγάλα τὰ κερατοφόρα διὰ τὴν κατεργασίαν τῆς τροφῆς λείπει τὸ 'ἔχει τὰ ἔντερα', ἵν' ᾖ τὸ πλῆρες τοιοῦτον 'πάντα γὰρ τὰ κερατοφόρα μεγάλα ἔχει τὰ ἔντερα διὰ τὴν κατεργασίαν τῆς τροφῆς'. τὸ γὰρ μέγα καὶ εὐρύτατον δύναται κοιλαίνεσθαι, τὸ δὲ κοιλαινόμενον δύναται ἐν ταῖς κοιλότησι συνέχειν τὴν τροφήν. ἀλλὰ καὶ πᾶσι | τοῖς μὴ εὐθυεντέροις εὐρύτατον γίνεται τὸ ἔντερον· ἐξ ἀρχῆς 104 μὲν γὰρ στενόν ἐστιν, ὅσον δὲ κάτεισι, τοσοῦτον εὐρύνεται. λέγει δὲ καλεῖσθαι ἀρχὸν τὸ εὐθὺ πρὸς τὴν ἔξοδον διατεῖνον τοῦ περιττώματος. εὐρύνεται δὲ τοῖς εὐχιλοτέροις, τουτέστιν εὐπεπτοτέροις (χιλὸς γὰρ ἡ τροφή) εὐρύνεται οὖν τοῖς εὐχιλοτέροις καὶ εὐπεπτοτέροις καὶ διὰ τοῦτο εὐτραφεστέροις τὸ ἔντερον, ἵνα κατερχόμενον τὸ περίττωμα ἱστῆται ἐν ταῖς διὰ τὴν εὐρυχωρίαν αὐτοῦ γινομέναις κοιλότησι, καὶ μὴ τάχιον ἐξερχόμενον πεινῇ. εἰς πλῆθος δὲ γαστρίμαργα λέγει τὰ ἐσθίοντα πάνυ πολλά, ἅπαξ δὲ ἢ δὶς τῆς ἡμέρας, εἰς τάχος δὲ γαστρίμαργα τὰ πολλάκις τῆς ἡμέρας ἐσθίοντα. ἐν δὲ τῇ λέξει τῇ τοῦτο γὰρ μεταξὺ τῆς ἄνω, ἐν ᾗ ἄπεπτον, καὶ τῆς κάτω, ἐν ᾗ τὸ ἄχρηστον περίττωμα, τὸ τοῦτο ἀντὶ τοῦ αὕτη εἴρηται· περὶ γὰρ τῆς νήστιδος ἔτι ὁ λόγος αὐτῷ. τοῦτο δὲ δῆλον ἐκ τοῦ ἐπαχθέντος τοῦ γίνεται δ' ἐν πᾶσι μέν, δήλη δ' ἐν τοῖς μείζοσι καὶ νηστεύσασιν, ἀλλ' οὐκ ἐδηδοκόσιν. ἀλλὰ πῶς δήλη ἐν τοῖς νηστεύσασι γίνεται; ἢ ἐπειδὴ ἡ ἐν τῇ ἄνω κοιλίᾳ τροφὴ νεαρά ἐστιν, ἡ ἐν τῇ κάτω δὲ κοπρώδης, ἡ δὲ ἐν τῇ νήστιδι ἑτέρα τούτων ὁρᾶται, φαίνεται ὅτι ἑτέρα ἔστιν ἡ νῆστις τῆς τε ἄνω καὶ τῆς κάτω κοιλίας. εἰ γὰρ ἦν ἡ αὐτή τινι τούτων, ἦν ἂν καὶ ἡ ἐν αὐτῇ περίττωσις ὁμοία τινὶ τῶν ἐν ταύταις περιττώσεων· φαίνεται δὲ ἡ ἐν τῇ νήστιδι περίττωσις ἑτέρα τῶν ἄλλων, ἐπειδὰν νηστεύσωσιν, ὅτι ἡνίκα φάγωσι καὶ πλησθῶσιν, ἀναμίγνυται ἡ ἐν τῇ ἄνω κοιλίᾳ τροφὴ μετὰ τῆς ἐν τῇ νήστιδι περιττώσεως, καὶ οὐ γίνεται διάδηλος, εἰ ἑτέρα ἐστί· βραχὺς γὰρ ὁ καιρός, ἀφ' οὗ ἔφαγε τὸ ζῷον καὶ οὔπω ἐπέφθη, ἵνα φανῇ ἡ ἑτερότης αὐτῶν. σαφῆ δὲ τὰ ἑξῆς ἕως τοῦ τέλους τοῦ βιβλίου.

---

2 ἀμφόδουν S μηρυκίζει S 5 πλάνας] sic libri et Arist. SUY: πλάκας Arist. vulg. 6 τὸ πλάνας om. P 7 κεκλαμένην a 8 τὸ post δὲ om. Pa 10 ἵν' ᾖ—ἔχει τὰ (11) in marg. adscr. P 14 εὐθυντέροις P 17 χιλὸς γὰρ—εὐπεπτοτέροις (18) in marg. adscr. P, om. S 19 ἵστηται S: ἵσταται Pa 26 δ' prius om. P 28 ἡ post ἐπειδὴ om. P 29 ὁρᾶται] ὁρατῶν a 31 ταύταις] αὐταῖς Pa 32 ἡ om. P 36 ἕως—βιβλίου om. S

Ἀρχόμενος τοῦ τετάρτου τῶν Περὶ ζῴων μορίων λέγει ὅτι τὰ τετράποδα καὶ ᾠοτόκα τῶν ζῴων καὶ τὰ ἄποδα, οἷον οἱ ὄφεις, ὁμοίαν ἔχουσι τήν τε κοιλίαν καὶ τὰ σπλάγχνα καὶ ἕκαστον τῶν εἰρημένων μορίων. ἡ γὰρ τῶν ὄφεων φύσις συγγενής ἐστι τοῖς τετράποσι καὶ ᾠοτόκοις· ὅμοιοι γάρ εἰσιν οἱ ὄφεις σαύρῳ μακρῷ, εἴ τις τοῦτον ἄποδα νοήσειε. πάλιν δὲ τοῖς τετράποσι καὶ ᾠοτόκοις καὶ τοῖς ὄφεσιν ἔχουσιν οἱ ἰχθύες πάντα τὰ σπλάγχνα παραπλήσια. λέγει δὲ καὶ διὰ τοὺς ἰχθύας ὅτι ἐμφαίνεται λευκότης ἐν τῷ περιττώματι αὐτῶν τῷ ἐκ τῆς ὑγρᾶς τροφῆς, καθάπερ καὶ ἐν τῷ τῶν ὀρνίθων· τούτου γάρ ἐστι δηλωτικὸν τὸ ἐπιλευκαίνει δὲ τὸ περίττωμα πᾶσι καὶ τούτοις. διὰ τοῦτο καὶ ἐν τοῖς ἔχουσι κύστιν ὑφίσταται ἡ ἁλμυρίς, γεώδης οὖσα καὶ λευκή, τὸν αὐτὸν ἔχουσα λόγον ὅνπερ ἐν ἐκείνοις τὸ ἐμφαινόμενον λευκόν. λέγει δὲ τοὺς ἔχεις διαφέρειν πρὸς τοὺς ὄφεις ὃν τρόπον καὶ οἱ ἰχθύες πρὸς τὰ σελάχη, καὶ τί διαφέρουσιν ἐπάγει· ζωοτοκοῦσι γὰρ καὶ τὰ σελάχη καὶ οἱ ἔχεις, οἱ δὲ ὄφεις καὶ οἱ ἰχθύες ᾠοτοκοῦσι. σαφῆ δὲ τὰ ἑξῆς.

p. 676b22 Ἃ δὲ ἀντιλέγει πρὸς τὸν Πλάτωνα περὶ χολῆς ἔσται δῆλα, εἰ πρότερον τεθείη τὰ τῷ Πλάτωνι δοκοῦντα. ὁ μὲν δὴ Πλάτων ἐν τῷ ἥπατι λέγων εἶναι τὸ ἐπιθυμητικὸν ἔλεγεν ὅτι τὸ ἐπιθυμητικὸν πρὸς ἡδονὴν καὶ ἄνεσιν ἕλκον τὸ ζῷον ἑλκύει καὶ παντάπασι φθείρει αὐτό· προνοουμένη οὖν ἡ φύσις τοῦ ζῴου πεποίηκεν ἐν τῷ ἥπατι τὴν χολὴν ὅπου τυγχάνει ὂν καὶ τὸ ἐπιθυμητικόν, ἵνα δριμεῖα οὖσα δάκνῃ τὸ ἧπαρ, ἐν ᾧ τὸ ἐπιθυμητικόν, τούτου δὲ δακνομένου πονῇ τὸ ζῷον, πονοῦν δὲ συσφίγγηται καὶ συνιστῆται καὶ ἀνιστῆται ἀπὸ τῆς ἀνέσεως καὶ τῆς ἐκ ταύτης καὶ διὰ ταύτην γινομένης φθορᾶς. ἀλλ' ὅταν μέν, φησὶν ὁ Πλάτων, δάκνῃ ἡ χολή, συνίσταται καὶ διεγείρεται τὸ ζῷον, λυομένης δὲ τῆς δήξεως ἥλεων γίνεται καὶ πρὸς ἄνεσιν περιπετές. ταῦτα τοῦ Πλάτωνος λέγοντός φησιν ὁ Ἀριστοτέλης ὅτι πολλὰ τῶν ζῴων ἐπιθυμεῖ μέν, χολὴν δὲ οὐκ ἔχει τὴν δάκνουσαν, ὥστε οὐ διὰ τοῦτο γέγονεν ἡ χολή.

---

1 Tit. om. S 2 τὰ om. a 14 οἱ om. P 18 Πλάτων] Tim. p. 71 A sqq. 19 λέγων om. Pa 20 οὖν] γὰρ P 21 ὂν τυγχάνει coll. S 23 συνίσταται libri 23. 24 ἀνίσταται PS: om. a 26 λυομένη δὲ ἡ δῆξις S

σαφῆ δὲ τὰ ἑξῆς. λέγει δὲ καὶ πρὸς Ἀναξαγόραν ὡς εἴπερ τῆς χολῆς κατά σε ἀπορραινομένης πρὸς τὸν πνεύμονα καὶ τὰς φλέβας ἐγίνετο τὰ ὀξέα νοσήματα, μόνα τῶν ζῴων περιπνευμονίαις καὶ τοῖς ὀξέσι νοσήμασι περιέπιπτον ὅσα ἔχει χολήν· νῦν δὲ πολλὰ τῶν ἀχόλων τούτοις ἀναλίσκεται
5 τοῖς νοσήμασιν. ἀλλὰ καὶ πάμπολλα ζῷα ἅμα τῷ θανεῖν ἀνετμήθη καὶ οὐχ εὑρέθη ἀπόρροια χολῆς οὔτε ἐν τῷ πνεύμονι οὔτε ἐν ταῖς φλεψὶν 30
οὔτε ἐν ταῖς πλευραῖς. καὶ ἡ ἀπεμουμένη δὲ χολὴ ὑπὸ τῶν νοσούντων, πολλαπλάσιος οὖσα τῆς ἐν τῇ χοληδόχῳ κύστει, ἣν οὗτός φησιν ἀπορραίνεσθαι, πολλαπλάσιος οὖν οὖσα ἡ ἀπεμουμένη τῆς ἐν τῇ χοληδόχῳ κύστει
10 μαρτυρεῖ ὅτι οὐ γέγονεν ἡ χολὴ πρότερον καὶ ἐναπετέθη ἐν τῇ κύστει, ὅπως ἀπορραίνηται πρὸς τὸν πνεύμονα καὶ τὰς φλέβας καὶ ἔτι τὰς πλευράς. 35
εἰ γὰρ διὰ τοῦτο ἐγίνετο, ἔδει μὴ ἐν ἄλλῳ μορίῳ γίνεσθαι πλὴν ἐν τῇ εἰρημένῃ κύστει, ἀφ' ἧς οὗτός φησιν ἀπορραίνεσθαι· ἐπεὶ δὲ πολλαπλάσιος, ὥσπερ εἴρη|ται, ἡ ἀπεμουμένη ἐστὶ τῆς ἐν τῇ κύστει, δῆλόν ἐστιν ὡς ἡ 106
15 σὰρξ τοῦ τοιούτου ζῴου ἐπιτήδειος γέγονεν ὑπὸ τῆς νόσου εἰς τὸ μεταβάλλειν εἰς χολήν, καὶ μεταβάλλουσα καὶ συντηκομένη καὶ εἰς γένεσιν χολῆς ἀναλυομένη συμβαίνει ἀπεμεῖσθαι τὸ τοιοῦτον πλῆθος τῆς χολῆς. ταῦτα εἰπὼν ἐπάγει πρὸς τὸν Πλάτωνα ἀποτεινόμενος τὸ 'οὐ διὰ ταῦτα 5
γέγονεν ἡ χολή, ὥσπερ φησὶν ὁ Πλάτων, διὰ τὸ τὸ ζῷον ἀπὸ τῆς ἡδονῆς
20 ἀνεγείρεσθαι καὶ τῆς ἐκ ταύτης ἀνέσεως, ἀλλ' ὥσπερ ἡ χολὴ ἡ γινομένη κατὰ τὸ ἄλλο σῶμα περίττωμά ἐστιν ἢ σύντηξις καὶ ἀνάλυσις σαρκὸς εἰς χολὴν διά τινα καχεξίαν, οὕτω καὶ ἡ ἐν τῷ ἥπατι. καὶ ἐπεὶ οὐ πάντα ἕνεκά τινος γίνεται, ἀλλὰ γίνεται καὶ ὡς περιττώματα, οὐ δεῖ περὶ πάντων ζητεῖν, τίνος ἕνεκα γίνεται, ἀλλὰ τίνων ὄντων καὶ τίνων προηγησαμένων ταῦτα 10
25 γέγονε'. λέγει δὲ τὸ μέρος τοῦ ἥπατος, ὃ περίκειται ἡ χολή, γλυκύτατον εἶναι, καὶ τοῦτο εὐλόγως· τὸ γὰρ ἁλμυρὸν ἢ πικρὸν ἢ ὅλως παρὰ τὸ γλυκὺ ἑλκόμενον ὑπὸ τῆς χολῆς πρὸς ἑαυτὴν διά τε τὴν συγγένειαν καὶ τὴν γειτνίασιν, λείπεται τὸ γλυκύτατον καὶ ἀνόμοιον τῇ χολῇ ἀνεπίμικτον καὶ καθαρόν. ὅτι δὲ ὅλως ἡ χολὴ περίττωμά ἐστι, καὶ ἐκ τῶνδε δῆλον.
30 ἐπεὶ γὰρ τῇ τροφῇ ἐναντίον τὸ περίττωμα (τὸ γὰρ μὴ πεφθὲν μηδὲ γενέσθαι δυνηθὲν τροφὴ περίττωμα) ἐπεὶ οὖν τὸ περίττωμα ἐναντίον τῇ τροφῇ καὶ τῷ γλυκεῖ τὸ πικρόν, ἔστι δὲ ἡ τροφὴ γλυκεῖα, δῆλον ὡς ἡ χολὴ πικρὰ οὖσα οὐκ ἔστι τροφή, εἰ δὲ μὴ τροφή, περίττωμα· εἰ γὰρ ἦν τροφή, ἦν ἂν γλυκεῖα. λέγει δὲ καὶ ὅτι εὔλογον τὴν τοῦ ἥπατος φύσιν ἐπίκαιρον 15
35 οὖσαν, τουτέστιν εἰς ἐπιτηδειότατον τόπον κειμένην (ἐν γὰρ τῷ δεξιῷ μέρει κεῖται) εὔλογον οὖν ἐπίκαιρον οὖσαν αἰτίαν εἶναι τοῦ ζῆν ἢ πολὺν 20
ἢ ὀλίγον χρόνον τὰ ζῷα κατὰ τὴν αὐτοῦ ποιότητά τε καὶ κρᾶσιν. λέγει δὲ καὶ διὰ τί ἐν τῷ ἥπατι μόνῳ καὶ οὐκ ἐν ἄλλῳ τινὶ τῶν σπλάγχνων

---

1 ἡ χολὴ S 2 ἀπορραινομένη S 3 ὀξέοις a 4 ἁλίσκεται a 8 et 9 τῇ ἐν τῇ Pa 9 οὖν supra vers. S 9 χοληδόκῳ a 14 τῇ om. a ἐστιν om. S · 16 μεταβαλλούσης καὶ συντηκομένης a 17 ἀναλυομένης a 19 τὸ semel exh. a ὑπὸ S 21 καὶ] ἢ a 22 ἕνεκά του S 23 γίνεται post περιττώματα ponit S 26 τοῦ γὰρ ἁλμυροῦ ἢ πικροῦ a παρὰ] περὶ a 27 ἑλκομένου a 35 ἐπιτήδειον Pa 37 τὴν αὐτῆς πιότητα S 38 μόνον S

γίνεται ἡ χολή, καί φησιν ὅτι ἐν τῇ καρδίᾳ ἀδύνατον αὐτὴν γενέσθαι· ἡνίκα γὰρ πικρὸν ἢ ἄλλο τι πάθος πλησιάσει ἐν αὐτῇ, θνήσκει τὸ ζῷον. ἐν ἄλλῳ δὲ σπλάγχνῳ εἰ μέλλει γενέσθαι, εὔλογον ἐν ἐκείνῳ γίνεσθαι, ὅπερ ἐν ἅπασιν εὑρίσκεται· εὑρίσκεται δὲ ἐν ἅπασιν ἢ ἧπαρ ἢ τὸ ἀνά- 25
5 λογον τῷ ἥπατι, νεφροὶ δὲ ἢ σπλὴν ἢ πνεύμων οὐκ ἐν ἅπασιν εὑρίσκεται τοῖς ἐναίμοις. ἐπεὶ δέ τινες ἦσαν οἱ λέγοντες ὡς εἴπερ ἦν ἡ χολὴ περίττωσις, εὑρίσκετο ἂν ὅπου καὶ ἡ τῆς ξηρᾶς καὶ ὑγρᾶς τροφῆς περίττωσις, ἀλλ' οὐκ ἐν τῷ ἥπατι, λέγει ὅτι 'ὥσπερ γὰρ ὅπου ἄν τις ἴδῃ φλέγμα ἢ τὸ ὑπόστημα τῆς κοιλίας, εἴτε ἐν τῇ κοιλίᾳ εἴτε ἀλλαχοῦ,
10 εἰ μὴ νομίζει τοῦτο περίττωμα, ἀλλ' ἐν μὲν τῇ κοιλίᾳ βλέπων αὐτὸ λέγει 30 εἶναι περίττωμα, ἐκτὸς δὲ ταύτης ὁρῶν αὐτὸ οὐ λέγει περίττωμα, ὥσπερ οὖν οὗτος ἄτοπος λογισθήσεται, οὕτως ἂν εἴη ἄτοπος καὶ ὁ μὴ λέγων τὴν χολὴν περίττωμα, ὅπου ἂν αὐτὴν ἴδῃ'.

p. 677ᵇ12 Τὸ δὲ ἔπιπλον λέγει ἤρχθαι ἀπὸ μέσης τῆς κοιλίας καὶ
15 περιέχειν τὸ ἥμισυ μέρος αὐτῆς. καὶ λέγει τὴν αἰτίαν, τίνος χάριν τὸ ἥμισυ περιέχει αὐτῆς, καὶ οὐχ ἅπασαν· λέγει δὲ ταύτην παρακατιών, ὅταν 35 φησὶν καὶ διὰ τοῦτο ἀπὸ μέσης ἤρκται τῆς κοιλίας, ὅτι τὸ ἐπέκεινα μέρος συμπέττει τὸ παρακείμενον ἧπαρ. ἐπειδὴ γὰρ χάριν τοῦ θερμαίνειν τὴν κοιλίαν γέγονε τὸ ἔπιπλον, τοῦ δὲ ἡμίσεος μέρους αὐτῆς ἐπί-
20 κειται τὸ ἧπαρ, ἀρκεῖ τοῦτο θερμότατον ὂν πρὸς τὸ θερμαίνειν τὸ μέρος αὐτῆς, ἐν ᾧ μή ἐστιν ἔπιπλον· τοῦ δὲ λοιποῦ μέρους μὴ ἁπτόμενον τὸ ἧπαρ, ἀναγκαίως ἡ φύσις περιεκάλυψεν αὐτὸ διὰ τοῦ ἐπίπλου, ἵν' ὥσπερ 40 τὸ ἧπαρ συμπέττει, τουτέστι θερμαίνει τὸ ἥμισυ τῆς κοιλίας, οὕτω καὶ τὸ ἔπιπλον τὸ ἐπίλοιπον. ἀλλὰ ταῦτα μέν, ὥσπερ εἴπομεν, παρακατιὼν
25 λέγει διὰ τῆς λέξεως, ἣν παρεθέμεθα· περὶ δὲ τῆς τοῦ ἐπίπλου γενέσεως λέγων φησὶν 'ἔτι δὲ διὰ τὴν τοῦ ὑμένος πυκνότητα τὸ διηθούμενον καὶ δι' αὐτοῦ ἐξερχόμενον τῆς αἱματώδους τροφῆς ἀναγκαῖον λεπτότατον εἶναι καὶ εὔπεπτον, καὶ διὰ τοῦτο λιπαρόν'. σαφῆ δὲ τὰ ἐφεξῆς. 45

p. 678ᵃ31 Λέγει δὲ περὶ τῶν ἐντόμων καὶ πάντων τῶν ἀναίμων μὴ
30 ἔχειν σπλάγχνα διὰ τὸ μηδὲ αἷμα, ἐξ οὗ τὰ σπλάγχνα συνέστηκε· τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ ἐξ ὧν γὰρ συνέστηκεν ἡ τῶν σπλάγχνων φύσις, οὐδὲν ἔχει τούτων αἷμα. ἔσται δὲ σαφὴς ἡ λέξις, εἰ τὸ ἐξ ὧν ἀντὶ τοῦ ἐξ οὗ | ἀκούσομεν, καὶ εἴη ἂν οὕτω τὸ λεγόμενον τοιοῦτον 'οὐδὲν τῶν 107 ἀναίμων ἔχει αἷμα, ἐξ οὗ αἵματος συνέστηκεν ἡ τῶν σπλάγχνων φύσις.
35 καὶ διὰ τί οὐδὲν τούτων ἔχει αἷμα, ἐπήγαγεν εἰπὼν διὰ τὸ τῆς οὐσίας αὐτῶν εἶναί τι τοιοῦτον πάθος αὐτῆς, εἰπὼν πάθος νῦν τὴν οὐσιώδη διαφοράν. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· 'διὰ τὸ οὐσιῶσθαι καὶ εἰδοποιεῖσθαι 5

---

1 αὐτὴν ἀδύνατον coll. S 2 πλησιάσῃ a 3 μέλλοι P 7 ἡ om. P
10 εἰ scripsi: καὶ libri 11 ὁρῶν supr. vers. P 12 καὶ om. S
15 αὐτῆς ante τὸ ponit S 17 ἤρκται Arist. codd.: ἤρχθαι PSa: ἤρτηται Arist. vulg. 23 συμπέττῃ Sa θερμαίνῃ a 25 ante λέγει add. δὲ S
28 ἐφεξῆς] ἐφ supr. vers. P 29 ἀναίμων ex ἐναίμων corr. S 31 et 32 ἐξ ὧν] sic etiam Arist. codd.: ἐξ οὗ Arist. vulg. 36 τι om. a αὐτῆς] αὐτοῖς a
37 εἰδοποιεῖσθαι] post εἰδο supr. vers. inser. πε m. rec. P

τὰ ἄναιμα ἐν τῷ μὴ ἔχειν αἷμα, διὰ τοῦτο ἔστιν ἄναιμα'. ὡς γὰρ ὁ ἄνθρωπος ἐν τῷ λογικὸς καὶ νοῦ καὶ ἐπιστήμης δεκτικὸς εἶναι ἔχει τὸ εἶναι, οὕτω καὶ τούτων τὸ εἶναί ἐστιν ἐν τῷ μὴ ἔχειν αἷμα, καὶ ὑπάρξει δὴ τὸ ἄναιμον ἐν τῷ λόγῳ τῷ ὁρίζοντι τὴν οὐσίαν αὐτῶν, ὥσπερ καὶ τὸ λογικὸν ἐν τῷ τοῦ ἀνθρώπου. οὐκ ἔχει οὖν τὰ ἔντομα σπλάγχνα, ὅτι οὐδὲ αἷμα· ἀναγκαῖον δὲ αὐτοῖς μόνον ἔχειν τὸ ἀνάλογον τῇ καρδίᾳ, ἵν' ᾖ ἐν αὐτῷ ἡ αἰσθητικὴ ψυχή, ὥσπερ καὶ ἐπὶ τῶν ἐναίμων ἐν τῇ καρδίᾳ. τὸ γὰρ αἰσθητικὸν ψυχῆς, τουτέστι τὴν γὰρ αἰσθητικὴν ψυχὴν ἀνάγκη ἐν ἀρχῇ τινι τῶν μορίων, τουτέστιν ἀνάγκη ἐν μορίῳ τινὶ τοῦ σώματος λόγον ἀρχῆς ἔχοντι ὑπάρχειν ἐν πᾶσι τοῖς ζῴοις· ἀρχῆς δὲ λόγον ἐν πᾶσιν ἔχει τοῖς ζῴοις ἡ καρδία ἢ τὸ ἀνάλογον τῇ καρδίᾳ.

p. 679ª5 Λέγει δὲ τὴν σηπίαν πλείονα τὸν θολὸν ἔχειν, ἤπερ αἱ τευθίδες, διὰ τὸ πρόσγειον εἶναι τὸν βίον αὐτῆς, λέγων πρόσγειον τὸν αἰγιαλώδη· ἐν γὰρ τοῖς αἰγιαλοῖς οὖσα μᾶλλον ἐπιβουλεύεται τῶν τευθίδων, πελαγίων τούτων οὐσῶν. λέγει δὲ καὶ τὸν θολὸν ἔχειν τὴν σηπίαν κάτωθεν, διά τε τὸ πολὺν εἶναι καὶ διὰ τὸ ῥᾳδίως αὐτόθεν πέμπειν αὐτόν· καὶ γὰρ καὶ αἱ τευθίδες αἱ πρὸ τῆς μύτιδος αὐτὸν ἔχουσαι καὶ αὗται κάτωθεν αὐτὸν προΐενται. λέγει δὲ καὶ ὅτι ὥσπερ ἔνια τῶν ἐναίμων, ὅταν φοβηθῶσιν, οὐροῦσιν, οὕτω καὶ αἱ σηπίαι ἀντὶ οὔρου προΐενται τὸν θολόν, ἐπειδὰν φοβηθῶσι. σαφῆ δὲ τὰ ἑξῆς.

p. 679ᵇ15 Μετὰ ταῦτα λέγει εἶναι καὶ εἴδη πολλὰ τῶν ὀστρακοδέρμων, καὶ τὰ μὲν αὐτῶν εἶναι στρομβώδη τὰ δὲ δίθυρα, λέγων δίθυρα τὰ ἔχοντα δύο ὄστρακά, ὥσπερ οἱ κτένες, τὰ λιμνόστρεα καὶ ἄλλα πολλά, τὰ δὲ μονόθυρα, λέγων μονόθυρα τὰ ἔχοντα τὸ σαρκῶδες αὐτῶν τῇ πέτρᾳ προσπεφυκὸς καὶ ἄνωθεν ὄστρακον ἕν, οἷά εἰσιν αἱ καλούμεναι λεπάδες. ὡς γὰρ οἱ κτένες ἔχουσι μὲν κάτωθεν τῆς σαρκὸς ἓν ὄστρακον, ἕτερον δὲ ἄνωθεν, οὕτως αἱ λεπάδες κάτω μὲν ἀντὶ τοῦ ἑνὸς ὀστράκου ἔχουσι τὴν πέτραν, ἐν ᾗ προσπέφυκε τὸ σαρκῶδες, ἄνωθεν δὲ ὄστρακον. σκέπεται οὖν καὶ σώζεται ἡ λεπὰς ἄνω μὲν ὑπὸ τοῦ ὀστράκου, κάτω δὲ ὑπὸ τῆς πέτρας, ἣν πέτραν ἀλλότριον εἴρηκε φράγμα. ὁ δὲ ἐχῖνος, φησίν, ὁ θαλάσσιος ἔχει τὸ ὄστρακον ἴδιον τῶν ἄλλων ὀστρακοδέρμων· οὐδὲν γὰρ τῶν ἄλλων ὀστρακοδέρμων κύκλῳ, τουτέστι σφαιροειδὲς τὸ ὄστρακον ἔχει, καὶ πρὸς τούτῳ κεχαρακωμένον ταῖς ἀκάνθαις. τὰ δὲ μαλάκια ἀντικειμένως ἔχει τοῖς μαλακοστράκοις καὶ ὀστρακοδέρμοις· τοῖς μὲν γὰρ μαλακίοις, ὥσπερ ἐπὶ τῶν σηπίων, ἔξω τὸ σαρκῶδες, τοῖς δὲ ἐντός. σαφῆ δὲ τὰ ἑξῆς. κατὰ δὲ τὴν λέξιν τὴν τὰ μὲν γὰρ τῷ λόγῳ, τὰ δὲ πρὸς τὴν ὄψιν

---

6 ἵν' ᾖ—καρδίᾳ (7) om. P 7 καὶ om. S 8 τῆς ψυχῆς Sa 11 ἔχειν P
12 σηπείαν a 13 λέγω a 14 post πελαγίων add. περὶ πελαγίων P
15 καὶ om. a 16 αὐτόθι PS 17 ἔχουσαι ex ἔχουσι corr. P: ἔχουσι Sa
18 ὅτι om. P 22 καὶ ταῦτα μὲν P αὐτῶν om. P 22. 23 λέγων—ὄστρακα om. S 23 λιμνόστρεα scripsi: λειμόστρια libri 24 λέγων—εἰσιν (25)] ὡς S 25 ὡς γὰρ—ὑπὸ τῆς πέτρας (29)] αἱ χρῶνται τῇ πέτρᾳ ὡς ὀστράκῳ S
33 post τούτῳ add. καὶ S 34 γὰρ om. Pa

αὐτῶν σαφηνίζειν δεῖ μᾶλλον, τῷ μὲν οὖν λόγῳ σαφηνίζειν δεῖ τὸ διὰ τί τούτων ἕκαστον οὕτως ἔχει, οἷον διὰ τί τὰ μὲν ἔχει πρόλοβον, τὰ δὲ οὐκ ἔχει, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως· ὑπὸ δὲ τῆς ὄψεως σαφῆ γέγονεν ὅτι τὰ μὲν ἔχει χολήν, τὰ δ' οὐκ ἔχει, καὶ ὅτι πρῶτον μὲν κεῖται τόδε
5 τὸ μόριον, εἶτα τόδε, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. ὑπὸ δὲ τῆς λέξεως τῆς ἰδίως δ' ἔχουσι τῶν ὀστρακοδέρμων οἵ τε ἐχῖνοι καὶ τὸ τῶν 40 καλουμένων τηθύων γένος οὐ τοῦτο λέγεται, ὡς ἄν τις ὑπολάβοι, ὅτι διαφέρει τὰ τήθυα πρὸς τοὺς ἐχίνους, ἀλλὰ τοῦτό ἐστι τὸ λεγόμενον, ὅτι οἱ ἐχῖνοι καὶ τὰ τήθυα διαφέρουσι πρὸς τὰ ἄλλα ὀστρακόδερμα. λέγει δὲ
10 τοὺς ἐχίνους ἔχειν καὶ τὰ ᾠὰ μικρὰ πάμπαν ἔξω τῶν ἐπιπολαζόντων, λέγων ἐπιπολάζοντας ἐχίνους τοὺς παρ' ἡμῖν εὑρισκομένους· μεγάλα γὰρ οὗτοι ἔχουσι τὰ ᾠά. τὰ δὲ ὀστρακόδερμα, φησίν, ἐν τῷ χειμῶνι οὐκ 45 εἰσι πίονα διὰ τὸ πονεῖν ὑπὸ τοῦ ψύχους· τὸ δὲ πονοῦν λυπεῖται, τὸ δὲ λυπούμενον οὐ πιαίνεται. οἱ δὲ ἐχῖνοι ἐν τῷ θέρει μᾶλλον εὐθηνοῦσιν,
15 ἤγουν πίονες γίνονται, πλὴν τῶν ἐν τῷ Πυρραίῳ εὐρίπῳ· ἐκεῖνοι γὰρ οὐχ ἧττον τοῦ χειμῶνος πίονές εἰσιν, ἀλλ' ἐπίσης τῷ θέ|ρει καὶ κατὰ τὸν χει- 108 μῶνα πίονές εἰσιν. ἀναχωρούντων γὰρ ἐκεῖθεν τῶν ἰχθύων ἐν τῷ χειμῶνι προσπίπτει αὐτοῖς πλείστη νομή, ὥστε κἂν ῥιγῷ καὶ διὰ τοῦτο λυπῆται, ἀλλὰ διὰ τὴν ἀφθονίαν τῆς τροφῆς εὐθηνεῖ τὸ τούτων γένος. οἱ δὲ κατὰ
20 τοὺς ἄλλους τόπους πρὸς τῷ ῥιγοῦν καὶ λυπεῖσθαι καὶ σπάνιν ἔχουσι τροφῆς, καὶ ἐπὶ τούτῳ οὐκ εὐθηνεῖ. 5

p. 680ᵇ3 Μετὰ ταῦτα λέγει καὶ διὰ τί πέντε ἔχουσιν οἱ ἐχῖνοι τὰ καλούμενα ᾠά, καὶ οὔτε πλείονα οὔτε ἐλάττονα· καί φησιν ὅτι μία μὲν αἰτία τοῦ ἔχειν πλείω ταῦτα τὸ μὴ εἶναι ᾠά. ζητήσειε δ' ἄν τις, τίνος
25 ἕνεκα διὰ τὸ μὴ εἶναι ᾠὰ πλείω ἑνὸς ἔχει ταῦτα. ἢ τὸ αἴτιον δὲ οἶμαι εἰρῆσθαι ἀντὶ τοῦ αἴτιον δὲ τοῦ μὴ ἐπ' ἀμφότερα τὰ μέρη ἔχειν τὰ καλούμενα ᾠά, ἀλλ' ἐπὶ τὸ ἕτερον μόνον μήτε τοὺς ἐχίνους μήτε τὰ ὀστρακό- 10 δερμα τὸ μὴ εἶναι ᾠά· τὰ γὰρ ὡς ἀληθῶς ᾠὰ ἐπ' ἀμφότερα τὰ μέρη εὑρίσκεται. οἵ τε γὰρ κέφαλοι καὶ λάβρακες καὶ ὄρνιθες καὶ ἁπλῶς πάντα,
30 ὅσα ἔχει ᾠά, ἐπ' ἀμφότερα τὰ μέρη, τό τε δεξιὸν καὶ τὸ ἀριστερόν, ἔχει ταῦτα. εἰπὼν οὖν κοινὴν αἰτίαν ἐπὶ πάντων τῶν ὀστρακοδέρμων, τίνος ἕνεκα ἐπὶ τὸ ἕτερον μόνον μόριον ἔχουσι τὸ καλούμενον μὲν ᾠόν, μὴ ὂν δὲ ᾠόν, πρῶτον μὲν λέγει, διὰ τί τὰ μὲν ἄλλα ὀστρακόδερμα ἐν βραχεῖ 15
τόπῳ ἔχει τὸ καλούμενον ᾠόν, ὁ δὲ ἐχῖνος ἐν ὅλῳ τῷ ἡμικυκλίῳ, καί
35 φησιν ὅτι ἐπεὶ ὁ ἐχῖνος σφαιροειδής ἐστι καὶ δυνατὸν ἐν αὐτῷ πολλοὺς κύκλους γραφῆναι, τόν τε ἀναλογοῦντα φέρε εἰπεῖν τῷ ὁρίζοντι καὶ τὸν τῷ μεσημβρινῷ καὶ τὸν τῷ ἰσημερινῷ καὶ τὸν τῷ λοξῷ καὶ ἄλλους πλείους, ἀνάγκη καὶ τὸ ᾠὸν ὁμοίως ἔχειν, τουτέστι χώραν ἔχειν μὴ ἐν ἑνὸς κύκλου

---

5 ὁμοίως] οὕτως Sa 6 δ' om. a 7 τιθύων P: τηθέων S 8 et 9 τίθυα P: τήθεα S 14 μᾶλλον ἐν τῷ θέρει coll. S 18 λυπεῖται a 19 αὐφονίαν a: εὐθηνίαν P 20 λυπεῖται P 22 ἔχουσι πέντε coll. a 24 ante ἔχειν supr. vers. ins. μὴ P 25 διὰ τὸ] τῶ S 29 λαύρακες PS 30 τὸ post καὶ om. Pa 37 prius τὸν om. P 38 ἐν om. S, supra vers. add. al. m. P

μέρει εὑρίσκεσθαι, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων ὀστρακοδέρμων, ἀλλ' ἐν πλει- 20
όνων κύκλων μέρεσιν. ἐπὶ μὲν γὰρ τῶν ἄλλων ὀστρακοδέρμων, οἷον τῶν
κτενῶν καὶ τῶν τοιούτων, εἷς μόνος κύκλος ἐστὶν ὁ τῷ ὁρίζοντι ἀναλογῶν,
ἄλλος δὲ ἢ νοηθῆναι ἢ γραφῆναι οὐ δύναται. ἐπεὶ οὖν ταῦτα διὰ τὸ ἕνα
5 κύκλον ἐν αὐτοῖς, ὡς εἴρηται, εὑρίσκεσθαι τὸν ἀναλογοῦντα τῷ ὁρίζοντι, ἐν
ἑνὶ ἡμικυκλίῳ, οἷον ὡς εἰπεῖν τῷ δεξιῷ, ὁρᾶται ἔχοντα τὸ ᾠόν, ἕξει καὶ
ὁ ἐχῖνος διὰ ταύτην τὴν αἰτίαν ἓν ᾠὸν ἐν τῷ δεξιῷ μέρει τοῦ ἀναλογοῦντος 25
κύκλου τῷ ὁρίζοντι. τέμνει δὲ τὸν ὁρίζοντα ὁ μεσημβρινός· ἕξει οὖν καὶ
ἕτερον ᾠόν, καθ' ὃ οὗτοι τέμνουσιν ἀλλήλους οἱ κύκλοι, ἕξει δὲ τοῦτο τὸ
10 ᾠὸν οὐκ ἐν ἄλλῳ μέρει, ἀλλ' ἐν ᾧ καὶ ὁ ὁρίζων αὐτὸ ἔχει, διὰ τὸ μὴ
ἐνδέχεσθαι αὐτὸν καὶ ἐν θατέρῳ μέρει ἔχειν τὸ ᾠόν, ὀστρακόδερμόν τε
ὄντα καὶ ⟨διὰ τὸ⟩ τὸ λεγόμενον ᾠὸν μὴ εἶναι ᾠόν. ἕξει οὖν, ὡς εἴρηται,
καὶ διὰ τὸν μεσημβρινὸν καὶ ἄλλο ᾠόν· πᾶς γὰρ κύκλος ἐπὶ τῶν ὀστρακο- 30
δέρμων πέφυκεν ἐν θατέρῳ μέρει ἔχειν ᾠόν· ἀλλὰ μὴν ἕξει καὶ ἕτερον
15 διὰ τὸν λοξόν, καὶ κατὰ τὸ μέρος, ἐν ᾧ καὶ οἱ ἄλλοι διὰ τὰς εἰρημένας
αἰτίας. καὶ ἐπεὶ ἄπειροι κύκλοι δύνανται γράφεσθαι ἐν τῇ σφαίρᾳ, ἄπειρα
καὶ ᾠὰ συμβαίνει ἐκ τούτου εὑρίσκεσθαι ἐν αὐτῇ. ἀλλ' ἐρεῖ τὴν αἰτίαν
αὐτός, καίτοι τούτου συμβαίνοντος, δι' ἣν πλείω τῶν πέντε γενέσθαι ἀδύνατον.
διὰ μὲν οὖν τὰς εἰρημένας αἰτίας χώραν ἔχει τὸ ᾠὸν ἐπὶ τοῦ ἐχίνου ἐν 35
20 πλείοσιν εὑρίσκεσθαι. οὐ γάρ ἐστιν ἀνόμοιον τὸ κύκλῳ σῶμα τοῦ ἐχίνου,
ἵν' εἷς μόνος κύκλος ἐπ' αὐτοῦ γράφηται, ὥσπερ τὰ τῶν ἄλλων ὀστρακο-
δέρμων· πᾶσι γὰρ ἐν τούτοις διὰ τὸ ἐν μέσῳ εἶναι τὴν κεφαλὴν εἷς ἐστι
κύκλος καὶ ἔχουσιν ἄνω τὸ τοιοῦτον μόριον· ὥσπερ γὰρ ἐπὶ τῶν ἄλλων
ζῴων τὸ τούτων ἄνω ἡ κεφαλὴ αὐτῶν ἐστιν, οὕτω καὶ τὸ τούτων ἄνω ἡ 40
25 κεφαλὴ αὐτῶν ἐστιν, εἰ καὶ ἐν μέσῳ κεῖται τοῦ ὅλου σώματος. πρὸς τού-
τοις προσδιορίζεται καὶ ἕτερα δύο, χρήζων καὶ τούτων πρὸς τὴν δεῖξιν τοῦ
διὰ τί πέντε ἔχει τὰ ᾠά. προσδιορίζεται οὖν λέγων 'ἀλλὰ μὴν οὔτε συν-
εχῆ δυνατὸν εἶναι τὰ ᾠά (οὐδὲ γὰρ τὰ τῶν ἄλλων ζῴων) ἀλλὰ ἐπὶ
θάτερα', ἀντὶ τοῦ καὶ ἐπὶ θάτερα τοῦ κύκλου μόνον. δεῖ οὖν μήτε συν-
30 εχῆ ἔχειν ταῦτα καὶ ἐπὶ θάτερα τοῦ κύκλου μόνον, καὶ μὴ πόρρω ἀπ' 45
ἀλλήλων διεστηκότα. ταῦτα προειπὼν δείκνυσι τέως, διὰ τί οὐκ ἐνδέχεται
ἔχειν τὸν ἐχῖνον ἄρτια τὰ ᾠά, καί φησιν ἀνάγκη τοίνυν, ἐπεὶ τοῦτο
μὲν ἁπάντων κοινόν, τουτέστι τὸ ἐπὶ θάτερα μόνον τοῦ κύκλου ἔχειν
τὸ ᾠόν, ἴδιον δ' ἐκείνου ἐστὶ τὸ ἔχειν τὸ σῶμα σφαιροειδές, μὴ
35 εἶναι ἄρτια τὰ ᾠά. εἰ γὰρ | ἦσαν ἄρτια, κατὰ διάμετρον ἂν ἔκειντο 109
καὶ ἐν ἀμφοτέροις τοῖς μέρεσι· καὶ γὰρ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν, ἐν οἷς
ἄρτια εὑρίσκεται, οὐκ ἐν τῷ ἑνὶ μέρει, ἀλλ' ἐν ἀμφοτέροις κεῖται, τὰ μὲν
ἐν τῷ δεξιῷ τὰ δ' ἐν τῷ ἀριστερῷ. εὐθὺς οὐ μόνον ἐπὶ τῶν ᾠῶν δῆλον

---

2 μέρει a 5 ἑαυτοῖς P 9 ἀλλήλοις S 11 τὸ om. Pa 12 διὰ τὸ addidi 15 κατὰ μέρος S 17 ἐν αὐτῷ εὑρίσκεσθαι a 19 post ἐπὶ add. τῷ a 20 τὸ] τῷ a 23 τὸ om. S 24 ἐστιν αὐτῶν coll. S 28 οὐδὲ] οὐ P 29 οἱ 30 καὶ ἐπὶ θατέρου S 33 θάτερον P: θατέρου S 37 κεῖνται Pa

τοῦτο, οἷον σκόμβρου, λάβραχος, κεφάλου, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων μερῶν, ὀφθαλμῶν, ὤτων, τῶν ὁμοίων. εἴπερ οὖν ἦσαν ἄρτια τὰ ᾠά, ἀνάγκη ἐν ἀμφοτέροις κεῖσθαι τοῖς μέρεσιν· οὐδὲν δὲ ὀστρακόδερμον οὕτως ἔχει, ἀλλ' ἐπὶ θάτερα μόνον τοῦ κύκλου. διὰ ταῦτα μὲν οὖν ἄρτια οὐχ οἷόν τέ ἐστιν ἔχειν τὰ ᾠὰ τοὺς ἐχίνους· ἀνάγκη τοίνυν ἢ τρία ἢ πέντε εἶναι ἢ ἄλλον τινὰ ἀριθμόν. εἰ μὲν οὖν εἶχον τρία, ἐπειδὴ δεῖ τὰ ᾠὰ ὅλον συνέχειν τὸ ἡμικύκλιον, μέγα δὲ τοῦτο, ὅτι καὶ οἱ ἐχῖνοι μεγάλοι, πόρρω ἂν ἦσαν ἀπ' ἀλλήλων· δεῖ δὲ μήτε συνεχῆ εἶναι, ὥσπερ εἴρηται, καὶ μὴ πόρρω ἀπ' ἀλλήλων διεστηκέναι. εἰ δὲ ἦσαν πλείω τῶν πέντε, ἦσαν ἂν συνεχῆ διὰ τὸ μὴ δύνασθαι χωρεῖν αὐτὰ τὸ ἡμικύκλιον. τούτων δέ, τουτέστι τοῦ τε πόρρω λίαν ἀπ' ἀλλήλων διεστηκέναι καὶ τοῦ εἶναι συνεχῆ, τὸ μὲν πόρρω διεστηκέναι οὐ βέλτιον, τὸ δὲ εἶναι συνεχῆ οὐκ ἐνδέχεται· λείπεται τοίνυν πέντε εἶναι. διὰ τὴν αὐτὴν δ' αἰτίαν ἀνάγκη καὶ τὰς κοιλίας ἔχειν πέντε, καὶ τοὺς ὀδόντας ὁμοίως τοσούτους· ἕκαστον γὰρ ᾠόν, ὥσπερ ἓν ζῷον ὂν καθ' αὑτό, οἷον Σωκράτης ἢ Πλάτων ἢ ἄλλο ὁτιοῦν τῶν ἀτόμων, κοιλίας δεῖται καὶ ὀδόντος πρὸς τὸ ζῆν· τούτου γάρ ἐστι δηλωτικὸν τὸ ἕκαστον γὰρ τῶν ᾠῶν οἷον σῶμά τι τοῦ ζῴου, τουτέστιν ἕκαστον γὰρ ᾠὸν οἱονεὶ σῶμα ὑπάρχον ζῴου ἀναγκαῖον ἔχειν πρὸς τὸν τρόπον τῆς ζωῆς ἤτοι πρὸς τὸ ζῆν ὅμοιον, καὶ προσυπακουστέον τὸ μόριον, οἷον ἔχει τὰ λοιπὰ ζῷα. τὸ δὲ πρὸς τὸ ζῆν μόριόν ἐστιν ἡ κοιλία. ἕκαστον οὖν ᾠόν, σῶμα ὑπάρχον ζῴου, ἀναγκαῖον ἔχειν πρὸς τὸ ζῆν κοιλίαν, ὥσπερ καὶ τὰ ἄλλα ζῷα, ⟨καὶ⟩ διὰ ταῦτα καὶ ὀδόντα. τὸ δ' ἐντεῦθεν γὰρ ἡ αὔξησις ἀντὶ τοῦ ἀπὸ τῆς κοιλίας. ἀναγκαία δὲ ἡ αὔξησις δι' αἰτίαν τοιαύτην· πάντα τὰ ὄντα ἐφίεται τῆς ἀιδιότητος· ὅσα οὖν μὴ δύναται ἀεὶ εἶναι κατ' ἀριθμὸν τὰ αὐτά, σπεύδει γεννῆσαι ἕτερα οἷά εἰσιν αὐτά. οὐδὲν δὲ δύναται ὅμοιον ἑαυτῷ γεννῆσαι μὴ εἰς ὡρισμένον καὶ κατὰ φύσιν μέτρον ἐλθόν· ἔρχεται δὲ εἰς τὸ τοιοῦτον μέτρον δι' αὐξήσεως. ὥστε ἐπεὶ ἡ αὔξησις ἀναγκαία, γίνεται δὲ ἡ αὔξησις πεττομένης τῆς τροφῆς, πέττεται δὲ ὑπὸ τῆς κοιλίας, ἀναγκαία ἄρα καὶ ἡ κοιλία, ὅθεν ἡ αὔξησις. εἰπὼν οὖν μίαν αἰτίαν τίνος ἕνεκεν πέντε κοιλίας ἔχει ὁ ἐχῖνος, ἐπάγει καὶ ἑτέραν λέγων 'εἰ μὲν οὖν ἦν μία ἡ κοιλία, ἢ μεγάλη ἂν ἦν ἢ μικρά. εἰ μὲν οὖν μεγάλη, πόρρω ἂν ἦσαν ἀπ' ἀλλήλων τὰ ἐν αὐτῇ ᾠά'· τοῦτο δ' εἴρηται ὅτι οὐκ ἐνδέχεται· 'εἰ δὲ μικρά, κατείχετο ἂν πᾶν τὸ τῆς κοιλίας κύτος ὑπὸ τῶν ᾠῶν'. εἰ δὲ τοῦτο, πρῶτον μὲν δυσκίνητος ἂν ἦν ὁ ἐχῖνος, ὅπερ πάσχομεν καὶ ἡμεῖς, ἐπειδὰν ὑπερπλησθῶμεν ὑπὸ τῆς τροφῆς, ἔπειτα κατέχοντα πᾶν τὸ τῆς κοιλίας κύτος χώραν οὐκ ἂν ἐδίδου εἰσόδου τῇ τροφῇ· τῆς τροφῆς δὲ χώραν μὴ ἐχούσης εἰσόδου, οὐκ ἂν ἐπληροῦτο τὸ ζῷον, ἀλλ'

---

1 σκόμπρου P λαύρακος P: λαμραᾳ S 2 ἦσαν] εἰσὶν a 4 θατέρου S
10. 11 τοῦ τε] τότε Sa 11 καὶ τοῦ scripsi: καὶ τὸ PS: κατὰ τὸ a 12 λείπει S
14. 15 ὡσπερεὶ ζῷον Pa 16 δεῖται κοιλίας coll. Sa 17. 18 τουτέστιν—ζῴου] καὶ διὰ τοῦτο S 18 πρὸς om. S 19 τοῦ μορίου P 22 καὶ addidi
23 τῆς om. a 23. 24 τοιαύτην] ταύτην S 25 ἐστὶν a 26 καὶ om. a
37 μὴ χώραν coll. S εἰσόδου om. P τὰ ζῶα S

ἐπείνη. πέντε οὖν ὄντων τῶν διαλειμμάτων (λέγων τὰ διαλείμματα τοὺς κατεχομένους ὑπὸ τῶν ᾠῶν τόπους) ἀνάγκη ἐν ἑκάστῳ τῶν τόπων ἢ ᾠῶν οὖσαν κοιλίαν πέντε καὶ ταύτας εἶναι· καὶ ἐπεὶ τὰ ἄλλα ὄστρεια μονοκοίλια ὄντα ἀνὰ ἕνα ἔχει ὀδόντα, ἀναγκαῖον τὸν ἐχῖνον, ἐπειδὴ πέντε ἔχει κοιλίας, τοσούτους ἔχειν καὶ τοὺς ὀδόντας. οὕτω γὰρ ἂν τὸ ἀνάλογον σωθείη, καὶ ἕξει ὡς ὁ εἷς ὀδοὺς πρὸς τὴν μίαν κοιλίαν, οὕτως οἱ πέντε πρὸς τὰς πέντε. ὅτι δέ, φησίν, οἱ θερμότεροι τῶν ἐχίνων καὶ κινητικώτεροί εἰσι, σημεῖον τὸ ἔχειν ἐν τοῖς ποσὶ χορτώδη τινὰ περιπεπλεγμένα· κινουμένων γὰρ περιπλέκονται ἐν τοῖς ποσίν, ἀκανθώδεσιν οὖσι. πῶς δὲ εἰπὼν τοὺς ἀβρώτους περιττώματος εἶναι πλήρεις, ἐπήγαγεν ὅτι παρασκευάζει αὐτοὺς· ἡ οἰκεία θερμότης κινητικωτάτους εἶναι; εἰ γὰρ θερμοί, εὖ πέττουσιν· εἰ δὲ εὖ πέττουσιν, οὐ πλήρεις περιττώματος· εἰ δ' οὐ περιττώματος πλήρεις, οὐκ ἄβρωτοι. ἢ θερμοὶ μέν εἰσιν, ἀλλὰ διὰ τὸ πάμπολλα ἐσθίειν λαίμαργοι ὄντες νικᾶται ὑπὸ τοῦ τῶν βρωμάτων πλήθους ἡ ἔμφυτος αὐτῶν θερμότης, καὶ ἀπεπτοῦσι.

p. 681a15 Τὸν δὲ σπόγγον λέγει ὁμοίως ἔχειν τοῖς φυτοῖς· ὥσπερ γὰρ τὰ φυτὰ ἐν τῷ προσπεφυκέναι καὶ ἐρρι|ζῶσθαι τῇ γῇ ζῇ, ἀπολυθέντα δὲ καὶ ἀπορριζωθέντα οὐ ζῇ, οὕτω καὶ ὁ σπόγγος προσπεφυκὼς τῇ πέτρᾳ ζῇ, ἀπολυθεὶς δὲ θνήσκει. ὁ οὖν σπόγγος, φησίν, ὁμοίως ἔχει τοῖς φυτοῖς (οὕτω γάρ ἐστι τὸ ἑξῆς τῆς λέξεως)· ὁμοίως οὖν ἔχει κατὰ δύο τρόπους, καὶ ἐν τῷ ζῆν μόνον προσπεφυκὼς καὶ ἐν τῷ μὴ ζῆν ἀπολυθείς. εἰπὼν δὲ καὶ ὅτι οἱ πνεύμονες καὶ τὰ ὁλοθούρια οὐδεμίαν ἔχει αἴσθησιν, ζῇ δὲ ἀπολελυμένα (οὐ γὰρ προσπεφυκότες εἰσὶν οἱ πνεύμονες) ζῇ οὖν ἀπολελυμένα ὥσπερ φυτὸν ἀπολυθὲν τῆς γῆς καὶ ζῶν, ἐπήγαγεν ἔστι δὲ καὶ ἐν τοῖς ἐπιγείοις φυτοῖς, προσέθηκε δὲ ἐπιγείοις, διότι δν τρόπον ἔχει τὰ φυτὰ ἐν τῇ γῇ, οὕτως ἔχουσι καὶ οἱ πνεύμονες καὶ τὰ τοιαῦτα ἐν τῇ θαλάττῃ, καί εἰσιν οἱ μὲν πνεύμονες θαλάττια φυτά, τὰ δὲ δένδρα ἐπίγεια φυτά. ὥσπερ οὖν οἱ πνεύμονες, τὰ θαλάττια φυτά, ζῇ ἀπολελυμένα, οὕτως εἰσὶν ἔνια τῶν ἐπιγείων φυτῶν, καὶ ζῇ ἀπολυθέντα καὶ γίνεται, τουτέστι βλαστάνει· τὰ γὰρ κρόμμυα ἐν τῷ παττάλῳ κρεμάμενα βλαστάνει. ἀλλὰ καὶ βοτάνη τις ἀνώνυμος κοπεῖσα καὶ ἐπάνω τοῦ θύμου ὡς ἔτυχε τεθεῖσα βλαστάνει, καὶ γίνεται τὸ καλούμενον ἐπίθυμον, σύνθετον ὂν τρόπον τινὰ ἐκ τοῦ θύμου καὶ τῆς ἐπιτεθείσης ἀνωνύμου βοτάνης. ἀλλὰ τὸ μὲν κρόμμυον καὶ τὸ ἐπίπετρον καὶ ἄλλ' ἄττα ἀπολυθέντα τῆς γῆς καὶ ἐν παττάλῳ κρεμάμενα ζῇ καὶ βλαστάνει, τὸ δ' ἐπίθυμον ἐν ἑτέρῳ οὐκ ἐγκεντρισθέν, ἀλλ' ὡς ἔτυχεν ἐπιτεθέν. τὰ δὲ τήθυά φησι δύο ἔχειν πόρους, ἕνα μὲν ᾗ δέχονται τὴν ὑγρὰν τροφήν, ἄλλον δὲ ᾗ διαπέμπει τὴν ὑπολειπομένην ἰχμάδα· ἰχμὰς γὰρ ἀλλ' οὐ περίττωμα ἐν αὐτοῖς ὁρᾶται. πόρους μὲν οὖν ἔχει δύο, διαίρεσιν δὲ μίαν, ὥσπερ ἂν εἰ νοήσαις ὑμενώδη σωλῆνα

---

1 ἐπείνα a λέγει a τὰ om. S 6. 7 πρὸς τοὺς πέντε PS 8. 9 χορτώδη — ποσ[ν] αὐτῶν a 12 εἰ δ' οὐ—πλήρεις] εἰ δὲ τοῦτο S 13. 14 λαιμάργων ὄντων S 23 ζῆν οὖν a 30 κρόμμυα Sa 35 κρεμώμενα S: κρεμόμενα a 35. 36 ἐκκεντρισθὲν S 36 τήθεα S πόρους ex τρόπους corr. al. m. P 37 ἕνα μὲν om. S

ἐξωγκωμένον καὶ σχίσαις αὐτὸν ἄνωθεν ἕως κάτω ἐν θατέρῳ μέρει. ἔχει δὲ διὰ μέσου καὶ ὑμένα λεπτόν, ὃς ἀναλογεῖ τῇ καρδίᾳ, ἐν ᾧ καὶ ὑπάρχει τὸ κύριον τῆς ζωῆς· τὸ γὰρ κύριον τῆς ζωῆς ἡ καρδία ἢ τὸ ἀνάλογον αὐτῇ. σαφῆ δὲ ἃ λέγει περὶ τῶν ἀκαληφῶν· λέγει δὲ αὐτὰς καὶ ἐοικέναι
5 τοῖς φυτοῖς ἔν τε τῷ μὴ ἔχειν περίττωμα καὶ ἐν τῷ ἔχειν στόμα· τὰ γὰρ φυτὰ περίττωμα μὲν φανερὸν οὐκ ἔχει, στόμα δ' ἔχει. λέγει δὲ τὸ τῶν 25
ἀστέρων γένος ὅμοιον εἶναι ταῖς ἀκαλήφαις καὶ τοῖς ἀπολελυμένοις τῶν εἰρημένων ζῴων, λέγων εἰρημένα ζῷα τά τε μαλάκια καὶ τὰ μαλακόστρακα.

10 p. 681 b 12 Καὶ τὰ μὲν οὖν μόρια τὰ περὶ τὴν τροφὴν τοῖς ὀστρακοδέρμοις καὶ μαλακίοις καὶ τοῖς τοιούτοις τοῦτον ἔχει τὸν τρόπον. ὥσπερ δὲ τὰ ἔναιμα τῶν ζῴων ἔχει τινὰ ἀρχήν, τοῦτο δ' ἔστι τὸ κύριον τῶν αἰσθή- 30
σεων, τοῦτο δ' ἐστὶν ἡ καρδία, οὕτω δεῖ καὶ τὰ ὀστρακόδερμα καὶ τὰ μαλάκια καὶ ἁπλῶς εἰπεῖν τά τε ἔναιμα καὶ πάντα τὰ ζῷα ἔχειν ἢ τοῦτο τὸ μόριον
15 ἢ τὸ ἀνάλογον· τούτου γάρ ἐστι δηλωτικὸν τὸ δεῖ δὲ δηλονότι καὶ τῶν τοῖς ἐναίμοις ὑπαρχόντων κατὰ τὸ κύριον τῶν αἰσθήσεων ἔχειν ἀνάλογόν τι μόριον. σαφὴς δ' ἂν ἦν ἡ λέξις, εἰ ἀντὶ γενικῆς τῆς τῶν τοῖς ἐναίμοις ὑπαρχόντων ἦν δοτική, ἵνα ἦν οὕτω 'τὸ ἀνάλογον τοῖς 35
ὑπάρχουσι τοῖς ἐναίμοις'. δεῖ γὰρ ὑπάρχειν καὶ ἐν τοῖς ἄλλοις τὸ κύριον
20 τῶν αἰσθήσεων ἀναλογοῦν τοῖς παρέχουσι κυρίως τὴν αἴσθησιν τοῖς ἐναίμοις. τὸ δὲ κύριον τῶν αἰσθήσεων τὸ ἀναλογοῦν τῇ καρδίᾳ ἐν μὲν τοῖς μαλακίοις κείμενόν ἐστιν ἐν ὑμένι, ὑγρὸν ὂν τὴν φύσιν. διέρχεται δὲ διὰ μέσου τοῦ τοιούτου ὁ στόμαχος πρὸς τὴν κοιλίαν ὥσπερ τις ἄτρακτος διὰ σπονδύλου ἢ βελόνη διὰ κηροῦ. προσπέφυκε δὲ τοῦτο τὸ ὑγρὸν καὶ 40
25 μᾶλλον πλησιάζει τοῖς πρανέσι, τουτέστι 'τοῖς ἀναλογοῦσιν ὀστράκοις τῷ νώτῳ καὶ τῇ ῥάχει· ὅπερ ὑγρὸν καλοῦσί τινες μύτιδα. ταῦτα εἰπὼν λέγει τὴν αἰτίαν, δι' ἣν διὰ μέσου τοῦ εἰρημένου ὑγροῦ ὁ στόμαχος τείνει πρὸς τὴν κοιλίαν, καί φησιν 'εἰ γὰρ ἐφεξῆς τῷ ὀστράκῳ ἦν ὁ στόμαχος, εἶτ' ἐφεξῆς τούτῳ ἡ εἰρημένη μύτις, εἰσιούσης τῆς τροφῆς διὰ τοῦ στομάχου οὐκ ἂν
30 ἠδύνατο ὁ στόμαχος λαμβάνειν διάστασιν', τουτέστιν οὐκ ἂν ἠδύνατο εὐρύ- 45
νεσθαι καὶ χώραν διδόναι τῇ τροφῇ δι' ὅλου διὰ τὴν σκληρότητα τοῦ περικειμένου ὀστράκου. εἰ γὰρ ἦν μαλακὸν τὸ ἀναλογοῦν νώτῳ ὄστρακον, ὑπεῖκεν ἂν καὶ ἐλάμβανε διάστασιν ὁ στόμαχος· νῦν δὲ διὰ τὴν σκληρότητα ἀδυνατεῖ τοῦτο γενέσθαι. ἔξωθεν δὲ τῆς τοιαύτης μύτιδός ἐστι τὸ ἔντερον,
35 καὶ | ὁ θολὸς πρὸς τῷ ἐντέρῳ, ἵν' ᾖ τὸ δυσχερὲς καὶ δυσῶδες πόρρω τῆς 111
ἀρχῆς. ὅτι δέ, φησίν, ἡ τοιαύτη μύτις τὸ ἀνάλογόν ἐστι τῇ ἀρχῇ, ἤγουν τῇ καρδίᾳ, δηλοῖ ὁ τόπος· κεῖται γὰρ ἐν τῷ μέσῳ, πᾶσα δὲ καρδία ἢ τὸ ἀνάλογον ἐν τῷ μέσῳ κεῖται. εἰπὼν δὲ ὅτι περὶ μέσον δεῖ ζητεῖν τὴν

---

2 καὶ post ᾧ om. a 3 κύριον τοῖς ζῴοις τὸ S τὸ γὰρ—ζωῆς om. P 4 αὐτὰς scripsi: αὐτὰ libri 10 Καὶ τὰ] κατὰ P: Καὶ fort. delendum οὖν τὰ μόρια Pa 11 τοῦτον] τοιοῦτον a 12 τοῦτο] τό P 13 τὰ ante μαλάκια om. Pa 14 εἰπεῖν om. S 18 τοῖς ante ἐναίμοις supra vers. S 24 σφονδύλου P βελώνη P 26 post ὑγρὸν add. καὶ Sa 30 διάτασιν Pa 31 τροφῇ διόδου διὰ S 33 διάτασιν a 36 ἤγουν] ἤτοι S 38 μέσον ex μέσων corr. P

τοιαύτην ἀρχὴν καὶ τὴν καρδίαν ἢ τὸ ἀνάλογον, λέγει καὶ πῶς δεῖ τὸ μέσον εὑρίσκειν, καί φησιν ὅτι ὅσα μέν ἐστι μόνιμα, δεῖ ζητεῖν τὴν τοιαύτην ἀρχὴν περὶ τὸ μέσον τοῦ δεχομένου μορίου τὴν τροφήν (τοῦτο δ' ἐστὶ τὸ στόμα) καὶ τοῦ πέρατος τοῦ πόρου, δι' οὗ ποιεῖται τὴν ἀπόκρισιν τὴν σπερματικὴν ἢ τὴν περιττωματικήν· ὥστε ἐν τῷ τόπῳ, ἀφ' οὗ ἴσαι εὐθεῖαι προσπίπτουσιν πρός τε τὸ στόμα καὶ τὸ τοῦ εἰρημένου πόρου πέρας, δεῖ ζητεῖν ἐν τοῖς μονίμοις τὴν τῆς καρδίας θέσιν· ὅσα δὲ πορευτικὰ τῶν ζῴων, ἀεὶ ἐν τῷ μέσῳ τῶν δεξιῶν καὶ ἀριστερῶν. ὥστε ἐν τοῖς μονίμοις κατὰ τὸ μῆκος δεῖ ζητεῖν τὴν μεσότητα, ἐν δὲ τοῖς πορευτικοῖς κατὰ τὸ πλάτος. τοῖς δ' ἐντόμοις, φησίν, ὥσπερ ἐλέχθη ἐν τοῖς πρώτοις λόγοις, λέγων πρώτους λόγους τὴν Περὶ ζῴων ἱστορίαν, ἡ τοιαύτη ἀρχὴ ἐν ταῖς ἐντομαῖς ἐστιν. διὸ ὅσαι εἰσὶν ἐν ἑκάστῳ τῶν τοιούτων ζῴων ἐντομαί, τοσαύτας ἔχει καὶ ἀρχάς, καὶ διὰ τοῦτο, ὡς ἐρεῖ ἐν τῷ Περὶ ζῴων πορείας, τεμνόμενα δύνανται τὰ ἀποτμηθέντα μόρια ἐπὶ πολὺ ζῆν. καὶ ἐπεὶ ἡ τοιαύτη ἢ αἱ τοιαῦται ἐντομαί εἰσιν ἀρχαὶ αἱ τῇ καρδίᾳ ἀναλογοῦσαι, βούλεται μὲν ἡ φύσις ἐν πᾶσι τοῖς ζῴοις μίαν ταύτην ἑκάστῳ τούτων ἀποδιδόναι, καὶ δίδωσιν ἔνθα δυνατόν· ἔνθα δὲ οὐ δύναται οὐδὲ ἐνδέχεται διὰ μιᾶς ζῆν τε καὶ εἶναι, ἀποδίδωσι πολλάς. διὸ ἐν τοῖς ἰουλώδεσιν ἀδυνατήσασα μίαν ἐντομὴν καὶ ἀρχὴν ποιῆσαι ἀπέδωκεν ἑκάστῳ τούτων πλείους· διὸ καὶ τεμνόμενα, ὡς εἴρηται, ζῇ. τίνα δὲ τὰ ἰουλώδη, αὐτὸς σαφηνίζων ἐπήγαγε τὸ καὶ μακροῖς. εὐλόγως οὖν διατεμνόμενα ζῇ· ἐπειδὴ γὰρ ἡ ἐντομὴ ἀρχὴ καὶ ἑστία καὶ ἀκρόπολίς τίς ἐστι τῆς αἰσθητικῆς ψυχῆς, ὅσας ἂν ἔχῃ τὸ ζῷον ἐντομάς, τοσαύτας καὶ τὰς αἰσθητικὰς ἔχει ψυχάς, καὶ ἔστιν οἱονεὶ ἕν τι ζῷον ἐκ πολλῶν ζῴων συγκείμενον. διὰ τοῦτο χωριζόμενα ἀπ' ἀλλήλων τὰ μέρη καὶ ζῇ καὶ κινεῖται καὶ αἰσθάνεται, ὡς ἔχον ἕκαστον ἐν ἑαυτῷ αἰσθητικὴν ψυχήν· εἰ δὲ εἶχον καὶ ὄργανα, δι' ὧν ἂν ἐτρέφοντο, ὥσπερ εἴρηται ἐν τῇ Περὶ ψυχῆς, ἔζων ἂν ἐπὶ πολύ. εἰσὶ δὲ αἱ τοιαῦται ἐντομαὶ ἐν ἑτέροις δῆλαι μᾶλλον ἑτέρων· οὐ γὰρ ὁμοίως ἐν πᾶσίν εἰσι δῆλαι. οἱ δὲ τέττιγες, φησί, τὸ αὐτὸ καὶ ἓν μόριον ἔχουσι καὶ ἀντὶ στόματος καὶ ἀντὶ γλώττης· τὸ δὲ συμπεφυκὸς ὥσπερ εἰ σύμφυσις γλώττης καὶ στόματος ἐγεγόνει καὶ ἀπετελέσθη ἕν τι μόριον συγκείμενον ἐκ στόματος καὶ γλώττης εἴρηται. λέγει δὲ καὶ τρέφεσθαι τοὺς τέττιγας ἐκ τῆς καταλειφθείσης ἐκ τοῦ σώματος ὑγρότητος· ἐξ ὑγροῦ γὰρ τὴν σύστασιν ἔχοντες τῷ περιττεύσαντι ὑγρῷ ἐκ τῆς τοῦ σώματος αὐτῶν συστάσεως χρῶνται εἰς τροφήν. λέγει δὲ καὶ τὰ ἐφήμερα ζῷα ζῆν μίαν ἡμέραν, τοὺς δὲ τέττιγας πλείονας μὲν ἡμέρας ζῆν τῆς μιᾶς, ἣν ζῶσι τὰ ἐφήμερα, ὀλίγας δέ.

---

4 τοῦ πέρατος scripsi: τὸ πέρας libri 4. 5 τὴν σπερματικὴν ἀπόκρισιν ἢ S 6 πόρου] τόπου P 8. 9 κατὰ μῆκος S 11 τὴν Περὶ ζῴων ἱστορίαν] cf. Δ 7: τὰ περὶ ζῴων ἱστορίας Pa 13 ἐν τῷ Περὶ ζῴων πορείας] c. 7 p. 707a27 b2 ἐν τοῖς a 15 post εἰσιν add. αἱ a 22. 23 ἂν ἔχει a 25. 26 ὡς ἔχοντος ἑκάστου ἐν αὐτῷ a 26 καὶ om. S 27 ἐν τῇ Περὶ ψυχῆς] A 5 p. 411b23 ἐν τῶ S 28 ἑτέρων] ἑτέρως P 30 ὥσπερ ἡ σύμφυσις a 33 σώματος Sa Arist. SUY: στόματος (ex σώματος corr.) P: πνεύματος recte Arist. vulg.

p. 682a35 Ταῦτα εἰπὼν ἐφεξῆς πάλιν περὶ τῶν ἐκτὸς μορίων τῶν ἐντόμων λέγει, καί φησιν αὐτὰ μὴ εἶναι πολυμερῆ· οὐ γὰρ ἔχουσιν αὐχένα καὶ χεῖρας καὶ τὰ τοιαῦτα· εἰσὶ δὲ πολύποδα, καὶ τὴν αἰτίαν τῆς πολυποδίας λέγει σαφῶς. ἔχουσι δέ, φησί, πλείονας ἐντομάς, διότι καὶ ἀρχὰς πλείονας, αἱ δὲ ἀρχαὶ αἱ ἀναλογοῦσαι τῇ καρδίᾳ αἱ ἐντομαί εἰσιν, ἐν αἷς εἰσιν αἱ αἰσθητικαὶ ψυχαί. διὰ δὲ ταύτας ἐστὶ τὰ τοιαῦτα ζῷα καὶ πολύποδα, ὅπως ἀνέχωνταί τε καὶ φέρωνται ὡσπερεὶ μέλη παραλελυμένα ὑπὸ τῶν ποδῶν. ὅσα δὲ τῶν ἐντόμων ὀλιγόποδά ἐστιν, ἀντὶ ποδῶν δέδωκεν αὐτοῖς ἡ φύσις πτερά. λέγει δὲ τοῖς βίοις ἑδραῖα τὰ μὴ ἐκτοπιζόμενα καὶ πόρρω ἀποπλανώμενα, καὶ λέγει ἔχειν αὐτὰ καὶ ἔλυτρα ἐν τοῖς πτεροῖς διὰ τὴν ἑδραιότητα καὶ δυσκινησίαν· δυσκίνητα γὰρ ὄντα καὶ διὰ τοῦτο μᾶλλον δυνάμενα βλάπτεσθαι ὑπὸ τῶν ἐπιβουλευόντων, δέδοται αὐτοῖς τὰ ἔλυτρα εἰς σκέπην καὶ βοήθειαν. τὰ δὲ πτερά, φησί, τῶν τοιούτων εἰσὶν ὑμένες δερματικοί, οἵτινες διὰ τὴν σκληρότητα τοῦ σαρκώδους ψυχόμενοι ἀφίστανται τοῦ σώματος, ὥσπερ καὶ τὰ τῶν δένδρων φύλλα, ἐπειδὰν ὁ ὀπὸς παγῇ. ὥστε καὶ διὰ τοῦτο ἂν εἴη αὐτοῖς ὑπὸ | τῆς φύσεως τὰ 112
ἔλυτρα δεδομένα, ἵνα θερμαίνηται ὑπὸ τούτων τὰ πτερὰ καὶ μὴ ταχέως ψύχηται. εἰπὼν δὲ τὰ ἔντομα ἔχειν τὰς ἐντομὰς πλείονας διὰ τὸ καὶ τὰς ἀρχὰς πλείονας, λέγει καὶ ἄλλην αἰτίαν τούτου λίαν σαφῶς 'καὶ τὰ μὲν ἑλικτὰ τῶν ἐντόμων συνελίττεται, τὰ δὲ μὴ ἑλικτὰ συνιόντα καὶ εἰς ἑαυτὰ συνιζάνοντα ὥσπερ σπόγγοι, ἐπειδάν τις αὐτῶν ἅψηται, σκληρύνεται'. εἰ γὰρ τὸ μανούμενον μαλακόν, τὸ πυκνούμενον καὶ εἰς ἑαυτὸ συνιζάνον δῆλον ὡς σκληρόν. σαφῆ δὲ τὰ ἑξῆς.

p. 683a8 Λέγει δὲ τὰς μελίττας ἐν ἑαυταῖς ἔχειν τὸ κέντρον, ἀλλ' οὐκ ἐκτός. καὶ μίαν μὲν ἐπήγαγε τοῦ ἐντὸς ἔχειν τὸ κέντρον αἰτίαν τὸ εἶναι πτηνά· πτηνὰ γὰρ ὄντα δύναται φεύγειν τὰ ἐπιβουλεύοντα, ἕως ἂν ἐκβάλωσι τὰ κέντρα πρὸς ἄμυναν, ὥστε οὐκ ἀνάγκη ἐκτὸς καὶ ἕτοιμον ἔχειν τὸ κέντρον. ἄλλην δὲ πάλιν αἰτίαν ἐπήγαγε λίαν σαφῶς αὐτὴν ἑρμηνεύσας. ἀλλὰ ταύταις μὲν οὐκ ἀνάγκη τὸ κέντρον ἐκτὸς ἔχειν, τοῖς δὲ σκορπίοις πεζοῖς οὖσι καὶ μὴ δυναμένοις τάχιον ὑπὸ τῶν ἐπιβουλευόντων ἀμύνεσθαι, ἀναγκαῖον ἐπὶ ταῦτα, τουτέστιν ἐκτὸς ἔχειν τὸ κέντρον. εἰ δὲ μή, οὐκ ἂν εἴη χρήσιμον αὐτοῖς· φονευθήσονται γὰρ θᾶττον τοῦ ἐκβαλεῖν τὸ κέντρον. τὰ δὲ μικρὰ καὶ δίπτερα καὶ διὰ τοῦτο ἀσθενῆ λέγει ἔχειν ἔμπροσθεν τὸ κέντρον· μόλις γὰρ δύναται καὶ τοῖς ἔμπροσθεν τύπτειν δι' ἀσθένειαν· τὰ γὰρ ἐκ τῶν ὄπισθεν τύπτοντα ἰσχυρὰ πάντα. λέγει δὲ καὶ ὅτι βέλτιόν ἐστιν, ἐν οἷς ἐνδέχεται μὴ τὸ αὐτὸ ὄργανον ἔχειν ἐπὶ ἀνομοίας χρήσεις, ἔχειν ἄλλο πρὸς ἄλλην. ᾗ γὰρ ἐνδέχεται εἰς δύο πράξεις δύο ὄργανα εἶναι, οἷον ἄλλο μὲν πρὸς τὸ ὁρᾶν, ἄλλο δὲ πρὸς τὸ ἀκούειν, οὐκ εἴωθεν

---

2 αὐχένας P 5 αἱ post ἀρχαὶ om. S 7 ἀνεχόντως (ex ἀνέχωνται) corr. P φέρωνται] ἀπαίρωνται P 9 ἡ φύσις αὐτοῖς coll. S 14 οἵτινες] οἱ S
16 καὶ om. a 16. 17 δεδομένα τὰ ἔλυτρα coll. S 26 ἐκβάλλωσι a
28 πάλιν] πᾶσαν S 28. 29 ταύτας a 29 ἔχειν ἐκτός coll. S 30 μὴ om. Pa
32. 33 τὰ δὲ μικρὰ – κέντρον (34) in marg. add. P 35 πάντως S βέλτιστον S

ἡ φύσις ἓν ποιεῖν καὶ τὸ αὐτό, οἷον οὗς καὶ πρὸς τὸ ἀκούειν καὶ πρὸς τὸ ὁρᾶν, ἀλλ' ὥσπερ εἴρηται, ἄλλο μὲν πρὸς τὴν ἄκουσιν, ἄλλο δὲ πρὸς τὴν ὅρασιν ἀποδίδωσιν. οὐ γάρ ἐστιν ἡ φύσις εὐτελὴς καὶ φειδωλός, ἵνα τὸ αὐτὸ καὶ ἓν ὄργανον ἀπεργάσηται πρὸς δύο πράξεις ὥσπερ ἡ χαλκευτική· ἐκείνη γὰρ διὰ μικροπρέπειαν καὶ φειδωλίαν ἀπεργάζεται πρόμηκες σιδήριον, καὶ χρῆται τῷ αὐτῷ καὶ ἑνὶ προμήκει σιδηρίῳ καὶ ὡς λύχνῳ καὶ ὡς ὀβελίσκῳ, ὃ δὴ καὶ ὀβελισκολύχνιον ἐπονομάζεται. σαφῆ δὲ τὰ ἑξῆς. τὸ δὲ ἀεὶ γὰρ χαρακίζουσιν αἱ μυῖαι τοῖς προσθίοις σκέλεσι, τὸ δὴ χαρακίζουσιν ἴσον ἐστὶ τῷ ἀποχαθαίρουσιν· ἀεὶ γὰρ ἀποχαθαίρουσι τοὺς ὀφθαλμοὺς τοῖς προσθίοις σκέλεσιν. ὡς γὰρ οἱ χάρακες ἀπερύκουσι τοὺς πολεμίους, οὕτω καὶ τὰ πρόσθια σκέλη τῶν μυιῶν ἀποδιώκουσι τὰ προσπίπτοντα τοῖς ὀφθαλμοῖς. ὅτι δέ, φησί, καὶ τὰ ὀπίσθια σκέλη μείζω ἐστὶν διὰ τὸ αἱρεσθαι ἀπὸ τῆς γῆς, μᾶλλον δῆλον ἐπὶ τῶν πηδητικῶν, οἷον ἐπὶ τῶν ἀκρίδων καὶ ψυλλῶν. ὅταν γὰρ κάμψαντα τὰ ὀπίσθια σκέλη καὶ ταπεινότερα γενόμενα ἐκ τῆς καμπῆς πάλιν ἐκτείνῃ, ἀνάγκη αἱρεσθαι μᾶλλον· εἰ γὰρ κάμψαντα ταπεινοῦται καὶ ἴσα ἐκ τῆς καμπῆς γένηται τοῖς προσθίοις τὰ ὀπίσθια, ἀνάγκη ἐκταθέντα αἱρεσθαι καὶ ὑψηλότερα γίνεσθαι τὰ ὀπίσθια τῶν προσθίων. οὐκ ἔχουσι δὲ τὰ πηδαλιώδη σκέλη ἔμπροσθεν αἵ τε μυῖαι καὶ ἀκρίδες καὶ αἱ ψύλλαι καὶ τὰ ὅμοια, ἀλλ' ὄπισθεν, ὅτι ἀνάγκη τὴν καμπὴν εἴσω, τουτέστι πρὸς τὴν κοιλίαν καὶ τὰ στέρνα ἔχειν, οὐδὲν δὲ τῶν τοιούτων ζῴων τὰ πρόσθια σκέλη ὑπὸ τὴν κοιλίαν καὶ τὰ στέρνα κάμπτει, ἀλλ' εἰς τὰ πλάγια. τὴν δ' ἀνάγκην τοῦ τὰ ὄπισθεν εἴσω κάμπτειν, τὰ δὲ πρόσθια εἰς τὰ σκέλη εἴρηκεν ἐν τῇ Περὶ ζῴων πορείας. σαφῆ δὲ τὰ ἑξῆς.

p. 683ᵇ24 Λέγει δὲ ὅτι πάντα τὰ τοῦ σώματος τῶν ὀστρακοδέρμων μόρια ἀνώνυμά ἐστι, πλὴν τοῦ δι' οὗ δέχονται τὴν τροφήν· τοῦτο γὰρ μόνον καλεῖται στόμα. τὰ δὲ μαλακόστρακα πάντα πρὸς τῷ νευστικὰ εἶναι καὶ πορευτικά ἐστιν. ὅσα δέ, φησίν, ἔχει χηλάς, οὐ πρὸς τὸ πορεύεσθαι ἔχει αὐτάς, ἀλλὰ πρὸς τὸ λαμβάνειν· διὸ καὶ ἑλίσσουσι καὶ συστρέφουσιν αὐτὰς πρὸς τὸ στόμα, ὥσπερ καὶ ἡμεῖς τὰς χεῖρας. πλάτας δὲ λέγει τὰς κώπας. οἱ δὲ μικροὶ πάμπαν, φησί, καρκίνοι ἁλίσκονται διὰ τῶν μικρῶν ἰχθυδίων· τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ οἱ δὲ πάμπαν μικροὶ καρκίνοι, οἳ ἁλίσκονται ἐν τοῖς μικροῖς ἰχθυδίοις. ἢ τὸ λεγόμενον ἴσον ἐστὶν τῷ οἳ ἁλίσκονται μετὰ τῶν μικρῶν ἰχθυδίων·

---

1 πρὸς ante τὸ ὁρᾶν om. a 3 ἀποδίδοται P 5. 6 πρόμηκες σιδήριον om. S
6 σίδηρον P σιδήρῳ P 7 λύχνῳ in ras. al. m. S ὀνομάζεται Sa
8. 9 αἱ μυῖαι—χαρακίζουσιν om. S 10 post ἀποχαθαίρουσι add. αἱ μυῖαι S
15 γενόμενα scripsi: γένηται libri 16. 17 καὶ ἴσα—καμπῆς bis scr. sed priora rursus del. P 17 τὰ ὀπίσθια post καμπῆς ponit S 18 τῶν προσθίων] τοῖς προσθίοις PS 21 καὶ om. P ἔχειν om. Pa 23 σκέλη] exspectas πλάγια 24 ἐν τῇ Περὶ ζῴων πορείας] c. 16 25 δὲ post λέγει om. P
30 στρέφουσιν a ὡς καὶ S 32 τοῦτο γὰρ—ἰχθυδίων (34) post τοιούτοις (p. 80,1) ponit P 34 τῷ om. Pa οἳ] οἱ Pa: om. S

συναλίσκονται γὰρ ταῖς μικραῖς ἀθερίναις καὶ ἀμίαις καὶ τοῖς τοιούτοις. τὰ δὲ καραβοειδῆ λέ|γει ἔχειν πολλοὺς πόδας διὰ τὸ μὴ μᾶλλον νευστικὰ 113
εἶναι ἢ πορευτικά· εἰ μὲν γὰρ ἦσαν μᾶλλον νευστικώτερα, εἶχον ἂν ὀλίγους πόδας· ἐπεὶ δὲ μᾶλλόν εἰσι πορευτικώτερα, ἔχουσι πολλοὺς πόδας. εἴρηται δὲ καὶ τούτων ἡ αἰτία ἐν τῷ Περὶ πορείας ζῴων. αἱ δὲ θήλειαι τῶν καράβων ἔχουσι τὰ κάτω πλακωδέστερα, καὶ αἱ θήλειαι τῶν καρκίνων τὰ ἐν τῷ ἐπιπτύγματι δασύτερα, διότι τὰ ᾠὰ πρὸς αὐτὰ ἐκτείνουσι καὶ ἀποτίθενται, ἔνθα καὶ ζῷα γινόμενα ἐξέρχεται. εὐρυχωρότερα γὰρ ὄντα καὶ μείζω τά τε κάτω τῶν καράβων καὶ τὰ ἐν τῷ ἐπιπτύγματι τῶν καρκίνων χώραν ἔχει τοῖς ᾠοῖς μᾶλλον, τουτέστι χώραν δίδωσι μονῆς τοῖς ᾠοῖς. τὰ δὲ ἑξῆς σαφῆ.

p. 684ᵃ6 Λέγει δὲ τὰ μαλάκια τὸ κύτος τοῦ σώματος ἔχειν ἀδιόριστον· οὐ γὰρ ἔχει στέρνα ὡρισμένα καὶ διηρθρωμένα πλευράς τε καὶ τὰ λοιπά, ἀλλ' ἀόριστα καὶ ἄδηλα, καὶ τούτου τοῦ κύτους ἔχει τοὺς πόδας ἔμπροσθεν περὶ τὴν κεφαλήν, ἐντὸς μέν, φησί, τῶν ὀφθαλμῶν, τουτέστιν οὐκ ἐγγὺς τῶν ὀφθαλμῶν, ἀλλ' ὀλίγον πορρώτερον ἐπὶ τὸ ἔμπροσθεν, οἷον εἴ τις νοήσειε τὴν ἑαυτοῦ χεῖρα τὸ κύτος τοῦ πολύποδος, ἐν δὲ τῷ ἄκρῳ ἑνὸς τῶν δακτύλων τοὺς ὀφθαλμούς, ἐν δὲ τῇ καμπῇ τοῦ πρώτου κονδύλου τοῦ μετὰ τὸν ὄνυχα τοὺς πόδας, καὶ λέγει ὅτι ἐντὸς τῶν ὀφθαλμῶν εἰσιν οἱ πόδες, τοιοῦτόν τί ἐστι καὶ ἐπὶ τῶν πολυπόδων· ἢ τὸ ἐντὸς ἀντὶ τοῦ ἔμπροσθεν. ἔχουσι μὲν οὖν, ὡς εἴρηται, τοὺς πόδας ἐντὸς τῶν ὀφθαλμῶν, περὶ δὲ τὸ στόμα καὶ τοὺς ὀδόντας, τουτέστιν ἔχουσι μὲν ἐντὸς τῶν ὀφθαλμῶν, πλησίον δὲ καὶ ἐγγὺς τοῦ στόματος καὶ τῶν ὀδόντων· τὸ γὰρ περὶ τὸ στόμα ἴσον ἐστὶ τῷ πλησίον τοῦ στόματος. καὶ τὰ μὲν ἄλλα ζῷα, ὅσα ἔχει πόδας, τοὺς μὲν ἔχει ἔμπροσθεν, ὥσπερ τὰ τετράποδα, τοὺς δὲ ὄπισθεν, τὰ δὲ πάντας ἐκ τοῦ πλαγίου, ὡς τὰ ἄναιμα καὶ ὅλως τὰ πολύποδα. τὸ δὲ γένος τὸ τῶν πολυπόδων ἰδίως καὶ διαφερόντως παρὰ τὰ εἰρημένα ζῷα ἔχει τοὺς πόδας· πάντας γὰρ ἔχουσιν ἐπὶ τὸ καλούμενον ἔμπροσθεν. αἴτιον δὲ τοῦ πάντας ἔχειν τοὺς πόδας ἐπὶ τὸ καλούμενον ἔμπροσθεν, ὅτι τὸ ὄπισθεν συναχθὲν καὶ συναφθὲν τῷ ἔμπροσθεν καὶ ὡσπερεὶ κύκλος ἢ σφαῖρα τὸ ὅλον σῶμα γενόμενον ἀνάγκη καὶ τοὺς πόδας ἔχειν κύκλῳ. ὥσπερ γὰρ εἰ ἦν ὄφις ἐν θατέρῳ μέρει οἷον ἀπὸ τῆς κεφαλῆς ἄχρι τῆς οὐρᾶς ἔχων τρίχας, καὶ συνήγαγε τὴν κεφαλὴν αὐτοῦ πρὸς τὴν οἰκείαν οὐράν, ὥστε κύκλον ἀποτελέσαι, ἀνάγκη καὶ τὰς τρίχας κύκλον ἀποτελέσαι, οὕτω καὶ ἐπὶ τούτων συμβέβηκε τῶν πολυπόδων καὶ τοῖς ποσὶν αὐτῶν,

---

1 ἁλίσκεται S ἀθερίναις scripsi: ἀνθερίναις libri ἀμίαις, οὐ τοῖς a
2 καραβοειδῆ om. a μὴ supr. vers. add. P m. rec.: om. P¹Sa νευστικὸν P
3 πορευτικὸν P 4 πορευτικώτεροι P 5 ἐν τῷ Περὶ πορείας ζῴων] cf. c. 16 ἐν τῇ S ἡ τούτων ἐν τῷ π. ζ. πορείας αἰτία P 7 ἐπιπτέγματι P δασύτερα] ἀκριβέστερα S διὸ τὰ S 8 εὐρυχωρέστερα a Arist. 9 τό, τε κάτω S ἐπιπύγματι (sic) ex ἐπιπέγματι corr. P: πτύγματι S 16 πορρωτέρω S 18 κονδήλου P 19 τί om. S 27 τὸ om. S 28 ἔχουσιν] ἔχει S 30 καὶ συναχθὲν τῷ a 31 καὶ om. P 32 ὄφεις a

ὅπερ δὴ συμβέβηκε καὶ ἐπὶ τῶν ὀστρακοδέρμων τοῖς στρομβώδεσι· καὶ ἐπὶ τούτων γὰρ συνῆκται τὸ ὄπισθεν πρὸς τὸ ἔμπροσθεν. ὅλως γὰρ τὰ ὀστρακόδερμα κατά τι μὲν τοῖς μαλακοστράκοις ἐοίκασι, κατά τι δὲ καὶ τοῖς μαλακίοις. ᾗ μὲν γὰρ ἔξωθεν ἔχουσι τὸ γεῶδες, ἐντὸς δὲ τὸ σαρκῶδες, ἐοίκασι τοῖς μαλακοστράκοις (καὶ γὰρ καὶ οἱ κάραβοι καὶ οἱ καρκίνοι καὶ πάντα τὰ μαλακόστρακα ἐντὸς μὲν ἔχει τὸ σαρκῶδες, ἐκτὸς δὲ τὸ γεῶδες), κατὰ δὲ τὸ σχῆμα καὶ τὸ συναχθῆναι καὶ συναφθῆναι τὰ ὄπισθεν πρὸς τὰ ἔμπροσθεν, καὶ οἱονεὶ κύκλον τὸ ὅλον αὐτῶν σῶμα γενέσθαι ἐοίκασι τοῖς μαλακίοις· τοῦτο γὰρ βούλεται δηλοῦν διὰ τοῦ τὸ δὲ σχῆμα τοῦ σώματος ὃν τρόπον συνέστηκε, τοῖς μαλακίοις, τρόπον μέν τινα πάντα, καὶ διὰ τῶν ἑξῆς. ἀσαφῶς δὲ ἑρμηνευθὲν κατὰ μὲν τὴν διάνοιαν σεσαφήνισται ὅτι κατὰ τὸ κυκλικὸν σχῆμα ἔοικε τοῖς μαλακίοις, τὰ δὲ κατὰ τὴν λέξιν τοιαῦτ' ἂν εἴη· 'κατὰ δὲ τὸ σχῆμα τοῦ σώματος πάντα συνέστηκε τὰ ὀστρακόδερμα τοῖς μαλακίοις, τουτέστι τὸν ὅμοιον τρόπον τοῖς μαλακίοις, καὶ τὰ μαλάκια τοῖς μαλακοστράκοις· ἀμφοτέρων γὰρ τὰ ὄπισθεν συνῆκται πρὸς τὰ ἔμπροσθεν, καὶ ἐοίκασι κύκλῳ· καὶ τρόπον μέν τινα κατὰ τὸ σχῆμα πάντα συνέστηκεν ὁμοίως τοῖς μαλακίοις, μάλιστα δὲ ἀπὸ τῶν στρομβωδῶν ὡμοίωται τοῖς μαλακίοις τὰ ἔχοντα τὴν ἑλίκην'. καὶ πῶς ὡμοίωται τὰ μαλάκια τῶν στρομβωδῶν τοῖς ἔχουσι τὴν ἑλίκην, καὶ ταῦτα τοῖς μαλακίοις, ἐπάγει λέγων ἀμφοτέρων γὰρ τοῦτον ἔχει τὸν τρόπον ἡ φύσις, λέγων ἀμφότερα τὰ στρομβώδη τὰ ἔχοντα τὴν ἑλίκην καὶ τὰ μαλάκια. ἀμφο|τέρων οὖν τῶν στρομβωδῶν καὶ τῶν μαλακίων ἡ φύσις τοῦτον ἔχει τὸν τρόπον, ὥσπερ εἴ τις νοήσειεν εὐθεῖάν τινα ὅπερ ἐφ' ἡμῖν τε καὶ τοῖς τετράποσι καὶ ἄλλοις πάνυ πολλοῖς, τὴν Α Β Γ Δ, καὶ ἐπὶ μὲν τῷ ἄνω ἄκρῳ τῆς εὐθείας τῷ Α νοήσειε κείμενον τὸ στόμα, ἐπὶ δὲ τῷ Β τὸν στόμαχον, ἐπὶ δὲ τῷ Γ τὴν κοιλίαν, ἀπὸ δὲ τοῦ Γ ἄχρι τοῦ Δ τὸ λοιπὸν μέρος τοῦ σώματος ἅπαντος, ὡς νοεῖσθαι τὸ Δ ἐφ' ἡμῶν μὲν τοὺς πόδας, ἐπὶ δὲ ὄφεων τὸ πέρας τῆς οὐρᾶς καὶ ἁπλῶς ἐπὶ πάντων τὸ ἔσχατον τοῦ σώματος ἑκάστου, ἔπειτα νοήσειε τὸ Δ ὅτι συνήχθη καὶ συνήφθη τῷ Α, καὶ γέγονεν ὁ Α Β Γ Δ κύκλος. ὡς οὖν ἐπὶ τούτων, τοιοῦτόν τι χρὴ νοεῖν καὶ ἐπὶ τῶν μαλακίων καὶ τῶν στρομβωδῶν, καὶ τὴν μὲν Α Β Γ Δ εὐθεῖαν ὑπονοεῖν ἄνθρωπον ἢ ὄφιν ἢ ἄλλο τι τῶν προμηκῶν ζῴων, τὸν δὲ Α Β Γ Δ κύκλον τὰ μαλάκια καὶ τὰ εἰρημένα στρομβώδη, ἔχοντα συνηγμένα τὸ Δ ἤτοι τὸ κάτω πρὸς τὸ Α τὸ στόμα ἢ τὴν κεφαλήν. ἀλλὰ τὰ μὲν τῶν ἐναίμων τοῦτον ἔχει τὸν τρόπον, ὃν εἴπομεν ἐπὶ τῆς Α Β Γ Δ, καὶ περὶ τοῦτο, τουτέστι

---

2 πρὸς τὸ ὄπισθεν PS ὅλως] ὅλα a 3 καὶ om. Sa 11 ἀσαφὲς PS
13 τὰ] τὸ a τὴν om. a τοιοῦτ' ἂν a 17 πάντα om. S
18 et 19 ὡμοίωνται Pa 21 ἀμφότερα λέγων coll. S 24 εὐθεῖαν] in marg. add. rectam lineam c. litt. α β γ δ Pa τοῖς τετράποσι in marg. S 25 νοήσει Pa 26 ἐπὶ δὲ τῷ Γ] τῶ δὲ γ̄ Sa 31 κύκλος] in marg. circulum litt. α β γ δ notatum add. Pa νοεῖν om. PS 32 τῶν super vers. scr. P ὑπονοεῖν ex ὑπονοεῖ corr. m. al. P 35 ἢ] καὶ S ἀλλὰ τῶν μὲν ἐναίμων P

περὶ τὸ μέρος τὸ ἀπὸ τῆς κεφαλῆς ἄχρι τοῦ πόρου, ᾗ τὸ περίττωμα ἀφίεται, ἔχουσί τε τὸ εἶναι, καὶ ἄνευ τούτου οὐδέν τι τῶν ζῴων δύναται εἶναί τε καὶ ζῆν. τὰ δὲ λοιπὰ μόρια, οἷον πόδες, χεῖρες, τούτων τε χάριν εἰσί, λέγω δὴ τῆς κεφαλῆς καὶ παντὸς τοῦ θώρακος, καὶ ἕνεκα τοῦ κινεῖσθαι. βούλεται δὲ καὶ ἐν τοῖς μαλακίοις καὶ μαλακοστράκοις καὶ ἐντόμοις ἡ εὐθυωρία τῶν σπλάγχνων καὶ πάντων τῶν ἐντὸς τὸν αὐτὸν ἔχειν τρόπον, καὶ εἶναι πρῶτον μὲν τὸν στόμαχον, εἶτα τὴν κοιλίαν, εἶτα τὸ ἔντερον τὸ ἀπὸ τῆς κοιλίας ἄχρι τοῦ πόρου, ᾗ τὸ περίττωμα ἀφίεται, διατεῖνον· ἀλλὰ διὰ τὸ συνῆχθαι τὰ ὄπισθεν πρὸς τὰ ἔμπροσθεν ἢ τὰ κάτω πρὸς τὰ ἄνω οὐ δοκεῖ τοῦτον ἔχειν τὸν τρόπον. καὶ τὰ μὲν ἐντὸς βούλεται ὁμοίως ἔχειν, τὰ δὲ ὄργανα οἷς χρῶνται πρὸς τὰς ὑπηρεσίας τὰς ἐκτὸς τά τε ἔναιμα καὶ τὰ μαλάκια καὶ τὰ στρομβώδη διαφέρουσι· καὶ πρὸς τούτοις, ὥσπερ εἴρηται, τὰ μαλάκια καὶ στρομβώδη τῶν ὀστρακοδέρμων ἔχει μὲν ἑαυτοῖς, τουτέστιν ἀλλήλοις, παραπλησίως, τούτοις δὲ ἤγουν τοῖς ἐναίμοις δὲ ἀντεστραμμένως· τῶν μὲν γὰρ μαλακίων καὶ στρομβωδῶν κέκαμπται τὰ κάτω πρὸς τὰ ἄνω, τῶν δὲ ἐναίμων οὐδαμῶς. σημειωτέον δὲ ὅτι τὴν Α Β Γ Δ εὐθεῖαν νῦν Ε ἐκάλεσε. σαφῆ δὲ τὰ ἑξῆς.

p. 685a14 Λέγει δὲ τὰς σηπίας καὶ τὰς τευθίδας ἀνομοίως ἔχειν τοῖς πολύποσι διὰ τὸ τὰς μὲν νευστικὰς μόνον εἶναι, τοὺς δὲ πολύποδας καὶ νευστικοὺς καὶ πορευτικούς. καὶ λέγει πῶς ἀνομοίως ἔχουσιν, ὅτι αἱ μὲν σηπίαι καὶ αἱ τευθίδες ὀκτάποδες οὖσαι ὥσπερ καὶ οἱ πολύποδες (ὀκτάποδες γὰρ καὶ οὗτοι) αἱ μὲν οὖν τοὺς πόδας τοὺς ὑπάρχοντας ἄνωθεν τῶν ὀδόντων αὐτῶν ἔχουσι μείζους, καὶ τούτων ἤγουν τῶν ὑπαρχόντων ἄνωθεν τῶν ὀδόντων μᾶλλόν εἰσι μείζους οἱ ἔσχατοι, καὶ αὖ πάλιν τούτων τῶν ὀκτὼ ποδῶν μεγίστους ἔχουσι τοὺς κάτωθεν δύο, οἵτινες κάτωθεν δύο μείζονες τυγχάνουσι καὶ τῶν ἄνωθεν δύο μεγάλων, τοὺς δὲ λοιποὺς μικρούς· οἱ δὲ πολύποδες ἀνομοίως τοὺς μὲν μέσους τέσσαρας μεγάλους, τοὺς δὲ ἄκρους μικρούς. εἰπὼν δὲ τὰς τευθίδας καὶ σηπίας τοὺς κάτωθεν δύο πόδας μεγίστους ἔχειν καὶ μείζονας τῶν ἄνωθεν δύο μεγάλων, τὴν αἰτίαν τοῦ διὰ τί οὕτως ἔχουσιν ἐπήγαγεν εἰπὼν τὸ γὰρ φορτίον καὶ τὸ βάρος τοῦ ὅλου σώματος οὗτοι ἔχουσι καὶ κινοῦσι μάλιστα· καὶ ἀπὸ τῶν μέσων δὲ μάλιστα οἱ ἔσχατοι δύο μείζους εἰσὶ τῶν πρὸ αὐτῶν, διότι συνυπηρετοῦσι πρός τε τὸ βάρος ἔχειν τοῦ σώματος καὶ πρὸς τὸ κινεῖν, διότι δὴ συνυπηρετοῦσι τοῖς ἐσχάτοις τοῖς οὖσι μείζοσι τῶν ἄνωθεν μεγάλων. ἔχουσιν οὖν οἱ πόδες τῶν τευθίδων καὶ σηπίων ὡς συναγαγόντα εἰπεῖν ὧδε· οἱ δύο οἱ ἄνωθεν ὄντες τῶν ὀδόντων εἰσὶ μείζους, οἱ δὲ ἐφεξῆς τούτων, οἵτινες καὶ κάτωθέν εἰσι τῶν ὀδόντων, ἐλάττονες. οἱ δὲ ἐφεξῆς δύο μείζονες τῶν πρὸ αὐτῶν διὰ τὸ συνυπηρετεῖν τοῖς ἐφεξῆς τούτων οὖσιν·

---

2 ἀφίεται] ambiguus S 5 καὶ ἐν τοῖς μαλακοστράκοις a 8. 9 διατεῖνον scripsi: διατείνοντος libri 9 ἢ] καὶ Sa 10 τοιοῦτον a 14 ἤγουν] ἢ S: ἤτοι a 15 δὲ om. P 22 τοὺς ὀκτὼ πόδας ὑπάρχοντας P 23 ἤτοι a 25 ὀκτὼ ποδῶν] ὀκταπόδων a 33 fort. πρὸς τὸ τὸ βάρος 35 συναγαγόντας P 36 οἱ post δύο om. Sa

οἱ δὲ ἐφεξῆς πάλιν τούτων δύο εἰσὶ μείζους πάντων. ἔστωσαν δὴ οἱ μὲν ἄνωθεν τῶν ὀδόντων δύο πόδες ἐφ' ᾧ τὸ Α, οἱ δὲ ἐφε|ξῆς τούτων ἐφ' ᾧ 116 Β, οἱ δὲ ἐφεξῆς τοῖς Β ἐφ' ᾧ Γ, καὶ ἔτι οἱ ἐφεξῆς τοῖς Γ ἐφ' ᾧ Δ. οἱ μὲν οὖν ἐφ' ᾧ Δ, οἳ καὶ ἔσχατοί εἰσι, μείζους τῶν λοιπῶν τυγχάνουσιν ἕξ· οἱ δὲ ἐφ' ᾧ Γ μείζους μὲν τῶν ἐφ' ᾧ Β ὡς συνυπηρετοῦντες τοῖς ἐσχάτοις τοῖς ἐφ' ᾧ Δ, ἐλάττονες δὲ τῶν ἐφ' ᾧ Α. σαφῆ δὲ τὰ ἑξῆς. κοτυληδόνες δὲ καὶ πλεκτάναι ἐκ παραλλήλου κεῖνται τὸ αὐτὸ σημαίνουσαι. ὥσπερ δέ, φησί, τὰ πλεγμάτια, ἃ ἐποίουν οἱ ἀρχαῖοι ἰατροί, δύναμιν εἶχον τοῦ κατέχειν καὶ μὴ ἐᾶν ἐξέρχεσθαι ἢ ὅλως κινεῖσθαι τὸν ἐμβληθέντα δάκτυλον ἐν αὐτοῖς, ὥστε τμηθῆναι ἢ καυθῆναι ἢ ἄλλως πως θεραπευθῆναι, οὕτω καὶ αἱ πλεκτάναι πεπλεγμέναι εἰσὶν ὑπὸ τῆς φύσεως ἐκ τῶν ἰνῶν, αἷς πλεκτάναις ἕλκουσι τὰ προσπίπτοντα· περιλαμβάνουσι γὰρ αἱ πλεκτάναι τὸ προσπῖπτον, ὅταν οἱ πολύποδες οὐκ ὦσιν ἐκτεταμένοι. οἷόν τι ἐθεασάμην καὶ ἐγὼ ποιοῦντας τοὺς παῖδας ἐν ταῖς παιδιαῖς· οὗτοι γὰρ ἔκαμπτον τὸν μέγαν δάκτυλον τῆς χειρός, εἶτα ἐν τῇ καμπῇ ἐτίθουν μικρὸν ξυλάριον ὄρθιον κατὰ κάθετον ἱστῶντες αὐτό, εἶτα ἐξέτεινον τὸν δάκτυλον ἐκ περιφεροῦς εὐθύ, καὶ οὕτως κατείχετο ὑπὸ τῆς τοῦ δακτύλου τάσεως, ὥστε ἵστατο ὄρθιον. τοιοῦτον δὴ συμβαίνει καὶ ἐπὶ τῶν πολυπόδων. ἅπτονται γὰρ ἀλλήλων αἱ πλεκτάναι τεταμένων ὄντων τῶν ποδῶν· ἐπειδὰν δὲ κάμψωσιν αὐτούς, ἀνοίγονται καὶ ἀπ' ἀλλήλων ἀφίστανται· ὅταν δὲ ἐντὸς τῶν διαλειμμάτων ἐμπέσῃ τι, ἐκτείνουσι καὶ συνέχεται τὸ ἐμπεσόν, ὥσπερ καὶ τὸ εἰρημένον ξύλον ὑπὸ τοῦ μεγάλου δακτύλου. λέγει δὲ καὶ τοὺς πολύποδας τοὺς ἔχοντας λεπτοὺς καὶ προμήκεις τοὺς πόδας, μονοκοτύλους εἶναι οὐ διὰ τὸ βέλτιον εἶναι τὸ μονοκοτύλους εἶναι τοῦ δικοτύλους (βέλτιον γὰρ μᾶλλον τὸ δικοτύλους εἶναι τοῦ μονοκοτύλους), ἀλλ' ὅτι ἀνάγκη οὕτως ἔχειν διὰ τὸν ἴδιον τῆς οὐσίας λόγον· ἐν τούτῳ γὰρ τὸ εἶναι ἔχουσιν, ὥσπερ καὶ τὰ ἄναιμα ἐν τῷ μὴ ἔχειν αἷμα. λέγει δὲ καὶ περὶ τῶν ἐλαττόνων τευθίδων ὅτι τοῦτο δὲ ἔχουσι, λέγων τοῦτο τὸ πλατὺ πτερύγιον· ἔχουσιν οὖν τὸ πτερύγιον πλατύ, ἵνα χρῶνται αὐτῷ ὥσπερ τινὶ κώπῃ πρὸς τὴν νεῦσιν. σαφῆ δὲ τὰ ἑξῆς.

p. 686a6 Ἀνάγκη δέ, φησί, τοῦτο τὸ μόριον, λέγων τοῦτο τὸ μόριον τὸν ἐγκέφαλον, ἀνάγκη οὖν τὸν ἐγκέφαλον ὑπάρχειν τοῖς ἐναίμοις, ἵνα καταψύχῃ τὴν καρδίαν. ἀντικείμενον δὲ τόπον εἴρηκε τὴν κεφαλήν· ἡ γὰρ κεφαλὴ ἀντίκειται τῷ τόπῳ, ἐν ᾧ κεῖται ἡ καρδία, ὡς τὰ πρός τι· ἡ μὲν γὰρ ἄνω, ὁ δὲ κάτω. εἰπὼν δὲ καὶ περὶ τῆς κεφαλῆς καὶ τοῦ αὐχένος λέγει ἔτι δὲ τρίτον μόριον ὑπέθετο τὸ τὴν τῆς τροφῆς εἴσοδον δημιουργοῦν, τοῦτο δ' ἐστὶ τὸ στόμα. καὶ λέγει τὰς αἰτίας δι' ἃς τὸ στόμα ἐνταῦθα

---

2 ἑξῆς P 3 ἐφεξῆς τῆς β ἐφ' ὧ τὸ γ̄ P ἐφεξῆς τῆς γ P 4 οἳ καὶ—ἐφ' ᾧ Δ (6) om. S 5 μὲν om. P 6 δὲ ante τῶν om. S 10 ἄλλως] ὅλως P 12 προσπίπτοντα] περιττώματα P 13 τὸν προσπίπτοντα P οἱ πόδες P ὦσιν ἰσὶν PS 15. 16 ξυλάριον μικρὸν coll. S 18 ἵστασθαι S 23. 24 μονοκοτύλους εἶναι] μονοδακτύλους a 28 λέγων τοῦτο το τὸ P 32 ὑπάρχειν] ὑπερέχειν S 35 ὁ δὲ] ἡ δὲ S καὶ post δὲ om. P 36 τὸ om. Sa 36. 37 δημιουργοῦν om. Sa

κεῖται, ἐν ᾧ ἔστι, καὶ οὔτε ἄνωθεν οὔτε κάτωθεν, καί φησιν οὔτε γὰρ ἄνωθεν τῆς καρδίας καὶ τῆς ἀρχῆς ἐνεδέχετο τὴν κοιλίαν. εἰσὶ δὲ τὰ λεγόμενα διὰ τούτων τοιαῦτα· εἰ μὲν οὖν ἦν τὸ στόμα ἐν τῷ βρέγματι ἢ τῇ κορυφῇ, ἔδει τὴν κοιλίαν ἄνωθεν κεῖσθαι τῆς καρδίας. οὐ γὰρ 35
5 εἰκὸς ἦν τὸ μὲν στόμα κεῖσθαι ἐν τῇ κορυφῇ ἢ τῷ βρέγματι, τὴν δὲ κοιλίαν εἶναι ὅπου νῦν ἐστιν· οὕτω γὰρ ἂν πόρρω λίαν ἀπ' ἀλλήλων ἦσαν τὸ στόμα καὶ ἡ κοιλία, οὐκ ἐνδέχεται δὲ πόρρω λίαν ἀπ' ἀλλήλων διεστηκέναι, ὅπου γε ἔν τισιν, ὥσπερ τοῖς ἰχθύσιν, εὐθὺς μετὰ τὸ στόμα κεῖται. ἄνωθεν μὲν οὖν τοῦ ἐν ᾧ ἐστιν οὐκ ἐνδέχεται τὸ στόμα εἶναι· ἀλλὰ μὴν
10 οὐδὲ τὴν κοιλίαν ἄνωθεν τῆς καρδίας δι' ἃς εἴρηκε πρότερον αἰτίας. εἰ 40
δὲ κάτωθεν τῆς καρδίας ἦν ἡ κοιλία, ὃν τρόπον καὶ ἐνδέχεται ἔχειν καὶ ἔχει, εἰ οὖν ὡς εἴρηται κάτωθεν ἦν τῆς καρδίας ἡ κοιλία καὶ τὸ στόμα ἔκειτο κάτωθεν τῆς καρδίας, ἀναγκαῖον ἦν τὴν κοιλίαν κατωτέρω κεῖσθαι, καὶ οὐχ οὗ νῦν κεῖται· εἰ δὲ τοῦτο, ἦν ἂν πολὺ τὸ μῆκος τοῦ σώματος
15 καὶ ἀσύμμετρον. πρὸς δὲ τούτοις ἦν ἂν ἡ κοιλία καὶ πόρρω τῆς ἀρχῆς τῆς κινούσης καὶ πεττούσης· εἰ γὰρ τοῦ στόματος ὄντος κάτωθεν τῆς καρ- 45
δίας ἀναγκαῖον ἦν τὴν κοιλίαν ἀφεστηκέναι τοῦ στόματος ὅσον καὶ νῦν ἀφέστηκε, πόρρω ἂν τῆς καρδίας | ἦν ἡ κοιλία. κοινὴν δὲ αἴσθησιν 117
ἢ τὴν ἁφὴν λέγει (ταύτην γὰρ ἔχουσι πάντα τὰ ζῷα) ἢ ὅπερ οἶμαι, ὁμοῦ
20 πάσας τὰς πέντε. ὅτι δὲ τοῖς ἀνθρώποις τὸ ἀπὸ τῆς κορυφῆς ἄχρι τῆς ὀσφύος καὶ τοῦ ἤτρου ἔλαττόν ἐστιν τοῦ ἀπὸ τῆς ὀσφύος καὶ τοῦ ἤτρου ἄχρι τῆς πτέρνης, δῆλον· ὅτι δὲ καὶ πολυσαρκότερα τὰ κάτω τῶν ἄνω, ἐκδηλότερον. τὰ γὰρ ἰσχία (εἰσὶ δὲ ἰσχία, ὡς προϊὼν ἐρεῖ, ἡ εὐθὺς μετὰ 5
τὴν ὀσφὺν πᾶσα σαρκώδης πρόσφυσίς τε καὶ προβολή, ὑφ' ὧν καὶ τὰς
25 καθέδρας ποιούμεθα, αἳ δὴ σάρκες καὶ ἰσχία καὶ πυγαὶ καλοῦνται) τὰ οὖν ἰσχία καὶ οἱ μηροὶ καὶ αἱ γαστροκνημίαι πολὺ τὸ σαρκῶδες πεπλουτήκασιν. ἀλλ' ἐπὶ μὲν τῶν ἀνθρώπων οὕτως, ἐπὶ δὲ τῶν ἀλόγων καὶ τετραπόδων ἀνάπαλιν· τὸ μὲν γὰρ ἄνω μέγα (ἄνω λέγων τὸ ἀπὸ τῆς κεφαλῆς ἄχρι 10
τῆς ἕδρας, δι' ἧς ἐξέρχεται ἡ τῆς ξηρᾶς τροφῆς περίττωσις), τὸ δὲ κάτω
30 ἐστὶ τὰ σκέλη ἄσαρκα καὶ νευρώδη. λέγει δὲ τοὺς ἵππους ἢ μᾶλλον τοὺς ὄνους (ἐγὼ γὰρ ἑωράκειν ἵππον πρεσβύτην θίξαντα τῆς κεφαλῆς μετὰ τοῦ ὄπισθεν ποδός), λέγει δὴ τοὺς ὄνους, νέους μὲν ὄντας, θιγγάνειν τῆς κεφαλῆς μετὰ τοῦ ὄπισθεν ποδός, πρεσβυτέρους δ' ὄντας ἀδυνατεῖν τοῦτο ποιῆσαι. καὶ τὰ μὲν οὖν μώνυχα καὶ διχηλὰ οὕτως ἔχουσι τὰ ἄνω καὶ τὰ 15
35 κάτω· τὰ δὲ πολυδάκτυλα, οἷον κύνες καὶ τὰ ὅμοια τὴν τῶν ἄνω αὔξησιν πρὸς τὴν τῶν κάτω ἔλλειψιν σύμμετρον ποιοῦνται. λέγει δὲ καὶ πάντα τὰ ζῷα ἀφρονέστερα τῶν ἀνθρώπων εἶναι διὰ τὸ εἶναι νανώδη· καὶ ἐπ' αὐτῶν δὲ τῶν ἀνθρώπων τὰ παιδία διὰ τὸ νάνα εἶναι ἀφρονέστερά εἰσι τῶν ἀνδρῶν,

---

6 εἴησαν a 7 ἡ κοιλία καὶ τὸ στόμα coll. Sa 9 οὖν om. S 11 καὶ (post τρόπον) om. S 12 ὡς—κοιλία om. S 14 οὐχὶ S 16 κενούσης P 25 αἳ scripsi: αἱ libri δὲ P τὰ μὲν οὖν S 31 θήξαντα τὴν κεφαλὴν P 34 διχα λ' S 37 ἀπ' αὐτῶν P

καὶ τῶν ἀνδρῶν οἱ νάνοι, κἂν ἰσχυροὶ τύχωσιν ὄντες, ὅμως ἀφρονέστεροί εἰσι τῶν μὴ νάνων. λέγει δὲ καὶ ὅτι ἐλάττονος γινομένης τῆς θερμότητος καὶ τὰ σώματα τῶν ζῴων ἐλάττονα γίνεται καὶ πολύποδα, καὶ τοῦτο εὐλόγως· οἱονεὶ γὰρ νεκρὰ ὄντα διὰ τὴν τοῦ θερμοῦ ὀλιγότητα δέονται πολυποδίας πρὸς τὸ κινεῖσθαι. δῆλα δὲ τὰ ἑξῆς.

p. 687ᵃ7 Τὸν δὲ Ἀναξαγόραν ἱστορεῖ λέγειν τὸν ἄνθρωπον φρονιμώτατον εἶναι διὰ τὸ χεῖρας ἔχειν· ὁ δὲ Ἀριστοτέλης λέγει ὅτι μᾶλλον διότι φρόνιμός ἐστιν ἔχει χεῖρας, οὐ μὴν διότι χεῖρας ἔχει, ἐστὶ φρόνιμος. ὥσπερ γὰρ ὁ φρόνιμος ἄνθρωπος τὰ ὄργανα δίδωσιν οἷον κορύνην, σπάθην, τόξον τῷ δυναμένῳ τούτοις χρῆσθαι, ὁμοίως πρίονα τῷ δυναμένῳ πρίζειν, οὕτω καὶ ἡ φύσις δέδωκε χεῖρας τῷ δυναμένῳ χρῆσθαι αὐταῖς. εὔλογον γὰρ καὶ ἀναγκαῖον τῷ μείζονι καὶ κυριωτάτῳ, λέγω δὴ τῇ λογικῇ ψυχῇ, δοῦναι τὸ ἔλαττον ἤτοι τὰς χεῖρας, ἀλλ' οὐ τῷ ἐλάττονι ταῖς χερσὶ δοῦναι τὸ μεῖζον τὴν λογικὴν ψυχήν. εἰ οὖν οὕτω βέλτιον δίδοσθαι τὰ ἐλάττονα τοῖς μείζοσι, καὶ οὐ τὰ μείζονα τοῖς ἐλάττοσιν, οὐχ ὡς Ἀναξαγόρας λέγει, ἔχει τὰς χεῖρας ὁ ἄνθρωπος, ἀλλ' ὡς ὁ Ἀριστοτέλης. ἡ δὲ χείρ, φησίν, οὐκ ἔστιν ἓν ὄργανον, ἀλλὰ πολλά· ἐπειδὴ γὰρ τὰ ὄργανα οὐ δύναται τὰς οἰκείας ἐνεργεῖν ἐνεργείας χωρὶς τῆς χειρός, ὅσοις ἄρα ὀργάνοις χρῆται ἡ χείρ, τοσαῦτά ἐστιν ἡ χεὶρ ὄργανα· ἔστι γὰρ αὕτη πρότερον ὄργανον, καὶ μετ' αὐτὴν τὰ οἷς χρῆται. ταῦτα μὲν πρὸς τὸν Ἀναξαγόραν. λέγει δὲ μὴ καλῶς λέγειν τοὺς λέγοντας οὐ καλῶς ἔχειν τὴν τοῦ ἀνθρώπου σύστασιν, διά τε τὸ ἀνυπόδετον εἶναι καὶ γυμνὸν καὶ μὴ ἔχειν μηδὲν ὅπλον πρὸς ἀλκήν, ὥσπερ οἱ κάπροι μὲν τοὺς χαυλιόδοντας, ἵπποι τὰς ὁπλάς, μέλισσαι τὰ κέντρα, καὶ ἄλλα τῶν ζῴων ἕτερα. εἰπὼν δὲ μὴ καλῶς αὐτοὺς λέγειν ταῦτα περὶ τοῦ ἀνθρώπου ἐπαινεῖ αὐτὸς τὴν τοῦ ἀνθρώπου κατασκευὴν ἅμα τε καὶ δείκνυσιν ὅτι καλῶς ἔχει, καί φησι τὰ μὲν γὰρ ἄλλα μίαν ἔχει βοήθειαν, οἷον κάπρος τοὺς χαυλιόδοντας μόνους καὶ μέλιττα τὸ κέντρον, καὶ ἁπλῶς ἅπαντα οὕτω, καὶ οὐ μόνον ἓν ἕκαστον τούτων ἔχει τὸ ὅπλον, ἀλλ' οὐδὲ μεταλαβεῖν ὁ μὲν κάπρος ἀντὶ τῶν χαυλιοδόντων ἄλλο δύναται καὶ ἡ μέλιττα ἀντὶ τοῦ κέντρου ἕτερον· ἀλλ' ἀναγκαῖον ἀεὶ καθεύδειν ὥσπερ εἰ νοήσομεν ἄνθρωπον ἀεὶ καθεύδοντα ὑποδεδεμένον ἢ ὡπλισμένον καὶ μηδέποτε δυνάμενον τὰ ὅπλα καταθέσθαι. ὁ δὲ ἄνθρωπος πολλὰς ἔχει τὰς βοηθείας καὶ δύναται τοῦτο μὲν καταλιπεῖν τὸ ὅπλον, λαβεῖν δ' ἕτερον, καὶ διότι δύναται πλείονα ὄργανα λαμβάνειν, ἐμηχανήσατο ἡ φύσις καὶ τὸ τῆς χειρὸς εἶδος | τοιοῦτον. διαιρετὴν γὰρ αὐτὴν κατὰ 118
τοὺς δακτύλους πεποίηκε καὶ πολυσχιδῆ, καὶ διαιρετὴν ποιήσασα αὐτὴν τρόπον τινὰ διὰ τῆς διαιρέσεως ἐποίησεν αὐτὴν καὶ σύνθετον καὶ ἡνωμένην. ἔνεστι γὰρ ἐν τῷ διαιρετῷ τὸ σύνθετον καὶ ἡνωμένον· ἐπειδὰν γὰρ οἱ δάκτυλοι ἅψωνται ἀλλήλων, ὡσπερεὶ ἕν τι καὶ συνεχὲς γίνεται ἡ χείρ,

---

2 γενομένης a 7 λέγει om. S ὅτι om. P 8 ἔχει post χεῖρας om. S
11 πρίειν a 14 δίδοσθαι] διδόναι a 16 ὁ ante Ἀριστοτέλης om. P
17 ἓν om. S 19 χρᾶται S 21 μὴ καλῶς ἔχειν τοὺς P τοὺς λέγοντας] cf. Plat. Protag. p. 321 C 22 ἀνυπόδητον a 25 τοῦ post περὶ om. a
35 τοιοῦτον] deficit S 36 ποιήσας libri 38 διαιρετὴ P 38. 39 γὰρ διδάκτυλοι a

ὥστε ἐστὶν ἐν τῷ διαιρετῷ τὸ σύνθετον καὶ ἁπτόμενον· ἐν δὲ τῷ συνθέτῳ καὶ συνεχεῖ τὸ διαιρετὸν οὐκ ἔνεστι. καὶ ἔστι χρῆσθαι τῇ χειρὶ καὶ ἑνὶ καὶ δυοῖν καὶ πολλαχῶς, τουτέστι καὶ ἔστι χρῆσθαι τῇ χειρὶ καὶ πρὸς μίαν πρᾶξιν καὶ δύο καὶ πολλάς. σαφῆ δὲ τὰ περὶ τῶν δακτύλων λεγόμενα. ἐκ πλαγίου δὲ βραχὺν καὶ παχὺν δάκτυλον λέγει τὸν καλούμενον μέγαν, ὅστις μέγας δάκτυλος ἄνωθεν κάτω πιέζει καὶ συνωθεῖ ὅπερ οἱ ἕτεροι κάτωθεν ἄνω· ἐκείνων γὰρ κάτωθεν ἄνω πιεζόντων καὶ τούτου ἄνωθεν κάτω, ἑδραίως συνέχεται τὸ πιεζόμενον. τὸ δὲ δεῖ δὲ τοῦτο συμβαίνειν, εἰ μέλλει ἰσχυρῶς ὥσπερ σύναμμα ἰσχυρὸν συνδεῖν ἴσον ἐστὶ τῷ 'δεῖ δὲ τοῦτο τὸ βραχὺ καὶ παχὺ συμβαίνειν τῷ μεγάλῳ δακτύλῳ, ἵνα εἷς ὢν ἰσάζῃ τοῖς πολλοῖς'. τὸ γὰρ βραχὺ καὶ παχὺ ἐπὶ τῶν ὁμοειδῶν ἴσην ἔχει δύναμιν πλειόνων μακρῶν καὶ λεπτῶν. λέγει δὲ καὶ τὸν ἔσχατον δάκτυλον μικρόν, τὸν δὲ μέσον μακρόν· καὶ γὰρ καὶ αἱ μέσαι κῶπαι τῶν νεῶν μακρότεραι τυγχάνουσι τῶν ἄκρων. τὸ δὲ καὶ διὰ τοῦτο καλεῖται μέγας, μικρὸς ὢν περὶ τοῦ βραχέος καὶ παχέος εἴρηκεν. αἱ δὲ καμπαί, φησί, τῶν βραχιόνων ἐναντίως ἔχουσι τοῖς τετράποσιν. ἐκείνων μὲν γὰρ εἴσω κάμπτει τὰ ἐμπρόσθια κῶλα· ἡ γὰρ ὁπλὴ τοῦ προσθίου σκέλους, ὅταν τοῦτο κάμψῃ, πρὸς τὰ ὄπισθεν σκέλη ἄπεισι, τῶν δὲ ὄπισθεν πρὸς τὰ πρόσθια, ὥστε εἴσω καὶ πρὸς τὰ στέρνα κάμπτουσι. διὰ τί δὲ οὕτω κάμπτουσιν, εἴρηκεν ἐν τῷ Περὶ ζῴων πορείας. κάμπτουσιν οὖν οὕτως, ἵν' ᾖ χρήσιμα πρὸς τὴν πορείαν, ἐπεὶ βούλεται καὶ ἐν τοῖς πολυδακτύλοις τῶν τετραπόδων μὴ μόνον εἴσω κάμπτειν, ἀλλὰ καὶ ἑλίσσεσθαι καὶ ὄπισθεν πρὸς τὴν ῥάχιν καὶ ἄνω πρὸς τὴν κεφαλήν, ὥσπερ καὶ αἱ χεῖρες· χρῶνται γὰρ ἀντὶ χειρῶν τοῖς προσθίοις ποσίν· ἀλλὰ διὰ τὸ μὴ εἶναι χρησίμους πρὸς τὴν πορείαν ἀλλὰ καὶ μᾶλλον ἀχρήστους, εἴπερ εἱλίσσοντο, οὐ δέδοται τοῦτο αὐτοῖς ὑπὸ τῆς φύσεως, ἀλλὰ τῶν τετραπόδων τὰ μὲν πολυδάκτυλα τοῖς προσθίοις σκέλεσιν ἀμύνεται, τὰ δὲ μώνυχα τοῖς ὄπισθεν. οὐ γὰρ ἔχει τοῖς μώνυξιν ἀνάλογον τὰ πρόσθια σκέλη τοῖς ἀγκῶσι, τῶν δὲ πολυδακτύλων ἔνια ἔχει ἀνάλογον τὰ πρόσθια τοῖς ἀγκῶσι, καὶ διὰ τοῦτο ἀμύνεται τοῖς προσθίοις· ἔχει γὰρ αὐτὰ ὥσπερ ἀγκῶνας. ἰστέον δὲ ὅτι νῦν διὰ τοῦ ἀγκῶνος τὴν ἅπασαν χεῖρα δηλοῖ. ἐν δὲ τῇ λέξει τῇ ῥᾷον γὰρ ἀνείργει πρὸς τὸ μετεωρότερον τὸ ἀνείργει ἀντὶ τοῦ ἀνυψοῖ, μετεωρίζει εἴληπται. μεταξὺ δέ, φησί, τῶν ἀγκώνων, λέγων ἀγκῶνας καὶ νῦν καὶ πρότερον τόν τε βραχίονα καὶ τὸ ἐφεξῆς ἄχρι τῶν δακτύλων, μεταξὺ δὴ τῶν ἀγκώνων ἐστί, φησί, τὸ στῆθος ἐπὶ τῶν ἀνθρώπων, ἐπὶ δὲ τῶν τετραπόδων μεταξὺ τῶν προσθίων σκελῶν. λέγει δὲ καὶ ὅτι διήρθρωνται οἱ μαστοὶ ἐπὶ τῶν ἀνθρώπων, διὰ τὸ εἶναι σαρκώδεις· εἶναι δὲ καὶ τὸ στῆθος, ὅθεν ἔχουσι τὸ εἶναι, σαρκῶδες. καὶ τοῖς μὲν ἄρρεσιν ὑπάρχουσιν οἱ μαστοὶ διηρθρωμένοι

---

4 τὰ om. a 7 γὰρ ἄνωθεν κάτω πιεζόντων καὶ τούτου κάτωθεν ἄνω corr. m. rec. P
9 δὲ om. a 19. 20 ἐν τῷ Περὶ ζῴων πορείας] c. 12 25 ἑλίσσοντο a
28 τὰ πρόσθια—πολυδακτύλων iterat a 29 προσθίοις in ὀπισθίοις corr. al. m. P
34 δὴ] δὲ P 36 μασθοὶ a, itemque porro 37. 38 σαρκώδεις—εἶναι σαρκῶδες] . . κώδεις—εἶναι σαρ . . in marg. add. P

καὶ δῆλοι διὰ τὴν εἰρημένην αἰτίαν (εἶπε γὰρ ὅτι δεῖ σαρκώδη εἶναι τὰ περὶ τὸ στῆθος, ἵνα σκέπωσι τὴν καρδίαν· τοῦ δὲ στήθους διὰ τοῦτο σαρκώδους ὄντος ἕπεται καὶ ἡ τῶν μαστῶν διάρθρωσις, σαρκώδης οὖσα), τοῖς δὲ θήλεσιν ὑπάρχουσιν οἱ μαστοὶ δι' ἃς σαφῶς λέγει αἰτίας. εἰσὶ δέ, φησίν, οἱ μαστοὶ σκληρότεροι μὲν τῆς ἄλλης σαρκός, διωρισμένοι δὲ καὶ κεχωρισμένοι ἀπ' ἀλλήλων· εἰ γὰρ μὴ ἦσαν κεχωρισμένοι, ἀλλ' ἡνωμένοι, οὔτ' ἂν ἐν τῷ δεξιῷ μέρει ἔκειντο οὔτ' ἂν ἐν τῷ ἀριστερῷ. ἐν οἷς γὰρ ἄρτια εὑρίσκεται τὰ μέρη, τὰ μὲν τοῖς δεξιοῖς τὰ δὲ τοῖς ἀριστεροῖς προσνενέμηνται μέρεσιν ὑπὸ τῆς φύσεως. διὰ μὲν οὖν ταύτην τὴν αἰτίαν ἐν οὐδενὶ τῶν εἰρημένων εἴησαν ἂν μερῶν. λοιπὸν ἦν ἄρα ἐν τῷ μέσῳ τοῦ στήθους κεῖσθαι αὐτούς, ᾗ | συνάπτουσιν αἱ πλευραί· ἀλλ' ἦν ἂν ἐπίπονος 119
ἡ φύσις τῶν μαστῶν ἐνταῦθα κειμένων· δεῖ δὲ μὴ ἐπίπονον εἶναι. ἦν δ' ἂν ἐπίπονος πρῶτον μὲν διὰ τὸ ἄσαρκον εἶναι τὸ μέρος τοῦτο, καθ' ὃ συνάπτουσιν αἱ πλευραί· τούτους δὲ δεῖ σαρκώδεις εἶναι διὰ τὸ τὴν φύσιν αὐτῶν εἶναι σάρκας· ὥστε ἐπιπόνως ἂν ἐκ τοῦ ἀσάρκου τὴν τροφὴν καὶ μετὰ πολλῆς τῆς σπάνης ἐλάμβανον. ἔπειτα καὶ ῥᾳδίως ἂν πολλοῖς προστρίβοντο διὰ τὸ πρόχειρον τῆς τοῦ τοιούτου τόπου θέσεως. τὰ δὲ ἑξῆς δῆλα.

p. 688ᵇ5 Λέγει δὲ τοὺς ἐλέφαντας ἄνω πρὸς ταῖς μασχάλαις ἔχειν τοὺς μαστούς, ὅτι ἐν τοῖς πολυτόκοις καὶ πλείονας ἔχουσι τοὺς μαστοὺς πρῶτοι οἱ πρὸς ταῖς μασχάλαις εἰσί, καὶ τάχα διότι καὶ ἐν ἐκείνοις πρῶτοι οὗτοί εἰσιν, ἔχει καὶ ὁ ἐλέφας τοὺς πρώτους, οἱ δὲ πρῶτοι τῶν μαστῶν ἐν τοῖς ἔχουσι πλείονας μαστοὺς περισσότερον ἐκ τοῦ σώματος ἱμῶνται καὶ λαμβάνουσι γάλα τῶν ἄλλων μαστῶν· οἱ γὰρ ἄλλοι ὀλιγώτερον καὶ λαμβάνουσι καὶ ἔχουσι τὸ γάλα. ἐπεὶ οὖν, ὡς εἴρηται, οἱ πρῶτοι μαστοὶ πλέον ἔχουσι τὸ γάλα ἤπερ οἱ ἄλλοι, δεῖται δὲ τὸ τοῦ ἐλέφαντος τέκνον πλείονος τροφῆς διὰ τὸ μέγεθος καὶ τὴν θερμότητα, δέδωκεν ἡ φύσις τοῖς ἐλέφασιν ἀπὸ τῶν μαστῶν τοὺς πλείονα δυναμένους χορηγεῖν τὴν τροφήν· οὗτοι δ' εἰσίν, ὡς εἴρηται, οἱ πρῶτοι καὶ πρὸς ταῖς μασχάλαις ὄντες. ὅτι δὲ οἱ πρῶτοι τῶν μαστῶν πλέον τῶν ἄλλων ἱμῶνται γάλα, σημεῖόν φησι τὸ συμβαῖνον ἐπὶ τῶν ὑῶν· τοῖς γὰρ πρώτοις γενομένοις τῶν χοίρων ὡς μείζοσι καὶ διὰ τοῦτο πλείονος δεομένοις τροφῆς τοὺς πρώτους παρέχουστι μαστούς, φυσικῶς εἰδυῖαι τούτους πλέον ἔχειν τὸ γάλα. ἐπεὶ οὖν ἐπὶ τῶν πολυτόκων οὕτως ἔχει, καὶ οἱ πρῶτοι μαστοὶ τοῖς πρώτοις δίδονται παισίν, ἐφ' ὧν ἄρα τὸ πρῶτον γενόμενον ἓν μόνον ἐστίν, ἀνάγκη τῷ τοιούτῳ τοὺς πρώτους ἔχειν. λέγει δὲ καὶ διὰ τί ἐν τοῖς μηροῖς ἔχει τοὺς μαστοὺς ἵππος, αἴξ, βοῦς καὶ τὰ ἄλλα πάντα τὰ τοιαῦτα, καί φησιν αἴτιον δὲ ὅτι τούτοις ἡ αὔξησις ἐπὶ τὸ ἄνω τοῦ σώματός ἐστι. καὶ ὅτι μὲν ἐπὶ τὸ ἄνω αὔξει ταῦτα πάντα, δῆλον· νανώδη γάρ εἰσιν. ὅτι δὲ καὶ τὸ γάλα περίττωμα αἵματός ἐστι, δέδεικται ἐν τῷ Περὶ ζῴων γενέσεως. ὅτι δὲ καὶ

---

1 δῆλοι scripsi: δηλοῖ Pa 18 post λέγει δὲ add. διὰ P 27 πλείονας a
33 ἀφ' ὧν a 34 τὸ τοιοῦτον a 37 μὲν ἐπὶ τῷ ἄνω a 39 ἐν τῷ Περὶ ζῴων γενέσεως] Δ 8

πάντα τὰ περιττώματα, τά τε ὑγρὰ καὶ ξηρά, πρὸς τὸ κάτω βρίθει, καὶ τοῦτο ἴσμεν. τούτων οὖν προδιωρισμένων τὸ λεγόμενον τοιοῦτον ἂν εἴη· 'ἐν ᾧ δύναται συλλογὴ γενέσθαι τοῦ γινομένου περιττώματος ἀπὸ τοῦ αἵματος καὶ πλῆθος, ἐκεῖσε πεποίηκεν ἡ φύσις τοὺς μαστούς. δύναται δὲ συλ-
5 λογὴ περιττώματος γίνεσθαι ἐν τῷ κάτω τόπῳ καὶ περὶ τὰς ἐκροάς· διὰ γὰρ τοῦ κάτω τόπου ἐκρεῖ τὰ περιττώματα. εἰκότως ἄρα ἐν τῷ τόπῳ τῷ κάτω γεγόνασιν οἱ μαστοί'. τὸ δὲ ὅπου γὰρ κίνησις γίνεται τῆς τροφῆς, ἐντεῦθεν καὶ λαβεῖν ἐστιν αὐτοῖς δυνατὸν ταὐτόν ἐστι τῷ 'ὅπου γὰρ κίνησις καὶ χορηγία γίνεται τῆς τροφῆς, ἐντεῦθεν αὐτοῖς, ἤγουν τοῖς μαστοῖς,
10 δυνατόν ἐστι λαβεῖν'. ἐπειδὴ οὖν ὅπου ἡ χορηγία, ἐκεῖθεν καὶ λαμβάνειν ἐστὶ δυνατόν, γίνεται δὲ ἡ τοιαύτη χορηγία ἐν τῷ κάτω τόπῳ καὶ περὶ τὰς ἐκροάς, εὐλόγως ἄρα ἐκεῖσε ἀπετέθησαν οἱ μαστοί, ἵνα εὐχερῶς τὴν τροφὴν λαμβάνωσι. σαφῆ δὲ τὰ ἑξῆς.

Ὑστέρας δὲ λέγει τὰς μήτρας, ἐν αἷς εἰσι τὰ ἔμβρυα. λέγει δὲ καὶ τὴν
15 αἰτίαν διὰ τί ὅθεν ἐξέρχεται ἡ περίττωσις τῆς ὑγρᾶς τροφῆς, ἐκεῖθεν καὶ ἡ γονὴ καὶ τὰ καταμήνια. φησὶν οὖν ὅτι ἐπειδὴ ἡ γονὴ καὶ τὰ καταμήνια ὑγρά εἰσι καὶ περιττώματα, εἰσὶ δὲ καὶ οὖρα ὑγρὰ καὶ περιττώματα, εὔλογον, ὅθεν ἐκρεῖ τὸ ἕτερον, ἐκεῖθεν ἐκρεῖν καὶ θάτερον. ἰστέον δὲ ὅτι καὶ τὸ τῶν γυναι-
κῶν αἰδοῖον δύο ὀπὰς ἔχει, ὧν ἀπὸ τῆς μιᾶς ἕξεισι τὸ καταμήνιον, ἀπὸ δὲ τῆς
20 λοιπῆς τὸ οὖρον. λέγει δὲ ὅτι καὶ τὸ τῶν ἀρρένων ὄργανον, δι' οὗ ἀφιᾶσι τὴν τῆς ὑγρᾶς τροφῆς περίττωσιν, διαφορὰς ἔχει κατὰ τὰς τοῦ σώματος διαφοράς· οὐ γὰρ ὁμοίως ἅπαντα νευρώδη τὴν φύσιν ἐστίν, ἀλλὰ τὰ μὲν ἀκανθώδη, τὰ δὲ ὀστώδη, ὥσπερ εἴρηκε καὶ ἐν ταῖς Περὶ τῶν ζῴων ἱστορίαις. φησὶ δὲ καὶ
ὅτι μόνον τὸ μόριον τὸ περὶ τὴν τῆς ὑγρᾶς περιττώσεως ἔξοδον ἄνευ νοσε-
25 ρᾶς μεταβολῆς αὔξησιν ἔχει καὶ ταπείνωσιν· ἐν μὲν γὰρ ταῖς ὀχείαις αὔξει καὶ τάσιν λαμβάνει, ἐπειδὰν δὲ ἀπο|σπερμήνῃ τὸ ὀχεῦον ζῷον, ταπεινοῦται. ἀμφοτέρων γὰρ τούτων, τῆς τε αὐξήσεως τοῦ τοιούτου μορίου καὶ τῆς ταπεινώσεως, ἡ μὲν αὔξησις χρήσιμος πρὸς τὸν συνδυασμόν, ἡ δὲ ταπείνωσις πρός τε τὸ πορεύεσθαι ἀνεμποδίστως καὶ ἐξέρχεσθαι τὸ οὖρον καὶ τὰς ἄλλας
30 τὰς τοῦ σώματος χρείας· εἰ μὲν γὰρ ἀεὶ ηὐξημένον ἦν, ἐνεπόδιζεν ἂν πρὸς τὴν πορείαν καὶ τὰ λοιπά, εἰ δ' ἀεὶ τεταπεινωμένον, οὐκ ἂν συνήργει πρὸς τὰς ὀχείας. συνέστηκε δὲ τὸ τοιοῦτον τῶν ἀρρένων μόριον ἐκ χόνδρου καὶ νεύρου· ταῦτα γὰρ ἐδήλωσε διὰ τοῦ ἐκ τοιούτων ὥστε δύνασθαι ταῦτα ἀμφότερα, τήν τε αὔξησιν καὶ τὴν ταπείνωσιν λαμβάνειν. τὰ γὰρ νεῦρα
35 καὶ τείνεται καὶ ἀνίεται τοῦ ἐν τῇ καρδίᾳ πνεύματος ἐκτεινομένου καὶ συστελλομένου, ὡς ἐν τῇ Περὶ ζῴων κινήσεως δέδεικται. συνεργεῖ δὲ καὶ πρὸς τὸ ἰσχυροτέραν γίνεσθαι τὴν τοιαύτην τάσιν καὶ ὁ χόνδρος. ὅταν δὲ ἐξελθὸν τὸ σπέρμα συνεξέλθῃ καὶ τὸ πνεῦμα, ταπεινοῦται. λέγει δὲ διαφέρειν καὶ τὰ ὄπισθεν τῶν ἀνθρώπων καὶ τὰ σκέλη πρὸς τὰ τετράποδα·

5 ἀκροὰς P: ἐκκροὰς (sic) corr. m. rec. P 6 ἐκρεῖ] ἐκεῖ P 6. 7 ἐν τῷ κάτω τόπῳ a 17 εἰσὶ δὲ καὶ—περιττώματα om. P 22 ἀκαθώδη a 23 ἐν ταῖς Περὶ τῶν ζῴων ἱστορίαις] B 1 p. 500b 19 sqq. καὶ post δὲ om. a 26 ἀποσπερμαίνῃ a 27 ἀμφοτέρου a 31 συνείργει a 33 διὰ τῶν a 36 ἐν τῇ Περὶ ζῴων κινήσεως] cf. c. 10 37 γενέσθαι a 38 συνεξέλθοι a

τὰ μὲν γὰρ τῶν ἀνθρώπων σκέλη σαρκώδη, τὰ δὲ τῶν τετραπόδων ἄσαρκα καὶ νευρώδη. ὅτι δὲ καὶ αἱ ὠμοπλάται καὶ τὰ ἐφεξῆς τῶν ἀνθρώπων διαφέρει πρὸς τὰ τετράποδα φανερόν. ἔχει δὲ πάντα σχεδὸν οὐ μόνον τὰ ζῳοτόκα, ἀλλὰ καὶ τὰ ᾠοτόκα κέρκον. καὶ γὰρ ἐπί τινων οὐκ ἔχει μέγεθος ἡ κέρκος, ὥσπερ καὶ ἐπὶ ἐλάφου καὶ δασύποδος καὶ ἄλλων πολλῶν, ἀλλὰ σμικροῦ γε ἕνεκα, τουτέστι τύπου γε ἕνεκα καὶ χάριν ἀποπληρώσεως κέρκου ἔχουσί τινα βραχύτατον στόλον, λέγων στόλον τὸ ὀστῶδες ἀφ' οὗ αἱ τῆς οὐρᾶς τρίχες ἐκφύονται. μόνος δὲ ὁ ἄνθρωπός ἐστιν ἄκερκος, ἔχει δ' ἀντὶ κέρκου τὰ ἰσχία, τὴν μετὰ τὴν ὀσφὺν σαρκώδη οὐσίαν, δι' ἧς τὰς καθέδρας ποιούμεθα. καὶ διὰ τοῦτο τῶν τετραπόδων οὐδὲν ἔχει ἰσχίον· εἰ γὰρ εἶχεν, ἠδύνατο ἂν καθέζεσθαι, ὥσπερ καὶ οἱ ἄνθρωποι. λέγει δὲ καὶ τὴν αἰτίαν δι' ἣν ὁ μὲν ἄνθρωπος σαρκώδεις ἔχει τοὺς μηροὺς καὶ τὰς κνήμας, τὰ δὲ τετράποδα ἄσαρκα καὶ νευρώδη· φησὶν οὖν ὅτι τούτων μὲν πάντων αἰτία μία ὡς εἰπεῖν, ὅτι μόνος ἐστὶν ὀρθὸς τῶν ζῴων ὁ ἄνθρωπος, καὶ διὰ τοῦτο ἔδει τὰ ἄνω ἄσαρκα ἔχειν καὶ κοῦφα, τὰ δὲ κάτω σαρκώδη καὶ ἰσχυρά, ἵνα ῥᾳδίως φέρηται. ἅμα δὲ ἐπεὶ οὐ ῥᾴδιον τοῖς ἀνθρώποις δι' ὅλου ἵστασθαι, ἀφελοῦσα ἀπὸ τῶν ἄνωθεν τὸ σαρκῶδες πεποίηκε τὴν τῶν ἰσχίων φύσιν, ἵνα διὰ τούτων καθήμενοι ἀναπαυώμεθα. τοῖς δὲ τετράποσιν ἐφ' ἕνα τόπον ἑστάναι, καὶ προσυπακουστέον τὸ ἀπέδωκεν, ἵν' ᾖ τὸ πλῆρες 'τοῖς δὲ τετράποσιν ἐφ' ἕνα τόπον ἑστάναι ἀπέδωκεν'. ὑποκειμένων γὰρ τῶν τεττάρων ποδῶν (τούτους γὰρ εἶπεν ἐρείσματα) περικειμένου δὲ ἄνωθεν τοῦ λοιποῦ παντὸς σώματος τρόπον τινὰ ὡσπερεὶ κατακείμενα διατελεῖ τὰ τοιαῦτα ζῷα. διὰ ταύτας οὖν τὰς αἰτίας ὁ ἄνθρωπος ἄκερκός ἐστι καὶ ἔχει ἰσχία καὶ τὰ σαρκώδη σκέλη. οὐκ ἔχει δὲ κέρκον ὁ ἄνθρωπος καὶ διὰ τὸ τὴν μέλλουσαν καταναλίσκεσθαι εἰς τὴν κέρκον τροφὴν εἰς τὰ σκέλη ἀναλίσκεσθαι. ἔχει οὖν, ὥσπερ εἴρηται, ὁ ἄνθρωπος ἐναντίως τοῖς τετράποσιν· ὁ μὲν γὰρ τὰ κάτω σαρκώδη καὶ βαρέα, τὰ δὲ ἄνω κοῦφα καὶ ἄσαρκα, τὰ δὲ τετράποδα νανώδη ὄντα τὰ μὲν ἄνω ἔχει βαρέα καὶ σωματώδη, τὰ δὲ σκέλη ἀνίσχια, ἤτοι ἄσαρκα, καὶ σκληρά. σαφῆ δὲ τὰ ἑξῆς.

p. 690a9 Λέγει δὲ τὰ μώνυχα ὡς ἐπὶ πολὺ μὴ ἔχειν ἀστράγαλον καὶ διὰ τὸ τὴν ὕλην τὴν μέλλουσαν καταναλίσκεσθαι εἰς γένεσιν ἀστραγάλων ἀναλίσκεσθαι εἰς γένεσιν ὁπλῶν καὶ ὀνύχων· διά τε οὖν τοῦτο λέγει αὐτὰ μὴ ἔχειν ἀστράγαλον καὶ διὰ τὸ δυσκινητοτέραν εἶναι τὴν καμπὴν τοῦ ὄπισθεν σκέλους ἀστραγάλου ἐνόντος· τὰ γὰρ μίαν ἔχοντα γωνίαν ὥσπερ τά τε ἡμέτερα γόνατα καὶ αἱ χεῖρες θᾶττον εὐθύνεταί τε καὶ κάμπτει, βραδύτερον δὲ τὰ ἔχοντα πλείους γωνίας. ποιεῖ δὲ πολλὰς γωνίας ὁ ἀστρά-

---

11 καὶ om. a 14 ἁπάντων a 16 ῥᾴδιον] ῥάδια P 19 ἐφ' ἕνα τόπον a Arist. SUY: ὑφ' ἕνα τοπον P: ἄκοπον Arist. vulg. 19. 20 καὶ προσυπακουστέον—ἑστάναι om. P 21. 22 παρακειμένου a 24 σκέλη σαρκώδη coll. a 31 ἐπιτοπολὺ a 32 καὶ om. a ἀναλίσκεσθαι a 33 καταναλίσκεσθαι a 35 μίαν Arist.: μὴ Pa ὥσπερ—οὗτος γὰρ (p. 90,1) iterat, sed praeter οὗτος γὰρ rursus del. P

γαλος· οὗτος γὰρ ὥσπερ γόμφος ἐμβεβλημένος μεταξὺ τῶν δύο | ὀστῶν 121
τοῦ τε ὑποκειμένου καὶ ὑπερκειμένου γωνίας ποιεῖ καὶ ἄνω καὶ κάτω,
ὥσπερ καὶ οἱ ἀνέχοντες κίονες τὰς στοάς. κἀκεῖνοι γὰρ καὶ πρὸς τῇ ὑπο-
κειμένῃ γῇ γωνίας ποιοῦσι καὶ πρὸς ταῖς ὑπερκειμέναις καὶ ὑπ' αὐτῶν
5 ἀνεχομέναις στοαῖς. ἀλλ' εἰ καὶ δυσκινητοτέρους ποιοῦσι τοὺς πόδας οἱ
ἀστράγαλοι βάρος τε παρέχουσιν, ἀλλ' οὖν ἀσφαλεστέραν τὴν βάσιν ἀπεργά- 5
ζονται. δῆλα δὲ τὰ ἑξῆς. λέγει δὲ τὰ διχηλὰ καὶ μὴ μώνυχα ἔχειν
ἀστράγαλον, ὅτι ἡ ὕλη καὶ τὸ ὀστῶδες τὸ μέλλον ἀναλωθῆναι εἰς τὸ
μώνυχα ἀποτελέσαι αὐτὰ καταδαπανᾶται εἰς γένεσιν ἀστραγάλων. οὐκ
10 ἔχει δὲ τὰ πολυδάκτυλα ἀστράγαλον εὐλόγως· εἰ γὰρ εἶχεν ἀστράγαλον,
τοσοῦτον ἂν ἐσχίζετο ὁ ποὺς αὐτῶν, ὅσον ἐπεῖχεν ὁ ἀστράγαλος· ἐπέχει δὲ 10
ὁ ἀστράγαλος ὀλίγον πάμπαν τόπον, ὀλίγη ἄρα ἂν ἦν καὶ ἡ σχίσις· εἰ δὲ
τοῦτο, οὐκ ἂν ἦν πολυδάκτυλα. λέγει δὲ ὅτι τὸ ἄσχιστον μόριον τοῦ ποδὸς
τῶν δακτύλων ἐστὶ μόριον· τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ δεῖ δὲ τοῦτο τὸ
15 μόριον νομίζειν εἶναι τὸ ἄσχιστον τοῦ ποδὸς τῶν δακτύλων.
ἀναγνωστέον δὲ τὴν λέξιν οὕτωσι 'τοῦτο τὸ ἄσχιστον μόριον τοῦ ποδὸς δεῖ
νομίζειν μόριον εἶναι τῶν δακτύλων'. λέγει δὲ καὶ βραχεῖς εἶναι τοὺς τῶν 15
ποδῶν δακτύλους καὶ οὐ μακροὺς εὐλόγως· εἰ γὰρ ἦσαν μακροί, προσέπταιον
ἂν τοῖς λίθοις καὶ ἐβλάπτοντο. τὰ δὲ ἑξῆς δῆλα· ἰστέον δὲ ὅτι πολλάκις
20 θέντες τὸ 'τὰ δὲ ἑξῆς δῆλα' καὶ 'σαφῆ δὲ τὰ ἑξῆς' οὐκέτι ἄλλο προσθή-
σομεν, ἀλλὰ τὰ μὲν σαφῆ σιγῇ παραδραμοῦμεν, τοῖς δὲ δεομένοις σαφη-
νείας ἐπιστήσομεν.

p. 690ᵇ13 Λέγει δὲ τοὺς ὄφεις παραπλησίως ἔχειν τὴν μορφὴν τοῖς 20
τετράποσι καὶ ᾠοτόκοις. τετράποδα δὲ καὶ ᾠοτόκα εἰσὶν αἵ τε σαῦραι καὶ
25 ἄλλα πολλά. λέγει δὲ καὶ τοῖς ἰχθύσι διὰ τὸ μὴ ἐνδέχεσθαι αὐτοὺς μασᾶ-
σθαι μηδὲ προγεύεσθαι μὴ ἐγγίνεσθαι τὴν ἀπὸ τῆς γεύσεως καὶ μασήσεως
ἡδονήν, ἀλλὰ μόνην τὴν ἀπὸ τῆς καταπόσεως. ἡ μὲν γὰρ γλῶττα αἴσθησιν
ποιεῖ τῶν χυμῶν, οἷον γλυκέων, πικρῶν καὶ τῶν τοιούτων· οἱ δ' ἰχθύες,
γλῶτταν μὴ ἔχοντες, εὔδηλον ὡς οὐδ' αἴσθησιν ἔχουσι τῶν χυμῶν. τῶν 25
30 δὲ ἐδεστῶν οἷον λιπαρῶν καὶ θερμῶν καὶ τῶν ἄλλων τοιούτων ἐπειδὴ ἡ
αἴσθησις, ὅταν καταπίνωμεν, ἐγγίνεται (ἐν γὰρ τῇ καταπόσει ἡ τῶν ἐδεστῶν
ἐγγίνεται αἴσθησις), καταπίνουσι δὲ καὶ οἱ ἰχθύες, αἰσθάνονται τῆς ἀπὸ
τούτων ἡδονῆς ἐν τῇ καταπόσει. ἔχει μὲν οὖν καὶ τὰ ζῳοτόκα πρὸς τῇ
ἀπὸ τῆς γεύσεως αἰσθήσει καὶ τὴν ἀπὸ τῆς καταπόσεως αἴσθησιν. καὶ 30
35 σχεδὸν τῶν πλείστων ὄψων καὶ ἐδεστῶν ἡ χάρις καὶ ἡ ἡδονὴ γίνεται ἐν τῇ
καταπόσει τεινομένου τοῦ οἰσοφάγου καὶ εὐρυνομένου. ὅτι δὲ ἡ ἀπὸ τῆς
καταπόσεως ἡδονὴ καὶ αἴσθησις ἑτέρα ἐστὶ τῆς ἀπὸ τῆς γεύσεως, σημεῖον
τὸ μὴ τοὺς αὐτοὺς εἶναι ἀκρατεῖς περί τε τοὺς χυμοὺς καὶ τὰ πόματα,

---

6. 7 ἐργάζονται P 8 τὸ post εἰς ex τὰ corr. P¹ 11 post ἐσχίζετο add. καὶ a 12 ἄρα om. a ἦν ἂν coll. P 13 πολυδάκτυλον P post δὲ add. καὶ a 14 τὸ om. a 16 τὸ om. P 24 ᾠοτόκοις Pa Arist. PUY: ζῳότοκοις Arist. vulg. 26 προγεύεσθαι] προγενέσθαι a 28 καὶ] τε a 29 ὡς om. P 30 δὲ om. a

ὧν χυμῶν καὶ πομάτων ἡ αἴσθησις ἐν τῇ γεύσει γίνεται, καὶ τὰ ὄψα καὶ τὴν ἐδωδήν, ὧν ὄψων καὶ ἐδωδῆς πάλιν ἡ αἴσθησις γίνεται ἐν τῇ καταπόσει. εἰ γὰρ ἦν ἡ ἀπὸ τῆς καταπόσεως αἴσθησις ἡ αὐτὴ τῇ ἀπὸ τῆς γεύσεως, πᾶς ὁ ἀκρατευόμενος περὶ μίαν τούτων ἠκρατεύετο ἂν καὶ περὶ θατέραν. καὶ τοῖς μὲν ἄλλοις ζῴοις πρὸς τῇ ἀπὸ τῆς καταπόσεως καὶ ἡ κατὰ τὴν γεῦσιν ὑπάρχει αἴσθησις, ἐκείνοις δὲ τοῖς τε ἰχθύσι καὶ τοῖς τετράποσι καὶ ᾠοτόκοις ἡ ἀπὸ τῆς καταπόσεως μόνη. πάντα δὲ τὰ ἔχοντα τὴν γλῶτταν διχρόαν εἰ καὶ λίχνα ἐστίν, ὥσπερ εἴρηται πρότερον, ἀλλὰ διὰ τὸ μὴ εὐπορεῖν πολλῆς τῆς τροφῆς ἰσχνά ἐστι. λέγει δὲ καὶ περὶ τοῦ ποταμίου κροκοδείλου κινεῖν τὴν ἄνω σιαγόνα δι' αἰτίαν τοιαύτην· ἐπειδή γάρ, φησίν, ἀχρήστους ἔχει τοὺς πόδας πρὸς τὸ λαβεῖν καὶ κατασχεῖν, ἀντὶ ποδῶν ἡ φύσις τὸ στόμα χρήσιμον αὐτῷ πεποίηκεν· ὅθεν οὖν χρήσιμον ἦν ἰσχυροτάτην γενέσθαι τὴν πληγήν, ἐκεῖθεν καὶ τὴν σιαγόνα κινεῖσθαι πεποίηκεν. ἰσχυροτέρα δὲ γίνεται ἡ πληγὴ ἀεὶ ἡ ἄνωθεν· εἰκότως ἄρα τὴν ἄνω σιαγόνα κινεῖσθαι πεποίηκε. καὶ τοῖς μὲν καρκίνοις καὶ ⟨τοῖς⟩ ἄλλοις, ὅσοις ἐνδέχεται σχολαίως τὴν λῆψιν ποιεῖσθαι διὰ τὸ μὴ ἐν ὑγρῷ εἶναι τὴν χρῆσιν τοῦ στόματος (τὰ γὰρ | ἔνυδρα καὶ τὴν λῆψιν καὶ τὴν κατάποσιν 122
ταχεῖαν ποιεῖται) τοῖς μὲν δὴ καρκίνοις καὶ τοῖς τοιούτοις διῄρηται τὰ μόρια, καὶ ἄλλα μὲν ἔχει πρὸς τὸ λαβεῖν καὶ κατασχεῖν, ἄλλα δὲ πρὸς τὸ μασᾶσθαι· τοῖς δὲ κροκοδείλοις καὶ πρὸς τὸ λαμβάνειν καὶ πρὸς τὸ μασᾶσθαι τὸ στόμα πεποίηκεν ἡ φύσις χρήσιμον.

p. 691b29 Λέγει δὲ τοὺς ὄφεις μὴ ἔχειν αὐχένα διὰ τάδε· ἐπειδὴ γὰρ ὁ αὐχὴν μεταξύ ἐστι κεφαλῆς καὶ ὤμων, οἱ δὲ ὄφεις ὤμους οὐκ ἔχουσιν, οὐδ' ἂν αὐχένα ἔχοιεν· ὁ γὰρ αὐχήν, ὡς εἴρηται, τοῖς εἰρημένοις ἐσχάτοις, τουτέστι τῇ κεφαλῇ καὶ τοῖς ὤμοις διορίζεταί τε καὶ περιορίζεται. λέγει δὲ τοὺς ὄφεις στρέφειν τὴν κεφαλὴν εἰς τοὔπισθεν ἠρεμοῦντος τοῦ λοιποῦ σώματος. οὐ τοῦτο δέ φησιν ὅτι ἀκινητίζοντος πάμπαν τοῦ λοιποῦ σώματος στρέφει τὴν κεφαλήν (κινούμενος γὰρ τὴν κεφαλὴν αἴρει τε καὶ εἰς τοὔπισθεν στρέφει), ἀλλὰ τὸ ἠρεμοῦντος ἀντὶ τοῦ ἐν τῷ αὐτῷ σχήματι μένοντος, ἐν ᾧ τυγχάνει ὂν κινούμενον, εἴληπται· τυγχάνει δὲ κεκαμμένος· διὰ γὰρ καμπῶν τὴν κίνησιν ποιεῖται, ὡς ἐν τοῖς Περὶ ζῴων πορείας εἴρηται. ἐν δὴ τῷ τοιούτῳ σχήματι ὢν καὶ κινούμενος αἴρει τε καὶ στρέφει τὴν κεφαλὴν καὶ φυλάττει τὸ ὄπισθεν. λέγει δὲ τὴν τῆς κεφαλῆς εἰς τοὔπισθεν στροφὴν ποιεῖσθαι διὰ δύο αἰτίας, διὰ μὲν τὴν ὑλικήν (ταύτην γὰρ ἀνάγκην εἶπεν), ὅτι ἑλκτόν ἐστι, καθάπερ καὶ τὰ ἔντομα, διὰ δὲ τὸ βέλτιστον καὶ τὸ οὗ ἕνεκα χάριν φυλακῆς τῶν ὄπισθεν βλαπτόντων. λέγει δὲ τὸν χαμαιλέοντα εἶναι ἰσχνό-

---

3 τῇ om. a 8 διχρόαν a 13 γίνεσθαι a 14 δὲ] γὰρ a 14. 15 τῶν ἄνω σιαγόνων P 15 καὶ post καρκίνοις om. a τοῖς addidi 17 ἔνυγρα a 20. 21 τοῖς δὲ—μασᾶσθαι om. P 24 ἔχοι P 29 τοὔπισθεν] τοῦ πίσω P 31 ὧν κινούμενος a καμπτῶν P 32 ἐν τοῖς Περὶ ζῴων πορείας] c. 9 33 τὴν] τὸ P 35 ἑλκτὸν Pa Arist. S: ἑλικτόν recte Arist. vulg.

τατον διὰ τὸ δειλὸν εἶναι· τὸ γὰρ δειλὸν ψυχρόν, τὸ δὲ ψυχρὸν οὐ θερμόν, τὸ δὲ μὴ θερμὸν ὀλίγαιμον, τὸ δὲ ὀλίγαιμον ἰσχνόν· ἡ γὰρ εὐσαρκία διὰ πέψιν αἵματος γίνεται.

p. 692ᵇ15 Οἱ δὲ ὄρνιθες, φησίν, ἔχουσι τὴν τοῦ ῥύγχους φύσιν περιτ- 20
5 τήν, ἤτοι μεγάλην ἢ μᾶλλον εὖ ἔχουσαν πρὸς φυλακὴν τῶν ἐπιβουλευόντων. λέγει δὲ αὐτοὺς ἔχειν καὶ τὸν αὐχένα τεταμένον καὶ εὐθύτατον καὶ οὐχὶ κεκαμμένον. λέγει καὶ ὅτι εἰ εἶχον βραχὺν αὐχένα οἱ ὄρνιθες ἐπὶ σκέλεσι μακροῖς, οὐκ ἂν ὑπηρέτει αὐτοῖς πρὸς τὴν ἀπὸ τῆς γῆς νομήν. ὁμοίως δὲ ἄχρηστος ἂν ἦν, εἰ μακρὸς ἦν ἐπὶ σκέλεσι βραχέσιν· εἵλκετο γὰρ ἂν ἐπὶ
10 τῆς γῆς καὶ παρεῖχεν αὐτοῖς βάρος καὶ πόνον. μάλιστα δὲ ἀχρεῖος ἂν ἦν 25
ἐπὶ τῶν σαρκοφάγων, εἰ μακρὸς ὑπῆρχεν αὐτοῖς, καὶ ἐναντίος πρὸς τὸν βίον. ὁ γὰρ μακρὸς αὐχὴν ἀσθενής, ὁ δὲ βραχὺς ἰσχυρός· δέονται δὲ ἰσχυροῦ διὰ τὸ τὸν βίον αὐτῶν καὶ τὸ ζῆν εἶναι ἐκ τοῦ κρατεῖν καὶ θηρεύειν. τὰ αὐτὰ δὲ εἴρηκεν ἅμα τε στεγανόποδα καὶ διῃρημένους ἔχοντα τοὺς
15 πόδας καὶ σεσιμωμένους, διῃρημένους μέν, διότι οὐκ εἰσιν ὥσπερ οἱ τῶν χηνῶν καὶ νησσῶν, ἀλλ' ἐσχισμένοι ὥσπερ καὶ τῶν ἀλεκτορίδων. διὰ τοῦτο 30
οὖν αὐτοὺς εἶπε διῃρημένους, στεγανόποδα δὲ εἶναι αὐτά, διότι πλατυδάκτυλα ὄντα καὶ σεσιμωμένους ἔχοντα τοὺς δακτύλους, τουτέστιν ὥσπερ σιμὴν ῥῖνα (ἡ γὰρ σιμὴ ῥὶς πλατεῖά ἐστι) πλατεῖς οὖν ἔχοντα τοὺς δακτύ-
20 λους καὶ διὰ τὸ πλάτος ἁπτομένους ἀλλήλων οὐδὲν ἀποδέουσι τῶν στεγανοπόδων. ἁπλῶς δὲ στεγανόποδα λέγει τὰ κυρίως στεγανόποδα, οἷον 35
χῆνας καὶ τὰ ὅμοια, κατὰ δὲ τὸ μόριον ταὐτὸ στεγανόποδά φησι τὰ σεσιμωμένους ἔχοντα τοὺς δακτύλους. λέγει δὲ τὰ πρανῆ τοῦ σώματος καὶ τὰ ὕπτια καὶ τὰ ἐπὶ τῶν τετραπόδων καλούμενα θώρακος μέρη ἐπὶ τῶν ὀρνί-
25 θων εἶναι ὁλοφυῆ, τουτέστι περιφερῆ καὶ στρογγύλα. λέγει δὲ τὰς πτέρυγας ἔχειν ἀπηρτημένας ἀπὸ τῶν βραχιόνων, λέγων βραχίονας ἐπὶ τῶν ὀρνίθων τὸ μόριον τὸ ἀναλογοῦν τῷ ἡμετέρῳ βραχίονι, τὸ δὲ λοιπὸν τὸ ἀπὸ 40
τοῦ ἀναλογοῦντος τῷ ἡμετέρῳ ὠλεκράνῳ (ὠλέκρανον δ' ἐστὶ δι' οὗ κάμπτεται ὁ βραχίων) τὸ δὴ ἀπὸ τοῦ ἀναλογοῦντος τῷ ἡμετέρῳ ὠλεκράνῳ
30 ἄχρι τοῦ τέλους μέρος πτέρυγας ὀνομάζει. ἔχουσι δὲ οἱ ὄρνιθες τὰ τελευταῖα τῶν οἰκείων βραχιόνων τὰ προσπεφυκότα τοῖς νώτοις, ταῦτα δὴ ἔχουσιν ἀντὶ ὠμοπλάτης. ἔχουσι δὲ καὶ τὰ σκέλη κεκαμμένα εἴσω πρὸς τὴν κοιλίαν, 45
καὶ οὐκ ἔξωθεν ὥσπερ ὁ ἄνθρωπος. τὰς δὲ πτέρυγας, ἀνθ' ὧν ἔχουσι τὰ τετράποδα τὰ πρόσθια σκέλη, ἔχουσι κεκαμμένας ἐπὶ τὸ περιφερές. τί δὲ
35 τὸ ἔσω καὶ ἔξω καὶ περιφερές, εἴρηταί μοι ἐν ταῖς εἰς τὸ Περὶ ζῴων πορείας σχολαῖς· ἐκείνης γὰρ οἰκεῖα ταῦτα· ἐκεῖ γὰρ οὗτος περὶ τούτων προηγουμένως λέ|γει. ἐπεὶ οὖν τὸ μὲν στῆθος ἔχουσιν οἱ ὄρνιθες ὀξύ, 123
τὰς δὲ πτέρυγας καὶ τοὺς βραχίονας οὕτωσὶ κεκαμμένους, εἰκότως συμβαίνει τὸ σῶμα αὐτῶν εἶναι ὁλοφυές, ἤτοι περιφερὲς καὶ στρογγύλον. ἐπεὶ δὲ

---

2 δὲ ante μὴ om. a 7 λέγει δὲ ὅτι a 11 ἐναντίως P 19 ἔχοντες P
26 ἀπὸ Pa Arist. codd. plerique: ἀντὶ Arist. vulg. 28 et 29 ὀλενοκράνῳ et ὀλενόκρανον a 32 post ἀντὶ add. τῆς a 34 κεκαμμένα P 35. 36 ἐν ταῖς εἰς τὸ Περὶ ζῴων πορείας σχολαῖς] Ald. fol. 176ᵛ 38 οὕτως a

πάντα τὰ ἔναιμα τέτρασι σημείοις κινεῖται, ὡς ἐν τοῖς Περὶ ζῴων πορείας δέδεικται, ἐξ ἀνάγκης ἐστὶ δίπουν τὸ τῶν ὀρνίθων γένος. εἰ γὰρ ἦν τετρά- πουν, ἐκινεῖτο ἂν πλείοσι τῶν τεττάρων σημείων, τοῖς τέτρασι ποσὶ καὶ ταῖς δυσὶ πτέρυξιν· οὐδὲν δὲ ἔναιμον πλείοσι τῶν τεττάρων σημείων κινεῖται, ὡς ἐν ἐκείνοις δέδεικται. ὅτι δὲ καὶ ὁ ἄνθρωπος τέτρασι σημείοις κινεῖται, δύο μὲν τοῖς ποσὶ καὶ δύο δὲ τοῖς ὤμοις, δέδεικται καὶ τοῦτο ἐν ἐκείνοις. λέγει δὲ τοὺς ὄρνιθας εἶναι τονικοὺς καὶ ἰσχυροὺς κατὰ τὰ πτερύγια. λέγει δὲ καὶ πάντα ὅσα ζῳοτοκεῖται ἢ ᾠοτοκεῖται ἐν τῇ γενέσει ἔχειν ὀμφαλόν, τῶν δ' ὀρνίθων αὐξηθέντων ἄδηλός ἐστιν. λέγει δὲ τὴν ἀκριβῆ τούτων αἰτίαν εἰπεῖν ἐν τοῖς Περὶ ζῴων γενέσεως, ἀλλὰ καὶ ἐνταῦθα λέγει ὅτι ἐπὶ τῶν ὀρνίθων ἡ σύμφυσις τοῦ ὀμφαλοῦ εἰς τὸ ἔντερόν ἐστιν, οὐδὲν δὲ ἔντερον δύναται ἐκτὸς εἶναι τοῦ θώρακος· διὰ τοῦτο εἰσερχόμενος ἄδηλος γίνεται ἐπὶ τῶν ὀρνίθων ὁ ὀμφαλός. ἐπὶ δὲ τῶν ζῳοτόκων ἐπειδὴ μόριόν τι τῶν φλεβῶν τυγχάνει ὂν ὁ ὀμφαλός, αἱ δὲ φλέβες δύνανται ἐκτὸς εἶναι καὶ περὶ τὸ δέρμα, εὐλόγως ἐστὶ φανερός. λέγει δὲ τοὺς πτητικοὺς ὄρνιθας ὡς πρὸς τὴν ἀναλογίαν τοῦ οἰκείου σώματος μεγάλας ἔχειν τὰς πτέρυγας καὶ τὰ ἐν ταύταις πτερά· τοῖς δὲ γαμψώνυξιν ἄχρηστα εἶναι τὰ πλῆκτρα, ὑπάρχειν δὲ μᾶλλον ταῦτα ἐν τοῖς τῶν βαρέων ὀρνίθων σκέλεσι, διὰ τὸ χρήσιμα εἶναι ἐν ταῖς πεζαῖς μάχαις. τούτοις δὲ τοῖς βαρέσιν ὄρνισι καὶ πεζεύουσιν οὐ μόνον ἄχρηστοί εἰσιν οἱ γαμψοὶ ὄνυχες, ἀλλὰ καὶ βλαβεροί· ἐμπηγνύμενοι γὰρ ἐν τῇ γῇ οὐκ ἐῶσιν αὐτοὺς ἀνεμποδίστως πορεύεσθαι. διὸ καὶ τὰ γαμψώνυχα πάντα χαλεπῶς πορεύεται ἢ οὐδὲ πορεύεται, ἀλλὰ ἅλλεται. οὐδεὶς δὲ τῶν ὀρνίθων ἅμα πλῆκτρά τε ἔχει καὶ ῥύγχους μέγεθος, ὁμοίως δὲ καὶ ὀνύχων μέγεθος ἐπὶ τῶν ποδῶν· τούτου γάρ ἐστι δηλωτικὸν τὸ ἅμα δ' ἄλλοθι καὶ ἄλλοθι ἕκαστα τούτων οὐ ποιεῖ. ἀσθενὴς γὰρ γίνεται ἡ ὕλη εἰς πολλὰ διασπωμένη, καὶ οὐκ ἀρκεῖ ἅμα εἰς γένεσιν πολλῶν. εἰσὶ δὲ οἱ δάκτυλοι τῶν μὴ ἁπλῶς στεγανοπόδων οἷον πλάται καὶ κῶπαι συνεχεῖς. λέγει δὲ καὶ ὅτι κἂν ἢ τῶν ἰχθύων τὰ πτερύγια κοπῇ ἢ τῶν στεγανοπόδων οἱ πόδες σχισθῶσιν, οὐκέτι νέουσιν. ἔνιοι δὲ τῶν ὀρνίθων μακροσκελεῖς εἰσι διὰ τὸ τὸν βίον τῶν τοιούτων ἐν ἕλεσι καὶ τέλμασιν εἶναι. ἡ δὲ φύσις ποιεῖ τὰ ὄργανα ὁμοίως καὶ ἡ τέχνη ἐπιτήδεια πρὸς τὰ ἔργα, ἀλλ' οὐ τὰ ἔργα πρὸς τὰ ὄργανα. διὰ μὲν οὖν τὸ μὴ πλωτὰ εἶναι τὰ ἐν ἕλεσι ζῶντα οὔκ εἰσι στεγανόποδα, διὰ δὲ τὸ ἐν ὑπείκοντι, τουτέστιν ἐν πηλοῖς καὶ τέλμασιν εἶναι τὸν βίον αὐτῶν μακροσκελῆ καὶ μακροδάκτυλα. εἰ μὲν γὰρ ἦν ἐν τῇ ξηρᾷ ὁ βίος αὐτῶν, ἦσαν ἂν βραχυδάκτυλα, ἵνα μὴ προσπταίοντα βλάπτοιντο· ἐπειδὴ δὲ ἐν ὑπείκοντι, ἤγουν τέλματι, πεποίηκεν αὐτὰ ἡ φύσις μακροδάκτυλα. ἐπεὶ δὲ πτητικὰ

---

1 ἐν τοῖς Περὶ ζῴων πορείας] c. 6. 7 5 ἐν ἐκείνοις] c. 6 p. 707ᵃ20 6 ἐν ἐκείνοις] c. 5 p. 706ᵃ26 δὲ τοῖς ὤμοις] τῶν ὤμων P 9 post ὀρνίθων add. τῶν P ἄδηλόν ἐστιν P 10 ἐν τοῖς Περὶ ζῴων γενέσεως] cf. Γ 2 12 εἰσερχόμενος scripsi: εἰσερχόμενον P: εἰσερχομένου a 13 ἄδηλον a 23 post ἀλλὰ add. καὶ a δὲ] γὰρ P τῶν supr. vers. add. P 25 τὸ] τὸ δ' P 29 σχιθῶσιν a 31 ὁμοίως καὶ—τὰ ὄργανα (32) om. P 36 προσπταίοντες a

μὲν οὔκ εἰσι τὰ ἐν τέλμασι καὶ ἕλεσι ζῶντα, ἐκ τῆς δ' αὐτῆς ὕλης εἰσὶ πάντα ἤτοι τὸ ὀρροπύγιον, τὸ ῥύγχος, τὰ σκέλη, ⟨οἱ⟩ ὄνυχες, τὰ πλῆκτρα (ἐκ τῆς γεώδους γάρ) ἡ μέλλουσα καταναλίσκεσθαι ὕλη εἰς αὔξησιν ὀρροπυγίου εἰς τὰ σκέλη καταναλισκομένη τὰ μὲν σκέλη ηὔξησεν, ἐκεῖνο δὲ βραχύτατον ἐγεγόνει. καὶ τὰ μὲν μακροσκελῆ τὴν πτῆσιν ποιεῖται εἰς τὸ ὄπισθεν ἀποτείνοντα τὰ σκέλη (χρῆται γὰρ αὐτοῖς ἀντὶ πηδαλίου, ὥσπερ ἄλλα τῷ ὀρροπυγίῳ), τὰ δὲ βραχυσκελῆ τῷ μὲν ὀρροπυγίῳ, ὡς εἴρηται, χρώμενα ἀντὶ πηδαλίου, τὰ σκέλη ἔχουσι πρὸς τῇ γαστρί. ἀλλὰ τοῖς μὲν βραχυσκελέσιν ὄντα πρὸς τῇ γαστρὶ οὐκ ἐμποδίζει πρὸς τὴν πτῆσιν, τοῖς δὲ γαμψώνυξιν ὄντα ἐν αὐτῇ καὶ συμβάλλεται μεγάλα πρὸς ἁρπαγήν· ἐν τῇ γαστρὶ γὰρ κείμενα εὐκόλως ἁρπάζουσι τὰ διωκόμενα. λέγει δὲ τοὺς ἔχοντας λεπτὸν καὶ μακρὸν τὸν αὐχένα ἵπτασθαι συγκάμπτοντας αὐτόν· οὐδαμῶς γὰρ θραύεται, διὰ τὸ ὡσπερεὶ σκέπεσθαι καὶ φυλάττεσθαι ὑπὸ τῶν καμπῶν. πάντες δὲ οἱ ὄρνιθες ἔχουσιν ἰσχίον, ἐκεῖσε δὲ ἔχουσι τοῦτο κείμενον, ὅπου οὐκ ἂν ὑπονοήσειέ τις ὅλως εἶναι ἰσχίον· ἐντὸς γὰρ ἔχουσι τοῦτο τοῦ θώρακος κείμενον, ἐφεξῆς δὲ τῷ ἰσχίῳ τὸν μηρὸν συνεχῆ μὲν τῷ ἰσχίῳ, ἐκτὸς δὲ τοῦ | θώρακος. ἴσχει δὲ καὶ ἰσοδυναμεῖ τὸ τοιοῦτον 124
ἰσχίον δύο μηροῖς· τείνει γὰρ μέχρι μέσης τῆς γαστρός. αἴτιον δὲ τοῦ τετάσθαι μέχρις αὐτῆς τὸ δίπουν εἶναι τὸ τῶν ὀρνίθων γένος καὶ μὴ ὀρθόν, ὥστε εἴ γε βραχὺ τὸ τῶν ὀρνίθων γένος εἶχε τὸ ἰσχίον καὶ ἀπὸ τῆς ἕδρας ἀρχόμενον καὶ μὴ ἐρηρεισμένον μέχρι μέσης τῆς γαστρός, εἶτα τὸ σκέλος εὐθὺ ἐχόμενον, ὥσπερ ἐν τοῖς ἀνθρώποις καὶ τετράποσιν ἔχει, εἰ δὴ οὕτως εἶχεν, ἠδυνάτει ἂν ὅλως ἑστάναι. ὁ μὲν γὰρ ἄνθρωπος, καίτοι οὕτως ἔχων, δύναται ὀρθὸς ἑστάναι, ὅτι φύσει ἐστὶν ὄρθιος καὶ οὐ νανώδης· οἱ δὲ ὄρνιθες οὔτε ὄρθιοι καὶ νανώδεις, οὔτε πρόσθια σκέλη ἔχουσιν. ἀντὶ οὖν τῶν προσθίων σκελῶν μακρὸν ἡ φύσις τὸ ἰσχίον ποιήσασα εἰς μέσον προσήρεισεν. ὑπέθηκε δὲ ἡ φύσις τοῖς ὄρνισι τὰ σκέλη ὅπου καὶ κεῖνται, ὅπως μήτε ἔμπροσθεν τοῦ σώματος ῥέποντος μήτε ὄπισθεν, ἀλλ' ἰσορρόπου τοῦ βάρους ὄντος, μικρὸν πάμπαν εἰς τοὔπισθεν παρεγκλίνοντος ἀνεμποδίστως δύνηται τὴν πορείαν ποιεῖσθαι. λέγει δὲ καὶ πάντας ὄρνιθας τέσσαρας ἔχειν τοὺς δακτύλους, τρεῖς μὲν ἔμπροσθεν, ἕνα δ' ὄπισθεν. ἐπὶ δὲ τῶν μακρῶν δοκεῖ ἐλλείπειν ὁ ὄπισθεν δάκτυλος διὰ τὸ βραχύτατος εἶναι, ὥσπερ ἐπὶ τῆς κρεκός.

p. 695ᵇ2 Τὸ δὲ γένος, φησί, τῶν ἰχθύων μᾶλλον τῶν πτηνῶν κεκολόβωται καὶ ἐστέρηται τῶν ἐκτὸς μορίων. οἱ μὲν γὰρ ὄρνιθες κἂν ἐστέρηνται χειρῶν, ἀλλ' ἔχουσιν ἀντ' αὐτῶν πτέρυγας, οἱ δ' ἰχθύες οὔτε σκέλη οὔτε πτέρυγας οὔτε χεῖρας ἔχουσι. τὸ δὲ ὅλον περὶ τῇ κεφαλῇ τὸ κύτος συνεχές ἐστι μέχρι τῆς οὐρᾶς ἴσον ἐστὶ τῷ 'ἀλλ' ὅλον τὸ κύτος καὶ

---

2 οἱ addidi 14 καμπτῶν P 15 ὅλως om. P 24 ὀρθῶς P
28 ῥέποντα P 29 ὄντα P παρεκκλίνοντος a 30 δύνανται P
πάντα ὄρνιθα P 37 περὶ τῇ κεφαλῇ P Arist. SU: περὶ τὴν κεφαλὴν a: ἀπὸ τῆς κεφαλῆς Arist. vulg. 38 ἴσον ἐστὶ τῷ—τῆς οὐρᾶς (p. 95,3) in marg. add. simulque ἐπήγαγε iterat P ὅλου a

τὸ σῶμα τῶν ἰχθύων τὸ ἀπὸ τῆς κεφαλῆς μέχρι τῆς οὐρᾶς συνεχὲς καὶ ἓν ἐστιν ὡσπερεὶ κύλινδρος, μὴ ἔχον διαρθρώσεις ποδῶν ἢ χειρῶν'. εἰπὼν δὲ ὅτι συνεχές ἐστι μέχρι τῆς οὐρᾶς, ἐπήγαγε ταύτην δὲ τὴν οὐρὰν οὐχ ὁμοίαν ἔχουσι πάντες οἱ ἰχθύες, ἀλλ' οἱ μὲν παραπλησίαν, τῶν δὲ πλατέων ἔνια ἀκανθώδη καὶ μακράν, ὥσπερ βάτος. τὸ δὲ ἡ ἐκεῖθεν γὰρ αὔξησις γίνεται εἰς τὸ πλάτος δηλωτικόν ἐστι τοῦ 'ἡ ὕλη ἡ μέλλουσα καταναλωθῆναι εἰς τὸ αὐξῆσαι καὶ μακρὰν ποιῆσαι τὴν οὐρὰν καταναλίσκεται εἰς τὸ πλάτος'. καὶ διὰ τοῦτο αἱ τρυγόνες καὶ εἴ τι ἕτερον τοιοῦτον σέλαχός ἐστιν, ἀντὶ μακροῦ καὶ ἀκανθώδους βραχὺ καὶ σαρκῶδες ἔχουσι τὸ οὐραῖον διὰ τὴν αὐτὴν αἰτίαν, ⟨δι'⟩ ἥνπερ καὶ αἱ νάρκαι. τὸ δὲ τῶν μὲν οὖν τοιούτων ἀκανθῶδες καὶ μακρὸν οὐ περὶ τῶν τρυγόνων εἴρηται καὶ ναρκῶν, ἀλλὰ καὶ περὶ ὧν πρὸ ὀλίγου εἴρηκεν εἰπὼν [δὲ] τῶν δὲ πλατέων ἔνια ἀκανθώδη καὶ μακράν. λέγει δὲ καὶ ὅτι οἱ βάτραχοι διὰ τὸ μὴ σαρκῶδες ἔχειν τὸ πλάτος τὸ ἐμπρόσθιον, τὸ ἀφῃρημένον ἐκεῖθεν σαρκῶδες πρὸς τὸ ὄπισθεν ἔθηκεν ἡ φύσις καὶ τὴν οὐράν. οὐκ ἔχουσι δὲ κῶλα ἀπῃρτημένα οἱ ἰχθύες, ὅτι νευστική ἐστιν ἡ φύσις αὐτῶν καὶ οὐ πορευτική, τοῖς δὲ πορευτικοῖς ἁρμόζει τὰ κῶλα πρὸς τὴν πορείαν. ἄλλως τε ἐπειδὴ τέτταρα ἔχουσι πτερύγια, εἴπερ εἶχον καὶ πόδας, ἐκινοῦντο ἂν πλείοσιν ἢ τέτρασι σημείοις ἔναιμα ὄντα· οὐδὲν δὲ ἔναιμον πλείοσι τῶν τεττάρων κινεῖται σημείων. ἔχουσι δὲ τῶν ἰχθύων ὅσοι μὴ πλατεῖς τέτταρα πτερύγια· ὁ γὰρ βάτος καὶ ἡ τρυγὼν πλατεῖς εἰσι. λέγει δὲ τὰ ὀφιώδη τῶν ἰχθύων, οἷόν ἐστιν ἡ σμύραινα, μὴ ἔχειν πτερύγια, ἀλλὰ ταῖς καμπαῖς κινεῖσθαι, ὥσπερ καὶ οἱ ὄφεις· οἱ γὰρ ὄφεις καὶ ἐν τῇ γῇ τὴν πορείαν καὶ ἐν τῷ ὕδατι τὴν νεῦσιν διὰ τῶν καμπῶν ποιοῦνται, ὡς ἐν τοῖς Περὶ ζῴων πορείας δέδεικται. οἱ δὲ ὀφιώδεις τῶν ἰχθύων εἴπερ εἶχον πτερύγια, τέτταρα ἂν εἶχον αὐτά· πᾶν γὰρ ἔναιμον τέτταρσι κινεῖται σημείοις. ἢ οὖν πρὸς τῇ κεφαλῇ καὶ σύνεγγυς εἶχον ἂν αὐτά, καὶ μόλις ἂν ἐκινοῦντο διὰ τὸ πολὺ τὸ ὀπίσθιον εἶναι σῶμα, ἢ ὄπισθεν, καὶ τὸ αὐτὸ ἂν καὶ οὕτω συνέβαινεν, ἢ τὰ μὲν δύο πρὸς τῇ κεφαλῇ, τὰ δὲ δύο πρὸς τῇ οὐρᾷ, καὶ πάλιν κακῶς ἂν ἐκινοῦντο διὰ τὸ πολὺ εἶναι τὸ μεταξὺ τῶν κινητικῶν σημείων. τὰ δὲ προμήκη τῶν ὀφιωδῶν καὶ ἔχοντα δύο πτερύγια κέχρηνται τῇ κάμψει ἀντὶ δύο πτερυγίων. ὅτι δὲ καὶ διὰ τῶν κάμψεων κινήσεις γίνονται, ὥσπερ καὶ διὰ ποδῶν καὶ πτερύγων, δέδεικται ἐν τῷ Περὶ ζῴων πορείας. διὰ μὲν οὖν τὰς κάμψεις ἔνυδρα ὄντα ἕρπουσιν ἐν τῇ ξηρᾷ, διὰ δὲ τὸ ὀφιώδη εἶναι καὶ ζῶσιν ἐν αὐτῇ πολὺν χρόνον, καὶ τὰ μὲν οὐκ εὐθὺ ἀσπαρίζει καὶ θνήσκει, ἀλλὰ μετὰ βραχύν τινα χρόνον, τὰ δὲ ὄντα οἰκεῖα | τῆς πεζῆς φύσεως ἧττον, ἀντὶ τοῦ βραδέως, ἀσπαρίζει καὶ θνήσκει. τῶν δὲ ἐχόντων

---

2 ὥσπερ a κύλινδρος ex κύλινδρον corr. P ἔχων a ἢ] καὶ P
5 βάθος a ἡ om. P 10 δι' ἥνπερ Arist.: ἥνπερ libri 12 δὲ delevi
13 δὲ post τῶν om. a 15 πρὸς τὰ ὄπισθεν a 19 post ἂν add. καὶ a
22 μύραινα a πτερύγιον a 24 τῶν om. a 24. 25 et 33 ἐν τοῖς Περὶ ζῴων πορείας] c. 9 26 σημείοις κινεῖται coll. a 31. 32 κέκτηνται τὴν κάμψιν a

δύο πτερύγια ἐν τοῖς πρανέσιν ἔχει ταῦτα, ὅσα μὴ κωλύεται διὰ τὸ πλάτος. ἐπειδὴ γὰρ τὰ πτερύγια διὰ τὸ νεῖν ἔχει, εἴπερ ἔχει ταῦτα ἐν τῷ πρανεῖ καὶ οὐχ ὑπὸ τὴν κοιλίαν πλατέα ὄντα, κωλυόμενα τὰ πτερύγια ὑπὸ τοῦ πλάτους τοῦ ἰχθύος ἅπτεσθαι καλῶς καὶ ἐπιτηδείως πρὸς νεῦσιν τοῦ ὕδατος, 5
5 οὐκ ἂν συνεργήσειε πρὸς τὴν νεῦσιν. ὥσπερ γὰρ εἰ ἦν ἥδε ἡ θύρα ἰχθύος, εἶχε δὲ ἐν τῷ πρανεῖ τὰ πτερύγια, οὐκ ἂν ἥπτοντο τοῦ ὕδατος, κἂν ἥπτοντο, ἀλλά γε πρὸς νεῦσιν οὐκ ἂν ἦν ἐπιτήδειος ἡ ἁφή, οὕτω καὶ ἐν ἐκείνοις συμβαίνειν ἔδει. ἰστέον δὲ ὅτι τὰ ἔχοντα δύο πτερύγια πρὸς τῇ κεφαλῇ ταῦτα ἔχει διὰ τὸ μὴ ἔχειν μῆκος τὸν τόπον τῆς κεφαλῆς, ὅπερ μῆκος 10
10 καμπτόμενον ἀντὶ πτερυγίων τὴν κίνησιν ποιήσεται· εἰ γὰρ ἦν προμήκης ἡ κεφαλή, ἐκάμπτετο ἂν καὶ τὴν τῶν πτερῶν χρῆσιν ἀνεπλήρουν αἱ καμπαί. καὶ ἐν μὲν τῇ κεφαλῇ ἔχουσι τὰ πτερύγια διὰ ταύτην τὴν αἰτίαν, ἐν δὲ τῇ οὐρᾷ οὐκ ἔχουσι διὰ τὸ πρόμηκες εἶναι τὸ τῶν ἰχθύων σῶμα. οἱ δὲ βάτοι καὶ τὰ λοιπὰ σελάχη ἀντὶ τῶν πτερυγίων τῷ ἐσχάτῳ καὶ πρὸς
15 τῇ οὐρᾷ πλάτει νέουσιν. ἡ δὲ νάρκη καὶ ὁ βάτραχος τὰ ἐν τῷ πρανεῖ 15
κάτω, τουτέστι τὰ πτερά, ἅπερ ἔχουσιν ἐν τῷ πρανεῖ, κάτω καὶ πρὸς τῇ οὐρᾷ ταῦτα ἔχουσι. πλατεῖς γὰρ ὄντες πρὸς τῇ κεφαλῇ, εἴπερ εἶχον τὰ πτερύγια ἐν τῷ ἐν αὐτῇ πρανεῖ, οὐδὲν ἂν ὠφέλει αὐτοὺς πρὸς τὴν νεῦσιν. ἃ δὲ ἔχουσιν ἐν τοῖς ὑπτίοις πτερύγια, πρὸς τῇ κεφαλῇ ταῦτα ἔχουσιν·
20 οὐ γὰρ κωλύει ταῦτα ὑπὸ τὴν γαστέρα ὄντα τὸ πλάτος ἅπτεσθαι τοῦ ὕδατος καὶ κινεῖσθαι· τῶν γὰρ ἐν τοῖς πρανέσιν ὄντων πτερυγίων ἐστὶ κωλυτικὸν 20
τὸ πλάτος. τὸ δὲ ἀλλ' ἀντὶ τοῦ ἄνω ἐλάττω ταῦτα τῶν ἐν τῷ πρανεῖ ἔχει τοιοῦτον ἂν εἴη· 'ἐπειδὴ τὰ ἄνω μέρη τῶν ζῴων τιμιώτερά ἐστι τῶν κάτω, τὰ τὸν ἄνω τόπον κατέχοντα πτερύγια πεποίηκεν ἡ φύσις ἐλάττω,
25 τὰ δὲ κατὰ τὸν κάτω μείζω, κἀνταῦθα δὴ ἀντανίσωσιν ἡ φύσις ποιήσασα'.

p. 696b2 Εἰπὼν δὲ ὅτι τὰ ἔχοντα βράγχια τὰ μὲν ἐπικαλύμματα ἔχει ἐν τοῖς βραγχίοις, οὐκ ἀνταπέδωκε τὸν μέν σύνδεσμον πρὸς τὸν δέ. ἔχει 25
οὖν πάντα τὰ σελάχη ἐπικαλύμματα τοῖς βραγχίοις· διὰ ⟨γὰρ⟩ τὸ εἶναι χονδράκανθα καὶ διὰ τοῦτο μαλακόσαρκα ἀλλ' οὐ σκληρόσαρκα οὐ κεκώ-
30 λυται τὸ περὶ τὴν κεφαλὴν δέρμα κατέρχεσθαι καὶ ἐπικαλύπτειν τὰ βράγχια. ὁ γὰρ χόνδρος καὶ μάλιστα ὁ ἐν τοῖς ἰχθύσι μαλακός· εἰ δὲ οὗτος, καὶ ἡ λοιπὴ σάρξ· εἰ γὰρ ὁ χόνδρος ὁ ἀναλογῶν ὀστῷ μαλακός, δηλονότι καὶ 30
ἡ λοιπὴ σάρξ. ἔτι αἱ κινήσεις τῶν μὲν ἀκανθωδῶν, ἤτοι τῶν μὴ ἐχόντων τὰς ἀκάνθας χονδρώδεις καὶ μαλακάς, ἀλλὰ σκληράς, τούτων αἱ κινήσεις
35 βραδεῖαι τῷ μὴ ταχέως κάμπτεσθαι διὰ τὴν σκληρότητα· πᾶσα δὲ κίνησις, ὡς ἐν τοῖς Περὶ ζῴων πορείας δέδεικται, κατὰ ἔκτασιν καὶ κάμψιν τῶν κώλων γίνεται. ταῦτα εἰπὼν λέγει ὅτι δεῖ τὰς κινήσεις τῶν ἐπικαλυμμάτων ταχείας εἶναι. ἐπειδὴ γὰρ ὥσπερ ἡμῖν αἱ ῥῖνες πρὸς ἀναπνοὴν καὶ ἐκπνοήν 35

---

1 κωλύονται P 5 συνεργήσειε scripsi: συνεργήση libri 6 κἂν ἥπτετο a
10 post ἀντὶ add. τῶν a 16 τουτούστι P 22 τῶν] τῷ P 25 κατὰ τὸν κάτω] κᾶ P 27 οὐκ—τὸν δέ] cf. Arist. (p. 696b3) SU 28 γὰρ addidi
32. 33 εἰ γὰρ ὁ—λοιπὴ σάρξ in marg. add. P 33 μὲν ex μὴ corr. P: μὴ a
36 ἐν τοῖς Περὶ ζῴων πορείας] c. 9

εἰσιν, οὕτω καὶ τοῖς ἰχθύσιν ἡ τῶν βραγχίων φύσις, ἀλλὰ μὴν ἡ ἐκπνοὴ ταχέως γίνεται, δεῖ ἄρα καὶ τὰ ἐπικαλύμματα τῶν βραγχίων τάχιστα κινεῖσθαι, ὅπως μὴ ἐμποδίζοι τὴν οἷον ἀναπνοὴν καὶ ἐκπνοὴν αὐτῶν. καὶ διὰ τὸ δεῖν ταχεῖαν τὴν τῶν ἐπικαλυμμάτων συστολὴν καὶ διαστολὴν γίνεσθαι
5 διὰ τὴν ἐκπνοήν φησιν ὅτι ἐν τοῖς σελαχώδεσιν οὐ μόνον τὰ ἐπικαλύμματα 40
ἀνοίγεται καὶ κλείεται, ἀλλὰ καὶ αὐτῶν τῶν πόρων, οὓς ἐν ἑαυτοῖς ἔχει τὰ βράγχια, συναγωγὴ καὶ διαστολὴ γίνεται, ὅπως πλείων ᾖ ἡ ἐκπνοή· ἀνοιγόμενοι γὰρ καὶ οἱ πόροι δέχονται τὸ ὕδωρ ὥσπερ καὶ τὰ ἐπικαλύμματα, κλειόμενοι δὲ ἀφιᾶσι. δηλοῖ δὲ διὰ τῆς ἐκπνοῆς ἅμα καὶ τὴν εἴσπνευσιν.
10 τοῦ δὲ τοὺς μὲν ἔχειν τῶν ἰχθύων τὰ βράγχια διπλᾶ, ὥσπερ τις πόλις 45
δυσὶ τείχεσι περιπεφραγμένη, καὶ τοῦ μὲν ἐντὸς ὄντος καὶ περιεχομένου, τοῦ δ' ἐκτὸς καὶ περιέχοντος, τοῦ μὲν δὴ τοὺς | μὲν ἔχειν ταῦτα διπλᾶ, 126
τοὺς δὲ ἁπλᾶ αἴτιον ἡ ὀλιγότης καὶ τὸ πλῆθος τοῦ περὶ τὴν καρδίαν θερμοῦ. τὰ μὲν γὰρ ἔχοντα πολὺ τὸ θερμὸν δεῖται καὶ πλείονος τῆς ἐμψύξεως,
15 γίνεται δὲ ἡ ἔμψυξις καὶ πλείων καὶ ταχεῖα ὑπὸ τῶν πλειόνων βραγχίων· διὰ τοῦτο οὖν ἔχουσι τὰ βράγχια διπλᾶ, τὰ δὲ ὀλίγον ἔχοντα τὸ θερμὸν ἁπλᾶ, διότι καὶ ἐλάττονος δεῖται τῆς καταψύξεως. τὰ μὲν οὖν λεγόμενα 5
τοιαῦτα· κατὰ δὲ τὴν λέξιν τὴν θάττω γὰρ καὶ ἰσχυροτέραν τὴν κίνησιν δεῖ εἶναι τοῖς πλείω ἔχουσι θερμότητα τὴν κίνησιν ἀντὶ τοῦ
20 κατάψυξιν εἴληφε· δεῖ γὰρ θάττω καὶ ἰσχυροτέραν γίνεσθαι τὴν κατάψυξιν τοῖς ἔχουσι πολλὴν θερμότητα. ἔχει δὲ τὰ πλείω βράγχια φύσιν θάττω καὶ ἰσχυροτέραν ποιεῖν τὴν κατάψυξιν τῶν ἐλαττόνων· τὰ γὰρ ἐλάττονα 10
βράγχια καὶ βραδεῖαν καὶ ἀσθενεστέραν ταύτην ποιεῖται. καὶ διὰ τοῦτο ἔνια τῶν ἐχόντων τὰ βράγχια ἐλάττω καὶ ἁπλᾶ καὶ ἧττον ἐγκρατῆ, του-
25 τέστιν οὐδαμῶς ἰσχυρά, ἀλλὰ ἀσθενῆ (τὸ γὰρ ἧττον ἐγκρατῆ ἀντὶ τοῦ οὐδαμῶς ἰσχυρὰ εἴληπται· ἰσχυρὰ μὲν γὰρ καὶ ἰσχυρὰν καὶ ταχεῖαν ποιεῖται τὴν κατάψυξιν τὰ διπλᾶ καὶ πολλὰ βράγχια, ἀσθενῆ δὲ ταύτην ποιεῖται τὰ ἁπλᾶ, καὶ ἐπὶ τούτῳ καὶ ἡ ἀπ' αὐτῶν κατάψυξις ἀσθενής) διὰ τὸ ὀλίγον 15
οὖν ἔχειν τὸ θερμὸν καὶ διὰ τοῦτο καὶ βράγχια ὀλίγα, ἔνια αὐτῶν ἔξω τοῦ
30 ὕδατος δύνανται ζῆν πολὺν χρόνον. τὰ μὲν ⟨οὖν⟩ ἔχοντα πολλὰ βράγχια διὰ τὸ περὶ τὴν καρδίαν πολὺ θερμὸν καὶ δεόμενα πολλῆς τῆς καταψύξεως ἅμα τῷ ἐξελθεῖν τοῦ ὕδατος θνήσκει· οὐ γὰρ δύναται ὁ ἀὴρ τοσαύτην αὐτοῖς τὴν κατάψυξιν ἐμποιεῖν ὁπόσην τὸ ὕδωρ· τὰ δὲ ἔχοντα βράγχια 20
ὀλίγα διὰ τὸ καὶ θερμὸν ὀλίγον δύναται ἔξω πολὺν χρόνον ζῆν. διὰ τί;
35 ὅτι οὐ δεῖται πολλῆς τῆς καταψύξεως. καὶ ταῦτα μὲν οὕτως.

p. 696ᵇ23 Τὰ δὲ στόματα τὰ μὲν ἔχει καταντικρὺ καὶ εἰς τὸ πρόσθεν, ὥσπερ λάβραξ, σκόμβρος, κέφαλος, τὰ δὲ ἐν τοῖς ὀπτίοις, ὥσπερ δελφὶς καὶ τὰ

---

3 ἐμποδίζοιεν a 7 ᾖ om. P 9 κλειόμενα P 10 post τοῦ δὲ add. τὸ P
13 τὰ δὲ a 14 τῆς om. a 17 καταψύχεως a 22 ἐλάττω a
24 τὰ supr. vers. P 27 ταύτην ποιεῖται fort. delendum 29 διὰ τοῦτο καὶ om. P 30 οὖν addidi 33 αὐτῆς a 34 καὶ τὸ θερμὸν a
37 λάβραξ scripsi: λαύραξ libri

σελαχώδη. ταῦτα δὲ τὰ σελαχώδη τὸν μὲν ἄλλον ἅπαντα χρόνον, καθ' ὅν τε νεῖ καὶ ἠρεμεῖ, τὰ μὲν ὕπτια ἔχοντα, ὥσπερ καὶ τὰ τετράποδα τῶν ζῴων, πρὸς τῇ γῇ, τὰ δὲ πρανῆ ἄνω καὶ πρὸς τὸν οὐρανόν, ὅταν μέλλῃ λαβεῖν τὴν τροφήν, στρέφεται, καὶ τὰ μὲν πρανῆ ἔχει πρὸς τῇ γῇ, τὰ δὲ ὕπτια ἄνω καὶ οὕτω θηρεύει. πεποίηκε δὲ ἡ φύσις τὰ σελαχώδη λαμβάνειν τὴν τροφὴν στρεφόμενα διὰ τρεῖς αἰτίας, μίαν μὲν διὰ τὴν σωτηρίαν τῶν ὑπ' αὐτῶν ἀγρευομένων ἰχθύων. φεύγουσι γὰρ καὶ σώζονται βραδυνόντων τῶν σελαχωδῶν ἐν τῇ στρέψει· οὐ γὰρ τάχιον δύναται στρέφεσθαι πλατέα ὄντα· ὄντων οὖν ζωοφάγων, ἀλλ' οὐ ποηφάγων πάντων τῶν σελαχωδῶν, πρόνοιαν ποιουμένη ἡ φύσις τῶν ὑπ' αὐτῶν θηρευομένων πεποίηκεν αὐτὰ στρεφόμενα λαμβάνειν τὴν τροφήν. διὰ μίαν μὲν οὖν αἰτίαν ταύτην στρέφεται τὰ σελαχώδη, ⟨δι'⟩ ἄλλην δὲ ἐπειδὴ ἀδηφάγα ἐστὶ καὶ λαίμαργα, στρέφεται, ἵν' οὕτω βραδέως λαμβάνοντα τὴν τροφήν, μὴ ἑτοίμως, ὀλιγοτροφῇ καὶ μὴ φθείρηται ὑπὸ τοῦ κόρου· εἰ γὰρ πρὸς τὴν ἐπιθυμίαν καὶ τὸ λαίμαργον αὐτῶν ἀναλόγως ἐδίδοτο αὐτοῖς ἡ τροφή, ἐφθείρετο ἄν. οὕτω γάρ ἐστιν ἡ τοῦ λόγου συνέχεια· ἀλλὰ καὶ γραπτέον αὐτὴν τοῦ σαφοῦς ἕνεκα ἀλλὰ καὶ πρὸς τὸ μὴ ἀκολουθεῖν τῇ λαιμαργίᾳ τῇ περὶ τὴν τροφήν· ῥᾷον γὰρ λαμβάνοντα διεφθείρετο ἂν ταχέως διὰ τὴν πλήρωσιν, καὶ προσυπακουστέον τοῦ 'πεποίηκεν αὐτὰ στρέφεσθαι'. τὸ δὲ πρὸς τούτοις περιφερῆ καὶ λεπτὴν ἔχοντα τὴν τοῦ ῥύγχους φύσιν οὐχ οἷόν τε εὐδιαίρετον ἔχειν μεταξὺ παρεμβέβληται· ἔστι δὲ ἡ τρίτη αἰτία, δι' ἣν στρεφόμενα λαμβάνει τὴν τροφήν. ὃ δὲ καὶ δι' αὐτῆς λέγει, τοιοῦτόν ἐστι πρὸς δὲ τοῖς εἰρημένοις ἔχοντα τὸ σελαχώδη τὴν τοῦ ῥύγχους, τουτέστι τοῦ στόματος, φύσιν περιφερῆ καὶ στρογγύλην, ἀλλ' οὐκ ὀξεῖαν ὥσπερ οἱ σκόμβροι καὶ τὰ ἄλλα, ἔχοντα οὖν τοιαύτην τὴν τοῦ στόματος φύσιν καὶ ὑπὸ τὰ ὕπτια, ἀλλ' οὐκ ἔμπροσθεν, οὐχ οἷόν τε εὐδιαίρετον ἔχειν, τουτέστιν οὐχ οἷόν τε κάλλιον οὕτως τὴν θήραν ποιεῖν, ἢ μᾶλλον οὐχ οἷόν τε καλῶς τὴν τροφὴν διαιρεῖν (ἐξέπιπτε γὰρ ἂν τοῦ στόματος), ἀλλὰ ποιήσουσιν αὐτὴν κάλλιστα στρεφόμενοι'. ἔτι δὲ ἔχουσι διαφορὰς τὰ στόματα πρὸς ταῖς εἰρημέναις καὶ ἐν τῷ | τὰ μὲν ἀνερρωγὸς ἔχειν τὸ στόμα, τὰ 127
δὲ μύουρον ἤτοι ⟨μὴ⟩ ἀνερρωγός, ἢ μύουρον ἀντὶ τοῦ ἐκ πλατέος εἰς ὀξὺ λῆγον· τοιαύτη γὰρ καὶ ἡ τῶν μυῶν οὐρά. εἰπὼν δὲ καὶ ὅτι τὸ δέρμα οἱ μὲν ἔχουσι λεπιδωτόν, λέγει καὶ διὰ τί πίπτει ἐξ αὐτῶν ἡ λεπίς· διὰ γὰρ λαμπρότητα, φησί, καὶ λεπτότητα. λαμπρὰ γὰρ οὖσα καὶ λεία καὶ καθαρά, καὶ μηδὲν ὅλως ἔχουσα γλίσχρον, ἵν' ὑπ' αὐτοῦ ὥσπερ ὑπὸ κόλλης συνέχηται, ἐκπίπτει. σαφὴς δ' ἂν ἦν ἡ λέξις, εἰ ἀντὶ τοῦ ἡ γὰρ λεπὶς διὰ

2 τὰ καὶ coll. a 3 ante ὅταν add. καὶ P 7 αὐτῶν ex αὐτὴν corr. P
8 δύνανται a 9 ποοφάγων a 12 δι' addidi ἀδδηφάγα P
στρέφονται a 13 post τροφήν add. καὶ a 16 σαφοῦς ex σαφῶς corr. P
19 τοῦ] τὸ a 21 post μεταξὺ add. γὰρ a 23 post τουτέστι add. τὴν a
24 στόματος ex σώματος corr. P 29 στρεφομένην (ex τρεφομένην corr.) P
διάφορα a 31 μὴ addidi

λαμπρότητα ἦν 'ἡ δὲ λεπὶς διὰ λαμπρότητα'· οἶμαι γὰρ ὅτι τὸ γάρ οὐκ ἔστιν αἰτιολογικὸς σύνδεσμος, ἀλλ' ἀντὶ τοῦ δέ συνδέσμου εἴληπται. οὐδεὶς δέ, φησί, τῶν ἰχθύων ἔχει ὄρχεις, διὰ τὸ μὴ ἔχειν μήτε κύστιν μηδὲ γίνεσθαι ἐν αὐτοῖς περίττωμα ὑγρόν, οὐδὲ οἱ ὄφεις ἔχουσιν ὄρχεις· ἀλλὰ καὶ οἱ ἰχθύες καὶ οἱ ὄφεις τὸν πόρον, ὃν ἔχουσιν εἰς τὴν ἄφεσιν τοῦ ἐκ τῆς τροφῆς περιττώματος, τὸν αὐτὸν ἔχουσι καὶ εἰς τὴν τῶν περὶ τὴν γένεσιν, ἤτοι τῶν σπερμάτων. αἱ δὲ φάλαιναι, φησί, καὶ οἱ δελφῖνες δεχόμενοι ἐν τῇ κατὰ τὸ στόμα εἰσόδῳ θαλάττιον ὑγρὸν ἀφιᾶσι τῇ κατὰ τὸν αὐλὸν ἐξόδῳ· δέχονται μὲν γὰρ διὰ τοῦ στόματος, ἀφιᾶσι δὲ διὰ τοῦ αὐλοῦ. ὁ δ' αὐλὸς οὗτος κεῖται πρὸ τοῦ ἐγκεφάλου, ἤτοι ἐν τῷ μορίῳ τῷ ἀναλογοῦντι βρέγματι· εἰ γὰρ ἔκειτο ὄπισθεν κατὰ τὸ μόριον τὸ ἀναλογοῦν τῷ ἰνίῳ, διελάμβανεν ἂν ἀπὸ τῆς ῥάχεως αὐτόν, τουτέστι διεχώριζεν ἂν ὁ αὐλὸς τὸν ἐγκέφαλον ἀπὸ τοῦ ῥαχίτου μυελοῦ καὶ ἐνεπόδιζεν αὐτὸν ἅπτεσθαι αὐτοῦ. ἀλλ' ἀνάγκη, ὥσπερ εἴρηται πρότερον, τὸν ῥαχίτην μυελόν, θερμὸν ὄντα, ἅπτεσθαι τοῦ ἐγκεφάλου, ἵνα εἰς συμμετρίαν ἄγῃ τὸ ἄγαν αὐτοῦ ψυχρόν. ἐπειδὴ δὲ τὸ θερμόν ἐστιν αἴτιον τοῦ κινεῖσθαι τὰ ζῷα, ἔχει ὁ δελφὶς καὶ τὰ μεγάλα τῶν θαλαττίων ζῴων πνεύμονα ὄντα πλήρη θερμότητος αἱματικῆς. σαφῆ δὲ τὰ ἑξῆς ἕως τοῦ τέλους τοῦ βιβλίου. ὧδε μὲν οὖν πεπλήρωται πᾶσα ἡ Περὶ ζῴων μορίων Ἀριστοτέλους πραγματεία καὶ αἱ εἰς αὐτὴν σχολαί.

---

1 δὲ] sic Arist. vulg. 4 ἐν om. a 8 θαλάττιον scripsi: ἔλαττον libri
17 ὄντα om. P 18 ἕως—τέλους] ἐστὶ a 19 post μορίων add. ἡμῖν a
20 αὐτὰ P post σχολαί add. Τέλος a, sed infra separatim haec subicit: Absolutis iam scholiis Ephesii, in quodam scripto codice haec praeterea inveni: quae cuicuimodi sunt, adscribere libuit. Videntur autem declarationes alicuius esse, qui explananda censuerit, quae, ut dilucida in extremo libro, reliquerat scholiastes.

Εἰς τὸ [Αἱ φῶκαι καὶ αἱ νυκτερίδες διὰ τὸ ἐπαμφοτερίζειν αἱ μὲν τοῖς ἐνύδροις καὶ πεζοῖς.] τῇ δὲ τὰ μὲν κοινωνεῖν τοῖς ἐνύδροις φησὶ: τῇ δὲ τοῖς πεζοῖς τοιοῦτον ἐστιν. τῇ μὲν, τοῖς πτηνοῖς: τῇ δὲ, τοῖς πεζοῖς. τὸ δὲ [Αἵ τε γὰρ φῶκαι ὡς μὲν ἔνυδροι πόδας ἔχουσιν: ὡς δὲ πεζαί, πτερύγια.] τοιοῦτον ἐστὶν: τὰς φώκας ἐπειδὴ ἔνυδροι εἰσὶν, ἔδει μὴ ἔχειν πόδας: οὐδὲν γὰρ ἔνυδρον πόδας ἔχει. ἐπειδὴ δ' ἔχει, κοινωνεῖ κατὰ τοῦτο τοῖς πεζοῖς, καὶ εἰσὶ διὰ τοῦτο αὐτὸ πεζά. πάλιν ἐπειδὴ πτερύγια ἔχει, κοινωνεῖ τοῖς ἐνύδροις: ὑγρῶν γὰρ τὸ πτερύγιον ἔχειν, ἀλλ' οὐ πεζῶν. ἰστέον δὲ τὸ διὰ τί αἱ νυκτερίδες, τετράποδα. ἐν δὲ τῇ λέξει τῇ [Διὰ τὸ πτερὰ ὀρροπύγια.] προσυπακουστέον, τὸ μὴ ἔχειν. διὰ γὰρ τὸ μὴ ἔχειν πτερὰ, οὐκ ἔχει ὀρροπύγια. ἀλλὰ καὶ ἐν τῇ λέξει τῇ [Καὶ ψιλός ἐστι τὰ περὶ τὴν κεφαλὴν] λείπει τὸ, πτερῶν τρίχας. οὐ πέταται δὲ διὰ τὸ ὡς τετράπουν ἔχειν μέγεθος· οὐ δεῖ δὲ τὸ μέλλον πέτεσθαι, μέγεθος ἔχειν: τὰς δὲ νυκτερίδας λέγει τετράποδα, διὰ τὸ ἔχειν κεφαλὴν ὁμοίαν τῷ μυΐ, καὶ διὰ τὸ ἔχειν ὦτα: οὐδὲν δὲ πτηνὸν ὦτα ἔχει. extrema verba τὰς [om. δὲ] νυκτερίδας—ὦτα ἔχει al. m. adscripta in inferiore marg. exh. P

MICHAELIS EPHESII

IN LIBRUM

DE ANIMALIUM MOTIONE

COMMENTARIUM

Ἐπειδὴ ἡ ὀρεκτική τε καὶ ὁρμητικὴ τῆς ψυχῆς δύναμις συνεζευγμέναι οὖσαι ἀλλήλαις (ὁρμὴ γάρ τις καὶ ἡ ὄρεξις) αἰτίαι εἰσὶ τῆς κατὰ τόπον κινήσεως τῶν ζῴων (ἢ γὰρ ὀρεγόμενά τινος ἐπὶ τὸ λαβεῖν αὐτὸ ὁρμᾷ καὶ κινεῖται ἢ ἀποστρεφόμενα ἐπὶ τὸ ἐκκλῖναί τε καὶ φυγεῖν), ἔχουσι δὲ τὴν τάξιν μετὰ τὴν φανταστικὴν τῆς ψυχῆς δύναμιν (δοκεῖ γὰρ ἕπεσθαι μετὰ τὴν ἐπὶ ταῖς φαντασίαις συγκατάθεσιν ὁρμή, ὥσπερ οὖσα τέλος αὐτῆς, οὐκέτ' οὖσα ἡ ὁρμητική τε καὶ ὀρεκτικὴ κριτική, ἀλλὰ τοῦ ἑτέρου μέρους τῆς ψυχῆς τοῦ πρακτικοῦ· εἰς δύο γὰρ ἡ τῶν ζῴων διαιρουμένη ψυχή, εἴς τε τὸ κριτικὸν καὶ τὸ πρακτικόν, τοῦ πρακτικοῦ ἐστιν ἡ ὁρμητική τε καὶ ὀρεκτική) ἐπεὶ οὖν ἡ ὀρεκτική τε καὶ ὁρμητικὴ αἰτίαι οὖσαι τῆς κατὰ τόπον κινήσεως μετὰ τὴν φαντασίαν εἰσίν, ἡ δὲ μνήμη ἐστὶν ἕξις φαντάσματος ὡς εἰκόνος οὗ φάντασμα, εἰκότως μετὰ τὸ Περὶ μνήμης τάττεται τὸ Περὶ ζῴων κινήσεως. ζητεῖ δὲ ἐν αὐτῷ τίς ἡ αἰτία τοῦ κινεῖσθαι τὰ ζῷα κίνησιν ὁποιανοῦν, καὶ ὅτι τὸ κινούμενον ὑφ' ἑαυτοῦ δεῖ τι ἔχειν ἐν αὐτῷ ἀκίνητον δείκνυσι καὶ ὅτι καὶ ἐκτός, ἕτερόν γε ὂν αὐτοῦ. μετὰ ταῦτα ζητεῖ τί ἐστι τὸ κινοῦν τὸν οὐρανόν, εἶτα ἐνίσταται πρὸς τοὺς λέγοντας τὸν Ἄτλαντα ὀχεῖν τὸν οὐρανόν. εἶτα ζητεῖ εἰ ἐνδέχεται φθαρῆναι ὁ κόσμος, εἶτα λέγει διὰ τί δεῖ ἀκίνητον εἶναι, ἵνα κινῆται ὁ κόσμος. εἶτα ἐφιστάνει εἰ τοῖς ἀψύχοις τοῖς κινουμένοις δεῖ τι καὶ ἐντὸς καὶ ἐκτὸς εἶναι ἀκίνητον. εἶτα ζητεῖ πότερον τῶν κατὰ τόπον κινουμένων δεῖ τι ἐκτὸς ἠρεμεῖν ἢ καὶ τῶν αὐξανομένων καὶ ἀλλοιουμένων. εἶτα πῶς ἡ ψυχὴ κινεῖ τὰ σώματα, καὶ τίς ἀρχὴ τῶν ζῴων τῆς ἑκουσίου κινήσεως, καὶ πῶς ἐνίοτε νοοῦντες οὐ πράττουσιν. εἶτα λέγει ὅτι τὸ πρῶτον κινοῦν τὸ ζῷον σὺν τῇ ἀρχῇ ἐστιν, εἶτα ὅτι τῷ πνεύματι κινουμένῳ τὰ ζῷα κινεῖται, καὶ πῶς κινεῖται

---

1 Tit. Σχόλια—κινήσεως SCa: ante σχόλια add. τοῦ αὐτοῦ PR 2 τε om. CPR δύναμις καὶ ὁρμητικὴ τῆς ψυχῆς coll. CPR 4 τοῖς ζώοις CPR αὐτὰ S 8 ἑτέρου] ἡμετέρου CSa 10 πρακτικὸν καὶ τὸ κριτικὸν coll. C et omisso τὸ PR 14 ἐν αὐτῷ om. Sa 17 οὐρανόν] ἄνθρωπον CPR 19 τὸν κόσμον CPR 23 post τίς add. ἡ a νοοῦντες] κινοῦντα CPR 25 post εἶτα add. λέγει CPR κινούμενα CPR

τὰ ζῷα τὰς οὐχ ἑκουσίους κινήσεις καὶ τὰς ἑκουσίους, καὶ διὰ τί μάλιστα 149ʳ
καρδία καὶ αἰδοῖον οὕτω κινοῦνται, καὶ πῶς ἡ μὲν ἀρχὴ ἀπὸ τῶν μορίων, 21
τὰ δὲ μόρια πάλιν ἀπὸ τῆς ἀρχῆς κινεῖται. φροιμίων μὲν ἅλις, ἐπὶ δὲ
τὴν τῶν λεγομένων σαφήνειαν ἴωμεν εὐχόμενοι τῷ τῶν λόγων ἐφόρῳ θεῷ
5 ἀκριβῆ τούτων δοῦναι ἡμῖν κατανόησιν.

p 698ᵃ1 Περὶ δὲ κινήσεως τῆς τῶν ζῴων, ὅσα μὲν περὶ ἕκαστον αὐτῶν ὑπάρχει γένος καὶ τίνες διαφοραί. 25

Εἴρηκεν ἐν τῇ Περὶ ζῴων πορείας περὶ ἁπάντων τῶν ὑπαρχόντων ἑκάστῳ γένει ἢ εἴδει τῶν ζῴων | καὶ περὶ τῆς διαφορᾶς αὐτῶν· εἶπε 149ʳ
10 γὰρ ἐκεῖ διὰ τί τὰ μὲν αὐτῶν τέτρασι σημείοις κινεῖται τὰ δὲ πλείοσι, καὶ διὰ τί τὰ μέν ἐστιν αὐτῶν ἄποδα τὰ δ' ὑπόποδα, καὶ ὅλως περί τε τῆς διαφορᾶς αὐτῶν περί τε τῶν ὑπαρχόντων αὐτοῖς χρησίμων πρὸς τὴν πορείαν εἶπεν ἐν ἐκείνῳ τῷ βιβλίῳ. ἐνταῦθα δὲ ζητήσει τί τὸ κοινὸν αἴτιον 5
τοῦ κινεῖσθαι ἕκαστον ὡς πέφυκε κινεῖσθαι· καὶ γὰρ τὰ μὲν πτήσει τὰ δὲ
15 ἕρψει τὰ δὲ ἄλλως πέφυκε κινεῖσθαι. δέδεικται δὲ καὶ ἐν τῷ Θ τῆς Φυσικῆς ἀκροάσεως ὅτι τοῦ αὐτοκινήτου τὸ ἀκίνητον, τοῦτο δ' ἐστὶν ἡ ψυχή, ἀρχὴ τῶν ἄλλων ἐστὶ κινήσεων. πρῶτον δὲ κινοῦν λέγει τὸν πρῶτον θεόν.

p. 698ᵃ11 Δεῖ δὲ τοῦτο μὴ μόνον τῷ λόγῳ λαβεῖν.

Τὸ ⟨τῷ⟩ λόγῳ ἀντὶ τοῦ καθόλου. εἰπὼν 'ὅτι δὲ τῶν ἄλλων πασῶν
20 κινήσεων ἀρχή ἐστι τὸ ἀκίνητον, δέδεικται καθόλου' (ἐδείχθη γὰρ ἐν τῷ Θ τῆς Φυσικῆς ἀκροάσεως) λέγει ὅτι δεῖ δὲ τοῦτο, τουτέστι τὸ λέγειν 25
ὡς ἀνάγκη εἶναί τι ἀκίνητον, εἰ μέλλει εἶναι κίνησις, μὴ μόνον τῷ λόγῳ καὶ καθόλου λαβεῖν, μηδὲ ἀρκεῖσθαι τῇ ἐν τῷ Θ καθόλου δείξει, ἀλλὰ καὶ ἐπὶ τῶν καθ' ἕκαστα βασανίσαι τὸν λόγον. διὰ γὰρ τῶν καθ'
25 ἕκαστα ζητοῦμεν καὶ τοὺς καθόλου λόγους· οὓς εἰ μὲν εὑρήσομεν ἐφαρμόζοντας τοῖς μεριοῖς, πιστεύομεν, εἰ δὲ μή, ἀποσειόμεθα. ὅτι δ' ἠρεμοῦσιν ἐν ἡμῖν αἱ καμπαί, εἴρηται ἐν τῷ Περὶ πορείας ζῴων· τοῦ γὰρ βραχίονος 30
κινουμένου ἠρεμεῖ τὸ ὠλέκρανον καὶ τῆς κνήμης τὸ γόνυ· ἐκτὸς δ' ἡμῶν

---

2 κινεῖται CPR 5 ἀκριβῶς C ἡμῖν δοῦναι τὴν κατανόησιν CPR
6 τῆς τῶν om. CPR 6. 7 ἑκάτερον γένος αὐτῶν ὑπάρχει S 9 γένη ἢ εἶδη a 10. 11 αὐτῶν—μέν ἐστιν om. CPR 12 πρὸς] εἰς CPR
13 ante ἐνταῦθα add. τὰ PR ζητεῖ C 15 ῥέψει a δὲ καὶ om. CPR 15. 16 et 20. 21 ἐν τῷ Θ τῆς Φυσικῆς ἀκρ.] c. 5 17 ἐστὶ om. S post τὸν add. παρ' ἐκείνῳ CPR 18 λόγῳ καθόλου λαβεῖν a Arist. vulg.
19 Τὸ—καθόλου om. a: Τὸ—λόγῳ om. S τῷ addidi εἰπὼν om. R
21 λέγει] λέγει δὲ S: λόγῳ CR δεῖ δὲ ὅτι coll. a 22 εἶναί τι] θεῖναί τι a μέλλοι a 23 τῇ θῆτα a 26 ἀποσειώμεθα a 27 ἐν τῷ Περὶ πορείας ζῴων] c. 3. 9

ἠρεμεῖ ἡ γῆ ἢ ὅ τι ἂν ᾖ ἐφ' οὗ τὴν πορείαν ποιούμεθα. τὸ δὲ ὅλον 149v
κῶλον ἓν μέν ἐστι δυνάμει ἐνεργείᾳ δὲ δύο ἐν τῇ κάμψει, ἓν δὲ ἐνεργείᾳ
δυνάμει δὲ δύο ἐν τῇ ἐκτάσει, ὥσπερ, φησίν, ἂν ἐπὶ τῆς διαμέτρου ἡ μὲν
Α καὶ Δ μένοι, τουτέστιν ἡ ΑΔ μένοι, ἡ δὲ Β κινοῖτο, τουτέστιν ἡ δὲ
5 ΑΒ κινοῖτο, καὶ γίνοιτο ἡ ΑΓ κίνησις. ἔστω δὲ ΑΔ τὸ ἀπὸ τοῦ ὤμου 35
ἕως τοῦ ὠλεκράνου, ΑΒ δὲ ὁ βραχίων. ἀλλ'
ἐπὶ μὲν τῆς διαμέτρου τοῦ κύκλου δοκεῖ κατὰ
πάντα ἀδιαίρετον εἶναι τὸ κέντρον, τὰ δὲ ἐν ταῖς
καμπαῖς ὁτὲ μὲν γίνεται ἕν, ὁτὲ δὲ διαι-
10 ρετά, τουτέστιν ὁτὲ δὲ δύο. καὶ εἴρηται πότε
ἓν καὶ πότε δύο δυνάμει καὶ ἐνεργείᾳ. σαφῶς
δὲ τὰ λοιπὰ ἀπαγγέλλει. ὅλον δὲ ἀθρόον κινεῖ-
ται τὸ ἀλλόμενον. τὸ δὲ ἀλλὰ πᾶσα ἡ ἐν
αὐτῷ ἠρεμία τοιοῦτόν ἐστι δυνάμει 'κἂν μέρη



15 τινὰ ἠρεμῇ κἂν ἅπαντα, εἰ μὴ ἦ τι ἔξωθεν ἁπλῶς ἠρεμοῦν καὶ κυρίως, 41
οὐδ' ὅλως ἂν γένοιτο κίνησις'.

p. 698 b 10 Ἔχει γὰρ τὴν θεωρίαν οὐ μόνον ὅσον ἐπὶ τὰ ζῷα συντείνουσαν.

Τὸ δεικνύναι, φησίν, ὡς εἰ μὴ εἴη τι ἔξωθεν ἁπλῶς ἀκίνητον, οὐκ
20 ἂν γένοιτο κίνησις, οὐ μόνον ἐπὶ τὰ ζῷα συντείνει, ἀλλὰ καὶ πρὸς τὸν 50
σύμπαντα κόσμον· ἀνάγκη γὰρ καὶ ἐν τούτῳ εἶναί τι πάντως ἀκίνητον, εἰ
μέλλει κινεῖσθαι ὁ οὐρανός. πάντῃ δὲ ἀκίνητόν ἐστιν ὅπερ αὐτὸς ἐν τῇ
Μετὰ τὰ φυσικὰ ζῷον ἀίδιον ἄριστον εἶπεν· τοιαῦτα γὰρ περὶ τούτου ἐν
τῷ Λ τῆς πραγματείας ἐκείνης μεγαληγορεῖ. ταῦτα εἰπὼν λέγει 'εἰ γὰρ
25 ὑποδώσει καὶ ὑπείξει ἀεὶ ἡ γῆ τοῖς ἐν τῇ γῇ πορευομένοις μυσίν (ἔστω
γὰρ λόγου ἕνεκεν τὰ πορευόμενα μῦς), οὐκ ἔσται πορεία'. ἀνάγκη δὲ τὸ
κυρίως μένον ἕτερον | εἶναι τοῦ κινουμένου, καὶ ὅλον ὅλου. δεῖ γὰρ 150r
ὅλον τὸ μένον ἕτερον εἶναι ὅλου τοῦ κινουμένου, καὶ μηδὲν εἶναι μόριον
τοῦ κινουμένου τὸ οὕτως ἀκίνητον, τουτέστι τὸ κυρίως ἀκίνητον.
30 προσέθηκε δὲ τοῦτο, διότι ὁ ἐν τῷ πλοίῳ ὤν, ὡς ἐρεῖ μετ' ὀλίγον, καὶ

---

1 ἂν εἴη Sa 3 ἐκστάσει R²a φησίν, ἂν] φησὶ καὶ a 4 μένοι ante τουτέστιν ex μένει corr. S¹: μένει PRa ἡ ᾱδ μένει CRa δὲ ante AB om. Ca
4. 5 κινεῖται utrobique a 5 βα PR γίνεται CSa: γίνῃ R 6 AB scripsi: β libri 8 εἶναι ἀδιαίρετον coll. CPR 11 πότε om. Sa 13. 14 ἡ ἐν αὐτῷ om. PR: ἐν αὐτῷ om. C 14 post μέρη add. αὐτοῦ CPR 15 εἰ μὴ εἴη τὸ ἔξωθεν CPR ἠρεμοῦν ἁπλῶς coll. CPR 16 οὐδὲν ἂν ὅλως CPR γένηται libri 19 εἰ om. PR 21 τούτοις PR τι πάντῃ πάντως CPR
22 μέλλοι PRa 22. 23 ἐν τῇ Μετὰ τὰ φυσικὰ] Λ 7 24 τῆς] τῶν C πραγματείας ἐκείνης] μετὰ τὰ φυσικὰ CPR εἰ] τῇ PR 25 ὑποδήσει PR
26 μῦς (sic) CPRS: μύες a 27. 28 τοῦ κινουμένου — ἕτερον εἶναι om. P
28 post μόριον add. αὐτοῦ CPR 30 ὁ om. PRS

ὠθῶν τὸν ἱστὸν τῷ κοντῷ μόριόν ἐστι τοῦ πλοίου καὶ ἐπὶ τούτῳ οὐ κινεῖται 150ʳ τὸ πλοῖον· καὶ γὰρ ὁ ἐν τῷ πλοίῳ ὢν τρόπον τινὰ μόριόν ἐστι τοῦ πλοίου.

p. 698ᵇ21 Μαρτύριον δὲ τούτου τὸ ἀπορούμενον, διὰ τί ποτε τὸ πλοῖον ἔξωθεν μὲν ἄν τις ὠθῇ τῷ κοντῷ τὸν ἱστόν.

Τὸ ἑξῆς τῆς λέξεως τοιοῦτον 'διὰ τί ποτε τὸ πλοῖον κινεῖται ῥᾳδίως, ἄν τις ἔξωθεν τοῦ πλοίου ὢν ὠθῇ τὸ πλοῖον προσβάλλων τῷ ἱστῷ τὸν κοντόν'; τὸ δὲ λεγόμενον 'μαρτύριον δὲ καὶ πίστις ἐναργὴς τοῦ δεῖν εἶναί τι ἀκίνητον, εἰ μέλλει γενέσθαι κίνησις, τὸ συμβαῖνον ἐπὶ τοῦ πλοίου· τὸ γὰρ πλοῖον ἄν τις ἐν τῇ γῇ ἱστάμενος ὠθῇ μετὰ ῥάβδου ἢ κοντοῦ προσβάλλων καὶ ἀπερείδων τὸν κοντὸν τῷ ἱστῷ ἢ ἄλλῳ τινὶ μέρει τοῦ πλοίου, οἷον τῇ πρύμνῃ, κινεῖται ῥᾳδίως· ἂν δ' ἐν αὐτῇ τῇ πρύμνῃ καθήμενος προσβάλλῃ τὸν κοντὸν τῷ ἱστῷ καὶ πειρᾶται κινῆσαι, οὐκ ἂν δυνήσεται τοῦτο ποιῆσαι, οὔτε ἂν ὁ Τιτυὸς ᾖ ὁ κινῶν οὔτε ἂν ὁ Βορέας ἦν ἐν αὐτῷ τῷ πλοίῳ καὶ ἔπνει ἀπ' αὐτοῦ, ἐκίνησεν ἂν αὐτό. ἀλλὰ πῶς κινοῦσιν οἱ ἄνεμοι τὰ πλοῖα; ἢ ὅτι ἐκτὸς ὄντες τοῦ πλοίου πνέουσιν· εἰ δ' ἀπ' αὐτοῦ ἔπνεον, οὐκ ἂν ἐκίνησαν αὐτό. πῶς οὖν ταῦτα συμβαίνει; ἢ ὁ μὲν ἐν τῷ αἰγιαλῷ ἢ πέτρᾳ ἢ ὅλως γῇ ἐστὼς διὰ τὸ ἐν ἀκινήτῳ ἵστασθαι καὶ μὴ μέρος εἶναι τοῦ πλοίου κινεῖν αὐτὸ δύναται, ὁ δ' ἐν αὐτῷ τῷ πλοίῳ ὢν κινεῖν οὐ δύναται διὰ τὸ δεῖν εἶναί τι ἀκίνητον, εἰ μέλλει γενέσθαι κίνησις. εἰ δ' ἐκινήθη τὸ πλοῖον ὑπὸ τοῦ ἐν αὐτῷ ὄντος, ἦν ἄρα καὶ ἠρεμοῦν καὶ κινούμενον, ὅπερ ἀδύνατον, ἠρεμοῦν μὲν διὰ τὸ δεῖν τὸν μέλλοντα κινήσειν πρὸς ἠρεμοῦν τι ἀπερείδεσθαι, ἵν' ὠθήσῃ, κινούμενον δὲ διὰ τὸ ὑποκεῖσθαι ὅτι κινεῖται ὑπὸ τοῦ ὄντος ἐν αὐτῷ. εἰ οὖν μήθ' ὁ Τιτυὸς μήθ' ὁ Βορέας δύνανται κινεῖν τὸ πλοῖον ἐν αὐτῷ ὄντες, φανερὸν ἄρα ὅτι ἀνάγκη εἶναί τι ἀκίνητον, εἰ μέλλει γενέσθαι κίνησις, καὶ τοῦτο ἐκτὸς καὶ μηδὲν εἶναι τοῦ κινουμένου μόριον'. ἡ μὲν τῶν λεγομένων διάνοια αὕτη. τοὺς δὲ ἀνέμους ὅτι ὡς ἀνθρώπους γράφουσιν οἱ γραφεῖς ἐκ τοῦ στόματος αὐτῶν πέμποντας τὸ πνεῦμα, δῆλον παντί. τὸ δὲ ἀνάγκη πρῶτον μὲν πρὸς ἠρεμοῦν τι τῶν αὐτοῦ μορίων ἀπερειδόμενον ὠθεῖν τοιοῦτόν ἐστιν· ὁ κυβερνήτης ὠθῶν τὸ πλοῖον πρῶτον μὲν φέρε εἰπεῖν ἀπερείδει

---

1 ἐστι τοῦ—μόριον (2) in marg. P 2 καὶ γὰρ—πλοίου om. a 3 τοῦ^τ R ποτε om. S 4 μὲν ἔξωθεν coll. a 6. 7 τὸν ἱστὸν τῷ κοντῷ Sa 7 post πίστις add. ἱκανὴ καὶ CPR 8 μέλλοι libri γίνεσθαι Ca ἐπὶ τὸ πλοῖον PR 9 ἐν τῇ γῇ ὠθῇ ἱστάμενον PR 10 τὸν κοντὸν ex τῶ κοντῶ corr. S 12 τὸν ἱστὸν τῷ κοντῷ S δυνήσηται R: δύνηται SCa 13 ἂν prius] ἐξ a βορρέας S: βορρέως a 16 ἢ ὅτι ὁ μὲν CPR 17 πέτρα ὅλως ἐστὼς ἢ γῇ διὰ Sa 18 τῷ πλοίῳ om. CPR 19 μελλ S: μέλλοι CPRa γίνεσθαι a itemque 25 20 post ἄρα add. ἅμα a 22 κινῆσαι CPR 23 Τιτυὸς] τινὸς a 24 δύναται PR ἄρα om. CPR 25 μέλλοι CPRa 26 μόριον τοῦ κινουμένου coll. PR post μὲν add. οὖν a 30 ὠθῶν ὁ κυβερνήτης coll. CPR πρῶτον om. S: πρότερον C

τὸν βραχίονα εἰς τὸ ὠλέκρανον, εἶτα ἢ αὐτὸ τὸ ὠλέκρανον ἀποστηρίζεται 150r
πρός τι τῶν ἔξωθεν, οἷον πρὸς πέτραν ἢ ἄλλο τι, ἢ οὖν αὐτὸ ἀποστηρί-
ζεται ἢ ὁ κυβερνήτης, οὗ τινος κυβερνήτου μέρος ἐστὶ τὸ ὠλέκρανον. τὸ 35
δὲ συμβαίνει δὲ αὐτῷ τὸ αὐτὸ ὅ τε κινεῖται καὶ πρὸς ὃ ἀποστηρί-
5 ζεται ἴσον ἐστὶ τῷ συμβέβηκε δὲ αὐτῷ τῷ πλοίῳ ἅμα εἶναι καὶ κινούμενον καὶ μένον· πρὸς ὃ γὰρ ἀποστηριζόμεθα μένειν ἀνάγκη.

p. 699a12 Ἀπορήσειε δ' ἄν τις, ἀρ' εἴ τι κινεῖ τὸν ὅλον οὐρανόν, εἶναι θέλει ἀκίνητον.

Ὅπερ ἀπορεῖ τοιοῦτόν ἐστι· πότερον τὸ κινοῦν τὸν οὐρανὸν ἀκίνητόν
10 ἐστι, καὶ πότερον ἔστιν αὐτοῦ μόριον ἢ οὔ; καὶ γὰρ ἡ ψυχὴ κινεῖ τὸ ζῷον ἀκίνητος οὖσα, καὶ ὅμως μόριόν ἐστι τοῦ ὅλου ζῴου. ἀρ' οὖν καὶ τὸ κινοῦν τὸν οὐρανὸν μόριόν ἐστι τοῦ οὐρανοῦ, ὡς καὶ ἡ ψυχὴ τοῦ ζῴου, 50
ἢ οὔ; εἰσὶ δὲ τὰ ζητούμενα τρία, ἓν μὲν εἰ κινεῖται τὸ κινοῦν τὸν οὐρανόν, δεύτερον δὲ εἰ ἔστι μόριον τοῦ οὐρανοῦ, καὶ τρίτον εἰ ἐν τῷ οὐρανῷ ἐστιν
15 ὥσπερ καὶ ὁ κυβερνήτης ἐν τῷ πλοίῳ ἢ ὡς ἡ ψυχὴ ἐν τῷ ζῴῳ. θεὶς οὖν τὸ πρόβλημα δείκνυσι τέως πρῶτον ὅτι οὐ κινεῖται λέγων 'εἴτε γὰρ κινούμενον τὸ πρώτως κινοῦν τὸν οὐρανόν, ἀνάγκη εἶναί τι ἀκίνητον, ὡς δέδεικται, οὗ θιγγάνον κινήσει, καὶ τοῦτο, ἐν ᾧ ἀπερείδεται καὶ οὗ θιγγάνει, | μηδὲν εἶναι μόριον τοῦ κινοῦντος. εἰ γάρ ἐστι μόριον αὐτοῦ ὥσπερ τῆς 150v
20 χειρὸς τὸ ὠλέκρανον, δεήσει πάλιν ἄλλου, ἐν ᾧ ἀπερείσεται. ἀλλὰ μὴν ἀδύνατον τὸ πρώτως κινοῦν θιγγάνειν τινὸς καὶ πρός τι ἀπερείδεσθαι ἀμερὲς ὂν καὶ ἀσώματον, ὡς ἐν τῷ τέλει τῆς Φυσικῆς ἀκροάσεως δέδεικται· ὥστε οὐδὲ κινεῖται'. εἰ γὰρ ἀνάγκη τὸ κινοῦν κινούμενον πρός τι ἀπερείδεσθαι καὶ οὕτω κινούμενον κινεῖν, μὴ οἷόν τε δὲ ἀπερείδεσθαι πρός τι τὸ 5
25 πρώτως κινοῦν, οὐδὲ κινεῖται ὅλως, ἀλλ' ἔστιν ἀκίνητον. εἰ δὲ ἔστιν ἀκίνητον, ἀνάγκη μηδὲν εἶναι μόριον τοῦ κινουμένου· εἰ γὰρ εἴη μόριον τοῦ οὐρανοῦ, ἐπειδὴ δεῖ ἀκίνητον εἶναι, ἢ καὶ πᾶς ὁ οὐρανὸς μενεῖ ἢ εἰ κινεῖται, μένοντος τοῦ μέρους διασπασθήσεται. διὰ ταύτην οὖν τὴν αἰτίαν ὀρθῶς εἶπον οἱ λέγοντες ὅτι κύκλῳ φερομένης τῆς σφαίρας οὐδ'
30 ὁτιοῦν μένει μόριον, ὅπερ ταὐτόν ἐστι τῷ κινοῦν οὐκ ἔστι μόριον. καὶ τοῦτο μὲν λέγουσι καλῶς· σφάλλονται δὲ ἧ φασιν ὡς οἱ πόλοι κινοῦσι

---

1 εἶτα—ὠλέκρανον om. C ἢ om. a 2 post αὐτὸ add. τὲ C 4 τὸ αὐτὸ αὐτῷ coll. CPR 6 μένον] κινούμενον S 8 θέλει CPRS Arist. PS: τε δεῖ a Arist. vulg. 12 ὡς καὶ—οὐρανοῦ (14) om. CPR 16 οὖν om. PR: δὲ Ca post γὰρ add. τὸ S 18 θιγγάνον κινήσει] θιγγάνει κινούμενον PR 19 μόριον μηδὲν εἶναι coll. CPR κινοῦντος] κινητοῦ S 20 post ᾧ add. πάλιν CPR ἀπερείδεται P 22 ὡς om. CPR ἐν τῷ τέλει τῆς Φυσικῆς ἀκροάσεως] Θ 10 post τέλει add. τοῦ θ CPR 23 post οὐδὲ add. ὡς δέδεικται CPR ante κινούμενον add. τὸ Sa 27 ἢ εἰ] ἢ ἡ a 30 μενεῖ P post τῷ add. τὸ a 31 καλῶς λέγουσι coll. CP

τὸν οὐρανόν. οἱ γὰρ πόλοι οὐδέν εἰσιν· ἐπινοίᾳ γὰρ ἡμετέρᾳ τὸ εἶναι 150v
ἔχουσι. καὶ ἔτι πρὸς τῷ μηδεμίαν οὐσίαν καὶ φύσιν εἶναι τῶν πόλων, 11
ἀδύνατον καὶ τὸ τὴν μίαν κινεῖσθαι κίνησιν ὑπὸ δυοῖν· ἡ γὰρ μία τῷ
ἀριθμῷ κίνησις ὑπὸ ἑνὸς τῷ ἀριθμῷ κινουμένου, ὁμοίως δὲ κινοῦντος
5 γίνεται, ὡς ἐν τοῖς Φυσικοῖς δέδεικται, οἱ δὲ πόλοι οὐχ εἷς, ἀλλὰ δύο·
πῶς οὖν δυνατὸν τὴν μίαν κίνησιν τὴν ἀπὸ ἀνατολῆς ἐπὶ δύσιν ὑπὸ δύο
κινούντων γίνεσθαι; ὅτι μὲν οὖν ἔστι τι καὶ ἐν ὅλῃ τῇ φύσει ἀκίνητον,
ὑφ' οὗ τὸ πᾶν κινεῖται, καὶ ἐκ τῶν τοιούτων διαπορημάτων ἄν τις πιστεύ- 20
σειεν· τούτου γὰρ οἶμαι δηλωτικόν ἐστι τὸ ἐκ τῶν τοιούτων ἄν τις
10 διαπορήσειεν.

p. 699a 27 Οἱ δὲ μυθικῶς τὸν Ἄτλαντα ποιοῦντες ἐπὶ τῆς γῆς ἔχοντα τοὺς πόδας.

Ἡ μὲν περὶ τὸν Ἄτλαντα ἱστορία δήλη πᾶσιν· ποιοῦσι γὰρ αὐτὸν κίονας βαστάζοντα καὶ ἐπὶ τῆς γῆς ἱστάμενον κινεῖν τὸν οὐρανόν, ἀνάλογον
15 ὄντα τῇ ἡμισείᾳ τοῦ κύκλου διαμέτρῳ τῇ ἀπὸ τοῦ κέντρου πρὸς τὴν περιφέρειαν προσπιπτούσῃ. ὡς γὰρ ἐκείνη ἀπὸ τοῦ κέντρου πρὸς τὴν περιφέρειαν, οὕτως ὁ Ἄτλας ἀπὸ τῆς γῆς κέντρου οὔσης πρὸς τὸν οὐρανόν. λέγει δὲ τοὺς ταῦτα λέγοντας ἀπὸ διανοίας λέγειν, καὶ εἶναι πλάσματα τῶν 25
εἰπόντων, ἀλλ' οὐκ ἀληθῆ. ὅμως, φησίν, εἰ καὶ δῶμεν εἶναι τοῦτο ἀληθές,
20 μαρτύριον ἂν εἴη τοῖς ὑφ' ἡμῶν λεγομένοις ὅτι εἰ μέλλει εἶναι κίνησις, ἀνάγκη εἶναί τι ἀκίνητον. διὰ γὰρ τὸ καὶ ἐκείνους ὑπολαμβάνειν τὴν γῆν μένειν, τὸν Ἄτλαντα ἐπὶ ταύτης ἱστῶσι. θεὶς δὲ ταῦτα ἐνίσταται πρὸς τὴν δόξαν δεικνύων αὐτὴν ψευδῆ, καί φησιν ἀλλὰ τοῖς ταῦτα λέγουσιν ἀναγκαῖον φάναι μηδὲν εἶναι μόριον αὐτὴν τοῦ παντός. ἔστι δὲ
25 τὸ λεγόμενον 'εἰ μὲν μὴ ἦν ἡ γῆ μόριον τοῦ παντός, εἰκότως ταῦτα λέγουσιν, 30
εἰ δὲ μή, μάτην· ὥσπερ γὰρ ὁ ἐν τῇ πρύμνῃ καθήμενος οὐκ ἂν κινήσειε τὸ πλοῖον, διὰ τὸ εἶναι τὴν πρύμναν μόριον τοῦ πλοίου, οὕτως οὐδ' ὁ ἐν τῇ γῇ ἱστάμενος κινήσειε τὸ πᾶν· μέρος γὰρ ἡ γῆ τοῦ παντός'.

p. 699a 32 Πρὸς δὲ τούτοις δεῖ τὴν ἰσχὺν ἰσάζειν τοῦ κινοῦντος
30 καὶ τὴν τοῦ μένοντος.

Καὶ τοῦτο κατὰ τῆς περὶ τὸν Ἄτλαντα δόξης ἐστί. τὸ δὲ λεγόμενον 40
τοιοῦτον· ὥσπερ ἔστιν ἰσχύς τις, καθ' ἣν κινεῖ τὸ κινοῦν, οὕτω καὶ καθ'

---

2 τῷ] τὸ P: ex τὸ corr. R τὸν πόλον Sa 3 κίνησιν κινεῖσθαι coll. CPR δυεῖν R 4 κινουμένη PR 5 ἐν τοῖς Φυσικοῖς] Θ 6 p. 259a 18 7 ἀκίνητον] ἀδύνατον C 11 μυθικοὶ a 13 τοῦ Ἄτλαντος CPR πᾶσι δήλη coll. CPR 15 post ἡμισείᾳ add. τῇ ἐκ PR, τῆς C 17 κέντρον CSa, fort. recte 18 δὲ om. R 18. 19 τῶν λεγόντων CPR 19 οὐκ ἀληθές CPR 20 μέλλοι CRa 21 καὶ om. PRa 26 κινήσειε scripsi: κινήσει P: κινήση CSa et fort. R 30 τὴν om. C

ἣν μένει τὸ μένον, ἀνάλογον ἐξ ἀνάγκης οὖσαι. ὡς γὰρ ἡ κίνησις πρὸς 150v
τὴν κίνησιν, οὕτω καὶ ἡ ἠρεμία πρὸς τὴν ἠρεμίαν, καὶ ἐναλλὰξ ὡς ἡ
κίνησις πρὸς τὴν ἠρεμίαν, οὕτω πάλιν ἡ κίνησις πρὸς τὴν ἠρεμίαν. καὶ
αἱ μὲν ἴσαι κινήσεις ἢ δυνάμεις ἀπαθεῖς ὑπ' ἀλλήλων, κινοῦνται δὲ κατὰ
5 τὴν ὑπεροχήν. ὥστε εἰ μὴ ἔστιν ἡ τῆς γῆς ἰσχύς, καθ' ἣν ἠρεμεῖ, ἴση
πρὸς τὴν τοῦ ἐν αὐτῇ ἀπερειδομένου καὶ κινοῦντος, κινηθήσεται ἀπὸ τοῦ 45
μέσου καὶ τοῦ κατὰ φύσιν αὐτῇ τόπου.

p. 699b6 Κινεῖ δὲ τὸ ἠρεμοῦν πρῶτον.

Ἠρεμοῦν πρῶτον λέγει τὸν Ἄτλαντα· αὐτὸς γὰρ ἐπὶ τῆς γῆς ἠρε-
10 μῶν κινεῖ τὸν οὐρανὸν μετὰ τῶν κιόνων, κινουμένων τῶν κιόνων. καὶ
ἐπεὶ τὴν τῆς γῆς ἰσχὺν οὐ μόνον πρὸς τὴν τοῦ Ἄτλαντος ἰσχύν, ἀλλὰ καὶ
πρὸς τὴν τοῦ ὑπὸ Ἄτλαντος κινουμένου οὐρανοῦ ἰσχὺν ἀντιμάχεσθαί ἐστιν
ἀναγκαῖον, δῆλον ὅτι χωρὶς ἑκάστης ἰσχύος μείζων ἐστὶν ἡ τῆς γῆς, τῆς
τε τοῦ οὐρανοῦ καὶ τῆς τοῦ Ἄτλαντος. | ἀλλὰ μὴν ἀδύνατον λόγον ἔχουσαν 151r
15 σημείου πρὸς τὸ πᾶν ἴσην εἶναι τὴν δύναμιν αὐτῆς τῇ τε τοῦ παντὸς καὶ
τῇ τοῦ Ἄτλαντος.

p. 699b12 Ἔστι δέ τις ἀπορία περὶ τὰς κινήσεις τῶν τοῦ οὐρανοῦ μορίων.

Δείξας ὅτι ἀδύνατόν ἐστι κινεῖσθαι τὸν οὐρανὸν ὑπὸ τοῦ Ἄτλαντος
20 διὰ τοῦ δεῖξαι ὅτι ἀδύνατόν ἐστι τὴν τῆς γῆς ἰσχὺν ἴσην εἶναι τῇ τε τοῦ
οὐρανοῦ καὶ τῇ τοῦ Ἄτλαντος, ἐπάγει ἔστι δέ τις ἀπορία περὶ τὰς κινή-
σεις τῶν τοῦ οὐρανοῦ μορίων, λέγων νῦν οὐρανὸν τὸν σύμπαντα κόσμον,
μόρια δὲ αὐτοῦ γῆν πῦρ καὶ τὰ θεῖα καὶ κυκλοφορητικὰ σώματα, κινήσεις
δὲ τὰς ἀπὸ τῶν κατὰ φύσιν ἑκάστου τόπων μεταστάσεις. ἔστι δὲ τὸ ἀπο- 20
25 ρούμενον, ἆρά γε εἴ τις εὑρεθείη δύναμις μείζων οὖσα τῆς τῆς γῆς δυνά-
μεως, καθ' ἣν ἠρεμεῖ, κινήσει αὐτὴν ἢ οὔ. ὅτι δὲ ἐνδέχεται εὑρεθῆναι
μείζονα τῆς δυνάμεως τῆς γῆς, δῆλον. εἰ μὲν γὰρ ἦν ἡ γῆ ἄπειρος (τούτου
γάρ ἐστι δηλωτικὸν τὸ καὶ ἡ ἰσχὺς δὲ ἀφ' ἧς αὕτη ἡ δύναμις ὅτι οὐκ
ἄπειρος) εἰ μὲν οὖν ἦν ἡ γῆ ἄπειρος, ἦν ἂν καὶ ἡ ἰσχὺς αὐτῆς ἡ βαρύ-
30 της, δι' ἣν οὐ κινεῖται, ἄπειρος, ἀπείρου δὲ οὔσης οὐκ ἂν εὑρέθη μείζων· 25

---

2 ὡς in lit. R 2. 3 ὡς ἡ ἠρεμία πρὸς τὴν κίνησιν οὕτω πάλιν καὶ κίνησις πρὸς ἠρεμίαν SPRa 5 ἰσχὺς τῆς γῆς coll. et post γῆς add. ἐξ ἀνάγκης CPR ἴση om. a 7 τοῦ supr. vers. S αὐτῆς PR: αὐτοῦ C 9 λέγοι a 11 τὴν τῆς ex τῆς γῆς corr. P1 12 τοῦ om. S post ὑπὸ add. τοῦ PR 13 ἑκάστου P 13. 14 μείζων ἐστὶν—ἀδύνατον iterat a 14 τε om. PR τοῦ prius om. S ἔχουσα CPRa 20 τοῦ ante οὐρανοῦ om. a 21. 22 τῶν μορίων τοῦ οὐρανοῦ κινήσεις coll. a 22 τοῦ om. PR 23 γῆν καὶ πῦρ CPR καὶ τὰ κυκλοφορητικὰ CPR 24 τόπου PR καταστάσεις S 25 ἆρά τε C 26 post εὑρεθῆναι add. δύναμιν CPR 28 δηλωτικόν ἐστι coll. CPR ἡ ante ἰσχὺς om. PR 30 μείζων] μεῖζον P

τῆς γὰρ ἀπείρου οὐδέν ἐστι μεῖζον· ἐπεὶ δὲ πεπέρασται (οὐδὲν γάρ 151r
ἐστιν ἐνεργείᾳ ἄπειρον, ὡς ἐν τῇ Φυσικῇ ἀκροάσει δέδεικται), τοῦ
πεπερασμένου μεῖζον εὑρεθῆναι οὐδὲν κωλύει. ὥστε εἰ ταύτης, καὶ
τῆς τῶν θείων καὶ κυκλοφορητικῶν σωμάτων δυνάμεως εὑρεθήσεταί
5 τις δύναμις μείζων· πεπερασμένα γὰρ καὶ ταῦτα, ὡς ἐν τῇ Περὶ οὐρα-
νοῦ δέδεικται. ταῦτα εἰπὼν ἐπάγει 'τὸν δ' οὐρανὸν οἰόμεθα ἐξ ἀνάγκης
ἄφθαρτον εἶναι, ὥσπερ καὶ τὴν φωνὴν ἀόρατον· συμβαίνει δὲ εἶναι αὐτὸν 30
φθαρτόν, διὰ τὸ ἐνδέχεσθαι μείζω δύναμιν εὑρεθῆναι τῶν δυνάμεων, ἀφ'
ὧν αὐτός τε κινεῖται καὶ τὸ πῦρ, καὶ ἡ γῆ ἠρεμεῖ'. ἐπεὶ δέ τις ἤμελλε
10 λέγειν ὅτι ἀδηλόν ἐστιν, εἴπερ τις ὅλως ἐστὶ μείζων δύναμις τῶν δυνάμεων
τοῦ οὐρανοῦ καὶ τῆς γῆς καὶ τῶν λοιπῶν, ἐπήγαγεν εἰ μὲν οὖν εἰσιν
ὑπερέχουσαι κινήσεις, τουτέστιν εἰ μὲν οὖν εἰσιν ὑπερέχουσαι δυνάμεις.
ἔστι δὲ τὸ λεγόμενον 'εἰ μὲν οὖν εἰσιν ἐκ τῶν ὄντων καὶ ὕπαρξιν ἐχόντων
δυνάμεις τινὲς μείζους τῶν τοῦ οὐρανοῦ καὶ τῆς γῆς δυνάμεων, κινήσουσι 35
15 νῦν ἢ αὔριον ἢ ὅλως ποτὲ καὶ φθεροῦσι τὸν κόσμον' (τὸ γὰρ ὑπ' ἀλλή-
λων ἴσον ἐστὶ τῷ ἡ μὲν γῆ ὑπὸ τῆς μείζονος ἰσχύος τῆς ἑαυτῆς δυνάμεως,
καὶ ὁ οὐρανὸς ὑπὸ τῆς μείζονος τῆς ἑαυτοῦ)· 'εἰ δὲ μή εἰσιν ὄντα αἱ
μείζονες δυνάμεις, δύνανται δ' ὅμως ποτὲ γενέσθαι' (ἄπειρον γὰρ οὐκ
ἐνδέχεται, τουτέστιν οὐ γάρ εἰσιν ἄπειρα τὰ σώματα, ἵνα καὶ αἱ δυνάμεις
20 αὐτῶν ἄπειροι ὦσιν, ἢ τὸ ἄπειρον γὰρ οὐκ ἐνδέχεται ἴσον ἐστὶ τῷ 40
οὐδὲν γὰρ ἐνδεχόμενον γενέσθαι εἰς ἄπειρον ἔχει τὴν δύναμιν, ἀλλ' ἔρχε-
ταί ποτε εἰς ἐνέργειαν, ὡς ἐν τῇ Περὶ οὐρανοῦ δέδεικται· εἰ γὰρ ἐνδέχεται
τὸ ὕδωρ γενέσθαι ἀέρα, κἂν γενήσεταί ποτε) 'εἰ οὖν μή εἰσι μείζονες
δυνάμεις τῶν τῆς γῆς καὶ τοῦ οὐρανοῦ δυνάμεων, δύνανται δ' ὅμως γενέ-
25 σθαι, ἐνδέχοιτ' ἂν διαλυθῆναι τὸν οὐρανόν. τί γὰρ κωλύει φθαρῆναι,
εἴπερ μὴ ἀδύνατον ἀλλ' ἐνδεχόμενόν ἐστι φθαρῆναι τὸν οὐρανόν; οὐκ ἔστι
δὲ ἀδύνατον, εἰ μὴ τὸ ἀντικείμενον ἀναγκαῖον. ὅταν γάρ ἐστι τόδε τι 45
ἀναγκαῖον, τότε τὸ ἀντικείμενον αὐτῷ ἀδύνατόν ἐστι γενέσθαι, οἷον ἀναγ-
καῖόν ἐστιν εἶναι τὸν ἄνθρωπον ζῷον, ἀδύνατον ἄρα εἶναι αὐτὸν μὴ ζῷον·
30 ἀντίκειται δὲ τῷ μὴ ζῷον τὸ ζῷον. ὅταν δέ ἐστι τὸ ἀντικείμενον ἐνδεχό-
μενον ἤτοι μὴ ἀναγκαῖον, καὶ τὸ ἀντικείμενον οὐκ ἀδύνατον ἀλλὰ δυνατόν,
οἷον οὐκ ἔστιν ἀναγκαῖον βαδίζειν τὸν Σωκράτην, ὥστε τὸ μὴ βαδίζειν οὐκ
ἀδύνατον, ἀλλὰ δυνατόν· ἀντίκεινται γὰρ πάλιν τὸ βαδίζειν καὶ μὴ βαδίζειν.

---

1 τῆς—μεῖζον om. PR 2 ἐν τῇ Φυσικῇ ἀκροάσει] Γ 5 5. 6 ἐν τῇ Περὶ οὐρανοῦ] A 5 7 ὥσπερ καὶ in lit. P αὐτὸν εἶναι coll. CPR 9 ἔμελλε CPa 11 καὶ τῆς γῆς om. C 12 κινήσεις] δυνάμεις C 13 ἔστι—λεγόμενον] ὡς εἶναι CPR post εἰσιν add. ὑπερέχουσαι δυνάμεις CPR καὶ om. S 14 δυνάμεις τινὲς] ἤγουν CPR 16 ἡ μὲν γῆ] ἡμᾶς μὴ S ἑαυτῆς] ἑαυτοῦ S: αὐτῆς C 18 δύναται PR 22 ἐν τῇ Περὶ οὐρανοῦ] A 12 23 ἀέρα] ὕδωρ S 26 post ἀδύνατον add. ἐστιν CPR ἐστι om. CPR 27 post ἀναγκαῖον add. εἴη a ἐστι PRS: ἢ Ca, sed cf. 30 29 ἐστιν τὸ τὸν ἄνθρωπον εἶναι ζῶον C 30 τὸ μὴ ζῶον R¹: τῷ μὴ ζῴῳ CPR² ἐστι] CPRS: ἢ a ante ἐνδεχόμενον add. μὴ PR 31 οὐκ ἐναντίον ἀλλὰ PR 32 ἔστιν ἐναντίον βαδίζειν CR μὴ om. CPRa

ὥστε ἂν οὐκ ἔστιν ἀναγκαῖον μὴ φθαρῆναι τὸν οὐρανόν, ἀλλ' ἐνδεχόμενον, 151ʳ
οὐδὲ τὸ φθαρῆναι ἀδύνατον ἔσται, ἀλλὰ δυνατόν'. τὰ μὲν οὖν λεγόμενα 51
τοιαῦτα. τὴν δ' ἀπορίαν αὐτὸς μετ' ὀλίγον ἐπιλύσεται. ὅτι δὲ οἰκεία ἐστὶ
τοῖς εἰρημένοις, ὡς εἴρηται, ἐντεῦθεν δῆλον· ἐζήτει γὰρ ὅτι εἰ κινεῖ τὸν
5 οὐρανὸν ὁ Ἄτλας, ἔσται ἡ τῆς γῆς δύναμις χωρὶς μείζων τῆς τοῦ Ἄτλαντος
καὶ μείζων τῆς τοῦ οὐρανοῦ δυνάμεως· εἰ δὲ τοῦτο, τί κωλύει εἶναι καὶ
μείζονα δύναμιν τῆς δυνάμεως τῆς γῆς. | 151ᵛ

p. 699ᵇ32 Ἆρα δὲ δεῖ τι ἀκίνητον εἶναι καὶ ἠρεμοῦν ἔξω τοῦ κινουμένου.

10 Δείξας ὅτι εἰ μέλλει γίνεσθαι κίνησις, ἀνάγκη εἶναί τι ἠρεμοῦν, καὶ 20
τοῦτο μηδὲν εἶναι μόριον τοῦ κινουμένου, καὶ μέλλων ζητεῖν, εἰ ἐνδέχεται
καὶ ἐπὶ τῆς τοῦ οὐρανοῦ κινήσεως εἶναί τι ἀκίνητον, ἵνα κινῆται ὁ οὐρανός,
πάλιν ἐπανέλαβε τὸν λόγον, καὶ ἐρωτήσας ἐπὶ τῶν ζῴων μεταβαίνει ἀπὸ
τῶν ζῴων ἐπὶ τὸν οὐρανόν, καὶ κατὰ τὸ σιωπώμενον δοὺς ἡμῖν ἐννοεῖν ὅτι
15 ἔστι τι ἐκτὸς τοῦ οὐρανοῦ πάντῃ πάντως ἀκίνητον ἐπήγαγεν ἴσως γὰρ ἂν
δόξειεν ἄτοπον εἶναι, εἰ ἡ ἀρχὴ τῆς κινήσεως ἐντός. ὥσπερ γὰρ ἀδύ- 25
νατόν ἐστι τὸ πλοῖον κινηθῆναι ὑπὸ τοῦ καθημένου εἰς τὴν πρύμναν, διὰ τὸ
μέρος γίνεσθαι τὸν καθήμενον τοῦ πλοίου, οὕτω καὶ τὸν οὐρανὸν ἀδύνατον κινη-
θῆναι ἐντὸς ὄντος τοῦ τῆς κινήσεως αἰτίου· μέρος γὰρ ἂν καὶ τοῦτο εἴη τοῦ
20 παντὸς ἐντὸς ὂν αὐτοῦ. διὸ τοῖς ὑπολαμβάνουσι καὶ ἀποδεχομένοις ὅτι εἰ
μέλλει κινεῖσθαι ὁ οὐρανός, ἀνάγκη πάντῃ πάντως εἶναί τι ἀκίνητον καὶ
ἐκτὸς τοῦ οὐρανοῦ, δόξει καλῶς εἰρῆσθαι Ὁμήρῳ "ἀλλ' οὐκ ἂν ἐρύσαιτ'
ἐξ οὐρανόθεν πεδίονδε". ἔοικε γὰρ καὶ Ὅμηρος διὰ τὸ νομίζειν δεῖν εἶναί τι 30
ἀκίνητον καὶ ἐκτὸς τοῦ οὐρανοῦ πεποιηκέναι τὸν Δία ταῦτα λέγοντα πρὸς
25 τοὺς ἄλλους θεοὺς ὅτι "οὐκ ἂν δυνήσεσθέ ποτε πάντες οἱ θεοὶ καὶ πᾶσαι
αἱ θέαιναι κατασπάσαι καὶ καταγαγεῖν με ἐξ οὐρανοῦ εἰς τὴν γῆν". τὸ γὰρ
πρῶτον κινητικόν, δι' οὗ κινεῖται ἡ ἀπλανής, πάντῃ ἀκίνητον ὂν οὐδεὶς ἂν
κινήσειεν. ὥστε διὰ μὲν τοῦ εἰπεῖν "ἀλλ' οὐκ ἂν ἐρύσαιτε" ἐδήλωσεν ὅτι
πάντῃ ἐστὶν ἀκίνητον, διὰ δὲ τοῦ ἐπενεγκεῖν ὅτι "ἐξ οὐρανοῦ" ᾠνίξατο ὅτι 35
30 ἐκτὸς τοῦ οὐρανοῦ. εἰ δ' ἔστιν ἀκίνητον τὸ πρώτως κινοῦν, λύεται καὶ ἡ
προσεχῶς ῥηθεῖσα ἀπορία, ἣν αὐτὸς πάλαι εἶπεν, ἡ λέγουσα πότερον
ἐνδέχεται φθαρῆναι τὸν οὐρανὸν ἢ οὔ; τὸ γὰρ ὑπ' ἀκινήτου κινούμενον
αἰτίου οὐδέποτε φθαρήσεται, ἕως ἂν μένῃ τὸ κινοῦν. τὸ δὲ τῆς λέξεως

---

1 ἂν] εἰ a μὴ om. CPR 6 καὶ post εἶναι om. CPR 8 ἀκίνητόν τι coll. a 10 et 21 μέλλοι CPRa 15 ἐντὸς PR 17 ὑπὸ τοῦ — κινηθῆναι (18. 19) om. CPR 19 εἴη καὶ τοῦτο coll. CPR 20 ἐντὸς ὢν C 21 καὶ om. a 22 Ὁμήρῳ] Il. Θ 21 sqq. post Ὁμήρῳ add. γὰρ S: III litt. eras. R ἐρύσετε CS: ἐρύσητ' a 23 ἐξ οὐνοῦ PRS post νομίζειν add. ἔξω τοῦ οὐνοῦ CPR 24 καὶ ἐκτὸς τοῦ οὐρανοῦ om. CPR 25 δυνήσησθε a 28 κινήσαιεν PR ἐρύσετε S: ἐρύση τε CPRa 29 ἐστὶν om. P 30 post ἐκτὸς add. ἐστὶ CPR 31 exspectas πάλαι λεχθεῖσαν εἶπεν (cf. Arist. p. 700ᵃ4) 33 μένει a

συνεχὲς τοιοῦτόν ἐστιν 'ὅθεν, εἰ ἐξ ἀκινήτου ἤρτηται ἀρχῆς, λύεται καὶ ἡ 151r
πάλαι λεχθεῖσα ἀπορία, πότερον ἐνδέχεται' καὶ τὰ ἑξῆς. φέρεται καὶ ἄλλη
γραφὴ ἡ διὰ τοῦ Δ ἔχουσα οὕτως 'ὅθεν δύεται καὶ ἡ πάλαι λεχθεῖσα 40
ἀπορία'. καὶ εἴη ἂν τὸ λεγόμενον 'ὅθεν, τουτέστι διὰ τὸ εἶναι ἄδηλον,
5 εἴτε ἔστιν ἐκτὸς τοῦ οὐρανοῦ τι ἀκίνητον εἴτε μή, δύεται καὶ χώραν ἔχει
καὶ εὑρίσκει τὸ ἀπορεῖν, πότερον ἐνδέχεται φθαρῆναι τὸν οὐρανὸν ἢ οὔ.
εἰ δὲ ἦν δῆλον ὡς ἔστι τι ἐκτὸς τοῦ οὐρανοῦ ἀκίνητον, οὐκ ἂν εἰσεδύετο
καὶ εἰσήρχετο καὶ χώραν εὕρισκεν ἡ τοιαύτη ἀπορία'. σαφῶς δὲ τὰ ἑξῆς
καταλέγει. τὸ δὲ ἀλλ' ὑφ' ὧν ταῦτα κινεῖται τοιοῦτόν ἐστιν· 'ἢ ἐν μὲν
10 τοῖς ἀψύχοις εἶναι καὶ ἐκτὸς καὶ ἐν αὐτοῖς ἠρεμοῦν οὐκ ἐνδέχεται ἀλλ' ἐν 45
τοῖς ζῴοις, ὑφ' ὧν τὰ ἄψυχα κινεῖται· ὑπὸ γὰρ τῶν ζῴων τὰ ἄψυχα κινεῖ-
ται'. ἐν δὲ τῇ λέξει τῇ τῶν δὲ τοιούτων περὶ μὲν τῶν ζῴων εἴρη-
ται τὸ τοιούτων περὶ πάντων ἁπλῶς τῶν κινουμένων εἴρηται καὶ ἐμψύ-
χων καὶ ἀψύχων. ὅτι δὲ καὶ τὰ ζῷα καὶ εἰσπνέοντα καὶ ἐκπνέοντα πρὸς
15 τὸ ἔξω ἀπερειδόμενα τοῦτο ποιεῖ, δῆλον τοῖς προσέχουσιν· ὅταν μὲν γὰρ
ἠρεμῶμεν, καὶ πάντῃ προδήλως, ἀλλὰ καὶ ὅταν βαδίζωμεν, εἴπερ ἐξ ἠρε- 50
μίας καὶ κινήσεως ἡ βάδισις γίνεται καὶ πᾶσα ἡ κατὰ τόπον μεταβολή, ὡς
ἐν τῷ Περὶ ζῴων μορίων δέδεικται. κἄν τις δὲ προσέχῃ, γνώσεται ἑαυ-
τὸν ἐν ταῖς ἐκπνοαῖς καὶ εἰσπνοαῖς ἀπερειδόμενον ὡς πέφυκε τότε γίνεσθαι
20 ἡ ἀπέρεισις. δῆλον δὲ καὶ ὅτι ὅταν μέγα βάρος ῥῖψαι βουληθῶμεν, ἀπε-
ρειδόμεθα, ἀλλὰ καὶ ὅταν πτύσαι καὶ βῆξαι. |

p. 700a26 Πότερον δὲ ἐν τῷ αὐτὸ κινοῦντι κατὰ τόπον μόνῳ δεῖ 152r
τι μένειν, ἢ καὶ ἐν τῷ ἀλλοιουμένῳ αὐτῷ ὑφ' αὑτοῦ καὶ αὐξα-
νομένῳ;

25 Οὐκ ἀλλοιοῦται οὐδ' αὔξεται ὑφ' αὑτῶν τὰ κατὰ γαστρὸς ὄντα· ὑπὸ 25
τῆς μητρὸς γὰρ ὡς μέρη αὐτῆς τότε καὶ αὔξεται καὶ ἀλλοιοῦται τὰ ἔμβρυα·
ὑφ' αὑτῶν δὲ ἀλλοιοῦται καὶ αὔξεται ἐκτός. ἀλλοίωσιν δὲ νῦν ἀκουστέον
καὶ τὴν ἡδονὴν καὶ τὸν θυμὸν καὶ τὰς ἄλλας ἁπάσας· ἀλλοιούμεθα γὰρ
καὶ ὑπὸ τοῦ περιέχοντος, ἀλλὰ καὶ ὑφ' αὑτῶν, τινὸς ἐντὸς γινομένης κινή-
30 σεως. γένεσιν δὲ ἐξ ἀρχῆς λέγει καὶ φθορὰν τὴν ἐξ ἀρχῆς ἐν τῇ μήτρᾳ

---

1 καὶ om. a 2 post πότερον add. εἰ CPR post φέρεται add. δὲ CPR
3 ἡ διὰ om. P λύεται S καὶ om. a 4 ἂν om. CPR
5 δέεται S 5. 6 ἔχει καὶ om. CPR 7 ἔστιν ἐκτὸς CPR 9 ἀλλ' ὑφ' ὧν libri; cf. Arist. P: ἄλλ' ὑφ' ὧν Arist. vulg. 11. 12 ὑπὸ — κινεῖται om. C 12 τῶν ante δὲ ex τὸ corr. PS: τὸ CR τοιούτων] τούτων R: ex τούτων corr. P
13 τοιούτων ex τοιοῦτον corr. P εἴρηται om. CPR 15 ἀπερειδόμενον P¹R
18 ἐν τῷ Περὶ ζῴων μορίων] immo ἐν τῷ Περὶ ζ. πορείας c. 3 προσέχοι S: προσέχων PR γνώσηται PR 19 ἀπερειδόμενος PR 20 τὴν ἀπέρεισιν CPR: ἀπερίεισις a post βουληθῶμεν add. ὡς a 22 αὐτὸ Arist. vulg.: αὐτὸ αὑτό PS Arist. EP: αὐτὸ αὐτὸ ex corr. R: αὐτὸ αὐτὸ C: αὐτὸ (semel) a Arist. SY μόνῳ om. SC Arist. P 25 ὑφ' αὑτῶν] ὑπ' αὐτοῦ S 26 τότε post ἀλλοιοῦται ponunt CPR 27 ἀλλοιοῦται καὶ αὔξεται om. CPR 27. 28 ἀκουστέον οὐ τὴν CPR
30 ante ἐν add. ἡμῶν CPR

σύστασιν· περὶ γὰρ ταύτης νῦν παραιτεῖται ζητεῖν. ἀπορήσας οὖν εἰ ἐνδέ- 152r
χεται εἶναί τι καὶ ἐπὶ τῶν αὐξανομένων καὶ ἐπὶ τῶν ἀλλοιουμένων ἠρε- 30
μοῦν ὥσπερ καὶ ἐπὶ τῶν κινουμένων κατὰ τόπον, ἐπάγει εἰ γάρ ἐστιν
ἥνπερ φαμὲν πρώτην κίνησιν γενέσεως καὶ φθορᾶς, πρώτην κίνησιν
5 λέγων τὴν κατὰ τόπον μεταβολήν· αὕτη γὰρ ἐν τῷ Θ τῆς Φυσικῆς ἀκροά-
σεως δέδεικται πρώτη τῶν ἄλλων, καὶ ταύτης ἡ κύκλῳ. ἔστι δὲ τὸ λεγό-
μενον 'εἰ μὲν οὖν ἔστιν ἡ κατὰ τόπον κίνησις προτέρα γενέσεως καὶ ἀλλοι-
ώσεως, αὗται δὲ αὐξήσεως, καὶ χωρὶς τῆς κατὰ τόπον κινήσεως οὐκ ἐνδέ- 35
χεται οὔτε γένεσιν οὔτε ἄλλην τινὰ γενέσθαι μεταβολήν, ἡ δὲ κατὰ τόπον
10 κίνησις χωρὶς ἠρεμοῦντός τινος γενέσθαι οὐ δύναται, οὐδὲ αὗται χωρὶς
ἠρεμοῦντος γενήσονται'. εἰ δὲ μή, οὐκ ἀνάγκη, τουτέστιν εἰ δὲ μὴ
ἔστιν ἡ κατὰ τόπον μεταβολὴ προτέρα τῶν ἄλλων, οὐκ ἀνάγκη εἶναί τι
τῶν ἀλλοιουμένων καὶ αὐξανομένων ὑφ' αὑτῶν ἠρεμοῦν. ἀλλὰ μήν, ὡς
δέδεικται, ἔστι προτέρα· ἔστιν ἄρα καὶ ἐπὶ τούτων ἠρεμοῦν τι. ὅτι δὲ ἡ 40
15 κατὰ τόπον, ἥτις εἰς τὴν κύκλῳ καὶ εἰς τὴν ἐπ' εὐθείας διαιρεῖται, πρώτη
καὶ ἐν τῷ παντὶ καὶ ἐν τοῖς ζῴοις, δέδεικται. τελειωθέντα γὰρ τὰ ζῷα
πρῶτον μεταβάλλει κατὰ τόπον καὶ οὕτως ὀχεύει· ἀλλὰ καὶ ὅτε θηλάζει
προηγεῖται ἡ κατὰ τόπον κίνησις. ἀλλὰ καὶ τοῦ αἵματος πρῶτον ἄνω καὶ
κάτω κινηθέντος οὕτως ἕπεται ἡ πρόσκρισις, καὶ οὕτως ἡ αὔξησις. ὅταν
20 δὲ λέγῃ ὅτι πρότερόν ἐστι τὸ κινοῦν τοῦ κινουμένου, οὐκ ἐπὶ παντὸς κινοῦν-
τος καὶ κινουμένου ἀκούειν δεῖ, ἀλλ' ἐπί τινων. τί δὲ διαφέρει φαντασία 45
καὶ νοῦς καὶ ὄρεξις, εἴρηται ἐν τῷ Περὶ ψυχῆς. καὶ ἐπεὶ ἡ προαίρεσις
κίνησις διανοίας καὶ ὀρέξεως, ἔσται καί τι διανοητὸν προαιρετόν· οὐ γὰρ
πᾶν διανοητόν. τὰ γὰρ μαθήματα διανοητὰ μέν, οὐ προαιρετὰ δέ, ἀλλ'
25 ὅσων διανοητῶν ἐστι τὸ τέλος πρακτόν, ὡς ἐπὶ τῶν τεχναστῶν καὶ ἄλλων
τινῶν, τούτων καὶ τὸ τέλος προαιρετόν. τοῦτο γὰρ τὸ τῶν πρακτῶν τέλος
ἀπὸ πάντων τῶν ἀγαθῶν ἐστι τὸ κινοῦν τὸ ζῷον, ἀλλ' οὐ πᾶν τὸ καλόν. 50
ἡ γὰρ γνῶσις τῶν ὄντων ᾗ ὄντα, καλὸν οὖσα, ἠρεμίας μᾶλλον ἀλλ' οὐ
κινήσεώς ἐστιν αἰτία, ὡς ἐν τῷ δευτέρῳ Περὶ ψυχῆς εἴρηται, ὅτε τὸν
30 Πλάτωνα ἤλεγχε λέγοντα τὴν ψυχὴν αὐτοκίνητον. κινεῖ οὖν τὸ ὡς πρακτὸν
ἀγαθὸν τὸ ζῷον, ᾗ ἐστιν ἄλλα τούτου ἕνεκεν, καὶ ᾗ τέλος ἐστὶ τῶν ἄλλου
τινὸς ἕνεκα ὄντων. πάντα γὰρ τὰ πρὸ τοῦ τέλους ἕνεκα τοῦ τέλους ἐστίν.|

---

2 καὶ ἐπὶ τῶν ἀλλοιουμένων om. CPR 4 πρώτην κίνησιν (post φαμὲν) libri et Arist. P: πρώτη κίνησις Arist. vulg. 5. 6 ἐν τῷ Θ τῆς Φυσικῆς ἀκροάσεως] c. 7. 9 9 γένεσιν οὔτε om. CPR γίνεσθαι a μεταβολήν om. PRS 12 post τι add. ἐπὶ CPR 18 τὸ αἷμα CPR 19 κινηθὲν PR οὕτως (prius)—αὔξησις] προσκρίνεται καὶ οὕτως αὔξει τὸ αὐξανόμενον CPR 20 ὅτι om. PR 22 ἐν τῷ Περὶ ψυχῆς] Γ 7 sqq. ἐν τοῖς a 24 post διανοητὸν add. προαιρετὸν C 25 πρακτικόν CPR 26 τὸ ante τέλος om. PR 29 αἰτία in lit. R[1] ἐν τῷ δευτέρῳ Περὶ ψυχῆς] immo ἐν τῷ πρώτῳ, cf. A 3 p. 407a32 ante περὶ add. τῶν CPRa 30 Πλάτωνα] πλάτωνος λόγον a ὡς om. CPR πρακτικὸν R 31 ἄλλα] ἄλλο PR: ἀλλὰ καὶ S ἕνεκα CPRa ἄλλου ex ἄλλων corr. S 32 ἕνεκεν a πάντα—ἐστίν om. C τοῦ post πρὸ om. PR, supr. vers. scr. S

p. 700ᵇ29 Ὥστε δῆλον ὡς ἔστι μὲν ᾗ ὁμοίως κινεῖται τὸ ἀεὶ 152ᵛ κινούμενον.

Τὸ ἔστι μὲν ᾗ ὁμοίως κινεῖται ἴσον ἐστὶ τῷ τρόπον μέν τινα ὁμοίως κινεῖται ὁ οὐρανὸς ὑπὸ τοῦ πρώτου κινητικοῦ καὶ τὰ ζῷα ὑπὸ τοῦ ὀρεκτοῦ· τοῦτο γὰρ κινεῖ τὴν ὀρεκτικὴν καὶ ὁρμητικὴν τῆς ψυχῆς δύναμιν, ἥτις κινεῖ τὰ ζῷα· ἔστι δ' ᾗ ἄλλως, τουτέστι τρόπον δέ τινα ἀνομοίως, ὁμοίως μὲν διότι καὶ τὸ κινοῦν τὸν οὐρανὸν καὶ τὸ κινοῦν τὰ ζῷα ὡς ἐφετὰ κινοῦσιν, ἀνομοίως δὲ διότι τὸ μὲν ἀεὶ κινεῖ τὸν οὐρανόν, τὸ δὲ οὐκ ἀεὶ τὰ ζῷα. τὸ δὲ ἀίδιον καλὸν καὶ τὸ ἀληθῶς καὶ τὸ πρώτως ἀγαθόν. τὸ δέ ἀντὶ τοῦ γάρ, ἵν' ᾗ 'τὸ γὰρ ἀίδιον καλόν'· εἰπὼν γὰρ ὅτι τὸ πρώτως κινοῦν ἀεὶ κινεῖ, ἐπήγαγε τὸ γὰρ ἀίδιον καλὸν καὶ τὸ πρώτως καὶ ἀληθῶς ἀγαθὸν καὶ μὴ ποτὲ μὲν ποτὲ δ' οὔ, ὥσπερ τὰ παρ' ἡμῖν ἀγαθά (ταῦτα γὰρ οὐκ ἀεὶ ἀγαθά) θειότερον καὶ τιμιώτερον ἢ ὥστ' εἶναι πρότερον· τουτέστιν οὕτως ἐστὶ θειότερον, ὥστε μὴ ἔχειν αὐτοῦ πρότερόν τι κατὰ τὸ τίμιον· πάντων γὰρ τιμιώτερον τὸ τοιοῦτον. ὥστε τὰ μὲν παρ' ἡμῖν, διὰ τὸ ποτὲ μὲν εἶναι ἀγαθὰ ποτὲ δὲ μή, καὶ ποτὲ μὲν κινεῖ ποτὲ δὲ οὐ κινεῖ, ἐκεῖνο δὲ ἀεὶ ὂν ἀγαθὸν ἀεὶ κινήσει. τελευταῖον δὲ τῶν κινουμένων λέγει τὸ ζῷον, ὅπερ κινεῖ ἡ ὄρεξις καὶ αὐτὴ κινουμένη, κινουμένη δὲ οὐ κατὰ τόπον (δέδεικται γὰρ ὅτι ἡ ψυχὴ πάντῃ ἀκίνητός ἐστιν) ἀλλ' ὡς ἀγομένη ἀπὸ ἀνενεργησίας εἰς ἐνέργειαν. εὐλόγως δ' ἐστὶ φορὰ ὑστέρα τῆς ὀρέξεως· προτέρα γὰρ ἡ ὄρεξις κινεῖται, καὶ οὕτω τὸ ζῷον φέρεται. ἀλλὰ ταῦτα μὲν οὕτως. τίσι δὲ ὀργάνοις χρωμένη κινεῖ τὸ ζῷον ἡ ψυχή, καὶ ὅλως πῶς κινεῖ οὐ κινουμένη, εἴρηται ὅτε περὶ ὁρμῆς καὶ τῆς ὁρμητικῆς δυνάμεως ὁ λόγος ἦν. διὸ ἐξ ἐκείνου τοῦ βιβλίου τὴν πᾶσαν τοῦ Ἀριστοτέλους διάνοιαν ἀναλέγεσθαι χρὴ τῷ βουλομένῳ τῆς ἀληθείας ἐπιτυγχάνειν· ὅμως καὶ νῦν ὀλίγα τῶν ἐκεῖσε παραγράψομεν. εἴρηται πρῶτον ὅτι τοῦ ὀρεκτικοῦ τε καὶ ὁρμητικοῦ αἱ δυνάμεις πλείους εἰσί, τελευταῖον δὲ ὅτι καὶ τῶν γνωστικῶν τε καὶ κριτικῶν δυνάμεών ἐστι διαφορά. ἡ μὲν γάρ τίς ἐστι δύναμις ὑπηρετικὴ κριτική (τοιαύτη γὰρ ἥ τε αἴσθησις καὶ ἡ φαντασία), τὸ δέ τι τῆς ψυχῆς ἡγεμονικόν ἐστι κριτικόν· τοιοῦτον γὰρ τὸ λογιστικόν, ὃ

---

1 ὡς] ὅτι a: om. CPR 4 κινητικοῦ] κινεῖται PR 5 ὀρεκτικοῦ a
6 τινα om. CPR 7 μὲν] δὲ CPR 8 κινεῖ om. CPR 9 τὸ ὡς ἀληθῶς a 9. 10 καὶ τὸ πρώτως libri et Arist. P: τὸ om. Arist. vulg.
10 τὸ δέ—ἀγαθὸν (12) om. Sa 12 ποτὲ δὲ μὴ CPRa 13 θειότερα καὶ τιμιώτερα S 14 ὥστ' εἶναι a Arist. vulg.: ὥστε CPRS πρότερον libri et Arist. ESY: πρὸς ἕτερον Arist. vulg. 16 μὲν post τὰ om. CPR
μὲν tertium om. Sa 16. 17 μὲν κινεῖν P 17 κινεῖ post οὐ om. CPR
ἀεὶ ante ὂν om. S ἀεὶ κινεῖ a 19 δέδεικται] de an. A 3 20 ἀπὸ] ὑπὸ P 21 προτέρα] πρῶτον CPR 24. 25 ἐξ ἐκείνου τοῦ βιβλίου] suum aliquem Περὶ ὁρμῆς librum dicere videtur (cf. p. 116,10. 13 117,16. 17); ceterum cf. Arist. de an. Γ 9. 10 27 παραγράψομαι CPR 28 πλείους αἱ δυνάμεις coll. CPR
29 καὶ τῶν κριτικῶν a 30 post ὑπηρετικὴ add. καὶ CP ἡ ante φαντασία om. CSa 31 ante κριτικόν add. καὶ a

διανοητικόν τέ ἐστι καὶ νοητικόν. τὸ γὰρ αἰσθητικὸν ἐπὶ τὸ διανοητικὸν 152v
ἔχει τὴν ἀναφορὰν ἐν ὅσοις ἐστὶν ἄμφω, ὅπως εἰσαγγέλλῃ καὶ μηνύῃ τὰς
τῶν αἰσθητῶν αὐτῷ διαφοράς. ὡς δὲ ἐν τῷ κριτικῷ τὸ μέν ἐστιν ἡγε-
μονικόν, τὸ δὲ ὑπηρετικόν, οὕτως ἐστὶ καὶ ἐν τῷ πρακτικῷ τὸ μὲν ἡγεμονικόν,
5 ὃ ὁρμητικόν τε καὶ ὀρεκτικὸν καλοῦμεν, τὸ δέ τί ἐστιν ἐν τοῖς νεύροις ὡς ὑπη- 30
ρετικόν, ὃ καὶ νευροσπαστικὸν καλοῦμεν. δύναμις γάρ ἐστι καὶ ἐν τοῖς νεύροις,
καθ' ἣν ὑπηρετεῖται τὸ σῶμα ταῖς καθ' ὁρμὴν ἐνεργείαις. ἐπεὶ γὰρ τὰ
κατ' ὄρεξιν πραττόμενα πάθους τινὸς ἐγγινομένου πράττεται, ὧν παθῶν τὰ
μὲν ἀνίησί τε τὸ σῶμα καὶ αὔξην αὐτοῖς ἐμποιεῖ διὰ θερμότητα εὔκρατον,
10 τὰ δὲ καταψύχει τε καὶ συστέλλει (αἱ γὰρ φαντασίαι καὶ αἱ αἰσθήσεις καὶ
αἱ ἔννοιαι τῶν πραγμάτων καθ' ὁμοίωσιν αὐτῶν γινόμεναι ὡς ἐπὶ παροῦσιν
ἐκείνοις ἢ ἀνιᾶσι τὸ σῶμα ἢ συστέλλεσθαί τε καὶ φρίττειν ποιοῦσιν) ὧν 35
γινομένων συστολῶν τε καὶ ἐκτάσεων περὶ τὸ σύμφυτον πνεῦμα, καὶ ἀπὸ
τούτου διαδιδομένων ἐπὶ τὰ νεῦρα, κινεῖσθαι ταῦτα δύναται τὰς καθ' ὁρμὴν
15 ἐνεργείας, τὴν ἀρχὴν τῆς κινήσεως ἀπὸ τῆς ὀρέξεως λαμβάνοντα. μικρὰ
γὰρ μεταβολὴ περὶ τὴν ἀρχὴν γινομένη μεγάλων καὶ πολλῶν διαφορῶν
αἰτία γίνεται. τοῦ γὰρ οἴακος ἀκαριαῖον μεθισταμένου πολλὴ ἡ τῆς πρώρας
γίνεται μετάστασις· καὶ περὶ τὴν καρδίαν ἤδη καὶ τὸ πνεῦμα τὸ ἐν αὐτῇ
ὅταν ἀλλοίωσίς τις γένηται δι' αἰσθήσεις τινῶν ἢ νοήσεις, αἷς ἕπεταί τις 40
20 κίνησις καὶ πάθος, εἰ καὶ ἐν ἀναισθήτῳ μορίῳ γένοιτο ἡ τοιαύτη τροπή, τῷ
ἀρχὴν τοῦ ζῴου τὴν καρδίαν εἶναι πολλὴν ποιεῖται τοῦ σώματος παντὸς
διαφορὰν ἐρυθήμασιν, ὠχρότησι, θερμότησιν, ψύχεσι, φρίκαις τε καὶ τρόμοις.
ἀρχὴ μὲν οὖν τῆς κινήσεως τὸ ἐν τῷ πρακτῷ διωκτόν τε καὶ φευκτόν.
ἔστι γὰρ ὁρμὴ κίνησις ἐμψύχοις γινομένη κατὰ φαντασίαν διωκτοῦ ἢ φευ-
25 κτοῦ. κινεῖ δὲ ἡ ὁρμητική τε καὶ ὀρεκτικὴ ψυχὴ τὸ ζῷον οὐκ αὐτὴ 45
κινουμένη, ὡς ἐν ἐκείνοις εἴρηται· ἀκίνητος γὰρ καθ' αὑτὴν πᾶσα ἐντελέ-
χεια, ἡ ψυχὴ δὲ ἐδείχθη οὖσα ἐντελέχεια. διὸ οὐδὲ κυρίως λέγεται κινεῖ-
σθαι τὸ σῶμα ὑπὸ τῆς ψυχῆς (τοῦτο γὰρ λέγεται ἐφ' ὧν κεχώρισται τὸ
κινοῦν καὶ τὸ κινούμενον, ὡς οἱ βοῦς οἱ κινοῦντες τὴν ἅμαξαν) ἀλλ' ἐπεὶ
30 κοινότερον λέγεται ὑπό τινος κινεῖσθαι καὶ τὸ κατ' αὐτὸ κινούμενον (οὕτω
γὰρ ὁ τεχνίτης ὑπὸ τῆς τέχνης, ὅτι κατ' αὐτήν, καὶ οὕτως ὑπὸ τῆς κουφό- 50
τητος τὸ πῦρ, ὅτι κατ' αὐτήν) οὕτω λέγεται τὸ ζῷον ὑπὸ τῆς ψυχῆς κινεῖ-
σθαι, ὅτι κατ' αὐτήν· κατὰ γὰρ τὸ ἔμψυχον εἶναι ἡ τοιάδε αὐτῷ κίνησις

---

1 ἐστι om. CPR 2 post ὅπως add. γὰρ CPR 4 καὶ om. a
5 ὃ] ὅπερ a τί om. a 9 αὔξησιν CPR αὐτοῖς] fort. αὐτῷ
10. 11 καὶ αἰσθήσεις καὶ ἔννοιαι PR 12 ἀνίησι S: ἀνιοῦσι C: ἀνιεῖσι a
12. 13 ὧν γινομένων] exspectas γινομένων οὖν τῶν 13. 14 ἀπὸ τούτων PSa
18 περὶ] παρὰ PR 19. 20 κίνησίς τις CPRa 20 ἢ πάθος PR
γένηται CPR 22 ψύξεσι CPRa 24 post ἔστι add. μὲν P ἐμψύχοις
ex ἐμψύχῳ corr. S: ἐμψύχου CPRa 25 ὀρεκτικὴ scripsi: θρεπτικὴ libri
27 ante ἡ add. καὶ CPRa ἐδείχθη] de an. B 1 οὖσα ἐντελεχεία (sic) P
27. 28 τὸ σῶμα κινεῖσθαι coll. C 28 ἀφ' ὧν C: ὑφ' ὧν PR κεχώρισται]
κεχαρακτήρισται P corr. R 28. 29 τό τε κινοῦν CPR 29 βόες C
30 κοινοτέρως CPR τὸ καθ' αὐτὸ PR 31 ὅτι κατὰ ταύτην a
33 τοιάδε ex τοιαύτη corr. S

γίνεται, οὐ κατὰ τὸ βαρὺ ἢ κοῦφον, ἢ λευκὸν ἢ μέλαν, ἢ θερμὸν ἢ ψυχρόν. 152v
αἰσθάνεται μὲν οὖν τὸ ζῷον καὶ νοεῖ καὶ βαδίζει κατὰ τὴν ψυχήν, οὐ μὴν
τῆς ψυχῆς αὐτῆς καθ' αὑτήν, ἵνα κινήσῃ, κινουμένης. ὥσπερ γὰρ κατὰ τὴν
ὀρχηστικὴν κινεῖται ὁ ὀρχηστὴς καὶ κατὰ τὰς τέχνας οἱ τεχνῖται, καί εἰσιν
5 αὐτοῖς αὗται τῆς τοιᾶσδε κινήσεως αἴτιαι, αὐταὶ μὴ | κινούμεναι (οὔτε γὰρ 153r
αἱ τέχναι οὔτε ἡ ὀρχηστικὴ κινοῦνται) οὕτω καὶ τὰ ἔμψυχα κατὰ τὴν
ψυχὴν κινεῖται μὴ κινουμένης αὐτῆς. ἔστι δὲ ἡ ὁρμητικὴ καὶ ὀρεκτικὴ
δύναμις τῆς ψυχῆς καθ' ἣν τὰ ζῷα κινεῖται· αὕτη γὰρ τοῖς ζῴοις τῆς
οἰκείας κινήσεως αἰτία. καὶ ἔστιν ἐν ἡμῖν ἡ ψυχὴ οὐχ ὡς ἐρέτης ἐν τῇ
10 νηί, ἀλλ' ὡς εἶδός τι καὶ τελειότης, ὡς ἐν τῷ Περὶ ὁρμῆς τε καὶ τῆς
ὁρμητικῆς δυνάμεως λόγῳ εἴρηται. ἀλλὰ ταῦτα μὲν εἴληπται ἱκανῶς 5
πρὸς σαφήνειαν τῶν μελλόντων λέγεσθαι· τὰ δὲ πλείονα τούτων ὁ βουλό-
μενος θεωρεῖν ἐντυγχανέτω τῷ Περὶ ὁρμῆς λόγῳ. ἐπὶ δὲ τὰ ἑξῆς τοῦ
Ἀριστοτέλους ἴωμεν.

15 p. 701a7 Πῶς δὲ νοῶν ὁτὲ μὲν πράττει ὁτὲ δ' οὐ πράττει, καὶ κινεῖται, ποτὲ δ' οὐ κινεῖται.

Ἐπειδὴ ποτὲ μὲν νοοῦντες κινούμεθα ἐπὶ πρᾶξιν, ποτὲ δὲ νοοῦμεν
μέν, οὐ κινούμεθα δέ, ἀλλὰ καὶ μάλιστα ἡ τοιαύτη νόησις αἰτία ἠρεμίας
γίνεται, τὸ αἴτιον τοῦ ποτὲ μὲν κινεῖσθαι ποτὲ δὲ μὴ κινεῖσθαι διὰ τούτων 30
20 ἐπάγει, καί φησιν ὅτι ὅταν τὸ νοηθὲν πρακτόν ἐστι κινούμεθα, ὅταν δὲ οὐ
πρακτὸν ἀλλ' ἐπιστημονικόν, καὶ ὅλως ἡ νόησις αὐτοῦ θεωρία μόνον, οὐ
κινούμεθα. ἀκίνητα δὲ λέγει τὰ μαθηματικά. ἀλλ' ἐπὶ μὲν τῶν ἀκινήτων
γνῶσις μόνον τὸ τέλος, καὶ διὰ τοῦτο οὐ κινούμεθα· ὅταν γὰρ νοήσῃ τὰς
δύο προτάσεις, ἐπάγει τὸ συμπέρασμα καὶ πλέον οὐδέν· ἐνταῦθα δὲ ἐπὶ
25 τῶν πρακτῶν τὸ συμπέρασμα γίνεται πρᾶξις. καὶ τίθησι τοῦ συλλογισμοῦ
οὗ τὸ συμπέρασμα πρᾶξις, σαφῆ παραδείγματα λέγων 'ὅταν γὰρ νοήσῃ 35
παντὶ βαδιστέον ἀνθρώπῳ' καὶ τὰ ἑξῆς. τὸ δὲ ἂν μή τι κωλύῃ ἢ ἀναγ-
κάζῃ, ἐκ παραλλήλου κεῖται· τὸ γὰρ κωλῦον ἀναγκάζει ἡμᾶς μὴ ποιῆσαι
ἐκεῖνο, οὗπέρ ἐστι κωλυτικόν. ἐπὶ δὲ τοῦ ἑτέρου συλλογισμοῦ ἐλάττων
30 μέν ἐστι πρότασις τὸ σκεπάσματος δέομαι, μείζων δὲ τὸ τὸ δὲ ἱμά-
τιον σκέπασμα. τὸ δὲ πράττει δὲ ἀπ' ἀρχῆς ἴσον ἐστὶ τῷ τῆς δὲ
πράξεως ἀρχήν τινα ποιεῖται, ἐπὶ μὲν ἱματίου τὰ ἔρια ἢ τὸ νόμισμα, ἐπὶ
δὲ οἰκίας λίθους. προτάσεις δὲ ποιητικὰς λέγει καθ' ἃς συλλογιζόμενοι 40

---

2 τὴν om. CPR 3 ante τῆς add. ὑπὸ a κινουμένη a 4 κινοῦνται CPR
ὁ ὀρχηστὴς—κινοῦνται (6) om. CPR 5 αὐτοῖς om. a αὐταὶ scripsi: αὗται Sa
7 et 8 κινοῦνται PR 7 post καὶ add. ἡ CPR 8 τῆς ψυχῆς om. CPR
10 τι] τε a 11 εἴληπται] εἴρηται CPR 12 λέγεσθαι μελλόντων coll. CPR
16 ποτὲ] ὁτὲ a Arist. 17 πράξεις PR 20 ἐστι] ᾖ a 21 μόνη CPR
23 μόνον ex μόνη corr. S¹ 24 ἐπάγη C 26 post σαφῆ add. τὰ a ὅτε PR
νοήσει P, ex νοήση corr. R 27 τὸ δ' ἐὰν S 31 ἐξαρχῆς PR
32 νόμισμα] ν̄ S

πράττομέν τι. αὗται δὲ διὰ δύο εἰδῶν περαιοῦνται· ὅταν γὰρ ἀγαθὸν ἢ 153r
φαινόμενον ἀγαθὸν καὶ προσέτι δυνατὸν εἶναι συλλογισώμεθα, εὐθὺ πράττομεν. καὶ ὥσπερ, φησίν, ἐπὶ τῶν ἐρωτώντων ἔνιοι τὴν μὲν δήλην πρότασιν παραλιμπάνουσι, προτείνουσι δὲ τὴν λοιπήν, οὕτω καὶ ἐπὶ τῶν πρα-
5 κτῶν, οἷον τὸ ὅτι μὲν βαδίζειν ἀγαθὸν προτείνει καὶ σκοπεῖ εἰ ἀγαθόν, τὴν δὲ ὅτι ἐγὼ ἄνθρωπος οὐ προτείνει ὡς δήλην. διὸ καὶ ὅσα μὴ λογισάμενοι πράττομεν, ταχὺ πράττομεν· οὐ γὰρ συλλογιζόμεθα, ἵνα ἐνδιατρίψωμεν 45
καὶ ὅλως ἐμβραδύνωμεν συλλογιζόμενοι· ὅταν δὲ ἐνεργήσῃ τὰ ζῷα ἢ τῇ αἰσθήσει ἢ τῷ νῷ, εὐθὺς ἐπὶ τὴν πρᾶξιν ὁρμῶμεν οὗ ὀρεγόμεθα. ὅτι δὲ
10 ἡ ὄρεξις ἐσχάτη, δῆλον· πρῶτον μὲν γὰρ ἡ αἴσθησις ἢ ἡ φαντασία κινεῖται, καὶ οὕτως ἡ ὄρεξις. ἐν δὲ τῇ λέξει τῇ τῆς μὲν ἐσχάτης αἰτίας τοῦ κινεῖσθαι ὀρέξεως οὔσης τὸ ἐσχάτης ἀντὶ τοῦ κυρίας εἴληπται· οὐδὲν γὰρ ὄφελος πρὸς τὸ κινηθῆναι τὸ αἰσθέσθαι ἢ νοῆσαι, εἰ μὴ καὶ ὄρεξις ἐπακολουθήσει. ὅτι δὲ τὰ πραττόμενα δι' ὄρεξιν θυμοῦ καὶ ἐπιθυ- 50
15 μίας καὶ βουλήσεως πράττεται, εἴρηται. ὁμοίως δὲ καὶ τί διαφέρει βούλησις θυμοῦ καὶ ἐπιθυμίας καὶ ὅλως ὀρέξεως, εἴρηται ταῦτα πάντα ἐν τῷ Περὶ ὁρμῆς.

p. 701ᵇ1 Ὥσπερ δὲ τὰ αὐτόματα κινεῖται μικρᾶς κινήσεως γινομένης, λυομένων τῶν στρεβλῶν. |

20 Αὐτόματα λέγει τὰ ὑπὸ τῶν θαυματοποιῶν ἐν τοῖς γάμοις καὶ ἐν 153v
ἄλλοις τισὶ γινόμενα. λύσαντες γὰρ οὗτοι τὴν ἀρχὴν τῶν στρεβλῶν, εὐθὺς 20
χρούσασα τὴν ἐφεξῆς λύει αὐτήν, καὶ αὕτη τὴν ἐφεξῆς, ἕως ἂν εἰς τὰ ξύλινα εἴδωλα φθάσασα ἡ κίνησις κινήσῃ αὐτά, ὥστε δοκεῖν τοῖς μὴ εἰδόσι τὴν τῶν στρεβλῶν κατασκευὴν ὑφ' αὐτῶν κινεῖσθαι. οὕτω καὶ τοῦ ἐν τῇ
25 καρδίᾳ πνεύματος κινηθέντος ὑπὸ τῆς ὀρέξεως, κινεῖ τὰ ἐχόμενα νεῦρα, καὶ ἐκεῖνα πάλιν τὰ ἐχόμενα, ἕως ἂν εἰς τὰ ὀργανικὰ μέρη χεῖρας καὶ πόδας φθάσασα ἡ κίνησις κινήσῃ τὸ ζῷον. ὅτι δὲ ἐν τοῖς ἁμαξίοις τοῖς τετρατρόχοις (ἐπὶ τούτων γὰρ τὸν λόγον ποιεῖται) ὁ ἐλάττων ὥσπερ κέν- 25
τρον ἠρεμοῦν γίνεται, ἀνάλογος ὢν τῷ ἠρεμοῦντι ὠλεκράνῳ, δῆλον τοῖς
30 ἀκριβῶς προσέχουσιν. ἐπειδὴ γὰρ μέγας ἐστίν, μᾶλλον δὲ μεγάλοι οἱ ὄπισθεν, οἱ δὲ ἔμπροσθεν οἱ πρὸς τοῖς βουσὶν ὄντες μικροί, ἀνάγκη ἵστασθαι τοὺς ἐλάττονας ἐν τῇ περιφορᾷ, ἵνα κινηθῶσιν οἱ μείζονες. ἐπεὶ γὰρ ἐν τῷ αὐτῷ καὶ ἴσῳ χρόνῳ ἀπὸ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ ἀποκαθίστανται οἵ τε ἐλάττονες καὶ οἱ μείζονες, δῆλον ὅτι ἡ τοῦ μείζονος κίνησις μείζων

---

2 συλλογιζώμεθα PR εὐθὺς a Arist. 3 ἐρωτώντων ex ἐρώτων corr. RS
5 εἰ om. P τὴν] τὸ a 7. 8 ἵνα ἐμβραδύνωμεν καὶ ἐνδιατρίψωμεν συλλογιζόμενοι CPR 8 δὲ om. CPRS: γὰρ Arist. ἢ] ἂν P 9 ὁρῶμεν PR
10 γὰρ om. CPR 13 post πρὸς add. δὲ S 18 μικρᾶς a Arist.: μιᾶς S: μὲν CPR 20 ἐν post καὶ om. CPR 21 τισὶ om. P γινομένοις S
22 post χρούσασα spat. II litt. P 24 post οὕτω add. δὲ a 32 ἐλάττους CPRa

ἐστὶ καὶ ταχυτέρα, ἡ δὲ τοῦ ἐλάττονος βραδυτέρα. τὸ δὲ βραδύτερον τῇ 153v
τοῦ ἐναντίου μίξει ἐστὶ βραδύτερον, ἐναντία δὲ ἡ ἠρεμία τῇ κινήσει· ὥστε 31
ἠρεμεῖ ὁ ἐλάττων βραδύτερον κινούμενος, εἰ καὶ λανθάνει ἡμᾶς μὴ βουλο-
μένους διαπονεῖν περὶ τὸ τὰ τοιαῦτα βλέπειν. φέρε γὰρ λόγου χάριν (τὴν γὰρ
5 ἀκρίβειαν ἐν τούτοις οὐ ζητητέον· σαφηνείας γὰρ μόνον τῶν λεγομένων,
ἀλλ' οὐχ ὁμοιότητος ἕνεκα τὸ ὑπόδειγμα παράγεται) φέρε οὖν λόγου χάριν
εἰπεῖν ὅτι ὥσπερ ὁ πόλος πρὸς τὸν ἰσημερινὸν ἢ καὶ ἁπλῶς πρὸς ἅπαντας 35
τοὺς ὑπὸ τῶν ἀστέρων γραφομένους κύκλους ἔχει, οὕτω καὶ οἱ ἐλάττονες
τροχοὶ πρὸς τοὺς μείζονας. ἀλλὰ ταῦτα μὲν οὕτως. ἡμᾶς δὲ καλῶς ἔχει
10 εἰδέναι ὅτι τὸ τῶν αὐτομάτων ὑπόδειγμα εἴληπται ὡς ἀνάλογον τοῖς ἐν
ἡμῖν νεύροις, τὸ δὲ τοῦ ἁμαξίου διὰ δύο λόγους μόνους καὶ οὐκέτι δι'
ἄλλο τι, δι' ἕνα μὲν λόγον ὡς ἀναλογίαν ἔχοντα τὰ ξύλα πρὸς τὰ ὀστᾶ, δι'
ἄλλον δὲ ὅτι ὡς ἐνταῦθα οἱ ἐλάττονες τροχοὶ ὥσπερ κέντρον ἀκίνητον
γίνονται, οὕτω καὶ ἐν τῷ ζῴῳ αἱ καμπαί· καὶ γὰρ ἐν ταῖς καμπαῖς, ὡς 40
15 πολλάκις εἴρηται, τὸ μὲν κινεῖται, τὸ δὲ ἠρεμεῖ. ἡ μὲν οὖν τῶν λεγομέ-
νων διάνοια, οἶμαι, τοιαύτη. ἐν δὲ τῇ λέξει τῇ καὶ τὸ ἁμάξιον ὅπερ
αὐτὸ ὀχούμενον κινεῖ εἰς εὐθὺ τοιοῦτόν ἐστι 'τὸ ἁμάξιον εἰς εὐθὺ
κινεῖ τὸ φερόμενον ὑπ' αὐτοῦ'· ὀχούμενον γὰρ τὸ φερόμενον ὑπὸ τοῦ ἁμα-
ξίου εἶπεν. εἰ γὰρ καὶ κύκλῳ κινοῦνται οἱ τροχοί, ἀλλ' οὖν τὸ ὀχούμενον
20 καὶ φερόμενον βάρος εἰς εὐθὺ κινοῦσιν. ἀλλὰ τοῦτο μέν, εἰ μὴ πλανῶμαι,
οὐδεμίαν εἰκόνα τῆς ὑφ' ἡμῶν γινομένης κινήσεως σώζει· τὸ δ' ἐφεξῆς, 45
τοῦτο δ' ἐστὶ τὸ τῷ ἀνίσους ἔχειν τοὺς τροχούς· ὁ γὰρ ἐλάττων
ὥσπερ κέντρον γίνεται καὶ πάμπαν ἔχει πολλὴν ὁμοιότητα πρὸς τὴν
ὑφ' ἡμῶν γινομένην κίνησιν. ὡς γὰρ ἐν τούτοις ἱσταμένων τῶν ἐλαττόνων
25 τροχῶν, ὡς πέφυκε γίνεσθαι ἡ στάσις, γίνεται ἡ τῶν μειζόνων περιαγωγὴ
ἢ μᾶλλον ἡ κυκλικὴ κίνησις (ἡ γὰρ περιαγωγὴ κυρίως τῆς σφαίρας ἐστίν)
οὕτω καὶ ἐφ' ἡμῖν τὰ μὲν κινοῦνται ἐν τῇ κατὰ τόπον μεταβολῇ, τὰ δὲ
ἵστανται. ἀνίσους δὲ ποιοῦσι τοὺς ἔμπροσθεν τροχούς, οὓς αὐτὸς ἐντὸς 50
εἶπεν, ἵνα ὥσπερ ὑπερκειμένων τῶν ὄπισθεν καὶ ὠθούντων τοὺς πρόσθεν
30 γίνηται ταχεῖα ἡ κίνησις. τὸ δὲ καθάπερ ἐν τοῖς κυλίνδροις εἶπε διὰ
τὸ ὡς ἔοικε κἀκείνους τροχωτοὺς ποιεῖν, ὥσπερ καὶ νῦν τὰ ἐκ κυλίνδρων
ἁμαξίδια τὰ τετράτροχα, ἅπερ ἕλκουσιν οἱ παῖδες παίζοντες χαρίεντα ἰδεῖν
διὰ τὸ περιτιθέμενον αὐτοῖς κάλλος ὑπὸ τῶν ζωγράφων. σίδηρον δὲ ἐν τῷ
τροχῷ λέγει τὸν ἐν τῇ περιφερείᾳ τῶν τροχῶν περικείμενον, κύκλον καὶ

---

3 ἠρεμεῖ] ἠρεμαῖος CPR 6 οὖν] γὰρ CPR 9 οὕτως ἡμᾶς δὲ in lit. R
10 post ὡς add. ὑπόδειγμα CPR 12 ἀναλογίαν] ἀναλόγως CR: ἀνάλογον P
14. 15 ὥσπερ εἴρηται πολλάκις CRP 16 ὅπερ—ἁμάξιον (17) om. CPR ὅπερ S
Arist. vulg.: ὥσπερ a Arist. PS 21 γενομένης PR 22 τῷ om. CPR
29 ὑποκειμένων CRS 30 γίνεται S 31 ἔοικεν ἐκείνους CPR
32 χαρίεντες P: χαρίεν R 33 περιτιθέναι CPR post ζωγράφων add. καλλύνουσι γὰρ αὐτὰ (γὰρ om. P) οἱ ζωγράφοι χρώμασι CPR δὲ] μὲν C 33. 34 τοῖς τροχοῖς CPR

αὐτὸν ὄντα. ἀλλ' ἐπεὶ ἐν τῷ περὶ τὴν | καρδίαν πνεύματι καὶ τοῖς νεύ- 154r
ροις συστολαί τινες γίνονται καὶ ἐκτάσεις καὶ ὅλως ἀλλοιώσεις, ἐν δὲ τοῖς
ἁμαξίοις καὶ τοῖς αὐτομάτοις οὐ γίνονται, προσδιορίζεται καὶ περὶ τούτου
λέγων ἐν μὲν οὖν τοῖς αὐτομάτοις καὶ τοῖς ἁμαξίοις οὐκ ἔστιν
5 ἀλλοίωσις, δυνάμει τοῦτο λέγων ὅτι κἂν καὶ ἐν τούτοις ἐγίνετο ἀλλοίωσις,
ἡ αὐτὴ ἂν ἐπετελεῖτο κίνησις, ἥτις καὶ νῦν γίνεται μὴ ἀλλοιουμένων. ὅτι
δὲ καὶ τὰ νεῦρα ἡμῶν καὶ τὰ μόρια αὔξονται ἤτοι ἐκτείνονται καὶ ὅλως 5
μείζονα γίνονται ἐν ταῖς ἡδοναῖς ὑπὸ τῆς τότε γινομένης εὐκράτου θερμό-
τητος, καὶ πάλιν συστέλλονται καὶ οἱονεὶ πιλοῦνται ἐν τοῖς φόβοις διὰ τὴν
10 κατάψυξιν (πήγνυσι γὰρ τὸ ψῦχος) εἴρηται καὶ πρότερον. σαφῆ δὲ τὰ
ἑξῆς διὰ τὸ προειπεῖν ἡμᾶς ταῦτα πάντα πρὸ ὀλίγου. τὸ δὲ καὶ ἐν
ταύτῃ κατὰ μέγεθος ἐν ἀναισθήτῳ μορίῳ ἴσον ἐστὶ τῷ κἂν ἐν μικρο-
τάτῳ καὶ πρὸς αἴσθησιν ἀναισθήτῳ μορίῳ αὐτῆς γένηται ἡ ἀλλοίωσις. 10

p. 701ᵇ34 Ἐξ ἀνάγκης δὲ ἀκολουθεῖ τῇ νοήσει καὶ τῇ φαντασίᾳ
15 αὐτῶν θερμότης καὶ ψῦξις.

Τὸ τῆς λέξεως συνεχὲς τοιοῦτον 'ἐξ ἀνάγκης δὲ ἀκολουθεῖ τῇ νοήσει
καὶ τῇ φαντασίᾳ αὐτῶν θερμότης καὶ ψῦξις· ἔστι δὲ τὰ λυπηρὰ καὶ ἡδέα
αὐτῶν σχεδὸν πάντα μετὰ ψύξεως καὶ θερμότητος'. τὰ δὲ ἄλλα μεταξύ.
ἦν δ' ἂν κατάλληλος ἡ λέξις, εἰ εἶχεν ἀντὶ τοῦ δέ συνδέσμου τὸν γάρ, ἵν'
20 ἦν οὕτως 'ἔστι γὰρ τὰ λυπηρὰ καὶ ἡδέα αὐτῶν'. λανθάνει δὲ ὅτι μετὰ
θερμότητος καὶ ψύξεως γίνονται περὶ τὰ μικρὰ λυπηρὰ καὶ ἡδέα, περὶ δὲ 20
τὰ μεγάλα πάμπαν εἰσὶ καταφανῆ. ὧν θερμοτήτων περὶ ἡμᾶς γινομένων
καὶ ψύξεων ὁρῶμεν ποτὲ μὲν μόριά τινα κινούμενα ἐν ἡμῖν, ὡς ἐν τοῖς
ὀνειρωγμοῖς τὸ αἰδοῖον, τὰ σκέλη, ποτὲ δὲ ὅλον τὸ σῶμα, ὅτε κατὰ τόπον
25 μεταβάλλομεν. ἐν δὲ τῇ λέξει τῇ οἷον εἰδώλοις χρώμεναι τοῖς τοι-
οὐτοις περὶ τῶν ἀπὸ τῶν ἡδέων καὶ τῶν λυπηρῶν ἐγγινομένων ἡμῖν
περὶ τὸ πρῶτον αἰσθητήριον τύπων καὶ ἀναζωγραφημάτων εἴρηται. 25

p. 702ᵃ7 Ὥστ' εὐλόγως ἤδη δημιουργεῖται τὰ ἐντὸς καὶ τὰ περὶ
τὰς ἀρχὰς τῶν ὀργανικῶν μορίων.

30 Ἀρχὰς ὀργανικῶν μορίων λέγει τὰ νεῦρα, τοὺς μῦς, ὀργανικὰ δὲ

---

3 γίνεται CRS τούτου ex τούτων corr. P¹: τούτων S 4 ἐν] εἰ R
5 δυνάμεως CR ὅτι om. a post κἂν add. εἰ a καὶ om. CPR
6 ἀλλοιουμένω C 8 ἐγγινομένης C 9 συστέλλεται PR 11 προειπεῖν ex
πρὸ ἡμῖν corr. R πρὸ ὀλίγου πάντα coll. CPR 11. 12 ἐν ταύτῃ ex ἐνταῦθα
corr. R 12 ἐν post μέγεθος om. P τῷ om. CPR 16 Τὸ τῆς—
ψῦξις (17) in marg. P¹ 18 ἀλλὰ a 19. 20 ἵν' ἡ CPR 22 γινομένων
περὶ ἡμᾶς coll. CPR 23 ὁρῶμεν] ὁρᾶται a 24 ὀνειρογμοῖς CPR ποτὲ]
ὅτε CPR 25 post τοῖς add. τούτων CR 26 ἐγγενομένων S 27 αἰσθη-
τικὸν CPR 28 τὰ post καὶ om. a

μόρια χεῖρας καὶ πόδας. γίνονται δὲ τὰ νεῦρα πεπηγότα καὶ οἱονεὶ ξηρὰ 154r
καὶ ὡς αὐτὸς λέγει σκληρὰ ἐν τοῖς φόβοις, ὑγρὰ δὲ καὶ μαλακὰ καὶ ἀπο- 30
λελυμένα ἐν ταῖς ἡδοναῖς. γινομένων γὰρ ὑπὸ ψύξεως καὶ θερμότητος τῶν
τοιούτων περὶ τὰς ἀρχὰς τῶν ὀργανικῶν μορίων πρὸς τὰς ἐνεργείας αὐτὰς
5 καὶ τὰς ὑπηρεσίας ἄγεται τῇ ὁρμητικῇ δυνάμει, ἀφ' ἧς καὶ τὴν ἀρχὴν
ἐγγίνεται· πᾶσαι γὰρ αἱ τοιαῦται πράξεις ἐνεργοῦνται διὰ τῆς τῶν σωμα-
τικῶν μορίων ἐνεργείας.

p. 702a10 Τούτων δὲ συμβαινόντων τοῦτον τὸν τρόπον.

Τουτέστι τούτων δὲ μεταβαλλόντων ἐξ ὑγρῶν εἰς ξηρὰ καὶ τὰ λοιπὰ 41
10 ἅπερ εἴρηκε πασχόντων, καὶ ἐπὶ τοῦ παθητικοῦ καὶ ποιητικοῦ τοιαύτην
ἐχόντων φύσιν, ἵνα τὸ μὲν ποιῇ τὸ δὲ πάσχῃ, ἐπειδὴ ἀπὸ τῆς τοιαύτης
ὀρέξεως τὰ τοιάδε γίνεται πάθη, ἀνάγκη ἅμα τῷ τὴν ὄρεξιν κινῆσαι γίνε-
σθαι τοῦ πνεύματος καὶ διὰ τούτου τῶν νεύρων κίνησιν, καὶ διὰ τούτων
τοῦ ζῴου. ἡ μὲν οὖν διάνοια αὕτη. τὸ δὲ τῆς λέξεως τῆς καὶ μηδὲν
15 ἀπολείπει αὐτῶν ἑκάτερον τῶν ἐν τῷ λόγῳ τοιοῦτόν ἐστι 'καὶ μηδὲν
ἀπολείπει τῶν εἰς τὸ τί ἦν εἶναι καὶ τὸ εἶδος ἑκάστου τούτων συντεινόν-
των'. ὥσπερ γὰρ ἂν λείπῃ τι τῶν εἰς τὸν ὁρισμὸν τοῦ ἀνθρώπου ὑπαρ-
χόντων, οὐκέτ' ἐστὶν ἄνθρωπος, οὕτως ἂν λείπῃ τι τῶν εἰς τὸν ὁρισμὸν
τοῦ ποιητικοῦ ᾗ ποιητικὸν λαμβανομένων, οὐκ ἔσται τὸ ποιητικὸν τοῦθ'
20 ὅπερ λέγεται· ὁμοίως οὐδὲ τὸ παθητικὸν παθητικόν.

p. 702a21 Τὸ δὲ κινοῦν πρῶτον τὸ ζῷον ἀνάγκη εἶναι ἔν τινι ἀρχῇ. | 50

Ὅτι μὲν οὖν τὸ κινοῦν πρῶτον τὸ ζῷον ἀνάγκη εἶναι ἔν τινι ἀρχῇ, 154v
πάντες ὁμολογοῦσιν. ἐπειδὴ δὲ καὶ αἱ καμπαὶ ἀρχαί, ὡς πολλάκις εἴρηται,
δείκνυσιν ὅτι ἀδύνατον ἔν τινι τῶν καμπῶν εἶναι, ἀλλ' ἐν τοιαύτῃ ἀρχῇ
25 ἀναγκαῖον εἶναι τὸ πρῶτον κινοῦν τὸ ζῷον, ἥτις οὐκ ἔστιν ἄλλου μὲν ἀρχὴ
ἄλλου δὲ τέλος, ἀλλ' οὖσα αὐτὴ καθ' αὑτήν· τοῦτο δ' ἐστὶν ἡ καρδία.

---

1 καὶ prius om. CPR παραπεπηγότα C 2 καὶ post ξηρὰ om. CPR σκληρά] ξηρὰ S 2. 3 ἀπολελυμένα καὶ μαλακὰ coll. CPR 8 τὸν τρόπον τοῦτον coll. a 10 πασχόντων] πανθανόντων (sic) CPR ἐπὶ Sa Arist. S: ἔτι CPR Arist vulg. 12 γίνονται PR 12. 13 γίνεσθαι ex γενέσθαι corr. P¹ 13 κίνησιν post πνεύματος ponit P, item corr. R 15 ἀπολίπῃ CR αὐτῶν—ἀπολείπει (16) om. CPR ἑκατέρων a 16 ἦν] ᾗ R 17 λίπῃ C ἀνθρώπου—ὁρισμὸν τοῦ (18. 19) om. CPR 18 οὐκ ἔστιν a 19 ποιητικὸν (post ᾗ) scripsi: ποιητικῶν S: ποιητικοῦ Ca: ποιητικῶς PR οὐκ ἔστι a 20 τὸ παθητικὸν] παθητὸν PR 21 post κινοῦν add. καὶ a τὸ om. a 22 post οὖν add. εἰ S πρῶτον om. PR εἶναι post ἀρχῇ ponunt CPR 23 ἐπεὶ PR καὶ om. a 25 πρώτως PR τὸ ζῷον κινοῦν coll. CPR 26 τέλος] τινὸς τελευτὴ C

δείκνυται δὲ διὰ πλειόνων τῷ ἀληθεστάτῳ Ἀλεξάνδρῳ τῷ Ἀφροδισιεῖ ἐν 154v
τῷ Περὶ τοῦ ποῦ τακτέον τὸ ἡγεμονικὸν τῆς ψυχῆς μέρος, ὅτι τὸ κινοῦν 6
πρῶτον τὸ ζῷον (τοῦτο δ' ἐστὶν ἡ ὀρεκτική τε καὶ ὁρμητικὴ δύναμις τῆς
ψυχῆς, ὡς πολλάκις εἴρηται) δέδεικται οὖν ὅτι ἐν τῇ καρδίᾳ ἐστίν· αὕτη
5 γὰρ καὶ ἀρχὴ τῶν ζῴων, ὡς ἐκ τοῦ λόγου καὶ τῶν ἀνατομῶν δείκνυται.
δείκνυσι δὲ ὅτι οὐκ ἔστιν ἐν ταῖς καμπαῖς, ἐπὶ τοῦ βραχίονος τὴν δεῖξιν
ποιούμενος· ὃ γὰρ ἂν ἐπὶ τούτου δειχθῇ, τοῦτο κατὰ πάντων ἁρμόσει.
ὅτι μὲν οὖν, φησίν, ἐστὶν ἡ καμπὴ τοῦ μὲν ἀρχὴ τοῦ δὲ τελευτή, εἴρηται· 10
ὡς γὰρ τὸ νῦν τέλος μέν ἐστι τοῦ παρεληλυθότος, ἀρχὴ δὲ τοῦ μέλλοντος,
10 οὕτω καὶ ὁ καρπὸς ἀρχὴ μὲν τῆς χειρός, τελευτὴ δὲ τοῦ βραχίονος. καὶ
χρῆται μὲν ὡς ἑνὶ ἅπαντι τῷ κώλῳ τῷ ἀπὸ τοῦ ὤμου ἄχρι τῆς χειρός
(χεὶρ δέ ἐστι τὸ ὑπὸ τῶν δακτύλων καὶ τοῦ θέναρος συνεστηκός· εἴρηται
δὲ ἐν ταῖς Περὶ ζῴων ἱστορίαις) χρῆται οὖν ἅπαντι τῷ κώλῳ ὡς ἑνὶ διὰ
τὴν συνέχειαν τῶν σαρκῶν καὶ νεύρων, χρῆται δ' αὐτῷ καὶ ὡς δυσὶ διὰ τὸ
15 κινουμένης τῆς χειρὸς ἠρεμεῖν τὸν καρπόν (τοῦτο γὰρ δέδεικται πρότερον) 15
ὁμοίως δὲ καὶ τοῦ βραχίονος κινουμένου ἠρεμεῖν τὸ ὠλέκρανον. τὸ δὲ
ὅταν γὰρ κινῆται ἐντεῦθεν ταὐτόν ἐστι τῷ ὅταν γὰρ κινῆται ἐκ τοῦδε
τοῦ τόπου εἰς τόνδε. ὅτι δὲ ἐν τῇ κινήσει οὐ μόνον πρὸς ἠρεμοῦν ἐκτός
τι δεῖ ἀπερείδεσθαι, ἀλλὰ καὶ πρός τι τῶν ἐν ἡμῖν, εἴρηκεν ἀρχόμενος
20 τοῦ λόγου.

p. 702a28 Τῆς δ' ἐν τῷ ὠλεκράνῳ κάμψεως τὸ μὲν κινεῖται τὸ ἐν αὐτῷ τῷ ὅλῳ κινουμένῳ.

Ὃ λέγει τοιοῦτόν ἐστι· τὸ μέρος, τουτέστιν ἡ χείρ, συγκινεῖται τῷ ὅλῳ βραχίονι. ἔστι γὰρ ἡ χεὶρ ἐν τῷ βραχίονι ὡς μέρος πρὸς ὅλον· τὸ
25 μέρος οὖν τὸ ἐν τῷ ὅλῳ συγκινεῖται τῷ ὅλῳ. ἐν τῇ κάμψει γὰρ τοῦ βραχίονος, κινουμένου τοῦ βραχίονος ὅλου, συγκινεῖται καὶ ἡ χείρ. εἰπὼν δὲ τὸ μὲν κινεῖται, καὶ δέον ἐπενεγκεῖν 'τὸ δ' οὐ κινεῖται', ἀντὶ τούτου ἐπήγαγεν ἀνάγκη δ' εἶναί τι ἀκίνητον· δέδεικται δὲ τοῦτο πολλάκις. 35
ταῦτα προλαβὼν δείκνυσιν ὅτι οὐκ ἔστι τὸ πρῶτον κινοῦν ἔν τινι τῶν

---

1 δέδεικται CPRa τῷ ἀληθεστάτῳ—Ἀφροδισιεῖ] τῷ ἀφροδισιεῖ ἀλεξάνδρῳ CPR
1. 2 ἐν τῷ—μέρος] Alex. de an. (Suppl. Arist. II 1) p. 97,16 sqq. 3 ὁρμητική τε καὶ ὀρεκτικὴ coll. a 4 οὖν ὅτι om. CPR ἐστίν] εἶναι CPR 6 post δεῖξιν add. τοῦ λόγου PR 7 ὃ γὰρ ἂν] ἐὰν γὰρ a: ἂν om. CPR post ἁρμόσει add. τῶν καμπῶν CPRa 8 οὖν om. C ἐστὶν om. a 9 τὸ om. R
12. 13 εἴρηται δὲ] ὡς εἴρηται CPR 13 ἐν ταῖς Περὶ ζῴων ἱστορίαις] A 15 p. 493b27
14 post συνέχειαν add. τοῦ παντὸς ἤτοι P, τ. π. ἤγουν CR χρῆται δ' αὐτῷ om. Sa
16. 17 τὸ δὲ ὅτε γὰρ κινεῖται PR 19 εἴρηκεν] c. 1 p. 698a14 sqq. 22 αὐτῷ om. S τῷ om CPR ὅλον κινούμενον CPR 23 μέρος ex μὲν corr. S1: μὲν a 24 ἔστι γὰρ—βραχίονι om. CPR πρὸς ὅλον] σὺν ὅλῳ CPR
25 τὸ ὂν ἐν τῷ CPR 26 τοῦ βραχίονος ὅλου] ὅλου τούτου CPR χείρ] ἀρχή PR 28 τι ἀκίνητον—πρῶτον κινοῦν (29) om. C 29 προλαβεῖν a

καμπῶν, λέγων ‘ὥστε εἰ ἦν ὁ βραχίων ζῷον, ἦν ἂν ἐν τῷ ὠλεκράνῳ ἡ 154v
ψυχή. ἐπεὶ δὲ ὡς ἔχει ὁ βραχίων πρὸς τὸ ὠλέκρανον, ἐνδέχεταί τι ἄλλο
τῶν ἀψύχων, οἷον ἡ ῥάβδος, ἔχειν πρὸς τὴν χεῖρα (ἔστι γὰρ καὶ ἡ ῥάβδος
τέλος μὲν τῆς ἐχούσης αὐτὴν χειρός, ἀρχὴ δὲ ἑαυτῆς· τὸ γὰρ τῆς ῥάβδου
5 τέλος, οὗπερ ἡ χεὶρ ἅπτεται, τέλος μέν ἐστι τῆς χειρός, ἀρχὴ δὲ τῆς
ῥάβδου) ἐπεὶ οὖν ἐνδέχεταί τι ἄλλο τῶν ἀψύχων ἔχειν πρὸς τὴν χεῖρα, 10
ὡς ὁ βραχίων πρὸς τὸ ὠλέκρανον, μὴ ἔστι δὲ ἡ ψυχὴ μεταξὺ χειρὸς καὶ
ῥάβδου, οὐδ' ἂν ἐν τῷ καρπῷ εἴη οὔτε ἐν τῷ ὠλεκράνῳ οὔτε ἐν τῷ ὤμῳ
οὔτε ἐν ἄλλῳ, οὗ τὸ μέν ἐστιν ἀρχὴ τὸ δὲ τέλος. διὰ τί γὰρ ἂν ἐν ταύτῃ
10 τῇ καμπῇ εἴη, καὶ οὐκ ἐν ταύτῃ, ὁμοίως ἐν πάσαις ταῖς καμπαῖς θεωρου-
μένων καὶ τῆς ἀρχῆς καὶ τοῦ τέλους;' ἡ μὲν οὖν διάνοια οἶμαι αὕτη.
ἔσχατον δὲ κινούμενον λέγει τὴν χεῖρα, ἑτέραν δὲ ἀρχὴν τὴν ῥάβδον.
ἀνάγκη οὖν, φησίν, ἐν μηδεμιᾷ εἶναι ἀρχῇ, ἥ ἐστιν ἄλλου τελευτή, 15
μηδὲ εἴ τι ἐστὶν ἕτερον ἐκείνου ἐξωτέρω, λέγων ἐξωτέρω τὰ ἐφεξῆς.
15 ἔστι δὲ τοῦ μὲν καρποῦ ἐφεξῆς βραχίων, καὶ τούτου ἄλλο, κἀκείνου ἕτερον.
οὐκ ἔστιν οὖν ἐν τῇ τοιαύτῃ ἀρχῇ ἡ ψυχή, ἥτις ἐστὶν ἐφεξῆς ἄλλης. τὸ δὲ
ἔτι γὰρ τοῦ ὠλεκράνου μένοντος κινεῖται ἅπαν τὸ κάτω συνεχὲς
ἴσον ἔστι τῷ ‘ὥσπερ γὰρ τοῦ ὠλεκράνου μένοντος κινεῖται ὁ βραχίων
(οὗτος γάρ ἐστι συνεχὴς τῷ ὠλεκράνῳ) οὕτω καὶ τοῦ ὠλεκράνου μένοντος
20 κινηθήσεται τὸ ἀνώτερον αὐτοῦ, τοῦτο δ' ἐστὶ τὸ μεταξὺ αὐτοῦ τοῦ ὠλεκράνου
καὶ τοῦ ὤμου· εἰ δὲ τοῦτο, οὔτε ὁ βραχίων ἔσται ἀρχὴ οὔτε τὸ ὠλέκρανον 50
οὔτ' ἄλλο οὐδὲν τῶν τοιούτων.

p. 702b 12 Ἐπεὶ δ' ὁμοίως ἔχει ἀπὸ τῶν ἀριστερῶν καὶ τῶν δεξιῶν, καὶ ἅμα τὰ ἐναντία κινεῖται. |

25 Τὸ ἅμα ἀντὶ τοῦ παρὰ μέρος εἴληπται· οὐ γὰρ ἀεὶ ἐν τῇ κατὰ 155r
τόπον μεταβολῇ τὸ μὲν ἀριστερὸν ἠρεμεῖ, τὸ δὲ δεξιὸν κινεῖται, ἢ ἔμπαλιν 6
ἀεὶ τὸ δεξιὸν ἠρεμεῖ καὶ κινεῖται τὸ ἀριστερόν, ἀλλὰ παρὰ μέρος ἕως ἂν
ἠρεμήσωμεν. ἐπεὶ οὖν, φησίν, ὁμοίως ἔχει ἀπὸ τῶν δεξιῶν καὶ τῶν
ἀριστερῶν, τουτέστιν ἐπεὶ ὁμοίως ἔχει ἡ καρδία καὶ πρὸς τὰ δεξιὰ καὶ
30 πρὸς τὰ ἀριστερά (ἐν αὐτῇ γὰρ παύομεν τὰ ἀριστερὰ καὶ δεξιὰ μέρη κινού-
μενα· ἄχρι γὰρ αὐτῆς ἡ τῶν δεξιῶν καὶ ἀριστερῶν κίνησις ἀπέρχεται), καὶ

---

3 τὴν ῥάβδον CPR καὶ om. CPR 4 μὲν om. et post τῆς supr. vers. adscr. P¹ ἑαυτῆς] αὐτῆς CPR 4. 5 fort. τῆς ῥάβδου μέρος 10 καὶ οὐκ] οὐχὶ καὶ PR ante ὁμοίως add. οἶμαι καὶ οὐκ ἐν ταύτῃ PR 11 αὕτη] τοιαύτη a 13 post ἄλλου add. ἀρχή PR 14 τὸ ἐφεξῆς PR 16 ἀρχῇ om. P ἄλλης scripsi: ἄλλη libri 17 κάτω—κινεῖται ὁ (18) in marg. P 20 ἀνωτέρω CPRa 21 τοῦτο] τούτου PR 23 ἔχει om. CS καὶ ἀπὸ τῶν CPRa 28 ἠρεμήσωσιν a φησίν om. CPR ἀπὸ τῶν δεξιῶν—ἔχει (29) om. CPR καὶ ἀπὸ τῶν a 30 παυόμενα CPR 31 αὐτῆς γὰρ coll. C

ἐκ ταύτης αὐτοῖς ἡ τῆς κινήσεως εἴη ἂν ἀρχή. ἐφ' ὃ γὰρ αἱ ἀπὸ τῶν 155r
δεξιῶν καὶ ἀριστερῶν κινήσεις τελευτῶσιν ὡς ἐπ' ἀρχήν, ἀπὸ τούτου 10
εὔλογον γίνεσθαι καὶ τὴν ἀρχὴν τῆς ἐπὶ τὸ ἔξω κινήσεως. οὕτω γὰρ
γίνεται καὶ ἐν τῷ στρατοπέδῳ· ἐφ' ὃν γὰρ αἱ τῶν ἔξωθεν προσαγγελίαι
5 γίνονται, οὗτος δ' ἐστὶν ὁ στρατηγός, ἀπὸ τούτου καὶ αἱ πρὸς τὰ ἔξω
κινήσεις τὴν ἀρχὴν λαμβάνουσι. γίνονται δὲ πρὸς τὴν καρδίαν αἱ ἐκτὸς
κινήσεις, ὡς ἐν τῷ Περὶ τοῦ ποῦ τακτέον τὸ ἡγεμονικὸν τῷ Ἀφροδισιεῖ Ἀλε-
ξάνδρῳ δέδεικται, τὰ σποράδην πολλαχοῦ Ἀριστοτέλει περὶ τούτων λεχθέντα 15
ἐκεῖσε συλλεξαμένῳ, καὶ πρὸς τούτοις ἕτερα ἀναγκαιότατα οἰκεῖα προσεπι-
10 θέντι. ἀπὸ ταύτης ἄρα τῆς καρδίας καὶ ἡ ὁρμὴ καὶ ὄρεξις, αἵτινές εἰσιν
ἀρχαὶ τῆς κατὰ τόπον κινήσεως. διὸ καὶ τὰ πρὸς τὴν κίνησιν ὄργανα τὰ
νεῦρα ἀπὸ τῆς καρδίας, ὡς ἐκ τῶν ἀνατομῶν δείκνυται, τὴν ἀρχὴν ἔχει.
ἀφ' οὗ γὰρ τὴν ἀρχὴν ἔχει τὰ πρὸς τὴν κίνησιν ὄργανα, ἐν τούτῳ ἀναγ-
καῖον εἶναι καὶ τὸ διδὸν αὐτοῖς τὴν τοῦ κινεῖν καὶ κινεῖσθαι δύναμιν. 20
15 κινοῦνται μὲν γὰρ τὰ νεῦρα ὑπὸ τῆς ψυχῆς, κινοῦσι δὲ τὰ κῶλα. ἐπεὶ
οὖν, ὡς εἴρηται, ὁμοίως ἔχει καὶ ἅμα καὶ παρὰ μέρος τὰ δεξιὰ καὶ ἀρι-
στερά, ταῦτα γὰρ εἶπεν ἐναντία (οὐ γὰρ ἅμα κινεῖται τὸ δεξιὸν καὶ ἀρι-
στερόν, ἀλλὰ παρὰ μέρος), ἀεὶ δ' ἀμφοτέρων τῶν δεξιῶν καὶ ἀριστερῶν
κώλων ἡ ἀρχὴ τῆς κινήσεως ἀνωτέρω καὶ οὐκ ἐν ταῖς καμπαῖς, ἀνάγκη
20 ἐν τῷ μέσῳ τοῦ θώρακος, τουτέστιν ἐν τῇ καρδίᾳ εἶναι τὴν τῆς κινήσεως
ἀρχήν. ἔσχατον γὰρ καὶ πέρας καὶ οἱονεὶ κέντρον τῶν ἄκρων τῶν δεξιῶν 25
καὶ ἀριστερῶν τὸ μέσον ἐστίν. ἔτι δὲ καὶ καθ' ὅσον ἐν μέσῳ οὖσα ἡ
καρδία ὁμοίως ἔχοι ἂν πρὸς τὰ ἄνω καὶ κάτω καὶ ὁμοίως ἂν αὐτοῖς
ἀμφοτέροις χορηγοίη τὴν κίνησιν, καὶ οὐ τοῖς μὲν μᾶλλον τοῖς δ' ἧττον,
25 καὶ διὰ τοῦτο ἐν ταύτῃ εἴη ἂν τὸ κινοῦν. τὰς ἀπὸ τῆς ῥάχεως δὲ
λέγοι ἂν τὰ κῶλα, χεῖρας καὶ πόδας· τούτων γὰρ καὶ πάντων τῶν ὀστῶν
ἡ ῥάχις ἀρχή, ὡς ἐν τῷ Περὶ ζῴων μορίων καὶ ἐν ἄλλοις πλείοσιν εἴρη-
ται. ὅτι δὲ ἐν ᾧ ἡ αἴσθησις ἐν τούτῳ ἡ ὁρμητική τε καὶ ὀρεκτικὴ 30
δύναμις, δέδεικται ἐν τῷ Περὶ τοῦ ποῦ τακτέον τὸ ἡγεμονικόν. ἐχόμενα
30 δὲ τοῦ τόπου τοῦ περὶ τὴν ἀρχὴν λέγει τὰ νεῦρα. ἡ μὲν οὖν ξύμπασα
διάνοια αὕτη. τὸ δὲ τῆς λέξεως τῆς ὥστε μὴ τῷ ἠρεμεῖν τὸ δεξιὸν
κινεῖσθαι τὸ ἀριστερόν, μηδ' αὖ τῷ τοῦτο ἐκεῖνο τοιοῦτόν ἐστιν·

---

1 ἐφ' ὃ γὰρ—λαμβάνουσι (6)] cf. Alex. l. l. p. 97,18—22 7 περὶ τοῦ om. CSa
7. 8 Ἀλεξάνδρῳ δέδεικται] Alex. de an. p. 94,7 sqq. 8 εἴρηται CPR σποράδην
ὑπ' Ἀριστοτέλους πολλαχοῦ περὶ τούτου CPR 9 ἐκεῖ PR συλλεξαμένῳ] ω in
lit. R: συλλεξαμένου C ἀναγκαῖα CR: ἀναγκαιοτέρα (sic) a 9. 10 προσεπι-
θέντα C 10 καὶ ἡ ὄρεξις CPRa 12 ὡς supr. v. R δείκνυνται PR
14 καὶ τοῦ κινεῖσθαι PR 15 ὑπὸ] ἀπὸ C 17. 18 καὶ ἀριστερόν om. CPR
23 καὶ πρὸς τὰ κάτω CPR καὶ post κάτω om. CPR 24 ἀμφοτέροις om. CPR
χορηγήσῃ CPR οὐ om. PR 25 ἂν εἴη coll. CPRa τὰς] τοῖς RS:
τῆς P 26 λέγοι ἂν] λέγει CPR 27 ἐν τῷ Περὶ ζῴων μορίων] B 9 p. 654b11,
cf. Hist. anim. Γ 7 p. 516a10 ἐν τῇ CR: ἐν τοῖς a 28 τούτῳ] ἐκείνω CPR
ante ἡ add. καὶ CPRa ὀρεκτικὴ in lit. P1 29 δέδεικται κτλ.] Alex. de
an. p. 97,11 sqq. 31 μὴ εἶναι τῷ ἠρεμεῖν a Arist.

'οὐκ ἔστιν ἡ κίνησις τοῦ δεξιοῦ οὐδὲ κινεῖται τὸ δεξιὸν τῷ ἀεὶ ἠρεμεῖν τὸ 155r
ἀριστερόν, οὐδ' αὖ πάλιν ἐκεῖνο τὸ ἀριστερὸν κινεῖται [ἐν] τῷ τοῦτο τὸ
δεξιὸν ἠρεμεῖν, ἀλλ' ἐπίσης ἀμφότερα πεφύκασι καὶ ἠρεμεῖν καὶ κινεῖσθαι'.

p. 702b25 Τὸ δὲ μέσον τοῦ σώματος μέρος δυνάμει μὲν ἕν, ἐνερ- 35
5 γείᾳ δὲ ἀνάγκη γίνεσθαι πλείω.

Μέσον τοῦ σώματος λέγει τὴν καρδίαν καὶ τὸ ἐν αὐτῇ πνεῦμα.
φησὶ δὲ ὅτι τὸ τῶν ζῴων μέσον δυνάμει μὲν ἕν, ἐνεργείᾳ δὲ δύο.
ἐπειδὴ γὰρ ἀπ' αὐτοῦ αἱ κινήσεις, ἀνάγκη ἐκτεινομένου τοῦ ἐν τῷ δεξιῷ
μέρει τῆς καρδίας πνεύματος, καὶ συνεκτείνοντος ἑαυτῷ τὸ ἀπὸ τῆς καρ-
10 δίας νεῦρον ἢ νεῦρα, συνεκτείνεσθαι καὶ τὸ τῆς καρδίας μέρος καὶ 40
κινεῖσθαι. ἀπὸ γὰρ αὐτῆς ὡς ἀπ' ἀρχῆς τὰ νεῦρα τὴν ἀρχὴν ἔχει ὥσπερ
καὶ αἱ φλέβες· ὥστε ὅταν τείνηται ὑπὸ τῆς τοῦ πνεύματος ἐκτάσεως τὸ
νεῦρον, ἀνάγκη συντείνεσθαι τὸ τῆς καρδίας μέρος, ἐν ᾧ τὸ τεινόμενον
νεῦρον ἐρρίζωται. ἐπεὶ δ' ἠρεμούντων τῶν ἀριστερῶν κινεῖται τὰ δεξιά,
15 ὥσπερ πάλιν τῶν δεξιῶν τὰ ἀριστερά, ἀνάγκη κινουμένων τῶν δεξιῶν καὶ
ἠρεμούντων τῶν ἀριστερῶν ἠρεμεῖν καὶ τὸ ἀριστερὸν μέρος τῆς καρδίας
καὶ τὸ ἐν τούτῳ πνεῦμα. οὐδὲν γὰρ κωλύει, καίπερ συνεχοῦς ὄντος ὅλου 45
τοῦ ἐν τῇ καρδίᾳ πνεύματος, τὸ μὲν αὐτοῦ ἠρεμεῖν τὸ δὲ κινεῖσθαι· καὶ
γὰρ καὶ τοῦ ἐν ταῖς σκάφαις ὕδατος ὁρῶμεν τὸ μὲν κινούμενον, ὅπερ ἐκί-
20 νησεν ἡ χείρ, τὸ δ' ἠρεμοῦν. ἠρεμοῦντος οὖν τοῦ ἀριστεροῦ μέρους τῆς
καρδίας καὶ τοῦ ἐν αὐτῇ πνεύματος δῆλον ὅτι καὶ τὸ ἐν τούτῳ τῷ μέρει
νεῦρον ἢ νεῦρα ἠρεμεῖ. εἰ δὲ τοῦτο, δῆλον ὅτι ἠρεμούντων τῶν δεξιῶν
μερῶν τοῦ πνεύματος καὶ τῆς καρδίας κινεῖται τὰ ἀριστερά, καὶ ἠρεμούν- 50
των τῶν ἀριστερῶν κινεῖται τὰ δεξιά, ἀπερειδόμενα τὰ μὲν δεξιά, ὅτε κινεῖ-
25 ται, εἰς τὰ ἀριστερὰ ἠρεμοῦντα, καὶ ταῦτα εἰς τὰ δεξιά, ἐοικότα ὡς αὐτὸς
ἐρεῖ προϊὼν τοῖς τὰ νῶτα ἀπερείδουσι καὶ κινοῦσι τὰ σκέλη. ὡς γὰρ ὁ
βραχίων ἀπερειδόμενος ὡς πρὸς ἠρεμοῦν τὸ ὠλέκρανον κινεῖται, οὕτως
ἀνάγκη καὶ τὸ ἀριστερὸν τῆς καρδίας καὶ τοῦ πνεύματος ἀπερείδεσθαι
πρὸς τὸ δεξιὸν ὡς πρὸς ἠρεμοῦν, καὶ τοῦτο πάλιν πρὸς τὸ ἀριστερόν, κινεῖ-
30 σθαι δὲ ἀμφότερα ὑπὸ τῆς ψυχῆς, ἀκινήτου οὔσης | καθ' ἑαυτήν. 155v

---

1 κινεῖται τοῦ δεξιοῦ τῷ S post δεξιὸν add. ἐν CRP 2 αὖ] ἂν a
τὸ ἀριστερὸν κινεῖται om. CPR ἐν delevi τοῦτο om. CPR 7 φησὶν
οὖν PR τὸ—μέσον a: τῇ τῶν ζῴων κινήσει CPR: ἡ τῶν ζ. κίνησις S: res tale quid
postulat ὅτι ἐν τῇ τῶν ζῴων κινήσει τὸ μέσον ἤτοι ἡ καρδία 8 ἀπ' αὐτῆς Sa, fort.
recte (cf. not. ad v. 7) post ἐκτεινομένου add. τὸ ἀπὸ τῆς καρδίας νεῦρον ἢ νεῦρα,
sed rursus del. P 9 συνεκτείνον̄ PR 10 ante μέρος add. δεξιὸν CPR
12 καὶ om. Ca 13 συντείνεσθαι καὶ τὸ CPR ἐν ᾧ—καρδίας (16) om. CPR
17 ὅλου ὄντος coll. CPR ante ὅλου add. τοῦ a 19 γὰρ om. P
καὶ τοῦ] ἐκ τοῦ PR post μὲν add. αὐτοῦ Sa 21 αὐτῇ] αὐτῷ Pa
22 ἠρεμεῖν S 26 ἀντερείδουσι CPR 29 post πάλιν add. ὡς CPR

τὰ γὰρ εἴδη καὶ αἱ ἕξεις ἀκίνητα καθ' αὑτά· τοιοῦτον δὲ καὶ ἡ ψυχὴ δέδει- 155ᵛ
κται οὖσα. κινουμένων δὲ τῶν δεξιῶν καὶ τῶν ἀριστερῶν κινεῖται καὶ τὰ
ἐν τούτοις νεῦρα καὶ διὰ τῶν νεύρων τὰ κῶλα. ὥστε ἓν ὂν τὸ πνεῦμα
δυνάμει ἐν ταῖς κινήσεσιν ἐνεργείᾳ γίνεται δύο, ὁμοίως καὶ ἡ καρδία· ὡς
γὰρ τὸ πνεῦμα, καὶ ἡ καρδία, καὶ ὡς αὕτη, καὶ τὸ πνεῦμα. ἐπειδὴ γὰρ
τὸ μὲν κινεῖται τῆς καρδίας καὶ τοῦ πνεύματος τὸ δὲ ἠρεμεῖ, δῆλον ὡς
δύο εἰσὶν ἐνεργείᾳ· ἓν δὲ ἐνεργείᾳ γίνεται ἐν ταῖς ἠρεμίαις. ἀλλὰ περὶ μὲν
τούτων τοσαῦτα εἰρήσθω, ἐπὶ δὲ τὴν λέξιν λοιπόν ἐστι τραπῆναι. εἰπὼν
ὅτι ἐνεργείᾳ δύο γίνεται, συντόμως τὴν αἰτίαν τούτου ἐπήγαγεν εἰπὼν καὶ
γὰρ ἅμα τὰ κῶλα κινεῖται ἀπὸ τῆς ἀρχῆς· πάλιν τὸ ἅμα ἀντὶ τοῦ
παρὰ μέρος. περὶ ὧν ἀκριβέστερον ἐν τῷ Περὶ ζῴων πορείας εἴρηται.
ἐπεὶ οὖν τὸ μὲν ἠρεμεῖ τῶν κώλων, τὸ δὲ κινεῖται, ἀνάγκη καὶ τοῦ πνεύ-
ματος καὶ τῆς καρδίας τὸ μὲν κινεῖσθαι, τὸ δὲ ἠρεμεῖν.

p. 702ᵇ28 Λέγω δὲ οἷον ἐπὶ τῆς ΑΒΓ τὸ Β κινεῖται, κινεῖ δὲ τὸ Α.

Εἰπὼν ὅτι ἐνεργείᾳ γίνεται δύο δυνάμει ὄντα ἕν, δείκνυσι τοῦτο καὶ
ἐπὶ καταγραφῆς, ὡς ἔθος αὐτῷ, ἅμα πρὸς τούτῳ δεικνύων ὅτι ἀνάγκη
εἶναί τι ἀκίνητον, εἰ μέλλει κινήσεσθαι τὸ ζῷον. νενοήσθω δὴ Α ὅλη ἡ
καρδία καὶ ὅλον τὸ ἐν αὐτῇ πνεῦμα, Β δὲ τὸ ἐν τῷ δεξιῷ μέρει τῆς καρδίας
νεῦρον ἢ νεῦρα, καὶ Γ ὁμοίως τὸ ἐν τῷ ἀριστερῷ μέρει αὐτῆς νεῦρον ἢ νεῦρα.
κινεῖται οὖν τὸ Β τὸ νεῦρον, κινεῖ δὲ τὸ Α τὸ μέρος τοῦ πνεύματος καὶ
τὸ μέρος τῆς καρδίας κινούμενα ὑπὸ τῆς ψυχῆς. ἀλλ' ἐπεί, ὡς δέδεικται,
ἀνάγκη εἶναί τι ἠρεμοῦν, εἰ μέλλει γενέσθαι κίνησις, ἀνάγκη τὸ λοιπὸν
μέρος τοῦ Α ἤτοι τῆς καρδίας καὶ τοῦ πνεύματος ἠρεμεῖν. ἓν ἄρα δυνάμει
ὄντα τὰ ΑΕ ἐνεργείᾳ δύο ἔσται. ἐκάλεσε δὲ τὸ ἠρεμοῦν μέρος τοῦ πνεύ-
ματος καὶ τῆς καρδίας Ε, ἵνα τῇ διαφορᾷ τοῦ στοιχείου δηλώσῃ καὶ τὸ
διαφέρον τοῦ πνεύματος καὶ τῆς καρδίας. διαφέρει γάρ, ὡς πολλάκις εἴρη-
ται, τὸ ἠρεμοῦν τῆς καρδίας μέρος καὶ τοῦ πνεύματος πρὸς τὸ μὴ ἠρεμοῦν·
ᾗ γὰρ τὰ μὲν κινεῖται τὰ δὲ ἠρεμεῖ, διαφέρουσιν. ἓν ἄρα δυνάμει
ὄντα τὰ ΑΕ τουτέστιν ἓν ἄρα δυνάμει οὖσα ὅλη ἡ καρδία καὶ ὅλον τὸ

---

1. 2 τὰ γὰρ—δέδεικται οὖσα] cf. Phys. E 1 p. 224ᵇ5. 11 sqq. de an. B 2 p. 414ᵃ4 sqq. 2 τῶν post καὶ om. CPR 3 post ὥστε add. καὶ CPR 4 ἐνεργείᾳ] δυνάμει C: δυνᾱ PR 5 αὐτή PR 7 εἰσὶν ἐνεργείᾳ scripsi: εἰσὶ δυνάμει libri 9 ἐπήνεγκεν CPR 11 ἐν τῷ Περὶ ζῴων πορείας] c. 4 sqq.: περὶ ζῴων μορίων S 12 τὰ δὲ PR 18 μέλλοι CRSa δὴ om. CPR 19 post πνεῦμα add. ἔστω οὖν A ὅλη ἡ καρδία καὶ ὅλον τὸ ἐν αὐτῇ πνεῦμα Sa 20 αὐτῆς μέρει coll. CPR ἢ νεῦρα om. CPR 23 ἠρεμοῦν τι coll. a εἴπερ CPR μέλλοι libri γίνεσθαι a ἀνάγκη om. Sa 24 ἠρεμεῖ a 25 ὄντα τὸ CS: ὂν τὸ a AE] sic libri: AB Arist. S: A Arist. vulg. 28 μὴ supr. vers. S¹ 29 διαφέρουσιν. τὸ οὖν ἓν ἄρα a 30 τουτέστιν] ταὐτόν ἐστι τῷ a οὖσα δυνάμει coll. a: οὖσα om. CPR

πνεῦμα δύο εἰσὶν ἐνεργείᾳ. καὶ ἐπεὶ τὸ μὲν αὐτῆς ἠρεμεῖ τὸ δὲ κινεῖται, 155ᵛ
ἀνάγκη μὴ στιγμὴν εἶναι. τοῦτο δὲ ταὐτόν ἐστι τῷ ἀνάγκη μὴ τοῦτο
εἶναι τὴν ψυχήν. εἰ γὰρ τῶν κινουμένων τὸ μὲν αὐτῶν κινεῖται τὸ δὲ
ἠρεμεῖ, ἡ δὲ ψυχὴ ἀμερὴς καὶ ἀσώματος, τῶν δ' ἀμερῶν οὐ τὸ μὲν κινή-
5 σεται τὸ δὲ ἠρεμήσει (οὕτω γὰρ οὐκ ἂν ἦν ἀμερῆ) οὐκ ἂν εἴη οὔτε ἡ
καρδία οὔτε αὐτὸ τὸ πνεῦμα ἡ ψυχή, ἀλλ' ἄλλο τι εἶδος οὖσα τούτων καὶ
ἀκίνητος. εἰ γὰρ κινεῖται, πάλιν τὰ αὐτὰ ἐροῦμεν ὅτι ἀνάγκη τὸ μὲν 30
αὐτῆς κινεῖσθαι τὸ δὲ ἠρεμεῖν· οὕτω δὲ πάλιν σῶμα ἂν εἴη καὶ οὐκ
ἀσώματον, καὶ οὐκ εἶδος, ἀλλ' ὑποκείμενον καὶ ὕλη.

10 p. 702ᵇ32 Ἀλλὰ μὴν ἐνδέχεται τὸ Γ τῷ Β ἅμα κινεῖσθαι.

Τὸ Γ ἐν θατέρῳ τῆς καρδίας μέρει νεῦρον ἔθεμεν. τὸ δὲ ἅμα
πάλιν ἀντὶ τοῦ παρὰ μέρος· ἐνδέχεται γὰρ μετὰ τὸ κινηθῆναι τὸ δεξιὸν
κινηθῆναι τὸ ἀριστερόν. ὥστε καὶ τὸ μέρος τῆς καρδίας, ἐν ᾧ ἐρρίζωται 35
τὸ ἀριστερὸν νεῦρον, κινηθήσεται.

15 p. 702ᵇ32 Ὥστ' ἀνάγκη ἀμφοτέρας τὰς ἀρχὰς τὰς ἐν τῷ Α κινου-
μένας κινεῖν.

Ἀρχὰς λέγων τὰ δεξιὰ καὶ ἀριστερὰ μέρη τῆς καρδίας καὶ τοῦ πνεύ-
ματος. ἦν δ' ἂν καταλληλότερον, εἰ οὕτως εἶχεν ἡ γραφὴ 'ὥστε ἀνάγκη
ἀμφότερα τὰ μέρη τοῦ Α κινούμενα κινεῖν'. οὐ γὰρ τὸ πνεῦμα μόνον
20 κινεῖται, ἀλλὰ καὶ ἡ καρδία. δεῖ τι ἄρα εἶναι παρὰ ταύτας τὰς ἀρχὰς
ἕτερόν τι, ὅπερ κινήσει μὴ κινούμενον. ὡς γὰρ οἱ ἀπερείδοντες τὰ νῶτα
καὶ κινοῦντες τὰ σκέλη ἄλλο τι ἔχουσιν ἐν αὐτοῖς τὸ κινοῦν τὰ σκέλη, 45
οὕτω κἀνταῦθα εἶναι δεῖ τι ἄλλο παρὰ τὸ κινοῦν κινούμενον καὶ αὐτό.
ἀναλογεῖ δὲ τοῖς μὲν νώτοις τὸ δεξιὸν καὶ ἀριστερὸν τῆς καρδίας καὶ τοῦ
25 πνεύματος, τοῖς δὲ σκέλεσι τὰ ΒΓ νεῦρα.

p. 703ᵃ4 Κατὰ μὲν οὖν τὸν λόγον τὸν λέγοντα τὴν αἰτίαν τῆς
κινήσεώς ἐστιν ἡ ὄρεξις τὸ μέσον, ὃ κινεῖ κινούμενον.

Τὸ λεγόμενόν ἐστιν ὅτι κατὰ τὸν λόγον τὸν λέγοντα καὶ δεικνύντα τὸ 50
αἴτιον τῆς κινήσεως φαίνεται ὅτι ἡ ὄρεξίς ἐστιν, ἥτις ἀκίνητος οὖσα, ἐπεὶ

---

1 αὐτοῦ CPR 2 μὴ ante στιγμὴν om. Ca μὴ ante τοῦτο om. a
3 αὐτῶν fort. delendum: αὐτοῦ C 5 ἀμερῆ scripsi: ἀμερής CRSa: ἀμερές P
8 καὶ om. Pa 9 οὐκ om. CPR 11 μέρει τῆς καρδίας coll. CPR 15 ἀρχὰς
τῶν ἐν τῷ a 17 λέγει CPR 18 ἦν] εἴη CPR post ἂν add. καὶ a
καταλληλοτέρα P εἶχεν] ἔχοι P: ἔχει CR 21 ὥσπερ οἱ CPR 22 ἄλλο
τι—σκέλη om. S αὐτοῖς CPR 26 οὖν om. PR τῆς] εἶναι S
27 ἐστὶν ἡ ὄρεξις—κινήσεως (29) om. CPR 29 ἡ om. CPR ἀκίνητον a

καὶ πᾶσα ἡ ψυχὴ ἀκίνητος, ἧς αὕτη μέρος ἢ δύναμις οὖσα τυγχάνει, 155v
ἥτις δὴ ἀκίνητος οὖσα κινεῖ τὸ κινούμενον καὶ κινοῦν. τοῦτο γὰρ δεῖ
προσυπακούειν· τὸ γὰρ πνεῦμα καὶ ἡ καρδία κινούμενα κινοῦσι. δύναταί
τις τοῦ δ κινεῖ κινούμενον καὶ ἐπὶ τῆς ὀρέξεως ἀκούειν. εἰ γὰρ καὶ
5 μὴ κινεῖται ἡ ὄρεξις (τὰ γὰρ εἴδη ἀκίνητα) ἀλλ' οὖν διεγείρεται ὑπὸ τῶν
ὀρεκτῶν, | ἵν' ᾖ τὸ κινούμενον ἀντὶ τοῦ 'διεγειρόμενον καὶ ἐπιτήδειον 156r
γινόμενον πρὸς τὸ κινῆσαι τὸ ζῷον'. ἢ τὸ λεγόμενόν ἐστι διὰ τοῦ δ
κινεῖ κινούμενον 'κατὰ τὸν τοιοῦτον λόγον δόξειεν ἂν τὸ κινοῦν καὶ
κινούμενον ὅτι ἡ ὄρεξίς ἐστιν· οὐκ ἔστι δὲ αὕτη, ἀλλὰ δεῖ εἶναι σῶμά τι,
10 δ κινεῖ κινούμενον καὶ αὐτό'.

p. 703a6 Τὸ μὲν οὖν κινούμενον, μὴ πεφυκὸς δὲ κινεῖν δύναται πάσχειν κατὰ ἀλλοτρίαν δύναμιν.

Πανάληθες καὶ τοῦτο· πᾶν γὰρ δ κινεῖται μόνον, οὐ πέφυκε δὲ κινεῖν, 15
πάσχει κατὰ τὴν τοῦ κινοῦντος δύναμιν καὶ ἄγεται ὡς ἂν ἐκεῖνο ἄγῃ.
15 τοιοῦτον δέ τί ἐστι καὶ πᾶν σῶμα ζῴου· κατὰ γὰρ τὴν ψυχὴν καὶ αὐτὸ
κινεῖται, ὥσπερ ὁ ὀρχηστὴς κατὰ τὴν ὄρχησιν. σαφῆ δὲ τὰ ἑξῆς. περὶ
δὲ τῆς τοῦ πνεύματος σωτηρίας οἰκεῖον ἦν εἰπεῖν ἐν τοῖς Περὶ τροφῆς.
λέγει δ' ἔχειν τὸ τοιοῦτον πνεῦμα πρὸς τὴν ψυχὴν ὥσπερ τὸ κινοῦν καὶ
κινούμενον μέρος ἐν ταῖς καμπαῖς πρὸς τὸ ἀκίνητον. ὥσπερ δὲ οὐ τὰ 20
20 μέρη ἀεὶ τὰ αὐτά ἐστιν, ἀλλ' ἐν κινήσει (ἐν ἐπιρροῇ γὰρ καὶ ἀπορροῇ),
οὕτως καὶ τὸ σύμφυτον πνεῦμα.

p. 703a24 Δεῖ δὲ τὸ μέλλον κινεῖν μὴ ἀλλοιώσει τοιοῦτον εἶναι.

Ὑποστικτέον εἰς τὸ ἀλλοιώσει, εἶθ' οὕτως ἐπακτέον τὸ τοιοῦτον.
ἔστι δὲ δηλωτικὸν τὸ τοιοῦτον τοῦ ἔχειν βάρος καὶ κουφότητα· τὸ γὰρ
25 ἐν ἡμῖν θερμὸν καὶ βαρὺ καὶ κοῦφόν ἐστιν ὥσπερ ὁ ἀήρ. εἴη δ' ἂν τὸ
λεγόμενον 'δεῖ τὸ μέλλον κινεῖν τὴν κατὰ τόπον κίνησιν, ἀλλὰ μὴ τὴν κατ'
ἀλλοίωσιν βάρος ἔχειν καὶ κουφότητα. κινεῖ γὰρ τὸ πῦρ τὸ ὕδωρ καὶ 35
ἄγει ἀπὸ τοῦ ψυχροῦ εἰς τὸ θερμόν, ἀλλ' οὐ κατὰ τόπον αὕτη ἡ μεταβολή,
ἀλλὰ κατ' ἀλλοίωσιν· τὸ δ' ἐν τῇ καρδίᾳ θερμὸν καὶ ἀλλοιοῖ ἡμᾶς καὶ τῆς
30 κατὰ τόπον κινήσεως ἡμῖν ἐστιν αἴτιον. ἀλλ' ὅμως ᾗ μὲν κοῦφον, ἀντέχει
πρὸς τὰ βαρέα τὰ ὠθοῦντα καὶ ἀποβιαζόμενα αὐτὸ κάτω, καὶ οὐκ ἐξίσταται τῆς οἰκείας ἕδρας, ᾗ δὲ πάλιν βαρύ ἐστιν, ἀντέχει πρὸς τὰ βαρέα τὰ

---

3 κινοῦσι] κινεῖ CPR 8. 9 κατὰ—κινούμενον om. P 11 post κινούμενον add. μὲν a Arist. PS 12 πάσχειν ἀλλοτρίᾳ δυνάμει a κίνησιν P 14 ἄγοι CPRS
15 τί om. P 17 ἐν τοῖς Περὶ τροφῆς] v. Bonitz Ind. Arist. p. 104b16
18 λέγειν δ' ἔχει S 23 ὑποστατέον S post τοιοῦτον add. εἶναι a
27 ἔχειν ἡ κουφότητα CPR 30 ἔστιν ἡμῖν coll. CPR ὅμως] ἴσως a
32 πρὸς τὰ κοῦφα τὰ CPR

ἀνωθοῦντα καὶ ἀναρριπτοῦντα αὐτὸ ἄνω (ἀνάγκη γὰρ τὰ βαρέα πρὸς τὸ 156r
κάτω φερόμενα ἀνωθεῖν αὐτὸ ἄνω)· ὥστ' ἐπεὶ καὶ βαρὺ καὶ κοῦφόν ἐστιν, 40
οὔτ' ἂν ἄνω εἴη (ἦν γὰρ ἂν κοῦφον μόνως), οὔτε κάτω (ἦν γὰρ ἂν βαρὺ
μόνως) ἀλλὰ μέσον· ἐν ᾧ δὲ τοῦτο, ἐν τούτῳ καὶ ψυχή. ἐν τῷ μέσῳ
5 ἄρα ἡ ψυχή'. ὅτι δὲ καὶ βαρὺ καὶ κοῦφόν ἐστι, δῆλον ἐντεῦθεν· συστέλ-
λεται γὰρ καὶ ἐκτείνεται κατὰ φύσιν καὶ οὐ βίᾳ, τὸ δ' ἐκτεινόμενον ἄνω
καὶ κάτω κινεῖται, τὸ δὲ οὕτω κινούμενον βαρὺ καὶ κοῦφόν ἐστιν. τοιοῦτον
δὲ τὸ πνεῦμα, ἐν ᾧ κινουμένῳ κινεῖ τὰ ζῷα ἡ ψυχή. ἀπεικάζει δὲ τὸ
ζῷον πόλει εὐνομουμένῃ. ὥσπερ γὰρ ἐπὶ ταύτης οὐ δεῖ παρεῖναι ἐφ' 45
10 ἑκάστῃ πράξει τὸν βασιλέα, ἀλλ' ἕκαστος τῶν ὑπ' αὐτοῦ ταχθέντων πράττει
τὸ οἰκεῖον ἔργον διὰ τὸ ἔθος, αὐτοῦ τοῦ βασιλέως μένοντος εἰς τὰ ἀνά-
κτορα, οὕτω καὶ ἐν τοῖς ζῴοις διὰ τὴν κινοῦσαν φύσιν ἕκαστον τῶν μερῶν
πράττει τὸ οἰκεῖον μενούσης τῆς ψυχῆς ἐν τῇ καρδίᾳ ὥσπερ τινὸς βασι-
λέως εἰς τὰ βασίλεια· ἀλλ' ἐπὶ μὲν τῆς πόλεως πράττεται διὰ τὸ ἔθος
15 (ὡς γὰρ ἔχουσιν ἔθος, οὕτω καὶ πράττουσι τάδε μετὰ τάδε), ἐν δὲ τοῖς
ζῴοις διὰ τὴν φύσιν. 50

p. 703b4 Κινεῖται δέ τινας καὶ ἀκουσίους ἔνια τῶν μορίων, τὰς δὲ πλείστας οὐχ ἑκουσίους. |

Τὸ οὐχ ἑκούσιον μεταξύ ἐστιν ἀκουσίου καὶ ἑκουσίου, ὡς ἐπεσημήνατο 156v
20 καὶ ἐν τοῖς Ἠθικοῖς τοῖς ἐπιγραφομένοις Νικομαχείοις. ὅταν μὲν γὰρ
ἐξαίφνης ἐπιστῇ γυνὴ τὸ εἶδος παγκάλη ἢ πολέμιος μηδὲν ἡμῶν περὶ τού-
των ἀναλογιζομένων, καὶ ἐπὶ τῇ ἐπιστάσει αὐτῶν κινηθῇ διὰ μὲν τὴν
γυναῖκα τὸ αἰδοῖον, διὰ δὲ τὸν πολέμιον ἡ καρδία, ἡ τοιαύτη τούτων
κίνησις ἀκούσιος· ὅταν δὲ ἀναπλάσηται τῇ διανοίᾳ γυναῖκα καὶ περιεργά- 10
25 σηται τὸ εἶδος αὐτῆς ἕκαστόν τε τῶν μερῶν καὶ μελῶν, καὶ καλὴν εἶναι φήσῃ
ἡδεῖάν τε πρὸς ὁμιλίαν, καὶ ἐκ τῆς τοιαύτης γε τῆς διανοίας καὶ περιεργα-
σίας καὶ τῆς ἐπακολουθησάσης αὐτῇ συγκαταθέσεως κινηθῇ τὸ αἰδοῖον,
πάλιν τὴν τοιαύτην τοῦ αἰδοίου κίνησίν φαμεν ἑκούσιον. οὐχ ἑκούσια δὲ
ὕπνος, ἐγρήγορσις, τὰ ὅμοια. ᾗ μὲν γὰρ οὐ συγκατέθετο ὁ νοῦς ὅτι ὑπνω-

---

1 καὶ] ἢ a γὰρ om. et τὰ βαρέα post φερόμενα (2) ponunt CPR 1. 2 τὰ κάτω CPRa 3 εἴη scripsi: ἢ libri, ex ἦν corr. P¹ γὰρ prius om. S κοῦφον μόνον CPR 5 ἐστὶν οὔτ' ἂν ἄνω ἢ δῆλον PR 6 γὰρ om. CPR βίαν S ante ἄνω add. καὶ PR 7. 8 ἐστιν—πνεῦμα] καὶ (supr. vers.) ἔστι τὸ τοιοῦτον πνεῦμα S 8 κινούμενον PR 10 ὑπ' αὐτῶ PR 11. 12 τὸ ἀνάκτορον P 13 τὸ οἰκεῖον in marg. R 17 μερῶν Ra Arist. 18 πλείστους a 19 ἑκουσίου καὶ ἀκουσίου PR ἐπεσημήνατο post Νικομαχείοις ponunt adduntque ἐν ὧ περὶ ἑκουσίου καὶ ἀκουσίου ἔλεγεν CPR 20 καὶ om. CPRa ἐν τοῖς Ἠθικοῖς—Νικομαχείοις] Γ 2 21 πάγκαλος CPR πόλεμος S 22 post ἐπὶ add. μὲν P κινηθῇ post γυναῖκα (23) ponunt CP: κινηθῆναι (pariter mutato verb. ordine) R μὲν διὰ coll. S 23 πόλεμον RS 24 ἀναπλάσσηται C 25 μελῶν καὶ μερῶν coll. CPR 26 γε] δὲ S: om. CPR 26. 27 περιεργίας τῆς διανοίας PR 28 τὴν] δὲ R τοῦ αἰδοίου om. P

τέον, ἔοικε τῷ ἀκουσίῳ, ᾗ δὲ ὅλως ἐν ἡμῖν ἡ ἀρχὴ τοῦ ὕπνου, ἔοικε τῷ 156v
ἑκουσίῳ. πῶς γὰρ ἂν ἑκούσιον εἴποι τις τὸν ὕπνον, οὗ οὐκ ἔστιν ἡ φαν- 15
τασία ἢ ἡ διάνοια αἰτία; ἀλλὰ μὴν οὐδ' ἀκούσιον· ἐν ἡμῖν γὰρ ἡ αἰτία
τοῦ ὕπνου, ὡς μεμαθήκαμεν ἐν τῷ πρὸ τούτου βιβλίῳ ἐν οἷς διελέγετο
5 πῶς ὁ ὕπνος γίνεται. οὔτε οὖν ὁ νοῦς οὔθ' ἡ φαντασία ἐστὶν αἰτία, ἀλλ'
ἐπεὶ ἀναγκαῖον ἀλλοιοῦσθαι τὰ ζῷα φυσικήν τινα ἀλλοίωσιν, διὰ τοῦτο συμ-
βαίνει κινεῖσθαι ἅμα τῷ φανέντι· τοῦτο γὰρ οἶμαι προσυπακούειν καὶ ὡς
ἔοικε πρὸς τούτῳ δεῖ καὶ στίζειν τελείαν εἰς τὸ φυσικήν τινα ἀλλοίωσιν
(φαίνεται γὰρ ἐν τούτῳ ἡ ἀπόδοσις οὖσα τοῦ λόγου) ἀναγινώσκειν δὲ ὡς ἀπ' 20
10 ἄλλης ἀρχῆς τὸ ἀλλοιουμένων δὲ τῶν μορίων τὰ μὲν αὔξεσθαι τὰ
δὲ φθίνειν οὕτως 'οὐ μόνον δὲ κατ' ἀλλοίωσιν ἀθρόαν τὸ αἰδοῖον καὶ ἡ
καρδία κινοῦνται, ἀλλὰ καὶ αἱ αὐξήσεις καὶ αἱ φθίσεις τῶν μορίων ἀλλοιου-
μένων τῶν ζῴων συμβαίνουσι'. δύναταί τις μόρια σύμφυτα ἀκούειν ἐν τῇ
καρδίᾳ τὸ πνεῦμα καὶ τὰ ὑπ' αὐτοῦ κινούμενα νεῦρα· ᾧ σύμφωνον ἂν εἴη
15 καὶ τὸ ἐπαχθὲν τὸ καὶ μεταβάλλειν τὰς πεφυκυίας ἔχεσθαι μεταβολὰς ἀλλήλων. παρὰ τὸν λόγον δὲ κινήσεις λέγει τὰς ἀκουσίους· 25
καὶ γὰρ αὗται ἀλλοιουμένων τινῶν γίνονται, αἵτινες καὶ αὗται γίνονται οὐ
μόνον φανέντος τινὸς κατὰ τὴν αἴσθησιν, ἀλλὰ καὶ μὴ φανέντος τινός,
ἡμῶν δ' ἐξαίφνης φαντασθέντων τοῦ λόγου μὴ κελεύοντος πολλάκις κινεῖται
20 τὸ αἰδοῖον· ἡ γὰρ φαντασία τὸ εἶδος τῆς γυναικὸς προφέρει.

p. 703b20 Μάλιστα δὲ τῶν μορίων ταῦτα ποιεῖ ἐπιδήλως.

Ταῦτα λέγει τὸ αἰδοῖον καὶ τὴν καρδίαν. ἀπὸ πάντων, φησί,
τῶν μορίων ταῦτα μόνα, ἥ τε καρδία καὶ τὸ αἰδοῖον, ποιοῦσιν ἐπίδηλον ἣν
κινοῦνται κίνησιν. ταῦτα οὖν ἐπιδήλως κινοῦνται διὰ τὸ ὥσπερ ζῷον εἶναι 35
25 ἑκάτερον αὐτῶν· ὥσπερ γὰρ τὰ ζῷα κινεῖται, οὕτω καὶ ταῦτα διὰ τὸ
εἶναι αὐτὰ ὥσπερ ζῷα κεχωρισμένα καὶ καθ' αὑτά. πῶς δὲ ἅλλεται ἡ
καρδία καὶ σφύζει, αὐτὸς ἐρεῖ ἀκριβέστερον ἐπὶ τέλει τοῦ Περὶ γήρως καὶ
νεότητος. εἰπὼν δὲ διὰ τὸ ὥσπερ ζῷον εἶναι ἑκάτερον αὐτῶν
ἐπήγαγε τούτου δ' αἴτιον, τουτέστι τοῦ δὲ εἶναι ὥσπερ ζῷα αἴτιον τὸ

---

2 εἴπῃ S 2. 3 ἡ φαντασία οὐκ ἔστιν coll. CPR 3 ἀκούσια PR 4 ἐν τῷ πρὸ τούτου βιβλίῳ κτλ.] de somno et vig. 3 ἐν ante τῷ om. R διελέγετο] ἔλεγε τὸ PR 6 ἐπειδὴ CPR ἀνάγκη CPRa 6. 7 post συμβαίνει add. ἀλλοιοῦσθαι ἤγουν CPR 7 φανέντι] φανῆναι CPR τούτου R 7. 8 καὶ ὡς ἔοικε om. a 8 πρὸ τούτου CP δεῖ post οἶμαι (7) ponit a τελείαν om. P 9 οὖσα ἡ ἀπόδοσις coll. CPR 12 κινεῖται C 13 post δύναται add. δὲ a 14 τὸ om. PR, post ἀκούειν (13) ponit C 15. 16 μεταβολὰς] κινήσεις CPR 18 μὴ καὶ coll. C 19 ἡμῶν γὰρ Ca, fort. recte 20 προσφέρει Ca cf. Arist. 24 οὖν—κινοῦνται] δὲ CPR 25 γὰρ] δὲ PR 26 ὥσπερ ζῶα εἶναι αὐτὰ coll. PR: ὥσπερ ζ. εἶναι ταῦτα C 27. 28 ἐπὶ τέλει τοῦ Περὶ γήρως καὶ νεότητος] immo τοῦ Περὶ ἀναπνοῆς c. 20 27 ἐπὶ τῷ τέλει CR: ἐν τῷ τ. P 28 post νεότητος add. καὶ ζωῆς καὶ θανάτου CPR

ἔχειν ὑγρότητα ζωτικήν· ἡ μὲν γὰρ καρδία διὰ τὸ ἔχειν τὴν ἀρχὴν 156ᵛ τῶν αἰσθήσεων (τὸ δὲ ζῷον ἐν τῷ αἰσθάνεσθαι τὸ εἶναι ζῷον ἔχει· τῷ γὰρ ἔχειν αἴσθησιν διαφέρει τῶν μὴ ζώων τὸ ζῷον), τὸ δὲ αἰδοῖον διὰ τὸ ὥσπερ ζῷον ἐξέρχεσθαι ἐξ αὐτοῦ τὸ σπέρμα, δυνάμει ὂν ζῷον· τὸ γὰρ σπέρμα δυνάμει ἐστὶ ζῷον, ὡς ἐν τῷ Περὶ γενέσεως ζώων δείκνυται.

p. 703ᵇ26 Αἱ δὲ κινήσεις τῇ τε ἀρχῇ ἀπὸ τῶν μορίων, καὶ τοῖς μορίοις ἀπὸ τῆς ἀρχῆς εὐλόγως συμβαίνουσι.

Εἴρηται πρὸ ὀλίγου ὅτι τῶν νεύρων τεινομένων συντείνεται ἡ καρδία· ὥστε τὰ μὲν μόρια κινοῦνται ἀπὸ τῆς ἀρχῆς καὶ ἡ ἀρχὴ πάλιν ἀπὸ τῶν μορίων. καὶ ὡς ἔθος τίθεται ἐπὶ στοιχείων τὴν ἀρχὴν καὶ τὰ μόρια, 'ἔστω γὰρ ἀρχὴ' λέγων 'τὸ Α, μόρια δὲ τὰ ΒΓ'. ταῦτα λέγει ἐπιγεγραμμένα στοιχεῖα. καὶ Β ἔστω πάλιν τὰ δεξιά, Γ δὲ τὰ ἀριστερά. αἱ δὲ κινήσεις τῶν δεξιῶν καὶ ἀριστερῶν ἐπὶ τὴν ἀρχὴν τὴν καρδίαν ἀφικνοῦνται (συγκινεῖται γὰρ αὐτοῖς) καὶ ἀπὸ ταύτης δὲ γίνονται· ταύτης γὰρ καὶ τοῦ ἐν αὐτῇ πνεύματος κινουμένων κινεῖται τὰ δεξιὰ καὶ ἀριστερά. καὶ ἡ μὲν τοῦ Β ἀρχὴ ἐπὶ τὸ Β· ἡ γὰρ | ἀρχὴ καὶ αἰτία τῆς τῶν δεξιῶν κινήσεως ἐπὶ 157ʳ τὰ δεξιὰ διαδίδοται, ὥσπερ ἡ τῶν ἀριστερῶν ἐπὶ τὰ ἀριστερά. οὔτε γὰρ ἡ τῶν δεξιῶν ἐπὶ τὰ ἀριστερὰ ἀφικνεῖται ἢ διαδίδοται, οὔτε αὖ πάλιν ἡ τῶν ἀριστερῶν ἐπὶ τὰ δεξιά, ἀλλ' ἑκάστη πρὸς τὸ οἰκεῖον μέρος ἀποτείνεται. ἡ δὲ τοῦ Γ πάλιν ἀρχὴ ἐπὶ τὸ Γ τὰ ἀριστερά, ἡ δ' ἀμφοῖν ἐπ' ἄμφω, τουτέστιν ἡ δὲ τοῦ Β καὶ Γ ἐπὶ τὸ Β καὶ Γ· ἡ γὰρ δεξιὰ καὶ ἀριστερὰ ἀρχὴ ἐπὶ τὰ δεξιὰ καὶ ἀριστερὰ περαιοῦνται. ἀπὸ δὲ τοῦ Β ἐπὶ τὸ Γ· λείπει τὸ οὐκέτι, ἵν' ᾖ 'ἀπὸ δὲ τοῦ Β ἐπὶ τὸ Γ οὐκέτι'. ἡ γὰρ τοῦ Β ἀρχή, ὥσπερ εἴρηται, ἐπὶ τὸ Γ οὐ διαδίδοται, οὐδ' ἡ τοῦ Γ ἐπὶ τὸ Β. καὶ ἡ μὲν ἀπὸ τοῦ Β κίνησις ἐπὶ τὸ Α ὡς ἐπ' ἀρχήν, ἡ δ' ἀπὸ τοῦ Α ἐπὶ τὸ Β ὡς ἀπ' ἀρχῆς.

p. 703ᵇ36 Ὅτι δὲ ὁτὲ μὲν ταῦτα νοησάντων γίνεται κίνησις ἡ παρὰ τὸν λόγον.

Ἐπειδὴ πολλάκις νοήσαντες γυναῖκα ἢ ἐχθρόν, κινεῖται τὸ αἰδοῖον καὶ

---

1 ante ὑγρότητα add. ὥσπερ CPR 3 τὸ ζῶον τῶν μὴ ζώων coll. CPR 4 ἐξ] ἀπ' Ca: τε S τὸ post αὐτοῦ om. PR 5 ἐστὶ om. a ἐν τῷ Περὶ γενέσεως ζώων] cf. A 18 sqq.: περὶ ζώων γενέσεως coll. CPR 6 τῆς τε ἀρχῆς CRS 6. 7 καὶ τῶν μορίων CR 8 πρὸ ὀλίγου] p. 124,8 9 κινεῖται CPR post πάλιν add. κινεῖται PR 10 τίθεται] τίθησιν a 11 τὸ βγ CPRa 14 ταύτης γὰρ] ταύτης δὲ C 15 αὐτῇ] αὐτοῖς P¹a συγκινεῖται CPR 16 ἐπὶ τὰ β CPRS 17 δέδοται PR: δίδοται C 18 ἐπὶ τὰ ἀριστερὰ ἡ τῶν δεξιῶν coll. CPR δίδοται CPR αὖ om. PR 18. 19 πάλιν ἀπὸ τῶν PR 19 πρὸς] ἐπὶ CPR 20 ἀμφοῖν] ἄμφω CPRS 22 περαιοῦνται] κινοῦνται P: κινοῦνται καὶ περαιοῦνται CR 27 Ὅτι] Ἔτι a Arist. EP ταῦτα om. CPR ante κίνησις add. ἡ a Arist. 29 νοήσαντες] νοησάντων ἡμῶν CPR

ἡ καρδία, πολλάκις δὲ νοήσαντες οὐ κινεῖται, αἴτιον, φησί, τοῦ ποτὲ μὲν 157r κινεῖσθαι ποτὲ δὲ μὴ ἡ ὕλη. ἢ γὰρ οὐκ ἔστιν ὅλως ὕλη καὶ διὰ τοῦτο οὐ κινεῖται τὸ αἰδοῖον, ἢ ἔστι μέν, ἀλλ' οὐ τοσαύτη καὶ τοιαύτη, ὥστε δύνασθαι κινῆσαι. ὧδε οὖν πεπλήρωται καὶ ἡ Περὶ ζῴων κινήσεως πραγ-
5 ματεία καὶ αἱ εἰς αὐτὴν σχολαί.

---

1 νοησάντων PR φησὶν αἴτιον coll. CPR 4. 5 ὧδε—σχολαί om. CPR
subscr. Τέλος τῶν σχολίων εἰς τὸ περὶ ζώων κινήσεως ἀριστοτέλους a: ἐνταῦθα τέρμα τοῦ παρόντος βιβλίου C

MICHAELIS EPHESII

IN LIBRUM

DE ANIMALIUM INCESSU

COMMENTARIUM

Τῆς προκειμένης πραγματείας τῆς Περὶ ζῴων πορείας ἐπιγραφομένης τὸν σκοπὸν τίς ποτέ ἐστι καὶ περὶ τίνων ἐνταῦθα δεῖ διαλαβεῖν, αὐτὸς εὐθὺς ἀρχόμενος τοῦ βιβλίου ἀνακηρύττει λέγων περὶ δὲ τῶν χρησίμων μορίων τοῖς ζῴοις πρὸς τὴν κατὰ τόπον κίνησιν ἐπισκεπτέον διά τίνα αἰτίαν ἕκαστον αὐτῶν τοιοῦτόν ἐστιν καὶ τίνος ἕνεκεν ὑπάρχει αὐτοῖς, ἔτι δὲ περὶ τῶν διαφορῶν τῶν πρὸς ἄλληλα τοῖς τοῦ αὐτοῦ καὶ ἑνὸς ζῴου μορίοις, καὶ πρὸς τὰ τῶν ἄλλων τῶν τῷ γένει, ἤτοι τῷ εἴδει διαφόρων. διαφέρει μὲν γὰρ πρὸς ἄλληλα τὰ μόρια τοῦ αὐτοῦ καὶ ἑνὸς τῷ ἀριθμῷ ζῴου, οἷον τοῦδε τοῦ ἵππου τῷ τὰ μὲν ἐμπρόσθια σκέλη κάμπτειν πρὸς τὰ ὀπίσθια, τὰ δὲ ὀπίσθια πρὸς τὰ ἐμπρόσθια· τῶν δὲ διαφόρων τῷ εἴδει διαφέρουσι τὰ μόρια, ὅτι ὃ ἐπ' ἀνθρώπου χεῖρες, τοῦτο ἐπ' ὄρνιθος πτέρυγες, ἐπὶ δὲ τῶν τετραπόδων τὰ ἐμπρόσθια σκέλη. καί εἰσιν αἱ χεῖρες καὶ αἱ πτέρυγες καὶ τὰ πρόσθια τῶν τετραπόδων σκέλη τῷ μὲν ἀνάλογον τὰ αὐτά, τῷ δ' εἴδει ἕτερα. ἀλλὰ πῶς μὲν καὶ ποῦ τὴν κάμψιν τῶν σκελῶν ποιεῖται ἕκαστον τῶν ζῴων, μετ' ὀλίγον ἐροῦμεν, ἐπὰν καὶ αὐτὸς περὶ τούτων λέγῃ. ταῦτα δὲ εἰπὼν λέγει ὅτι ληπτέον καὶ κεφαλαιωδῶς θετέον πάντα τὰ προβλήματα, περὶ ὅσων μέλλει τὴν ἐπίσκεψιν ποιήσασθαι. φησὶ δὲ ὅτι τούτων ἓν μέν ἐστιν ἐν πόσοις ἐλαχίστοις σημείοις τὰ ζῷα κινεῖται· δείξει δὲ ὅτι τὰ ἔναιμα τέτρασιν ἐλαχίστοις, τὰ δ' ἄναιμα πλείοσιν. σαφῆ δὲ τὰ ἑξῆς. τὸ δὲ ὁ μὲν γὰρ ἄνθρωπος περὶ τὴν περιφέρειαν κάμπτει τὸ σκέλος, ὁ δὲ ὄρνις ἐπὶ τὸ κοῖλον, ἀσαφὲς ὄντως ὂν καὶ αἰνίγματι ἐοικὸς οὕτως ἂν οἶμαι σαφὲς γένοιτο. νενοήσθω ἄνθρωπός τις ἐξ εὐθυωρίας καμφθεὶς εἰς κύκλον, ὥστε ἅπτεσθαι τῆς οἰκείας κεφαλῆς μετὰ τῶν δακτύλων τῶν οἰκείων ποδῶν,

---

1 Ἀριστοτέλους om. S 3 τίς τέ ἐστιν PR λαβεῖν PR 8 ἑνὸς om. S
10 τῷ (ante τὰ)] τὸ PR 10. 11 μὲν πρόσθια σκέλη PR 12 ὅ] ὅπερ PR
14 καὶ ante εἰσὶν om. PR ἐμπρόσθια a 15 ἀναλόγω PR 17 ἐπειδὰν PR
δὲ om. a 19 μέλλομεν PR ποιήσεσθαι P μὲν ἓν coll. P
20 ante τέτρασιν add. ἐν a 23 ὄντος ὂν a 24 γένηται Sa τις om. a
25 δακτύλων τοῦ ποδὸς a

καὶ εἶναι τοῦ ἐκ τῆς κάμψεως αὐτοῦ ἀποτελεσθέντος κύκλου τὴν μὲν κυρτὴν 176r
περιφέρειαν τὸ ἰνίον, τὴν ῥάχιν πᾶσαν, τὰς γαστροκνημίας καὶ αὐτὰς τὰς
πτέρνας, τὴν δὲ κοίλην τὸ βρέγμα, τὰ στέρνα, τὰ ἐμπροσθοκνήμια ἄχρι
τῶν δακτύλων τῶν ἑαυτοῦ ποδῶν. τοῦτ' οὖν νενοήσθω καὶ ἐπὶ τῶν ὀρνίθων.
5 εἰ δὴ ὁ ἄνθρωπος ὁ ἐξ εὐθείας εἰς κύκλον καμφθεὶς κάμψει τοὺς οἰκείους 40
πόδας ὡς πεφύκασι κάμπτεσθαι, δῆλον ὅτι πρὸς τῇ ὀσφύι καὶ τῇ ῥάχει
καμφθήσονται. πρὸς γὰρ τῇ ὀσφύι καὶ τῇ ῥάχει κάμπτονται κατὰ φύσιν
ἡμῶν καμπτόντων αὐτούς, ὥστε εἰ ὕπτιοι πεσόντες ἐπὶ πολὺ κάμψομεν
αὐτούς, ἅπτονται αἱ πτέρναι τῆς ὀσφύος· ὥστε πρὸς αὐτῇ καὶ τῇ ῥάχει
10 ἡ κατὰ φύσιν κάμψις γίνεται τῶν ποδῶν. τὸ δὲ πρὸς τὴν ῥάχιν κάμπτειν
ταὐτόν ἐστι τῷ πρὸς τὴν κυρτὴν περιφέρειαν τοῦ κύκλου κάμπτειν· τοῦτο 45
γὰρ καὶ αὐτὸς ἐδήλωσε διὰ τοῦ ὁ μὲν γὰρ ἄνθρωπος περὶ τὴν περι-
φέρειαν κάμπτει τὸ σκέλος. καὶ δεῖ ἐν τῇ τοιαύτῃ λέξει προσυπακούειν
τὸ τὴν κυρτήν, ἵν' ᾖ τὸ πλῆρες 'ὁ μὲν γὰρ ἄνθρωπος κάμπτει τὸ σκέλος
15 περὶ τὴν κυρτὴν περιφέρειαν τοῦ ὑπὸ τῆς τοῦ σώματος αὐτοῦ κάμψεως
γεγονότος κύκλου. ἐπὶ δὲ τοῦ ὄρνιθος, ἐπεὶ τὴν τῶν σκελῶν κάμψιν
οὗτος κατὰ φύσιν περὶ τὸ στῆθος ποιεῖται, καὶ οὐ περὶ τὴν ῥάχιν, δῆλον
ὅτι περὶ τὴν κοίλην | περιφέρειαν τοῦ ἐξ αὐτοῦ γεγονότος κύκλου τὴν 176v
τῶν σκελῶν κάμψιν ποιεῖται. τὸ γὰρ περὶ τὸ στῆθος ταὐτόν ἐστι τῷ περὶ
20 τὴν κοίλην περιφέρειαν τοῦ κύκλου κάμπτειν· τοῦτο γὰρ πάλιν ἐδήλωσε διὰ
τοῦ ὁ δ' ὄρνις ἐπὶ τὸ κοῖλον. πάλιν ἁπτέσθω ἡ χεὶρ τῆς κεφαλῆς καὶ
πεποιήσθω κύκλον κυρτὴν μὲν ἔχοντα περιφέρειαν τὸν ἀγκῶνα, καὶ πᾶν τὸ
ἐκτὸς τῆς χειρὸς ἄχρι τῶν ὀνύχων, κοίλην δὲ πᾶν τὸ ἐντός· δῆλον δὴ ἐκ 5
τῶν εἰρημένων ὅτι τὴν κατὰ φύσιν κάμψιν περὶ τὴν κοίλην τοῦ κύκλου
25 ποιεῖται περιφέρειαν. ἁπτέσθω δὴ καὶ ἐπὶ τῶν τετραπόδων τῆς κεφαλῆς
ὁ ἐμπρόσθιος πούς, καὶ γινέσθω κύκλος ἔχων τὸ μὲν πρόσθιον μέρος τοῦ
ποδός, ὅπερ ἐπὶ ἀνθρώπου μόνου λέγεται ἐμπροσθοκνήμιον, κοίλην περι-
φέρειαν, τὸ δ' ὀπίσθιον, ὅπερ πάλιν ἐπὶ ἀνθρώπου μόνου λέγεται γαστρο-
κνήμιον, κυρτὴν περιφέρειαν· καὶ φανερὸν ἐκ τῶν εἰρημένων ὅτι οἱ πρό-
30 σθεν πόδες ἐπὶ τὴν κυρτὴν περιφέρειαν τὴν κατὰ φύσιν κάμψιν ποιοῦνται. 10
πάλιν ἁπτέσθω ὁ ὄπισθεν πούς τῆς κεφαλῆς καὶ γινέσθω κύκλος ἔχων
κυρτὴν μὲν περιφέρειαν τὴν ῥάχιν, κοίλην δὲ τὸ στῆθος καὶ τὰ ἑξῆς· δῆλον
οὖν ὅτι τὴν κατὰ φύσιν κάμψιν ἐπὶ τὸ κοῖλον ποιεῖται. φανερὸν ἄρα ὅτι

---

1 ἀποτελεσθέντος] τεθέντος PR 2 τήν τε ῥάχιν ἅπασαν PR γαστροκνήμας a
3 κοιλίαν CPR 5 ὁ ante ἐξ om. P 7 καμφθήσονται—ῥάχει (9) om. P
8 καμπτόντων] καμπτομένων PR ὥστε εἰ a, ex ὥστε οἱ corr. S: εἰ in lit. om. R¹:
καὶ ὅταν PR² κάμψωμεν PR 9 τῇ om. PRS¹ 10 γίνεται om. Sa
12 καὶ om. PR μὲν γὰρ ὁ τοῦ coll. S 13 τὰ σκέλη PR 15 περὶ]
πρὸς PR 16 ἐπὶ—ὄρνιθος] ὁ δὲ ὄρνις a ἐπειδὴ PR 19 ποιεῖται]
litt. ται del. S post στῆθος add. κάμπτειν PR 20 γὰρ] δὲ a
23 ἐκτὸς] ἐκ PR δὴ] δὲ P 28 ὄπισθεν a 28. 29 γαστροκνήμιον
λέγεται coll. PR 29 ante κυρτὴν add. ἔχων τοῦτο PR 29. 30 οἱ πρόσθιοι
πόδες CPRa 32 ἐφεξῆς PR 32. 33 δῆλον οὖν] οὖν om. S: καὶ δῆλον a
33 κοῖλον] στῆθος Sa

ἐναντίως ὁ ἄνθρωπος καὶ ὁ ὄρνις τὴν τῶν σκελῶν κάμψιν ποιοῦνται· ὁ μὲν 176v
γὰρ ἄνθρωπος ἐπὶ τὴν κυρτὴν περιφέρειαν, ὁ δ' ὄρνις ἐπὶ τὴν κοίλην.
ἐναντίως δὲ καὶ ὁ ἄνθρωπος τὰ σκέλη καὶ τὰς χεῖρας κάμπτει· τὰ μὲν 15
γὰρ σκέλη περὶ τὴν κυρτήν, τὰς δὲ χεῖρας περὶ τὴν κοίλην. καὶ μὲν δὴ
5 τὰ τετράποδα τὰ μὲν πρόσθια σκέλη περὶ τὴν κυρτήν, τὰ δὲ ὀπίσθια περὶ
τὴν κοίλην. τὰ δὲ τετράποδα, φησίν, ὅσα μὴ ζῳοτοκεῖ, οἷον σαῦραι καὶ
τὰ ὅμοια, εἰς τὰ πλάγια τὴν τῶν σκελῶν κάμψιν ποιεῖται, καὶ οὐχ ὡς τὰ
τετράποδα καὶ ζῳοτόκα.

p. 704b12 Ἀρχὴ δὲ τῆς σκέψεως προθεμένοις ὡς εἰώθαμεν χρῆ-
10 σθαι πολλάκις.

Ἐκθέμενος τὰ πράγματα πάντα ὧν τὰς αἰτίας μέλλει ζητῆσαι, καὶ
εἰπὼν 'ὅτι μὲν οὖν οὕτω ταῦτα γίνεται, δῆλον ἐκ τῆς ἱστορίας τῆς φυσικῆς, 30
διὰ τί δὲ οὕτως ἔχουσι, τὰς αἰτίας νῦν ζητητέον', φησὶν ὅτι ἀρχὴ δὲ καὶ
ἀξίωμα καὶ κοινὴ ἡμῖν ἔννοια ἔστω τῆς σκέψεως, ἐπειδὴ περὶ τούτων προε-
15 θέμεθα λέγειν, ἔστω οὖν ἡμῖν ἀρχή, ἣν πολλάκις εἰώθαμεν λαμβάνειν πρὸς
τὴν μέθοδον τὴν φυσικήν· αὕτη δὲ ἡ ἀρχή ἐστιν ὅτι οὐδὲν μάτην ἡ
φύσις ποιεῖ. τὸ γὰρ λαβόντες τὰ τοῦτον ἔχοντα τὸν τρόπον ἐν
ἅπασι τοῖς τῆς φύσεως ἔργοις ἴσον ἐστὶ τῷ 'ἐν ἅπασι τοῖς φυσικοῖς
ἔργοις τὰ ἑαυτῆς ἡ φύσις ἔργα δημιουργεῖ τοῦτον τὸν τρόπον, ἤγουν τὸν 35
20 ἐνδεχόμενον'. ἀεὶ γὰρ ἀπὸ τῶν ἐνδεχομένων περὶ ἕκαστον γένος ζῴου,
τουτέστιν εἶδος ἢ ὑποκείμενον, τὸ ἄριστον καὶ τὸ ἁρμόζον τῇ ὑποκειμένῃ
οὐσίᾳ καὶ τῷ εἴδει ποιεῖ. ὅτι δὲ τὸ ὑπὸ τῆς λέξεως τῆς 'τὸ λαβεῖν τὰ
τοῦτον ἔχοντα τὸν τρόπον' δηλωτικόν ἐστι τοῦ 'οὐδὲν ἡ φύσις μάτην
ποιεῖ, ἀλλ' ἀεὶ πολλῶν ἐνδεχομένων ἑκάστῳ τῶν ζῴων ὑπάρξειν τὸ ἄριστον
25 προχρίνει', ἐδήλωσε καὶ αὐτὸς εἰπὼν τούτων δὲ ἓν μέν ἐστιν ὅτι ἡ
φύσις οὐθὲν μάτην ποιεῖ. εἰπὼν δὲ ὅτι ἀεὶ ἐκ τῶν ἐνδεχομένων τὸ
ἄριστον καὶ τὸ βέλτιον ποιεῖ, ἐπήγαγεν δι' ὅπερ βέλτιον δή, οὕτω καὶ
ἔχει κατὰ φύσιν. ὑποστικτέον δὲ εἰς τὸ δή, καὶ οὕτως ἐπακτέον τὸ
οὕτω καὶ ἔχει κατὰ φύσιν. ἀλλὰ καὶ τὸ δι' ὅπερ οὐκ ἔστιν ἐπίρρημα,
30 ἀλλὰ δύο μέρη λόγου. καὶ ἔστι τὸ λεγόμενον τοιοῦτον 'καὶ ἔχει τὰ πράγ-
ματα κατὰ φύσιν διὰ τὸ βέλτιον, ὅπερ ἡ φύσις ἐκλέγεται'. τὰ δ' ἑξῆς

---

1 καὶ ὁ ὄρνις om. Sa ποιοῦνται] ποιεῖται S: ποιεῖται πρὸς τὸν ὄρνιν a
2 ὄρνις περὶ τὴν PRa 3 τὰς χεῖρας καὶ τὰ σκέλη coll. a 6 δὲ om. PRS
καὶ om. PR 7 τὸ πλάγιον PR ποιοῦνται Sa ὥσπερ τὰ PR
9 σκέψεως ex κάμψεως corr. R προθεμένοις PRS Arist. SU: ὑποθεμένοις a Arist.
vulg. ὡς PRS Arist. SUY: οἷς recte a Arist. vulg. 11 πράγματα] προβλή-
ματα PRa ζητήσειν a 12 οὖν om. PRa 15 εἰώθαμεν λαμβάνειν
πολλάκις coll. PR: εἰώθαμεν πολλάκις λαμβάνειν coll. a 16 αὐτὴ S . ἡ ante
ἀρχὴ om. PR 17 τοιοῦτον PR 26 ποιεῖ om. PR δὲ om. PR
27 δι' ὅπερ βέλτιον] cf. Arist. PS: ante βέλτιον add. εἰ Arist. vulg. δὴ PRa corr.
Arist. U: δεῖ S: ὡδὴ Arist. PS: ὡδί Arist. vulg. 28 ἔχειν PR τὸ ante
οὕτω om. a

σαφῆ. ὅτι δὲ πᾶσα κίνησις ὑπὸ τὴν ἕλξιν ἐστὶ καὶ τὴν ὦσιν, καὶ τί 176ᵛ
ἐστιν ἡ ἕλξις καὶ ὦσις, δέδεικται καὶ εἴρηται ἐν τῷ Η τῆς Φυσικῆς
ἀκροάσεως.

p. 705ᵃ3 Τῶν δὴ ζῴων ὅσα μεταβάλλει κατὰ τόπον.|

Ἐκτίθεται τοὺς τρόπους, καθ' οὓς ἡ κατὰ τόπον γίνεται μεταβολή, 177ʳ
καί φησιν ὅτι ὅσα μὲν ἅλλεται, ταῦτα ἀθρόῳ καὶ ἅμα ὅλῳ τῷ σώματι
μεταβάλλει, ἄλλα δ' οὐχ οὕτως, ἀλλὰ μορίοις· προωθεῖ γὰρ τὸν ἔμπροσθεν
πόδα, εἶτα τοῦτον ἀπερείσας ἐν τῷ ἐδάφει οὕτως ἕλκει τὸν λοιπόν, ἃ δὴ
καὶ πορεύεσθαι λέγεται. ἄμφω δὲ καὶ τὰ ἀλλόμενα καὶ τὰ πορευόμενα
κινεῖται πρὸς τὸ ὑποκείμενον· ὑπόκειται δὲ τοῖς μὲν πεζοῖς πρὸς τὴν 10
πορείαν ἢ τὴν ἅλσιν ἡ γῆ ἢ ξύλον ἢ πέτρα ἢ ἄλλο τι γεῶδες καὶ
στερεόν, τοῖς δὲ ἐνύδροις ὕδωρ καὶ τοῖς πτηνοῖς ἀήρ. διόπερ ἐάν τε
ὑποφέρηται τὸ ὑποκείμενον καὶ ἐκφεύγῃ, ὃ συμβαίνει ἐπί τινων, ψάμμου,
κέγχρου, καρύων καὶ ἄλλων πολλῶν, ἂν δὴ τοῦτο ὑποφέρηται καὶ θᾶττον
ἐκφεύγῃ ἢ ὥστε ἀπερεῖσαι τοὺς πόδας τὸ ποιούμενον ἐπ' αὐτοῦ τὴν κίνη-
σιν, ἄν τε ὅλως μηδεμίαν ἔχῃ ἀντέρεισιν, ὃ συμβαίνει τοῖς πεζοῖς ἐπὶ τοῦ
ὕδατος (οὐδὲν γὰρ αὐτῶν ἀπερεῖσαι τοὺς πόδας δύναται, ὥστε πορείαν 15
ποιήσασθαι ἐν τῷ ὕδατι, οὐδὲ εἰς ἅλω πλήρη κέγχρου χωρὶς ἀχύρου οὔσης
ἡ βάδισις ῥᾳδία γίνεται, ἀλλὰ πάνυ δύσκολος καὶ χαλεπή, οὔτε μὴν εἰς
ἑτέραν ἅλω πλήρη καρύων, διὰ τὸ τὴν κέγχρον καὶ τὰ κάρυα θᾶττον
ἐκφεύγειν ἢ ὥστε ἀπέρεισιν ἐν αὐτοῖς τῶν βαδιζόντων γενέσθαι) ἂν δή,
ὡς εἴρηται, ὑποφέρηται τὸ ὑποκείμενον, ὃ γίνεται ἐπὶ τῆς ἅλω τῆς πλή-
ρους καρύων ἢ κέγχρου, ἢ μηδεμίαν ἔχῃ ἀπέρεισιν, ὃ συμβαίνει τοῖς πεζοῖς
ἐπὶ τοῦ ὕδατος, οὐδὲν οὔτε τῶν ἁλλομένων οὔτε τῶν πορευομένων ἐπί 20
τινος τούτων δύναται κινηθῆναι. εἰπὼν δὲ ὅτι ἐν ἀμφοτέραις ταῖς μετα-
βολαῖς ἀεὶ τὸ κινούμενον μεταβάλλει ἀποστηριζόμενον ἐπήγαγε καὶ γὰρ
τὸ ἁλλόμενον καὶ πρὸς αὐτὸ ἀπερειδόμενον τὸ ἄνω, τουτέστι καὶ
γὰρ τὸ ἁλλόμενον οὐ μόνον πρὸς τὸ ὑποκείμενον τοῖς ποσί (γενέσθω γὰρ
τὸ λεγόμενον σαφὲς ἐπὶ τῶν πεζῶν καὶ ἐχόντων πόδας) οὐ μόνον οὖν τὸ
ἁλλόμενον πρὸς τὸ ὑποκείμενον τοῖς ποσὶ τοὺς πόδας ἀπερειδόμενον τὴν
ἅλσιν ποιεῖται, ἀλλὰ καὶ πρὸς αὐτὸ τὸ ἄνω, λέγων ἄνω τὰ ἀνώτερα μέρη. 25
ἀπερείδεται γὰρ ὁ βραχίων πρὸς τὸν πῆχυν, ἀνώτερος ὢν τοῦ πήχεως,
καὶ ὁ πῆχυς πρὸς τὸν καρπόν. αἱ δὲ ἀπερείσεις γίνονται πρὸς ταῖς καμ-

---

1 δὲ om. PR τὴν post καὶ om. a 1. 2 τί ἐστιν] τίς PRS 2. 3 ἐν τῷ Η τῆς Φυσικῆς ἀκροάσεως] c. 2 6 ὅλῳ ἅμα coll. PR: ἅμα om. a 8 ἕλκει] ἕλκω (ex ἕλκον) S 9 ἀμφότερα PR 10 κινοῦνται PR 11 ἢ γῆ a ξύλα a πέτραι PR 13 φεύγῃ PR 13 et 16 ὅπερ συμβαίνει PR 13. 14 ψάμμων καὶ κέγχρου καὶ καρύων PR 18 post οὔσης add. τῆς κέγχρου PR 19 πάνυ] πάμπαν PR 21 εἰσφεύγειν S 22 et 23 ὅπερ PR 23 ἔχει Pa 25 κινεῖσθαι a 31 ἀνωτέρω PRa 32 ἀνωτέρω a

παῖς, τοῦ μὲν βραχίονος πρὸς τῷ ἀγκῶνι, ὃς δὴ ἀγκὼν καὶ ὠλέκρανον 177r
λέγεται· ἐν τῷ ἀγκῶνι οὖν τῆς κάμψεως τοῦ βραχίονος γινομένης, ἐν τούτῳ
καὶ ἡ ἀπέρεισις αὐτοῦ. ὁ δὲ πῆχυς ἀπερείδεται ὅπου ὁ καρπὸς κάμπτει,
ὁ δὲ καρπὸς ὅπου οἱ δάκτυλοι. ἀεὶ οὖν τὰ ἀνώτερα πρὸς τὰ κάτω τὴν
5 ἀντέρεισιν ποιεῖται καὶ ὅλως τὰ πιεζόμενα πρὸς τὰ πιέζοντα, λέγων πιέζον 30
τὸ ἀνώτερον καὶ ὑπερκείμενον, πιεζόμενον δὲ τὸ κάτω καὶ ὑποκείμενον.
ὡς γὰρ οἱ πόδες βαδιζόντων ἡμῶν πιέζουσί τε καὶ θλίβουσιν ἐν ταῖς ἀπε-
ρείσεσι τὴν γῆν, οὕτω καὶ ὁ βραχίων τὸν πῆχυν ἐν τῇ ἅλσει καὶ ὁ πῆχυς
τὸν καρπὸν καὶ ἡ ὀσφὺς τὸν μηρὸν καὶ οὗτος τὴν κνήμην. ὅτι δὲ πᾶσα
10 κίνησις κατὰ ἀπέρεισιν γίνεται, σημεῖον τὸ καὶ τοὺς πεντάθλους μᾶλλον
ἅλλεσθαι κατέχοντας τοὺς ἁλτῆρας, λέγων ἁλτῆρας τὰ ξύλινα σφαιρία, ἃ 35
κατέχουσιν ἐν ταῖς χερσίν, ἡνίκα ἅλλονται· γίνεται γὰρ κἀν τοῖς τοιούτοις
σφαιρίοις ἀντέρεισίς τις. καὶ οἱ θέοντες δὲ παρασείοντες τὰς χεῖρας θᾶττον
θέουσιν· ἐν γὰρ τῇ διατάσει γίνεταί τις ἀντέρεισις τῶν χειρῶν πρὸς τοὺς
15 καρπούς. καὶ ἐπεὶ πᾶσα ἡ κατὰ τόπον μεταβολὴ κατὰ ἀπέρεισιν γίνεται,
τοῦτο δὲ ταὐτόν ἐστι τῷ ἐκ πιέζοντος καὶ πιεζομένου, τοῦτο δὲ ταὐτόν
ἐστι τῷ ἐκ θλίβοντος καὶ θλιβομένου, ἀνάγκη τὸ κινούμενον ἐλαχίστοις
δυσὶ χρώμενον κινεῖσθαι, τουτέστιν ἀνάγκη τὸ κινούμενον ἐκ πιέζοντος καὶ 40
πιεζομένου ἢ θλίβοντος καὶ θλιβομένου ποιεῖσθαι τὴν κατὰ τόπον μετα-
20 βολήν. ὅτι δ' ἐκ θλίβοντος καὶ θλιβομένου γίνεται, δῆλον. ὅταν γὰρ ὁ
Σωκράτης προωθήσῃ τὸν ἀριστερὸν φέρε εἰπεῖν πόδα καὶ ἀπερείσας αὐτὸν
πρὸς τὴν γῆν ἕλκῃ τὸν δεξιόν, ὁ ἀριστερὸς πούς, ὃς καὶ μένει, ἀνέχει τε
καὶ φέρει πρὸς τῷ δεξιῷ ποδὶ καὶ τὸ λοιπὸν ἅπαν σῶμα· τότε δὲ ἡνίκα
φέρει τὸ λοιπὸν ἅπαν σῶμα, πιέζεταί τε καὶ θλίβεται ὑπ' αὐτοῦ διὰ τὸ
25 φέρειν. ὁ δὲ δεξιός, ὃς καὶ αἴρεται, τείνεται τουτέστι προπέμπεται καὶ 45
προωθεῖται ὑπὸ τοῦ ἀριστεροῦ τοῦ φέροντος τὸ φορτίον· ἐπὰν δὲ προπεμ-
φθῇ, οὗτος μὲν γίνεται ὁ μένων καὶ φέρων τὸ λοιπὸν σῶμα, θλιβόμενός
τε καὶ προπέμπων τὸν ἀριστερόν, ὁ δ' ἀριστερὸς γίνεται ὁ αἰρόμενός τε
καὶ προπεμπόμενος. διόπερ οὐδὲν ἀμελές (λέγων ἀμελὲς τὸ μὴ ἔχον
30 ὀργανικὰ πρὸς τὴν κίνησιν μέρη) διόπερ οὐδὲν μὴ ἔχον ὀργανικὰ πρὸς
τὴν κίνησιν μέρη δύναται κινηθῆναι οὕτως ὡς κινεῖται τὰ ἀπερειδόμενα

---

1 δὴ om. Sa 2 ἡ κάμψις τοῦ βραχίονος γινομένη Sa 4 ἀνωτέρω PR
6 ἀνωτέρω a 7 ὥσπερ γὰρ PR 8 post βραχίων add. πιέζει τε καὶ θλίβει PR 12 γὰρ] δὲ a 13 περισείοντες S 16 ἐκπιέζοντι καὶ πιεζο^{μν} S 17 ἐκθλίβοντι καὶ θλιβομένω S 18 δυσὶ] τέτρασι a
18. 19 ἐκπιέζοντι καὶ πιεζομένω καὶ θλίβοντι καὶ θλιβομένω S . 19 καὶ θλίβοντος a
22 τῇ γῇ a πούς] τότε a ὅστις PR 23 φέρει ex φέρη corr. R: φερ' S: φέρεται a τότε—σῶμα (24) om. PR 24 φέρει scripsi: φέρεται Sa
25 φέρειν] φερ' S: φέρεσθαι a ὅστις καὶ PR 26 ἐπειδὰν PR
27 post φέρων add. ἅπαν PR 28 τε utrumque om. PR 29 ἀμελές] sic libri et Arist. PSU: ἀμερὲς Arist. vulg. 30 ὀργανικὸν πρὸς τὴν κίνησιν μέρος S διόπερ οὐδὲν μὴ ἔχον—μέρη (31) in marg. P[1]

διὰ τῶν ὀργανικῶν μερῶν· οὐ γὰρ ἔχουσι τὰ ἀμελῆ διάληψιν (λέγων 177r
διάληψιν τὴν διάρθρωσιν τῶν ὀργανικῶν μορίων) οὐκ ἔχουσιν οὖν διάληψιν, 31
ἵνα τὸ μὲν ποιῆσαι καὶ οἱονεὶ θλῖψαι δύνηται, τὸ δὲ παθεῖν καὶ θλιβῆναι.
τούτου γάρ ἐστι δηλωτικὸν τὸ οὐ γὰρ ἔχει τήν τε τοῦ πεισομένου
5 καὶ τὴν τοῦ ποιήσοντος ἐν αὐτῷ διάληψιν.

p. 705a26 Ἐπεὶ δ' εἰσὶν αἱ διαστάσεις τὸν ἀριθμὸν ἕξ. |

Διὰ τούτων διορίζεται ποῖα τῶν ζώντων ἔχει τὰς ἓξ διαστάσεις, οἷον 177r
τὸ ἄνω καὶ κάτω, τὸ ἔμπροσθεν καὶ ὄπισθεν, τὸ δεξιὸν καὶ ἀριστερόν, 10
καὶ ποῖα τὰς τέσσαρας, καὶ ποῖα μόνας τὰς δύο, καί φησιν ὅτι ἐπεὶ ἓξ
10 εἰσιν αἱ πᾶσαι διαστάσεις, τὸ μὲν ἄνω καὶ κάτω πάντα ἔχει τὰ ζῶντα.
ἔστι γὰρ καὶ ἐν τοῖς φυτοῖς τὸ ἄνω καὶ κάτω· ἐπεὶ γὰρ ἄνω μὲν λέγομεν
τὸ στόμα, δι' οὗ εἴσεισιν ἡ τροφή, κάτω δὲ δι' οὗ ἡ τῆς τροφῆς ἐξέρχεται
περίττωσις, οὐδὲν δὲ τῶν ζώντων δύναται ζῆν ἄνευ τοῦ τρέφεσθαι, ἀνάγκη
πάντα τὰ ζῶντα ἔχειν τὸ ἄνω καὶ κάτω. διείληπται δὲ τὸ ἄνω καὶ κάτω
15 ἐπὶ τῶν ἀνθρώπων καὶ πάντων ὅσα ὀρθοπεριπατητικά ἐστιν, οὐ μόνον τῷ 15
ἔργῳ, ἀλλὰ καὶ τῇ θέσει τῇ γε πρὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. τῷ μὲν
οὖν ἔργῳ ἄνω λέγεται τὸ στόμα διὰ τὴν εἰρημένην αἰτίαν· εἴρηται γὰρ ὅτι
ἄνω λέγεται ἐκεῖνο τὸ μόριον, δι' οὗ εἴσεισιν ἡ τροφή, εἴσεισι δὲ διὰ τοῦ
στόματος. ἔχει οὖν τὴν ἄνω χώραν τὸ τῶν ἀνθρώπων στόμα οὐ μόνον
20 διὰ τὸ ἔργον αὐτοῦ, ἀλλὰ καὶ τῇ θέσει· κεῖται γὰρ πρὸς τὸ τοῦ παντὸς
ἄνω. πρὸς γὰρ τὸν οὐρανὸν ἡ ξύμπασα κεφαλή, ἐν ᾗ τὸ στόμα ἐστὶ καὶ
τὰ ὦτα καὶ οἱ ὀφθαλμοί, νεύει. τὸ μὲν οὖν τῶν ἀνθρώπων ἄνω, ἤτοι τὸ
στόμα καὶ ἡ πᾶσα κεφαλὴ καὶ τῷ ἔργῳ καὶ τῇ θέσει λέγεται ἄνω, τῶν 20
δὲ τετραπόδων τῷ μὲν ἔργῳ λέγεται ἄνω, τῇ θέσει δ' οὐδαμῶς· πρὸς γὰρ
25 τὰ τοῦ παντὸς πλάγια ἡ κεφαλὴ τούτων καὶ τὸ στόμα τὴν θέσιν ἔχει. εἰ
μὲν γὰρ φέρε εἰπεῖν ἢ κινεῖται ἀπὸ τῶν νοτίων πρὸς τὰ βόρεια ἢ καὶ
ἵσταται βλέπων πρὸς αὐτὰ ὁ ἵππος ἢ βοῦς, πρὸς τὸ βόρειον ἔχει τὴν θέσιν
ἡ κεφαλὴ αὐτοῦ καὶ τὸ στόμα καὶ ἔτι μᾶλλον τὸ ἀναλογοῦν μέρος κορυφῇ·
εἰ δὲ πρὸς τὸ ἀνατολικὸν κινεῖται, πρὸς αὐτὸ καὶ τὴν θέσιν ἔχει τὸ ἀνα-
30 λογοῦν τῇ κορυφῇ μέρος καὶ ἡ λοιπὴ πᾶσα κεφαλή· ὁμοίως δὲ κἂν εἰ 25
πρὸς τὸ δυσμικὸν ἢ τὸ νότιον κινῆται ἢ ὁρᾷ. ὥστε κἂν τούτοις διὰ τὸ
ἔργον λέγεται τὸ στόμα αὐτῶν καὶ ἡ σὺν αὐτῇ νοουμένη κεφαλὴ ἄνω, τῇ

---

1 λέγων—οὖν διάληψιν (2) om. P 3 δύνηται post ἵνα ponunt PR 4 ἐστι om. S 4. 5 τὴν τοῦ πεισομένου καὶ τοῦ Arist. vulg. 8 τὸ ἄνω τὸ κάτω PR καὶ τὸ ἀριστερόν PR 9 ὅτι om. PR 10 εἰσιν om. Sa 11 ἐν τῷ φυτῷ S ἐπειδὴ PR λέγεται a 13 τῶν ζώων a 15 ὅσα om. S 16 τῇ γῇ a 19 post στόμα add. διὰ δὲ τῆς τοῦ στόματος προσηγορίας συνεπινοεῖται καὶ ἡ κεφαλὴ πᾶσα· ἔχει οὖν τὸ τῶν ἀνθρώπων στόμα τὴν ἄνω χώραν PR 22 οἱ om. a 23 σύμπασα PR 27 πρὸς αὐτὰ βλέπων coll. PRa ἢ ὁ βοῦς a 30 post λοιπὴ add. δὲ R 31 κινεῖται PR καὶ ἐν τούτοις PR 32 στόμα αὐτοῦ a

θέσει δ' οὔ. καὶ ἐπὶ τῶν φυτῶν ὁμοίως τῷ μὲν ἔργῳ (ὃ γὰρ ἐργάζεται 177r
ἐπὶ τῶν ζῴων τὸ στόμα, τοῦτο ἐπὶ τῶν φυτῶν αἱ ῥίζαι) τῷ μὲν δὴ ἔργῳ
λέγεται ἄνω, τῇ θέσει δ' οὐκ ἔστι· μάλιστα γὰρ πρὸς τὸ τοῦ παντὸς κάτω
τὴν θέσιν ἔχουσιν· ἐν γὰρ τῇ γῇ τυγχάνουσιν ἐρριζωμέναι. διὸ καὶ αὐτὸς
5 ἐπήγαγεν καίτοι δόξειέ γ' ἂν ἐν τοῖς φυτοῖς οἰκεῖον εἶναι τὸ κάτω 30
μᾶλλον, εἰπὼν τὸ οἰκεῖον ἀντὶ τοῦ εἰπεῖν κρεῖττον καὶ κυριώτατον καὶ
ἀρχήν. ἐπεὶ γὰρ τὸ ἄνω κρεῖττον καὶ κυριώτατον τῶν κάτω καὶ πρὸς
τούτῳ καὶ τῶν ἄλλων διαστάσεων ἀρχή (μὴ γὰρ ὄντος τοῦ ἄνω οὐδὲ τὸ
κάτω ἔσται, εἰ δὲ μὴ τοῦτο, οὐδὲ τὸ δεξιὸν καὶ ἀριστερὸν καὶ τὰ λοιπὰ
10 δύο) ἐπεὶ οὖν τὸ ἄνω κρεῖττον τῶν κάτω, κρίνεται δὲ τὸ ἄνω τῇ θέσει
καὶ τῷ ἔργῳ ἤπερ τῷ ἔργῳ μόνῳ, τὰ δὲ φυτὰ τὸ ἄνω ἤτοι τὰς
ῥίζας ἔχουσι πρὸς τὸ τοῦ παντὸς κάτω τὴν γῆν, ἔμπαλιν δὲ τὸ κάτω ἤτοι 35
τοὺς κλάδους πρὸς τὸ τοῦ παντὸς ἄνω ἤτοι τὸν οὐρανόν, εἴ τις μὴ τῇ
θέσει βούλεται τὸ ἄνω ἀφορίζειν ἀλλὰ τῷ ἔργῳ, τῷ τοιούτῳ δόξειεν ἂν ἐν
15 τοῖς φυτοῖς τὸ κάτω εἶναι μᾶλλον τὸ κρεῖττον καὶ οἰκεῖον. οὐκ ἔστι δὲ τὸ
κάτω τὸ τῶν ῥιζῶν πλῆθος, ἀλλὰ μᾶλλον τὸ ἄνω, ἔμπαλιν δὲ οἱ κλάδοι
τὸ κάτω, εἰ καὶ τῇ θέσει ἄνω εἰσίν. ἔχουσιν οὖν τὰ ζῷα καὶ φυτὰ τὸ
ἄνω καὶ κάτω τῷ μὲν ἔργῳ ὁμοίως καὶ ἀδιαφόρως, τῇ θέσει δὲ τῇ πρὸς
τὸ πᾶν οὐχ ὁμοίως. ἔτι δὲ τὰ μὲν ζῶντα πάντα ἔχουσι τὸ ἄνω καὶ κάτω. 40

20 p. 705b8 Ὅσα δὲ μὴ μόνον ζῇ ἀλλὰ καὶ ζῷά ἐστι, τούτοις ὑπάρχει καὶ τὸ ἔμπροσθεν καὶ ὄπισθεν. |

Καὶ τίνα τὰ ἔμπροσθεν καὶ τὰ ὄπισθεν, ἐπάγει. πάντα γὰρ τὰ ζῷα 178r
αἴσθησιν ἔχει· ἐφ' ᾧ δ' ἐστὶν ἡ αἴσθησις καὶ ὅθεν ἑκάστοις τὸ αἰσθάνεσθαι, τοῦτ' ἔστι τὸ ἔμπροσθεν, τὰ δ' ἀντικείμενα τούτοις ὄπισθεν. ὅσα δὲ
25 πρὸς τῷ αἰσθάνεσθαι καὶ τὴν κατὰ τόπον μεταβολὴν αὐτὰ δι' ἑαυτῶν
ποιεῖται, ἐν τούτοις πρὸς ταῖς λεχθείσαις διαστάσεσι διώρισται τὸ δεξιὸν
καὶ τὸ ἀριστερὸν ἔργῳ μέν, οὐ μὴν καὶ τῇ θέσει· οὐ γὰρ κεῖται τὸ μὲν 35
αὐτῶν ἄνω, τὸ δὲ κάτω. ἔργον δὲ τοῦ μὲν δεξιοῦ τὸ ἄρχεσθαι ἀπ' αὐτοῦ
τὴν κίνησιν. ὅθεν γὰρ τοῦ σώματος ἡ τῆς κατὰ τόπον μεταβολῆς ἀρχὴ
30 φύσει ὑπάρχει, τοῦτ' ἔστι τὸ δεξιὸν ἑκάστου, τὸ δ' ἀντικείμενον καὶ τούτῳ
ἀκολουθοῦν ἀριστερόν. ἀλλ' ὅτι μὲν πάντα, ὅσα τὴν κατὰ τόπον ποιεῖται
μεταβολήν, ἔχει τὸ δεξιὸν καὶ ἀριστερόν, καὶ ὅτι ἀρχὴ τῆς τοιαύτης μετα-

---

1 post φυτῶν add. δὲ PR γὰρ om. P 3 λέγονται PR δ' οὐκέτι a: οὐδαμῶς PR 5 δόξειεν ἂν τοῖς Arist. 6 εἰπεῖν om. PR
6. 7 κυριώτερον καὶ ἀρχή a 7 ἐπειδὴ a post κάτω add. ἐστὶ PR
8 διαστημάτων a 9 ἔσται om. PRS δὲ om. PRS τοῦ δεξιοῦ καὶ ἀριστεροῦ καὶ τῶν λοιπῶν S 10 δὲ] δὴ a 11 ante ἤπερ add. μᾶλλον PR
12 ἤτοι om. PR 14 ἐφορίζειν R 18 ἀδιαφόρους Pa 20 τούτοις] τοῖς τοιούτοις Arist. 23 ἐφ' ᾧ PRS Arist. S: ἐφ' ὃ a Arist. vulg. post ὅθεν add. ἐστὶν PR 26 ποιεῖ a 27 ἔργῳ μὲν om. P 28 τὸ (post δεξιοῦ)] τοῦ R ἀπ' αὐτῶν S 30 ἑκάστω P ex ἑκάστων corr. R: ἑκάστων a 31 ἀλλ' ὅτι—ἀριστερόν (32) in marg. adscr. P1

βολῆς τὸ δεξιόν, καὶ εἴρηται καὶ ἔτι δειχθήσεται καὶ ἐνταῦθα καὶ ἐν τοῖς 178r
Περὶ ζῴων κινήσεως. ὅτι μὲν οὖν ταῦτα ἔχει τὸ δεξιὸν καὶ τὸ ἀριστερόν,
εἴρηται· διήρθρωται δὲ τοῖς μὲν μᾶλλον, τοῖς δ' ἧττον. ὅσα μὲν γὰρ 40
ὀργανικοῖς μέρεσι χρώμενα, οἷον ποσί, πτέρυξιν ἤ τισιν ἄλλοις, κατὰ τόπον
5 ποιεῖται μεταβολήν, ἐν τούτοις μᾶλλον διήρθρωται καὶ γνώριμόν ἐστι
μᾶλλον τὸ λεχθέν, λέγων λεχθὲν τὸ δεξιὸν καὶ τὸ ἀριστερόν· ὅσα δ'
ὀργανικὰ μὲν οὐκ ἔχει μέρη, αὐτῷ δὲ τῷ σώματι διαλήψεις καὶ οἷον διαρ-
θρώσεις ὀργανικῶν μερῶν ποιούμενα προέρχεται (αἱ γὰρ καμπαί, δι' ὧν
οἱ ὄφεις τὴν κατὰ τόπον, ὡς ἐρεῖ προϊών, ποιοῦνται μεταβολήν, τὴν τῶν 45
10 ὀργανικῶν μερῶν χρείαν ἀποπληροῦσι), τὰ μὲν δὴ μὴ ἔχοντα ὀργανικὰ
μέρη, ὑπάρχει μὲν καὶ ἐν τούτοις τὸ δεξιὸν καὶ τὸ ἀριστερόν, οὐ μὴν διασεσάφηταί γε καὶ διάδηλα ὁμοίως τυγχάνουσι τοῖς ἔχουσι τὰ ὀργανικὰ μέρη. εἰπὼν δὲ ὅτι τὸ δεξιόν ἐστιν ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, πιστοῦται τοῦτο καὶ ἀπὸ τοῦ τὰ φορτία ἐν τοῖς ἀριστεροῖς φέρειν, ἵν' ᾖ τὰ δεξιὰ
15 ἀπολελυμένα τὰ μέλλοντα τῆς κινήσεως ἄρχεσθαι, καὶ ἀπὸ τοῦ ῥᾷον ἀσχολιάζειν ἐν τοῖς ἀριστεροῖς. ὁ γὰρ τὸν ἀριστερὸν πόδα χωλεύων ῥᾷον βαδίζει τοῦ τὸν δεξιὸν χωλεύοντος· διὰ γὰρ τὸ ἄρχειν τῆς κινήσεως τὰ 50
δεξιά, ἐπὰν πάθῃ, πάμπαν κακῶς τὸ οἰκεῖον ἐκπληροῖ ἔργον, τὰ δ' ἀριστερὰ διὰ τὸ πεφυκέναι ἀκολουθεῖν τοῖς δεξιοῖς οὐ πάνυ κακῶς, ἀλλὰ μετρίως
20 κακῶς τὸ ἑαυτῶν ἀποπληροῦσιν ἔργον. πιστοῦται δὲ τὸ εἶναι τὴν τῆς κινήσεως ἀρχὴν ἀπὸ τῶν δεξιῶν καὶ ἀπὸ τοῦ προβάλλειν καὶ προτιθέναι τοὺς ἀριστεροὺς πόδας κατὰ τὸν καιρὸν τοῦ δρόμου, ὡς ἀρξαμένων τῆς κινήσεως τῶν δεξιῶν. ταῦτα εἰπὼν λέγει ὅτι τὰ δεξιὰ πᾶσι ταὐτά ἐστιν. οὐ γὰρ ἄλλοις μέν εἰσι τὰ δεξιὰ ὅθεν ἄρχονται | τῆς κινήσεως, ἄλλοις δ' ἄλλοθεν, 178v
25 ἀλλ' ἐπὶ πάντων τὸ τῆς κινήσεως ἄρχον καὶ λέγεται καὶ ἔστι δεξιόν. ἐπεὶ δὲ τὰ στρομβώδη, ἤγουν τὰ στρογγύλα τῶν ὀστρακοδέρμων ἀπὸ παντὸς μέρους ἑαυτῶν τὴν ἀρχὴν τῆς κινήσεως ποιεῖται, πλὴν τῆς ἑλίκης (οὔτε γὰρ ἀπ' αὐτῆς οὔτ' ἐπὶ ταύτην κινεῖται, ἀλλ' ἀπὸ τῶν καταντικρὺ τῆς ἑλίκης καὶ ἐπὶ ταῦτα τὴν κίνησιν ποιεῖται), ἐπεὶ οὖν ἀπὸ παντὸς μέρους 5
30 κινεῖται πλὴν τῆς ἑλίκης, ἡ δὲ ἑλίκη πρὸς τὸ ὅλον ὄστρακον οὐδέν ἐστι, ῥητέον δεξιὰ πάντα τὰ τῶν στρομβοειδῶν καὶ στρογγύλων μέρη. ταῦτα εἰπὼν λέγει ὅτι μάλιστα τῶν ἄλλων ζῴων ὁ ἄνθρωπος ἔχει τὰ ἀριστερὰ ἀπολελυμένα, τουτέστι διηρθρωμένα καὶ μεγάλην ἔχοντα πρὸς τὰ δεξιὰ διαφοράν, διὰ τὸ κατὰ φύσιν ἔχειν μάλιστα τῶν ζῴων. φύσει γὰρ τὸ ἄνω
35 ἡμῖν πρὸς τὸ τοῦ παντὸς ἄνω καὶ τὸ κάτω ὁμοίως πρὸς τὸ κάτω, διότι καὶ

---

1. 2 ἐν τοῖς Περὶ ζῴων κινήσεως] cf. c. 9 2 τὸ post καὶ om. PRa 4 χρώμενον a post ἄλλοις add. καὶ a 6 ἀριστερὸν καὶ τὸ δεξιόν coll. PRa
9 ἐρεῖ] c. 7 προελθὼν PR 11 τὸ post καὶ om. PRa 11. 12 διασεσάφηταί a
Arist.: διασεσάφησταί P: διασεσάφησεταί R: διεσάφηταί S 13 τὸ om. PR post ὅθεν add. ἐστὶν PR 15 ἄρξασθαι PR 17 χωλεύσαντος Sa 18 ἐπειδὰν PR πάθοιεν PRS ἔργον ἐκπληροῖ coll. PR 19 πάνυ] πάμπαν a 21. 22 τὸν ἀριστερὸν πόδα a 22 ἀρξομένων Sa 25 ἄρχον om. S: ἀρχόμενον a
28 ἐπὶ ταύτης S 35 περὶ τὸ κάτω R²

φύσει ὀρθὸς ὁ ἄνθρωπος. ταῦτα εἰπὼν λέγει, ὅσοις μὲν ἄλλο ἐστὶ τὸ 178v
ἄνω καὶ ἄλλο τὸ ἔμπροσθεν, καὶ διώρισται καὶ κεχώρισται ταῦτα ἀπ' 11
ἀλλήλων, ὡς ἐπ' ἀνθρώπων καὶ ὀρνίθων (ἐπὶ τούτων γὰρ ἄλλο μὲν τὸ
ἄνω, ἄλλο δὲ τὸ ἔμπροσθεν), ὅσοις οὖν κεχώρισται ταῦτα ἀπ' ἀλλήλων,
5 ταῦτα πάντα τὰ ζῷα δίποδά ἐστιν. ἐπεὶ δέ, ὡς δείξει, πάντα τὰ κινού-
μενα ἐλαχίστοις τέτρασι σημείοις κινεῖται, λέγει ὅτι τῶν τεσσάρων
σημείων ἀντὶ τῶν λοιπῶν δύο οἱ μὲν ὄρνιθες τὰς πτέρυγας ὡς οἱ ἄνθρωποι
τοὺς βραχίονας ἔχουσιν. ὅσα μὲν οὖν, ὡς εἴρηται, κεχωρισμένα ἔχουσιν 15
ἀπ' ἀλλήλων τὰ ἄνω καὶ τὰ ἔμπροσθεν, δίποδά ἐστιν· ὅσα δὲ οὐ κεχωρι-
10 σμένα, ἀλλὰ τὰ αὐτὰ ἔχει καὶ πρόσθεν καὶ ἄνω * * τῶν γὰρ ἵππων καὶ
βοῶν καὶ τῶν λοιπῶν τετραπόδων οἱ ἐμπρόσθιοι πόδες καὶ ἀντὶ ἄνω καὶ
ἀντὶ πρόσθεν εἰσίν. ὃ γὰρ ἐπὶ ἀνθρώπου κάτω, ἔστι δὲ ἐπὶ τούτου κάτω
οἱ πόδες, τοῦτο καὶ ἐπὶ τῶν τετραπόδων, καὶ ἔστιν αὐτοῖς τὸ κάτω οἱ
ὄπισθεν πόδες· ὃ δὲ ἐπὶ ἀνθρώπου ἄνω, ἔστι δὲ αἱ χεῖρες διὰ τὸ πλησιά-
15 ζειν τῷ αὐχένι, τοῦτο ἐπὶ τῶν τετραπόδων οἱ πρόσθιοι πόδες. τὸ αὐτὸ 20
ἄρα καὶ ἄνω καὶ πρόσθεν ἐπὶ τῶν τετραπόδων, καὶ οὐ διώρισται ἀπ' ἀλλή-
λων. ἄλλως τε τὸ μὲν τῶν ἀνθρώπων ἄνω οἷον ἡ κορυφὴ πρὸς τὸ τοῦ
παντὸς ἄνω ἐστὶ τὸν οὐρανόν· τὸ γὰρ κατὰ κορυφὴν ἡμῶν λεγόμενον
σημεῖον μέρος τοῦ οὐρανοῦ· τὸ δὲ πρόσθεν (λέγεται δὲ πρόσθεν ἐν ᾧ αἱ
20 αἰσθήσεις) τοῦτο οὖν τὸ πρόσθεν εἰς τὰ τοῦ παντὸς πλάγια· ἢ γὰρ πρὸς
ἀνατολὰς ἢ πρὸς δυσμὰς ἢ πρὸς νότον ἢ πρὸς βορρᾶν, ἢ ἔνθα ἂν τύχῃ
ὁ ἄνθρωπος βλέπων. τοῦ δὲ ἵππου καὶ ἡ κορυφὴ καὶ αἱ αἰσθήσεις πρὸς 25
τοῖς τοῦ παντός εἰσι πλαγίοις· δῆλον ⟨οὖν⟩ ὅτι ἐν τῷ αὐτῷ ἔχουσι τὸ ἄνω
καὶ τὸ πρόσθεν. καὶ εἰσί, φησί, ταῦτα πάντα τὰ ἐπὶ τὸ αὐτὸ ἔχοντα
25 τὸ ἄνω καὶ τὸ πρόσθεν τετράποδα καὶ πολύποδα καὶ ἄποδα. ὁρίζεται
δὲ καὶ τὸν πόδα καὶ λέγει αὐτὸν ὠνομάσθαι ἀπὸ τοῦ πέδου. τὰ δὲ
μαλάκια, φησίν, ἐπὶ τὸ αὐτὸ ἔχει τὸ πρόσθεν καὶ ὄπισθεν· συνήχθη γὰρ
τὰ ὄπισθεν πρὸς τὰ ἔμπροσθεν, καὶ γέγονεν οἱονεὶ κύκλος, ὡς εἴρηται καὶ
ἐν τοῖς Περὶ ζῴων μορίων. λέγει δὲ καὶ τὰ μὲν δίποδα ἔχειν τὸ ἄνω 30
30 πρὸς τὸ τοῦ ὅλου ἄνω, τὰ δὲ πολύποδα καὶ ἄποδα πρὸς τὸ μέσον, ἤγουν
πρὸς τὰ πλάγια τοῦ παντός, οἷον ἀνατολὴν ἢ δύσιν ἢ ἄρκτον ἢ ἄλλο τι
τῶν τοιούτων. τὰ δὲ φυτὰ ἔχει τὸ ἄνω πρὸς τὴν γῆν, διότι εἰσὶν ἀκίνητα

---

1 post ὀρθὸς add. ἐστὶν PR, item v. 3 post μὲν 3 ὥσπερ ἐπὶ ἀνθρώπων PR τούτοις S 6 post τῶν add. δὲ PR 10 ἔμπροσθεν PR lacunam indicavi; addendum ex Aristotele τετράποδα καὶ πολύποδα καὶ ἄποδα 11 post οἱ add. μὲν a ἔμπροσθεν πόδες a 12 πρόσθεν] προσθίων a 14 ὀπίσθιοι a post ἔστι δὲ add. ἐπὶ ἀνοῦ ἄνω P, eademque R praeterquam quod τὸ ἄνω habet 15 post αὐχένι add. ὃ οὖν ἐπὶ ἀνοῦ χεῖρες καὶ ἄνω PR post τετραπόδων add. ἐστί PR 16 οὐ om. RS 17 πρὸς τῷ PRa 18 post ἐστὶ add. οἷον PR τὸν οὐρανόν scripsi: τῷ οὐρανῷ libri 19 post μέρος add. ἐστὶ PR οὐρανοῦ] ἀνοῦ S 21 ἀνατολὴν PRa δύσιν PRa 23 οὖν addidi post ἔχουσι add. καὶ PR 24 καὶ εἰσὶ—ταῦτα] ταῦτα δὴ a 25 post ἄποδα add. εἰσὶν a 28 ὥσπερ PR 29 ἐν τοῖς Περὶ ζῴων μορίων] Δ 9 p. 684b14 31 τὸ πλάγιον P

καὶ ὅτι ἡ τροφὴ ἐκ τῶν ἄνω εἴσεισιν, ἔστι δὲ αὐτοῖς ἡ τροφὴ ἐκ τῆς γῆς. 178v
τὰ δὲ τετράποδα ἔχει τὸ ἄνω πρὸς τὸ μέσον, διότι οὐκ ὀρθά ἐστιν, οἱ δ'
ἄνθρωποι πρὸς τὸ ἄνω, διότι ὀρθοί. ἀλλὰ μὴν καὶ αἱ ἀρχαί, ὡς ἐν τῷ
Περὶ οὐρανοῦ εἴρηται, εὐλόγως εἰσὶν ἀπὸ τῶν ἄνω καὶ πρόσθεν καὶ δεξιῶν,
5 διότι ἡ ἀρχὴ τίμιον, καὶ τὸ ἄνω καὶ πρόσθεν καὶ δεξιὸν τίμιον, ὥστε ὡς 40
μὲν ἀρχαὶ τίμια τὸ δεξιὸν καὶ ἄνω καὶ πρόσθεν, καὶ ὡς τίμια ἀρχαί,
ἀρχὴ δὲ τὸ μὲν ἄνω αὐξήσεως, τὸ δὲ δεξιὸν τῆς κατὰ τόπον μεταβολῆς,
τὸ δὲ πρόσθεν τῶν αἰσθήσεων.

p. 706b18 Ἐπεὶ δ' ἀνάγκη παντὸς συνεχοῦς.

10 Τὸ προκείμενόν ἐστι δεῖξαι ὅτι πάντα τὰ ἔναιμα τέτρασι σημείοις
κινεῖται. πρότερον δὲ προδιορίζεται ὅτι ἐν ἑκάστῳ μέρει, δι' οὗ ὡς ὑπὸ 45
κόλλης συνεχίζονται τὰ ὀργανικὰ μέρη, δύναμίς τις ἔνεστι ψυχικὴ ὡς
ἀρχὴ καὶ αἰτία αὐτοῖς οὖσα τοῦ κινεῖσθαι. αὗται δὲ πάλιν αἱ ψυχικαὶ
δυνάμεις καὶ ἀρχαὶ ἀνάγονται ὑπὸ μίαν τινὰ ἀρχήν, λέγω δὴ τὴν ἐν τῇ
15 καρδίᾳ ἀρχὴν καὶ ψυχήν, ἀφ' ἧς ὡς ἀπὸ κοινῆς ἀρχῆς καὶ ῥίζης καὶ
μητρὸς διαδίδονται πρὸς τοὺς τόπους, ὑφ' ὧν συνάπτονται πρὸς τὰ ὀργανικὰ
μόρια, ἵνα κινῶσιν αὐτὰ αἱ ψυχικαὶ δυνάμεις. ὅτι δ' εἰσὶ μόριά τινα, ὑφ'
ὧν ἑνοῦται καὶ συνεχίζεται τὰ ὀργανικὰ μέρη, δῆλον ἐκ τῆς Περὶ τὰ ζῷα 50
ἱστορίας καὶ τῶν ἀνατομῶν. αἱ γὰρ ὠμοπλάται καὶ οἱ μηροὶ πρός τινας
20 κοινοὺς ὅρους συνάπτουσι, καὶ τὰ ἄλλα πάντα· καὶ αἱ μὲν ψυχικαὶ δυνά-
μεις αἱ κινητικαὶ τῶν ὀργανικῶν μερῶν ἐνιδρυμέναι εἰσὶν ἐν οἷς τὰ ὀργα-
νικὰ μέρη ὡς πρός τινας κοινοὺς ὅρους συνάπτουσιν, ἡ δὲ ψυχή, πρὸς ἣν
ὡς κοινὴν ἀρχὴν ἀνάγονται καὶ ῥίζαν, ἐν τῇ καρδίᾳ· ἐν ταύτῃ γὰρ ἐνίδρυται.
καὶ ἔχει ὡς μὲν ἡ ψυχὴ πρὸς τὰς ἀπ' αὐτῆς δυνάμεις, οὕτως ἡ καρ|δία 179r
25 πρὸς τὰ ἐν οἷς εἰσιν αὗται μόρια. τῶν νεύρων γὰρ ἀρχὴ ἡ καρδία κατ'
αὐτόν· διὰ τῶν νεύρων δὲ ἡ κίνησις. προδιορίζεται δὲ ταῦτα, ἐπεὶ συμ-
βάλλεται αὐτῷ πρὸς τὸ δεῖξαι ὅτι τέτρασι σημείοις τὰ ἔναιμα κινεῖται.
ταῦτα μὲν οὖν προειρήσθω χάριν σαφηνείας τῶν μελλόντων λέγεσθαι. λέγει
δὴ ὅτι ἐπεὶ ἀναγκαῖόν ἐστι παντὸς συνεχοῦς πράγματος, ὅλου μὲν δυναμέ-
30 νου τοῦ συνεχοῦς κινεῖσθαι, ἐν δὲ τῷ κινεῖσθαι τὸ μὲν αὐτοῦ ἠρεμεῖν τὸ 5
δὲ κινεῖσθαι (ἀεὶ γὰρ ἐφ' ἡμῶν ὁ μὲν εἷς τῶν ποδῶν ἠρεμεῖ, θάτερος δὲ

---

1 ἔστι om. a ἐκ τῆς γῆς ἡ τροφή coll. a 2 πρὸς τὸ μέσον om. PRS
3. 4 ἐν τῷ Περὶ οὐρανοῦ] B 2 3 ἐν τῇ PR: ἐν τοῖς a 4 οὐρανῶν PR
προσθίων a 5 τίμιον ὅτι τὸ ἄνω PR post ὥστε add. καὶ a 6 μὲν
om. a 7 δὲ post τὸ om. PR 11 διορίζεται a 11. 12 δι' οὗ—μέρη post
ψυχικὴ (12) ponunt, deinde vv. δύναμις—ψυχικὴ repetunt PR, sed del. haec omnia
alio atr. P 16 διαδίδοται PR τοὺς τόπους] τὰ τόπια PR: μόρια supr. v. P
πρὸς ante τὰ om. PR 18. 19 ἐκ τῆς—ἀνατομῶν] cf. Hist. anim. Γ 7, Bonitz Ind.
Arist. p. 104a4 sqq. 18 περὶ τῶν ζώων S: περὶ ζώων a 19. 20 πρός τινα
κοινὸν ὅρον Sa 21 αἱ] καὶ a 25. 26 κατ' αὐτόν] cf. Hist. anim. Γ 5
p. 515a28 26 προσδιορίζεται PR 29 δὴ] δὲ P ex δὴ corr. R ἐστι
om. PR συνεχῶς a 30 ἠρεμεῖ a 31 κινεῖται a ἡμῖν PR

κινεῖται, εἶτα ἠρεμεῖ μὲν οὗτος, θάτερος δὲ προωθεῖται καὶ κινεῖται) 179r
ἐπεὶ οὖν ἀνάγκη ἐπὶ τοῦ τοιούτου συνεχοῦς σώματος εἶναι τὸ κοινόν,
καθ' ὃ ὥσπερ ὑπό τινος κοινοῦ ὅρου συνεχίζονται ταῦτα τὰ μόρια, τουτέστι τὰ ὀργανικά, δι' ὧν τὴν κίνησιν πάντα τὰ κινούμενα δι' ὀργά-
5 νων τὴν κατὰ τόπον ποιεῖται μεταβολήν, καὶ πρὸς τούτῳ ἐπεὶ ἐνταῦθα
ἀναγκαῖόν ἐστι, τουτέστιν ἐν τῷ κοινῷ, ὑφ' οὗ συνεχίζονται τὰ ὀργα- 10
νικὰ δι' ὧν, ὡς εἴρηται, ἡ κίνησις γίνεται, εἶναι δύναμίν τινα ψυχικὴν
καὶ ἀρχὴν τῆς ἑκάστου τῶν ὀργανικῶν μερῶν κινήσεως, ὁμοίως δὲ καὶ
στάσεως (τὸ γὰρ αἴτιον τοῦ κινεῖσθαι τοῦτό ἐστι καὶ τοῦ ἵστασθαι), ἐπεὶ
10 οὖν ἀνάγκη ὑπάρχειν τὸ κοινὸν καὶ ἐν τῷ κοινῷ εἶναι ἀρχὴν καὶ αἰτίαν
τῆς τε κινήσεως καὶ στάσεως, φανερὸν ὅτι καθ' ὅσας τῶν λεχθεισῶν ἀντι-
θέσεων, τῆς τε ἄνω καὶ κάτω καὶ ἔμπροσθεν καὶ ὄπισθεν καὶ δεξιοῦ καὶ
ἀριστεροῦ, ἰδία ὑπάρχει κίνησις (ἄλλη γὰρ κίνησις ἡ τοῦ ἄνω καὶ κάτω 15
καὶ ἄλλαι αἱ τῶν λοιπῶν δύο ἀντιθέσεων) φανερὸν οὖν ὅτι ταῦτα πάντα
15 τὰ μέρη, ἐν οἷς θεωροῦνται αἱ λεχθεῖσαι ἀντιθέσεις, κοινὴν αἰτίαν καὶ
ἀρχὴν τοῦ κινεῖσθαι ἔχει κατὰ τὴν τῶν εἰρημένων μερῶν σύμφυσιν,
λέγων σύμφυσιν τὰ νεῦρα καθ' ἃ συνεχίζονται. εἰπὼν δὲ ὅτι κατὰ τὴν
τῶν εἰρημένων μερῶν σύμφυσιν, τίνα ἐστὶ τὰ εἰρημένα μέρη σαφηνίζων
ἐπήγαγε λέγω δὲ τῶν δεξιῶν καὶ τῶν ἀριστερῶν. ἀλλ' ἡ μὲν τῶν
20 λεγομένων διάνοια, οἶμαι, τοιαύτη· κατὰ δὲ τὴν λέξιν τὴν ᾗ ἄμφω κινεῖ- 20
ται τὰς ἐναντίας κινήσεις τὸ λεγόμενον ἴσον ἐστὶ τῷ ὅπου ἂν πεφύκῃ
τὸ κινούμενον κινεῖσθαι, εἴτε ἐν ἀέρι εἴτε ἐν ὕδατι εἴτε ἐν γῇ, ἑστῶτος
θατέρου κινουμένου δὲ θατέρου τὴν κίνησιν ποιεῖται. τῷ δὲ ᾗ ἄμφω
κινεῖται πρόσκειται τὸ τὰς ἐναντίας κινήσεις πάνυ καλῶς· ὃ γὰρ δύνα-
25 ται ἄνω κινεῖσθαι, τοῦτο καὶ κάτω. ἀλλὰ καὶ ἀντὶ τοῦ εἰπεῖν πληθυντικῶς 'ἐπεὶ δ' ἀνάγκη εἶναι τὰ κοινά, καθ' ἃ συνεχῆ ταῦτ' ἐστὶν ἀλλήλοις', ἑνικῶς αὐτὸ ἀπήγγειλεν εἰπὼν 'ἐπεὶ δ' ἀνάγκη εἶναι τὸ κοινόν, καθ' ὃ συν- 25
εχῆ ταῦτ' ἐστί', καὶ διὰ τοῦτο ἀντὶ τοῦ εἰπεῖν 'καὶ ἐνταῦθα ὑπάρχειν τὰς ἀρχάς' εἴρηκε 'τὴν ἀρχὴν' ἑνικῶς. ἢ προσυπακουστέον 'τὸ ἐν ἑκάστῃ', καὶ
30 εἴη ἂν τοιοῦτον 'ἐπεὶ δ' ἀνάγκη ἐν ἑκάστῃ συζυγίᾳ τῶν ὀργανικῶν μερῶν εἶναί τι τὸ κοινόν', καὶ τὰ ἑξῆς.

p. 706b 28 Κατὰ μὲν οὖν τὸ ἔμπροσθεν καὶ τὸ ὄπισθεν διάληψις οὐκ ἔστι τοιαύτη.

Ἐντεῦθεν ἡ δεῖξις τοῦ τέτρασι σημείοις κινεῖσθαι τὰ ἔναιμα. καὶ 35
35 ἐπεί, ὡς εἴρηται, καθ' ὃ συνάπτουσι τὰ ὀργανικὰ μέρη, ἔστι τις ψυχικὴ δύναμις (εἰ γὰρ μὴ ἦν, ἄψυχα ἂν καὶ ἀναίσθητα καὶ ὅλως ἀκίνητα ἦν),

---

4. 5 post ὀργάνων add. καὶ a 5. 6 ἀναγκαῖόν ἐστιν ἐνταῦθα coll. PR 6 κοινῷ ὑφ' οὗ in lit. P 7 ψυχική a 13 ἡ om. Sa 15 κοινὸν αἴτιον a
15. 16 ἀρχὴν καὶ αἰτίαν coll. PR 16 κατὰ τὴν libri et Arist. P: κατὰ om. Arist. vulg.
19 καὶ τῶν ἀριστερῶν libri et Arist. SU: τῶν om. Arist. vulg. 21 πέφυκε PR
22 γῇ] ἀέρι PR 23 ἢ ἄμφω R 26 δ' οὐκ ἀνάγκη S 29 τὸ] τοῦ PR
32 τὸ ante ὄπισθεν om. a 34 ἐνταῦθα PR

δῆλον ὅτι ἔνθα οὐκ εἰσιν ὀργανικὰ μέρη, οὐδὲ τὸ κοινόν, εἰ δὲ μὴ τὸ 179ʳ κοινόν, οὐδὲ κινητικὴ ἀρχή. ἐξ οὖν οὐσῶν διαστάσεων, τριῶν δὲ συζυγιῶν, εἰ δειχθείη ὅτι κατὰ μίαν συζυγίαν οὐκ εἰσιν ὀργανικὰ μέρη, δῆλον ὅτι οὐδὲ ἀρχὴ κινήσεως, εἰ δὲ μὴ ἀρχή, οὐδὲ κίνησις. ὥστε λείπεται κατὰ τὰς δύο συζυγίας εἶναι κίνησιν, ἐπεὶ ἀνάγκη καὶ ἀρχὴν ἐν αὐταῖς εἶναι 40 κινητικήν. αἱ δὲ δύο συζυγίαι εἰς τέσσαρα διαιροῦνται σημεῖα· ἐν τέτρασιν ἄρα σημείοις ἡ τῶν ἐναίμων κίνησις. ἀλλὰ ταῦτα μὲν ἡμῖν προειρήσθω· αὐτὸς δέ φησιν ὅτι κατὰ τὰ ἔμπροσθεν καὶ ὄπισθεν διάληψις, τουτέστι διάρθρωσις ὀργανικῶν μερῶν, δι' ὧν ἡ κατὰ τόπον μεταβολὴ γίνεται, οὐκ ἔστι. καὶ ἐπὶ μὲν τῶν ἀνθρώπων δῆλον· ὁ γὰρ δεξιὸς ποὺς κινητικόν ἐστι σημεῖον τοῦ δεξιοῦ, καὶ ὁ ἀριστερὸς τοῦ ἀριστεροῦ ὁμοίως. ἐπεὶ δ' οὐ μόνον 45 ἐστὶ δεξιὸν κάτω καὶ ἀριστερὸν κάτω, ἀλλὰ καὶ δεξιὸν ἄνω καὶ ἀριστερὸν ἄνω, ἡ μὲν δεξιὰ χεὶρ ἢ καὶ ἡ ὠμοπλάτη κινητικόν ἐστι σημεῖον τοῦ ἄνω δεξιοῦ, ἡ δὲ ἀριστερὰ τοῦ ἄνω ἀριστεροῦ, ὁ δὲ δεξιὸς ποὺς τοῦ κάτω δεξιοῦ καὶ ὁ ἀριστερὸς τοῦ κάτω ἀριστεροῦ. ὥστε ἐπὶ μὲν ἀνθρώπου δῆλον ὅτι τῶν ἄνω καὶ κάτω καὶ δεξιῶν καὶ ἀριστερῶν εἰσι κινητικὰ σημεῖα, τῶν δ' ἔμπροσθεν καὶ ὄπισθεν οὐκ ἔστι· καίτοι κινεῖται μὲν ὁ ἄνθρωπος ἐπὶ τὸ ἔμπροσθεν (ἐφ' ὃ γὰρ αἱ αἰσθήσεις), ἀλλὰ τὴν τοιαύτην κίνησιν διὰ τῶν σημείων τοῦ δεξιοῦ καὶ ἀριστεροῦ καὶ τῶν 50 ἄνω καὶ κάτω κινεῖται. ὅλως δὲ ὅτι καὶ ὁ ἄνθρωπος τέτρασι σημείοις κινεῖται ὡς τὰ τετράποδα, δείξει προϊών. ἀλλὰ δὴ καὶ ἐπὶ τῶν τετραπόδων οἱ πρόσθιοι λεγόμενοι πόδες οὐκ εἰσι σημεῖα τῶν ἔμπροσθεν, ἀλλὰ τῶν ἄνω καὶ κάτω, εἴπερ ἀναλογοῦσι χερσίν, ὡς ἐν τῷ Περὶ ζῴων μορίων εἴρηται. ἀλλὰ ταῦτα μὲν ἡμῖν εἴρηται ὑπὲρ τοῦ ἐνδείξασθαι ὅτι οἱ δοκοῦντες εἶναι πρόσθιοι πόδες δοκοῦσι μὲν οὐκ εἰσὶ δὲ κατ' ἀλήθειαν σημεῖα τῶν | ἔμπροσθεν. αὐτὸς δὲ δείκνυσιν ὅτι διάληψις καὶ διάρθρωσις 179ᵛ ὀργανικῶν μερῶν τοῦ ἔμπροσθεν οὐκ ἔστιν ἐκ τοῦ μηδὲ τοῦ ὄπισθεν εἶναι, τοῦτο δὲ πάλιν ἐκ τοῦ μηδὲ κίνησιν φυσικὴν ὑπάρχειν εἰς τὸ ὄπισθεν. εἰ γὰρ ἦν ὄργανα κινητικὰ τοῦ ὄπισθεν, οὐδὲν δὲ φυσικὸν ὄπισθεν κινεῖται, μάτην ἦσαν ἄν. ὥστ' ἐπεὶ τῶν ὄπισθεν οὐκ ἔστιν ὄργανα, ἐπεὶ μηδὲ κίνησις, οὐδὲ τῶν ἔμπροσθεν· τῶν δὲ λοιπῶν δύο συζυγιῶν εἰσι. καὶ διὰ 5 τοῦτο τῶν ζῴων ὅσα ὀργανικοῖς χρώμενα μέρεσι πορεύεται, τῇ μὲν κατὰ τὸ πρόσθεν διαφορᾷ οὐκ ἔχει ὀργανικὰ μέρη, ταῖς δὲ λοιπαῖς δύο, προτέρᾳ δὲ καὶ κατὰ πρῶτον τῇ φύσει λόγον τῇ διοριζούσῃ διαφορᾷ τὸ δεξιὸν καὶ ἀριστερόν, ἐπεὶ ἡ κατὰ τὸ δεξιὸν καὶ ἀριστερὸν διαφορὰ πρώτη ἐνορᾶται τοῖς δοκοῦσι τέτρασι σημείοις κινεῖσθαι.

---

1. 2 εἰ δὲ—κοινόν om. S 2 ante κινητικὴ add. ἡ a 3 κατὰ τὴν μίαν R 5 ἐπειδὴ PRa 7 post σημείοις add. ἐστὶν R 8 τὰ] τὴν PR διάληψις] ις in lit. P¹ 9 γίνεται om. S 10 ὁ μὲν γὰρ PR 11 ὁμοίως post δεξιοῦ ponunt PR 18 post ἀλλὰ add. καὶ PR 20 ὁ om. R 21 et 23 ὥσπερ PR 23 ἐν τῷ Περὶ ζῴων μορίων] cf. Δ 10 p. 686ᵃ24 sqq. ἐν τῇ PR: ἐν τοῖς a 25 πρόσθιοι εἶναι coll. PR 26 διάρθρωσις καὶ διάληψις coll. PR 27 τοῦ post μηδὲ ex τὸ corr. P: τὸ R 29 ὄπισθεν (post τοῦ) ex ἔμπροσθεν corr. R φυσικῶς PR 31 κίνησιν S 32 χρώμενοι S 33 πρόσθεν ex ὄπισθεν corr. S δύο] ἀμφοτέροις PR πρότερον R et fort. P 35 ἐπειδὴ PR πρώτως PR 36 τέτρασι] ἐν δυσὶ PR

p. 707a6 Ἐπεὶ οὖν τό τε ἄνω καὶ κάτω. 179v

Κοινὴν ἀρχὴν καὶ κυρίαν τῆς κινήσεως λέγει νῦν τὴν ἐν τῇ καρδίᾳ ψυχήν, ἀφ' ἧς ὡς ἀπὸ ῥίζης καὶ πηγῆς προΐασιν αἱ τῶν ὀργανικῶν μερῶν κινητικαὶ αἰτίαι. εἴρηκε δὲ αὐτὴν καὶ κυρίαν τῆς κινήσεως, ὅτι καὶ αἱ λοιπαὶ διὰ ταύτην καὶ ἐκ ταύτης τὸ κινεῖν ἔχουσιν. ἀλλὰ πῶς πρότερον εἰπὼν ὅτι ἔστι τι κοινόν, ὑφ' οὗ ὡς πρός τινος κοινοῦ ὅρου συνεχῆ εἰσι τὰ ὀργανικὰ μέρη, νῦν διὰ τὴν κοινὴν ἀρχὴν λέγει συνηρτῆσθαι συνηνῶσθαί τε πρὸς αὐτά; ἢ ὅτι καὶ τούτων καὶ πάντων ἁπλῶς τῶν μερῶν τοῦ συνεῖναι ἀλλήλοις αὕτη ἐστὶν ἡ αἰτία· ἐξελθούσης γὰρ αὐτῆς διαπνεῖ τε καὶ σήπεται τὰ σώματα. ἐπεὶ οὖν, φησί, διὰ ταύτην συνήρτηνται πρὸς ἑαυτὰ τὰ μέρη, καὶ δεῖ ἐν ἅπαντι τῷ μέλλοντι καλῶς καὶ κατὰ τρόπον κινεῖσθαι τὸ τῶν λεχθεισῶν ἁπασῶν κινήσεων αἴτιον, τουτέστιν τὴν ἀρχὴν καὶ κυρίαν τῆς κινήσεως, ὡρίσθαι πως καὶ τετάχθαι ταῖς ἀποστάσεσι ταῖς πρὸς τὰς ῥηθείσας ἀρχάς, τουτέστι καὶ δεῖ τὴν ἀπόστασιν τῆς κυρίας τῶν κινήσεων, ἣν ἀφέστηκεν ἀπὸ τῶν ἄλλων ἀρχῶν τῶν ἐγκατῳκισμένων πρὸς τὰς συναφὰς τῶν ὀργανικῶν μερῶν καὶ κινουσῶν αὐτά, καὶ δεῖ οὖν τὴν ἀπόστασιν αὐτῆς, ἣν ἀφέστηκεν ἀπὸ τῶν ἄλλων, ὡρισμένην εἶναι (οὐ γὰρ δεῖ ταύτῃ μὲν πλησιάζειν καὶ σύνεγγυς αὐτῆς εἶναι, ἄλλης δὲ κατὰ πολὺ ἀφίστασθαι, ἀλλ' ὡρισμένην καὶ σύμμετρον εἶναι τὴν ἀπ' αὐτῶν ἀπόστασιν), ἐπεὶ οὖν οὕτω δεῖ ταῦτα ἔχειν, φανερὸν ὡς ἢ μόνοις ἀπὸ τῶν ζῴων ἢ μάλιστα τούτοις τοῖς ζῴοις ἡ κατὰ τόπον κίνησις ὑπάρχει, ἃ δυσὶν ἢ τέτρασι σημείοις κινεῖται τὴν κατὰ τόπον μεταβολήν. τὸ δὲ δυσὶν εἴρηκεν διὰ τὸ μήπω δεῖξαι ὅτι καὶ ὁ ἄνθρωπος τέτρασι κινεῖται. ὥστ' ἐπεὶ σχεδὸν τοῖς ἐναίμοις τοῦτο μάλιστα συμβέβηκεν, λέγων τοῦτο τὸ ἔχειν κοινὴν ἀρχήν, ἣν δεῖ ὁμοίως ἀφεστηκέναι ἀπὸ τῶν ἐν τοῖς ὀργανικοῖς μέρεσιν ἀρχῶν καὶ διδόναι δύναμιν αὐταῖς τοῦ κινεῖν τὰ ὀργανικὰ μέρη, ἐπεὶ οὖν τοῖς ἐναίμοις τοῦτο μάλιστα συμβέβηκεν, φανερὸν ὅτι πλείοσι τῶν τεσσάρων σημείοις οὐθὲν οἷόν τε τῶν ζῴων τῶν ἐναίμων κινεῖσθαι, καὶ πᾶν τὸ τέτρασι σημείοις κινούμενον ἔναιμόν ἐστι ζῷον.

Τὰ μὲν οὖν διὰ τούτων λεγόμενα ταῦτα ἂν εἴη. ἀντιστοίχους δὲ κινήσεις λέγει τὰς ἐναντίας, οἷον τὴν ἄνω καὶ κάτω, συστοίχους δὲ τὰς μὴ ἐναντίας, οἷον φέρε εἰπεῖν τὴν ἄνω καὶ τὴν δεξιάν. εἰπὼν δὲ ὅτι δεῖ ὡρίσθαι καὶ τετάχθαι ταῖς ἀποστάσεσι τὸ τῶν λεχθεισῶν κινήσεων αἴτιον, μεταξὺ σαφηνίζων τί ποτέ ἐστι τὸ τῶν λεχθεισῶν κινήσεων αἴτιον ἐπήγαγεν αὕτη δ' ἐστὶν ἀφ' ἧς κοινῆς ἀρχῆς πάντων τῶν ἐν τῷ ζῴῳ ἥ τε τοῦ δεξιοῦ καὶ τοῦ ἀριστεροῦ κίνησίς ἐστι. ταύτην δὲ τὴν ἀρχὴν

---

1 τε om. a 2 κυρίαν] αἰτίαν PR 6 πρός τινα κοινὸν ὅρον (alio atr.) P
7 post συνηρτῆσθαι add. καὶ PR, τε καὶ a 8 τε om. PRa 11 τόπον a
18 ταύτην S: ταύτης a ἄλλης — σύμμετρον εἶναι (19) in marg. adscr. P
19 ἀπ' αὐτῆς a 24 ἀναίμοις S¹ λέγω Pa 25 ἀφεστάναι a
28 σημείων PR post τε add. ἐστὶν R τῶν ἐναίμων ζώων PRa 34 μεταξὺ — κινήσεων αἴτιον om. Sa 35 ἀρχῆς κοινῆς coll. PR 36 τοῦ ante ἀριστεροῦ om. a

σημείοις κινεῖσθαι, ἀλλὰ δυσί, τῇ τε ἔμπροσθεν ἁφῇ καὶ τῇ ὕστερον, 180v
τουτέστι τῇ τε ἔμπροσθεν καμπῇ, δι' ἧς ἅπτεται τῆς γῆς, καὶ τῇ ὄπισθεν·
δοκεῖ οὖν δυσὶ κινεῖσθαι σημείοις διὰ τὴν στενότητα τοῦ σώματος. στενὸν 30
γὰρ ὂν τὸ σῶμα αὐτοῦ καὶ μὴ πλατὺ δοκεῖ μήτε πλάγιον ἔχειν μήτε τὰ
5 τοῖς πλαγίοις ἐνόντα δεξιὰ καὶ ἀριστερά. οὐκ ἔστιν οὖν ἡ κίνησις αὐτῶν
διὰ δύο σημείων, ἀλλ' ὥσπερ τὰ τετράποδα κατὰ διάμετρον κινούμενα
προηγεῖται μὲν ὁ ἔμπροσθεν δεξιὸς πούς, ἕπεται δ' αὐτῷ ὁ ὄπισθεν ἀρι-
στερός, εἶτα πάλιν προηγεῖται μὲν ὁ ἔμπροσθεν ἀριστερός, ἕπεται δ' αὐτῷ
ὁ ὄπισθεν δεξιός, οὕτω καὶ ὁ ὄφις καὶ πάντα τὰ ὅμοια. ἔστω γὰρ ὄφις 35
10 τὸ Κ, κυρτὴ δὲ περιφέρεια καὶ δεξιὸν ἅμα μέρος τῆς ἔμπροσθεν καμπῆς
τὸ Α, κοίλη δὲ περιφέρεια τῆς αὐτῆς καμπῆς καὶ ἀριστερὸν μέρος ἔστω
τὸ Β· πάλιν κυρτὴ περιφέρεια τῆς ὄπισθεν καμπῆς καὶ ἀριστερὸν μέρος
ἔστω τὸ Γ, κοίλη δὲ καὶ δεξιὸν τὸ Δ. ἡγεῖται οὖν τὸ Α ὥσπερ τις
ἐμπρόσθιος δεξιὸς πούς, καὶ ἕπεται τὸ Γ ὥσπερ ἀριστερὸς ὀπίσθιος, καὶ
15 ὥσπερ ἐν τοῖς τετράποσιν κατὰ ἔκτασιν μὲν καὶ πρόωσιν τοῦ δεξιοῦ ποδὸς
τοῦ ἔμπροσθεν, ἐπακολούθησιν δὲ τοῦ ὄπισθεν γίνεται ἡ κατὰ τόπον μετα- 40
βολή, ἀναλόγως καὶ ἐπὶ τῶν ὄφεων συμβαίνει γίνεσθαι. κυρτούμενον γὰρ
μᾶλλον τὸ Α καὶ διὰ τοῦτο κοιλαινόμενον καὶ τὸ Β, ἐξαπλοῦται τὸ Γ
καὶ ἐπακολουθεῖ· ἀνάγκη γάρ, εἰ μέλλει γενέσθαι ἡ Α περιφέρεια καὶ
20 μείζων καὶ κοιλοτέρα ἑαυτῆς, ἐπακολουθῆσαι τὸ Γ. ἡγεῖται οὖν τὸ δεξιόν,
ὅπερ ἐστὶ τὸ Α, καὶ ἀνταποδίδωσι, τουτέστι καὶ ἕπεται τὸ Γ· εἶτα μετα-
βάλλει τὸ κοῖλον καὶ τὸ κυρτόν, καὶ τὸ μὲν Β, ὃ ἦν κοῖλον, γίνεται κυρτόν,
τὸ δὲ Α, ὃ ἦν κυρτόν, γίνεται κοῖλον· ὁμοίως τὸ μὲν Δ ἐκ κοίλου γίνεται 45
κυρτόν, τὸ δὲ Γ ἐκ κυρτοῦ κοῖλον· καὶ πάλιν τὸ μὲν Α κυρτόν, τὸ δὲ Β
25 κοῖλον, καὶ οὕτως ἐφεξῆς. τοῦ δὲ ὅλως, φησί, κάμπτειν τοὺς ὄφεις αἴτιον
τὸ μῆκος αὐτῶν τοῦ σώματος. ὥσπερ γὰρ οἱ μακροὶ τῶν ἀνθρώπων
λορδοὶ βαδίζουσιν, οὕτω καὶ οἱ ὄφεις. γίνεται δὲ ἡ λορδότης τὸν τρόπον
τοῦτον· ἡγουμένου τοῦ δεξιοῦ ὤμου εἰς τὸ πρόσθεν (ὡς γὰρ ἐν τοῖς τετρά-
ποσιν ἡγεῖται ἓν τῶν ἔμπροσθεν σκελῶν, ἕπεται δὲ ἓν τῶν ὄπισθεν, οὕτω
30 κἀν τοῖς ἀνθρώποις ἡγεῖται μὲν εἷς τῶν ὤμων, ἕπεται δὲ ἓν τῶν ἰσχίων) 50
ἡγουμένου οὖν, ὡς εἴρηται, τοῦ δεξιοῦ ὤμου εἰς τὸ ἔμπροσθεν (ἔστω γὰρ
ὅτι ὁ δεξιὸς ἡγήσατο) καὶ ἑπομένου τοῦ ἀριστεροῦ ἰσχίου μὴ καλῶς, ἀλλ'
εἰς τοὔπισθεν ἤγουν πρὸς τὸ δεξιὸν ἰσχίον παρεγκλίνοντος, γίνεται τὸ μεταξὺ
σῶμα τοῦ τε ὤμου καὶ τοῦ ἰσχίου ὡσπερεὶ τμῆμα κύκλου ἔχον κυρτὴν μὲν
35 περιφέρειαν τὰ ἀριστερὰ πλευρά, κοίλην δὲ τὰ δεξιά· ὅταν δὲ προηγήσηται
ὁ ἀριστερὸς ὤμος, ἕψηται δὲ τὸ δεξιὸν ἰσχίον, γίνεται κυρ|τὸν μὲν αἱ 181r
δεξιαὶ πλευραί, κοῖλον δὲ αἱ ἀριστεραί. τοῦτο οὖν οἱονεὶ τμήματος τούτου
τὸ κοῖλον λορδὸν καλεῖ. κινοῦνται οὖν οἱ ὄφεις λορδοῖς σημείοις, ἤτοι

---

4 πλάγια a 4. 5 τὰ ἐν τοῖς PR 9 post γὰρ add. ὁ PR 14 ἕπεται τὸ] ἅπτεται τῷ P¹R ὄπισθεν PRa 19 γίνεσθαι a 20 ἑαυτῆς] ταύτη a 22 ὃ] ὅπερ PR 23 τὸ μὲν Γ et 24 τὸ δὲ Δ ἐκ libri 26 τοῦ σώματος αὐτῶν coll. PR 33 πρὸς] εἰς PRa παρεκκλίναντος PR: παρεκκλίνοντος a 35 κοίλη S¹ ὅτε δὲ προηγήσεται Sa 36 ἕψεται S: ἕπεται a 37 τοῦτο] τοῦ PRa

λορδοῖς μέρεσι, διὰ τὸ κατὰ διάμετρον καὶ τούτους κινεῖσθαι. σαφῆ δὲ τὰ ἑξῆς. λέγει δὲ ὅτι ἔνια τῶν ὀφιωδῶν πτερύγια οὐκ ἔχει, δι' ὧν κινοῦνται, ἀλλὰ χρῆται τῇ θαλάσσῃ, τουτέστι κινεῖται ἐν τῇ θαλάσσῃ διὰ τῶν καμπῶν ὥσπερ οἱ ὄφεις ἐν τῇ γῇ καὶ ἐν τῇ θαλάσσῃ· οἱ γὰρ ὄφεις ὡς κινοῦνται ἐν τῇ γῇ, οὕτω καὶ ἐν τῇ θαλάσσῃ καὶ ἁπλῶς ἐν παντὶ ὕδατι. χρῶνται δὲ τὰ ζῆν εἰωθότα ἐν τῇ γῇ καὶ ἔχοντα δύο μόνα πτερύγια, ὡς καὶ αἱ ἐγχέλυες, χρῶνται οὖν τὰ τοιαῦτα ταῖς καμπαῖς ἐλάττοσιν ἤγουν βραχυτέραις ἐν τῇ θαλάσσῃ διὰ τὸ συνεργεῖν αὐτοῖς τὰ πτερύγια ἐν τῷ ὕδατι πρὸς τὴν κίνησιν, ἐν δὲ τῇ γῇ μεγάλαις διὰ τὸ μὴ συμβάλλεσθαι τὰ πτερύγια πρὸς τὴν κίνησιν ἐν τῇ γῇ. μήποτε δὲ τὸ ἐλάττοσιν ἀντὶ τοῦ μιᾷ εἶπεν, ἵν' ᾖ τὸ λεγόμενον 'χρῶνται οὖν ἐν τῷ ὕδατι μιᾷ καμπῇ'. ἐπεὶ γὰρ χρῶνται ἐν τῷ ὕδατι τοῖς δυσὶ πτερυγίοις, εἰ ἐχρῶντο καὶ δυσὶ καμπαῖς ἐν τῷ ὕδατι, πλείοσιν ἢ τέτρασιν ἐκινοῦντο ἂν σημείοις ἔναιμα ὄντα. ἐν δὲ τῇ γῇ διὰ τὸ μηδαμῶς συμβάλλεσθαι αὐτοῖς πρὸς τὴν κίνησιν τὰ πτερύγια, ὥσπερ οὐδὲ τοῖς πλωτῆρσιν ἐν τῇ γῇ αἱ κῶπαι, χρῶνται πλείοσιν ἤγουν δυσὶ καμπαῖς. σαφῆ δὲ ἃ λέγει περὶ τῆς τῶν ὄφεων ἀποδίας, διὰ τὸ εἰρηκέναι ταῦτα καὶ ἐν τῇ Περὶ ζῴων μορίων καὶ ἡμᾶς ἐν ταῖς ἐκείνων σχολαῖς ἱκανῶς περὶ τούτων εἰρηκέναι. σαφῶς δὲ καὶ τὰς αἰτίας ἀπαγγέλλει, δι' ἃς πάντα τὰ ὑπόποδα ἀρτίους ἔχει τοὺς πόδας. τὸ δὲ τοῖς μὲν βέλτιον, τοῖς δ' ὅλως ἀδύνατον πορεύεσθαι τοιοῦτόν ἐστι· τοῖς μὲν οὖν πολύποσι πᾶσι καὶ ἐντόμοις καὶ μὴ τοιούτοις εἰ τάχα καὶ δυνατόν ἐστι διὰ περιττῶν ποδῶν τὴν κατὰ τόπον ποιεῖσθαι μεταβολήν, ὅμως βέλτιον, ἂν αὐτὴν ποιήσωσι διὰ τῶν ἀρτίων· τοῖς δὲ τετράποσι καὶ δίποσιν ἀδύνατον ὅλως διὰ περιττῶν βαδίσαι. τῆς γὰρ διὰ τῶν ποδῶν κατὰ τόπον γινομένης μεταβολῆς κατὰ μέρος οὔσης, ὡς εἴρηται, καὶ νῦν μὲν τούτου τοῦ ποδὸς ὡς ἐπὶ τῶν διπόδων εἰπεῖν μένοντος ἢ τούτοιν μενόντοιν ὡς ἐπὶ τῶν τετραπόδων καὶ τὸ σῶμα φέροντος ἢ φερόντοιν, νῦν δὲ θατέρου ἢ θατέροιν, γινομένης οὖν οὕτω τῆς κατὰ τόπον μεταβολῆς καὶ ποιούντων τῶν βαδιζόντων ζῴων ἑκάτερον τούτων, λέγω δὴ τὸ ἵστασθαι καὶ κινεῖσθαι τοῖς ἀντικειμένοις, τουτέστι τῷ δεξιῷ καὶ ἀριστερῷ μέρει, τῆς οὖν βαδίσεως οὕτω γινομένης καὶ μεταβαλλόντων τῶν ζῴων τὸ βάρος παντὸς τοῦ σώματος ἀπὸ τῶν κινουμένων ἐπὶ τὰ μένοντα σημεῖα, ἀδύνατόν ἐστιν ἢ δι' ἑνὸς ἢ διὰ τριῶν ποδῶν τὴν βάδισιν γενέσθαι.

p. 708ᵇ1 Τὸ μὲν γὰρ οὐδὲν ὅλως ὑπόστημα ἔχει.

Τουτέστι τὸ ἔχον μόνον ἕνα πόδα ὅλως ὑπόστημα καὶ ἔρεισμα οὐκ

---

2 πτερύγιον PR 4 post οἱ ὄφεις add. καὶ PR ὥσπερ PR 6. 7 ὥσπερ αἱ PR 7 ἐγχέλυς PR ἐλάττουσιν Sa ἤγουν] ἢ PR 10 πρὸς τὴν κίνησιν om. et ἐν τῇ γῇ τὰ πτερύγια coll. PR τὰ πτερὰ Sa 11 ἐν τῷ periit in S 12 ἐπειδὴ PR εἴπερ PR 13 καμπαῖς periit in S ἂν om. PRS 16 ἤγουν] ἢ a 17 ἐν τῇ Περὶ ζῴων μορίων] cf. Δ 11 ἐν τοῖς a ἡμεῖς S: ἡμῖν PR 17. 18 ἐν ταῖς—σχολαῖς] cf. p. 91 18 καὶ om. a 19 ἐπαγγέλλει R 28 ἢ τοῖν ἑτέροιν a 29 δὴ scripsi: δὲ libri 33 δι' ἑνὸς ἢ om. a 35 ἕνα μόνον coll. PR ὑπόστημα] ὑποκείμενον a

ἔχει. εἰ δέ τις τῶν ἀνθρώπων ἕνα μόνον ἔχων πόδα δυνηθῇ στῆναι, 181r
ἀλλά τί ἂν ἐκτείνειεν, ἵνα τὴν βάδισιν ποιήσηται; τὸ δὲ τρίπουν κατὰ μὲν 40
θάτερον τοῖν μεροῖν, ἐν ᾧ τοὺς δύο πόδας ἔχει, ἴσως δυνήσονται ἆραι οἱ
δύο πόδες τὸ πᾶν τοῦ σώματος βάρος καὶ στῆναι· κατὰ δὲ τὴν ἑτέραν
5 ἀντίθεσιν, τουτέστι κατὰ δὲ θάτερον μέρος, ᾗ τὸν ἕνα ἔχει πόδα, εἰ ἄρῃ
τὸ βάρος, πόνον ἕξει, εἰ τέως, ὡς εἴρηται, ἆραι δυνηθείη τὸ βάρος
ὁ εἷς. ὥστε ἐπιχειροῦν διὰ τῶν τριῶν ποδῶν βαδίζειν ἀνάγκη πίπτειν.
τὰ δὲ πολύποδα δύναται καὶ διὰ περιττῶν βαδίζειν διὰ τὸ δύνασθαι
ἴασθαι τὴν κολόβωσιν τῶν ἀντιστοίχων ἤγουν τῶν ἐν θατέρῳ μέρει 45
10 ποδῶν ὑπὸ τοῦ πλήθους τῶν τε ἐν τούτῳ τῷ μέρει ποδῶν καὶ τῶν ἐν
τῷ ἑτέρῳ· γίνεται γάρ, φησί, τούτοις οἷον ἔφελξις τοῦ πεπηρω-
μένου μορίου τοῖς ἄλλοις, λέγων τούτοις μὲν τοῖς ζῴοις, ἄλλοις
δὲ τοῖς ποσί. τὸ δὲ λεγόμενόν ἐστιν ὅτι τοῖς κολοβωθεῖσι ζῴοις γίνεται
τοῦ πεπηρωμένου μορίου ἔφελξις διὰ τῶν ἄλλων ποδῶν· ἕλκουσι γὰρ τὸ
15 στερηθὲν μόριον τοῦ ἐν αὐτῷ ποδὸς τὰ ἄλλα μέρη τὰ ἔχοντα τοὺς πόδας.
σαφῆ δὲ τὰ ἑξῆς. τὸ δὲ προβαίνει δὲ ἀφ' ἑκατέρου τῶν μερῶν
ἐναλλὰξ πορευόμενον καὶ τὰ ἑξῆς δυνάμει τοιοῦτόν ἐστι· τὸ ζῷον 50
κινούμενον οἷον ἵππος ἐπὰν ἠρεμῆσαι μέλλῃ ἔχον, εἰ τύχῃ, προβεβηκότα
τὸν ἔμπροσθεν δεξιὸν πόδα καὶ τὸν ἀριστερὸν τὸν ὄπισθεν, ἀποβεβηκότας
20 δὲ τοὺς λοιποὺς προβάλλει καὶ αὐτοὺς καὶ ἵστησιν ἐπίσης τοῖς λοιποῖς, καὶ
οὕτω γίνεται ἐν τῷ σχήματι, ἐν ᾧ ἦν πρὸ τοῦ ἄρξασθαι τῆς βαδίσεως.

p. 708ᵇ21 Ὅτι δ' εἰ μηθὲν ἦν ἠρεμοῦν, οὐκ ἂν ἦν κάμψις οὐδ' εὔθυνσις, ἐκ τῶνδε δῆλον. |

Λαβὼν ὅτι πᾶσα ἡ κατὰ τόπον μεταβολὴ ἐξ ἠρεμούντων καὶ κινου- 181v
25 μένων σημείων γίνεται, νῦν προτίθεται δεῖξαι αὐτό, καί φησιν εἰ μηθὲν
ἦν ἠρεμοῦν, οὐκ ἂν ἦν κάμψις· ἀλλὰ μὴν τὸ ἡγούμενόν ἐστιν, ⟨ἔστιν⟩
ἄρα καὶ τὸ λῆγον. καὶ ὅτι ἡ κάμψις ἐξ ἠρεμοῦντός τινος γίνεται, δῆλον·
εἰ γὰρ μὴ ἦν τὸ ἠρεμοῦν, πῶς ἂν ἔκτασις θατέρου σκέλους ἐγεγόνει, ἵνα
συγκάμψῃ αὐτὸ τὸ μένον; καὶ ὅλως πᾶν τὸ καμπτόμενον ἠρεμοῦν πρότερον 25
30 ἐν τῷ εὐθεῖ οὕτω κάμπτεται. τὸ δὲ λῆγον διὰ πολλῶν δείκνυσιν, καὶ
πρῶτον λίαν σαφῶς ὑπομιμνήσκει τί ἐστιν κάμψις, διὰ τὸ περὶ αὐτῆς
εἰπεῖν καὶ ἐν τῷ τετάρτῳ τῶν Μετεώρων. λέγει δὲ καὶ ὅτι ἐν ἁπάσαις
ταῖς εἰρημέναις μεταβολαῖς, οἷον ταῖς διὰ ποδῶν καὶ καμπῶν γινομέναις,

---

1 δυνηθείη a 2 ἐκτείνη a ποιήσαιτο PRa 3 et 6 ἆραι] ἄρα PR
4 post βάρος add. λαβεῖν PR 5 κατὰ δὲ supr. vers. P¹ δὲ τὸ θάτερον R
ἄρῃ] ἄροι a 9 τὸ κολόβωμα a θατέρων a 10 τε om. PR
15 μέρη] μόρια PRa 16 ἀφ' ἑκάτερου R (ut Arist.): ἐφ' ἑκατέρου P: ἐφ' ἑκάτερα Sa
17 πορευόμενα Arist. SU: τὸ πορευόμενον Arist. vulg. τὸ ἑξῆς PR 18 ὁ
ἵππος PR ἐπειδὰν PR μέλλοι Sa ἔχων RS τύχοι a 19 ἀπο-
βεβηκότα S 20 δὲ om. S 22 ἦν ἠρεμοῦν a Arist.: ἦν om. PRS
22. 23 οὐδὲν εὔθυνσις a 26 ἔστιν addidi 28 ἔκτανσις libri 29 συγκάμψῃ]
συγκάων a 30 εὐθὺ Pa κάμπτειν a 32 καὶ ante ἐν om. Sa
ἐν τῷ τετάρτῳ τῶν Μετεώρων] Δ 9 p. 386ᵃ2 33 καμπῆς a

ἀνάγκη τὴν κάμψιν ἢ τὴν εὔθυνσιν πρὸς ἓν σημεῖον γίνεσθαι. καὶ 181v
ἐπὶ μὲν τῶν ὑποπόδων δῆλον· κάμπτουσι γὰρ ἐν τῷ γόνατι καὶ ἐν αὐτῷ
ἢ δι' αὐτοῦ πάλιν τὴν εὔθυνσιν ποιοῦνται· καὶ ἐπὶ τῶν ἀπόδων ὁμοίως. 30
οὐ λέγει δὲ διὰ σημείου ἀμεροῦς, οἷόν ἐστι τὸ μαθηματικόν, γίνεσθαι τὴν
5 κάμψιν καὶ τὴν εὔθυνσιν, ἀλλὰ διὰ φυσικοῦ. εἰπὼν δὲ ὅτι εἰ μὴ ἔστι
στάσις καὶ ἠρεμία, κάμψις οὐκ ἔστιν, ἐπήγαγεν ἀλλὰ μὴν κάμψεως μὴ
οὔσης οὔτε πορεία οὔτε νεῦσις οὔτε πτῆσις ἂν εἴη. ταῦτα εἰπὼν
δείκνυσιν ὅτι ἀνάγκη κάμψιν γίνεσθαι ἐν ταῖς κατὰ τόπον μεταβολαῖς.
πρῶτον δὲ δείκνυσιν τοῦτο ἐπὶ τῶν διπόδων· ἡ δὲ δεῖξις αὕτη ἁρμόζει
10 καὶ ἐπὶ πάντων τῶν πολυπόδων· εἶτα δείκνυσιν τοῦτο καὶ ἐπὶ τῶν ἀπόδων. 35
δείκνυσι δὲ τοῦτο γραμμικῶς καὶ ὅ φασι γεωμετρικαῖς ἀνάγκαις οὕτω.
νενοήσθω ὁ Σωκράτης ἱστάμενος μηδέτερον ἔχων τῶν ποδῶν προβεβηκότα·
δῆλον δὴ ὅτι πρὸς ὀρθὰς γωνίας ἵσταται. πᾶν γὰρ τὸ ἑστὸς πρὸς ὀρθὰς
ἵσταται γωνίας· εἰ γὰρ ἡ μὲν τῶν γωνιῶν γένηται ὀξεῖα, θατέρα δ' ἀμβλεῖα,
15 πίπτει τὸ ἑστὸς καθ' ὃ μέρος ἡ ὀξεῖα γίνεται γωνία. ἀλλὰ μὴν καὶ
τοῦτο δῆλον ὡς ἱσταμένου τοῦ Σωκράτους γίνεται τρίγωνον ἰσοσκελὲς ἔχον
κορυφὴν μὲν τὴν ἕδραν ἀφ' ἧς ἡ ξηρὰ ἐξέρχεται περίττωσις, σκέλη δὲ αὐτὰ 40
τὰ τοῦ Σωκράτους σκέλη, βάσιν δὲ τὴν ἐν τῇ γῇ ἀπὸ θατέρας πτέρνης
εἰς θατέραν γραφομένην εὐθεῖαν. ἀρχέσθω οὖν τοῦ βαδίζειν ὁ Σωκράτης,
20 καὶ προβεβλήσθω τὸν δεξιόν, εἰ τύχῃ, πόδα. δῆλον δὴ ὅτι ἐπεὶ ὁ ἀριστερὸς
ἵσταται καὶ τὸ βάρος φέρει τοῦ παντὸς σώματος, πρὸς ὀρθὴν ἵσταται· εἰ
γὰρ μὴ πρὸς ὀρθὴν ἵστατο, ἐπεπτώκει ἄν, ὡς εἴρηται. γίνεται οὖν πάλιν
καὶ μετὰ τὴν τοῦ δεξιοῦ ποδὸς πρόβασιν τρίγωνον ὀρθογώνιον, ἔχον ὑπο-
τείνουσαν τὴν ὀρθὴν γωνίαν τὸν προβεβηκότα πόδα ἤγουν τὸν δεξιόν. καὶ 45
25 ἐπεὶ δέδεικται ὅτι ἐν τοῖς ὀρθογωνίοις τριγώνοις τὸ ἀπὸ τῆς ὑποτεινούσης
τὴν ὀρθὴν γωνίαν τετράγωνον ἴσον ἐστὶν τοῖς ἀπὸ τῶν τὴν ὀρθὴν γωνίαν
περιεχουσῶν τετραγώνοις, δῆλον ὅτι καὶ ἡ ὑποτείνουσα τὴν ὀρθὴν γωνίαν
(αὕτη δ' ἐστὶν τὸ δεξιὸν σκέλος) μείζων ἐστὶν ὁποιασοῦν τῶν λοιπῶν, διά
τε τοῦτο καὶ δι' ἄλλο πάλιν θεώρημα, ἐν ᾧ δείκνυται ὅτι ἡ μείζων πλευρὰ
30 τὴν μείζω γωνίαν ὑποτείνει. ὥστε τὸ δεξιὸν σκέλος διά τε τὸ τὴν μείζονα
γωνίαν ὑποτείνειν μεῖζόν ἐστι τοῦ ἀριστεροῦ σκέλους καὶ διὰ τὸ τὸ ἀπ' 50
αὐτοῦ τετράγωνον ἴσον εἶναι τοῖς ἀπὸ τῶν λοιπῶν δύο. ἦν δὲ τὸ δεξιὸν
σκέλος καὶ ἴσον τῷ ἀριστερῷ πρὸ τοῦ προβῆναι· φανερὸν ἄρα ὅτι ἐκάμφθη
τὸ ἀριστερὸν κατὰ τὸ γόνυ, καὶ γέγονεν ἐν τῇ συγκάμψει καὶ οἱονεὶ διπλώσει
35 ἔλαττον τοῦ δεξιοῦ. ἀνάγκη ἄρα κάμπτεσθαι τὸ ἱσταμένον σκέλος καὶ
φέρον τὸ λοιπὸν ἅπαν σῶμα, καὶ τὸ μὲν ἀπὸ τοῦ γόνατος ἄχρι τῆς πτέρης
ἵστασθαι πρὸς ὀρθήν, τὸ δὲ ἀπὸ τοῦ ἰσχίου ἄχρι τοῦ γόνατος κάμ-|

---

5 φυσικῆς a 6 ἠρεμίας a 10 ἀπόδων ex διπόδων corr. P¹ 11 γεωμετρ(ικαῖς periit) S: γεωμετρικῶς a 16 ὡς] ὅτι PR 19 εἰς θάτερα γραφόμενα εὐθειῶν a 22 ὥσπερ PR 23 τὴν om. a 25 ὀρθογώνοις a 27 τετραγώνων PR 28 μείζων—σκέλος (30) in marg. P ἐστὶν (post μείζων)] δὲ PR 31 μείζων a τὸ τὸ] τοῦτο a 32 τετραγώνων a 33 καὶ om. PR 34 διπλώσει] διπλασίω a 37 ὀρθήν scripsi: ὀρ$^{\theta\prime}$ S: ὀρθόν PR: ὀρθάς a ἄχρι γονάτου PR

πτεσθαι. ἡ μὲν οὖν δεῖξις, δι' ἧς δείκνυσιν ὅτι τὰ βαδίζοντα κάμπτουσιν, 182r
αὕτη, καὶ προείρηται ἡμῖν χάριν τοῦ σαφοῦς· μετιτέον δὲ καὶ κατὰ τὰς
λέξεις. ἀνάγκη, φησίν, θατέρου προβαίνοντος σκέλους θατέρου ποι-
εῖσθαι κάμψιν. ἐπεὶ γὰρ τὰ κῶλα, ἤτοι τὰ τοῦ Σωκράτους σκέλη, ἴσα ἐστὶ
5 τῷ μήκει καὶ ἀντίστοιχα ἤτοι ἀντικείμενα ὡς τὰ πρός τι (τὸ γὰρ δεξιὸν καὶ 5
ἀριστερὸν τῶν πρός τι) καὶ ἀναγκαῖόν ἐστι τὸ ὑφεστηκὸς καὶ φέρον τὸ
βάρος τοῦ λοιποῦ σώματος κατὰ κάθετον, ὡς εἴρηται, ἐν τῇ γῇ ἵστασθαι,
ὅταν δὲ προβῇ φέρε εἰπεῖν τὸ δεξιὸν σκέλος, γίνεται τοῦτο τὸ δεξιὸν ἡ
ὑποτείνουσα τὴν ὀρθὴν γωνίαν καὶ δυναμένη τὸ μένον μέγεθος
10 καὶ τὴν μεταξύ, τουτέστι καὶ γίνεται ὃ δύναται τετράγωνον ἴσον τοῖς
ἀπὸ τοῦ ἀριστεροῦ σκέλους καὶ τῆς βάσεως ἀναγραφομένοις τετραγώνοις,
ἐπεὶ οὖν, ὡς εἴρηται, ἴσα εἰσὶ τὰ δύο σκέλη τῷ μήκει, ἐν δὲ τῇ προβάσει
γίνεται τὸ προβεβηκὸς μεῖζον τοῦ μένοντος, ἀνάγκη καμφθῆναι τὸ μένον· 10
οὕτω γὰρ γενήσεται ἔλαττον τοῦ προβεβηκότος ἴσον ὄν. εἰπὼν δὲ ὅτι ἀνάγκη
15 καμφθῆναι τῷ γόνατι ἐπήγαγεν ἢ ἐν τῇ συγκάμψει. ὁ γὰρ ἐλέφας διὰ
τὸ μὴ ἔχειν γόνατα τὴν κάμψιν ἐν τῇ συγκάμψει ποιεῖται, λέγων σύγκαμψιν
τὴν γενομένην ἐν τῷ ἰσχίῳ κάμψιν. ἀλλὰ καὶ σημεῖον, φησί, τοῦ κάμπτε-
σθαι τὸν μένοντα πόδα ἐν τῇ κατὰ τόπον μεταβολῇ καὶ ἐλάττω μὲν αὐτὸν
γίνεσθαι, μείζω δὲ τὸν προβεβηκότα καὶ τὸ συμβαῖνον ἐπὶ τοῦ βαδίζοντος
20 παρὰ τοῖχον. εἰ γὰρ νοήσομεν ἄνθρωπον βαδίζοντα παρὰ τοῖχον καὶ ἔχοντα 15
ἐν τῇ κεφαλῇ αὐτοῦ κάλαμον μετὰ μέλανος καὶ ἁπτόμενον τοῦ τοίχου, ἡ
γραφομένη ἐν τῷ τοίχῳ γραμμὴ διὰ τοῦ μέλανος οὐ γίνεται εὐθεῖα, ἀλλὰ
σκολιὰ ὥσπερ ἡ προκειμένη ἡ ΑΒΓΔΕΖ.



ὅταν γὰρ προβάλῃται θάτερον τῶν ποδῶν ὁ Σωκράτης καὶ ἐλάσσων ἑαυτοῦ
25 γένηται διὰ τὴν κάμψιν, ἀνάγκη γράφεσθαι τὴν ΑΒ, ὅταν δὲ τοῦτον μὲν
ἀπερείσηται πρὸς τὴν γῆν, ἕλκῃ δὲ τὸν λοιπόν, γράφεται ἡ ΒΓ, ἕως ἂν
ἐξισωθῇ τῷ μένοντι. ὅταν γὰρ ἕλκῃ τὸν ἀποβεβηκότα, οἱονεὶ αἴρεται καὶ 20
μείζων γίνεται· γράφεται οὖν ἕως τῆς ἐξισώσεως ἀμφοῖν τοῖν ποδοῖν ἡ
ΒΓ. ἐπειδὰν δὲ ἄρξηται προβαίνειν ὁ κινούμενος, εὐθὺ γράφεται ἡ ΓΔ
30 διὰ τὸ πάλιν ταπεινοῦσθαι ἐν τῇ συγκάμψει. τὰ δ' αὐτὰ καὶ ἐπὶ τῆς ΔΕ

---

2 μετιτέον] μετὰ Sa 4 Σωκράτους] σώματος a ἴσα εἰσὶ PR 5 ἤτοι] ἢ a 7 κάθετον] καθ' ἕτερον a ὡς om. a: ὥσπερ PR 9 μένον ex μὲν corr. S: μὲν a 10 καὶ post μέγεθος om. R, supr. vers. add. P 11 ἀναγραφομένου Sa τετραγώνου a 12 ἴσα ἐστὶ PR 13 μένοντος in lit. P¹ 14 ἔλαττον] ἔσχατον a 15 συγκάμψει] κάμψει PR Arist., sed cf. v. 16 17 γινομένην PR 19 ἐπὶ] ἔτι a 20 περὶ τοῖχον utrobique a 21 τοῦ τοίχους a 22 οὐ supr. vers. S¹ 23 litteram Z et diagramma om. Sa 24 προβάλληται PRa 25 γράφεσθαι] φέρεσθαι Sa 26 ἀπερήσεται a 27 μέλλοντι a 30 ἐπὶ τοῦ δε Sa

καὶ ΕΖ ῥητέον. ἀλλὰ κἂν παρὰ τοῖχον τις βαδίζῃ ἰσοϋψῆ αὐτῷ, ἄλλος 182r
δέ τις κἀκεῖνος ἰσοϋψὴς τῷ τοίχῳ ἵσταται ἐπὶ θάτερον μέρος τοῦ τοίχου,
οὐ συνεχῶς ὁρᾷ τὴν τοῦ βαδίζοντος κορυφήν, ἀλλ' ὅταν μὲν προβάλλῃ ὁ 25
βαδίζων τὸν πόδα, οὐχ ὁρᾷ τὴν κορυφὴν αὐτοῦ διὰ τὸ ταπεινοῦσθαι καὶ
5 βραχύτερον γίνεσθαι, ὅταν δὲ ἕλκῃ τὸν ἀποβεβηκότα, ὁρᾷ διὰ τὸ αἴρεσθαι
καὶ ἐπιμήκη γίνεσθαι.

Ταῦτα εἰπὼν λέγει ὅτι ἐνδέχεται καὶ κινεῖσθαι μὴ ἔχοντος καμ-
πὴν τοῦ σκέλους, ὥσπερ ἕρπουσιν τὰ παιδία καὶ οἱ κεκομμένους ἔχοντες
τοὺς πόδας καὶ βαδίζοντες διὰ τῶν γονάτων. ἀλλὰ κἂν ἐν τοῖς σκέλεσι
10 τῶν παιδίων καὶ τῶν ἀναπήρων οὐ γίνεται κάμψις, ἐν τοῖς γε ἰσχίοις ἐξ
ἀνάγκης γίνεται. καὶ ὁ παλαιὸς δὲ λόγος ὁ λέγων τοὺς ἐλέφαντας βαδίζειν 30
χωρὶς κάμψεων ψευδής ἐστι· κινεῖται γὰρ καὶ οὗτος ἐν ταῖς ὠμοπλάταις ἢ
τοῖς ἰσχίοις κάμψεως γινομένης. ἀλλ' ὀρθὸν μὲν χωρὶς τῆς τοῦ σκέλους
κάμψεως οὐδὲν κινεῖται· οἱ δ' εἰρημένοι ἀνάπηροι καὶ οἱ ἐν ταῖς παλαί-
15 στραις διὰ τῆς κόνεως προϊόντες ἐπὶ τῶν γονάτων, οὗτοι κινοῦνται χωρὶς
τῆς τῶν σκελῶν κάμψεως. εἰπὼν δὲ ὅτι οὐδὲν ὀρθὸν κινεῖται χωρὶς τῆς
τῶν σκελῶν κάμψεως, τὴν αἰτίαν τούτου ἐπήγαγεν εἰπὼν 'ἐπεὶ γὰρ πολύ 35
ἐστι τὸ ἄνω μέρος τὸ ἀπὸ κεφαλῆς ἄχρι τῶν ἰσχίων, δεῖ μακρὰ εἶναι καὶ
τὰ κῶλα, ἵνα ᾖ σύμμετρα πρὸς τὰ ἄνω. εἰ οὖν δεῖ καὶ ταῦτα μακρὰ εἶναι,
20 ἀναγκαῖον κάμψιν γίνεσθαι διὰ τὸ ὀρθογώνιον γίνεσθαι τρίγωνον, καὶ γίνε-
σθαι τὴν κάμψιν ἢ ἐν τῷ γόνατι ἢ ἐν τῇ πτέρνῃ καὶ τῷ λοιπῷ μέρει
ἄχρι τῶν δακτύλων. ἀλλ' εἰ μὲν ἐν τῇ πτέρνῃ καὶ τῷ ἐφεξῆς αὐτῇ ἄχρι
τοῦ μικροῦ δακτύλου ἢ ἄχρι τοῦ μεγάλου, καταπεσεῖται διὰ τὸ τὴν ὀρθὴν
ἐλάττονα ἤτοι ὀξεῖαν γίνεσθαι· εἰ δὲ προβεβηκότος θατέρου σκέλους μένει
25 ἡ τοιαύτη γωνία ὀρθή, λέγω δὴ τὴν γινομένην ὑπὸ τοῦ μένοντος ποδός, 40
ὁμοίως δὲ μενεῖ καὶ τὸ σκέλος ἄκαμπτον, μεῖζον ἔσται ἴσον ὄν, τουτέστιν
ἔσται τὸ προβεβηκὸς σκέλος καὶ μεῖζον καὶ ἴσον τῷ ἀποβεβηκότι, ὃ
ἀδύνατον, μεῖζον μὲν διὰ τὸ ὑποτείνειν τὴν ὀρθὴν γωνίαν καὶ διὰ τὸ δύνα-
σθαι τὴν ἠρεμοῦσαν καὶ τὴν ὑποτείνουσαν (εἰπὼν νῦν καταχρώμενος
30 ὑποτείνουσαν τὴν βάσιν) ἴσον δέ, διότι κάμψις οὐ γέγονε τοῦ ἀποβεβηκότος
ποδός, ἵν' ἐλάσσων τοῦ προβεβηκότος διὰ τῆς κάμψεως γένηται'. καὶ συμ-
περαίνεται λέγων ἀνάγκη ἄρα κάμπτεσθαι τότε προϊόν. τὸ δὲ τότε 45
οὐκ ἔστι δύο μέρη λόγου, τὸ τό ἄρθρον καὶ ὁ τέ σύνδεσμος, ἀλλ' ἓν μέρος
χρόνου δηλωτικόν, καὶ ἔστι τὸ λεγόμενον τοιοῦτον 'τότε καθ' ὃν χρόνον
35 προβαίνει θάτερος τῶν ποδῶν, ἀνάγκη κάμπτεσθαι τὸν μένοντα, καὶ ἅμα

---

1 τις om. PR βαδίζοι PR ἰσοϋψεῖ αὐτῷ R ἄλλος] ἄλλο Sa
2 ἰσοϋψεῖς a θατέρου μέρους a 3 ὁρᾶται a προβάλλων a
5 βραχυτέρους a 8 ἔχοντα a 10 παίδων PR 10. 11 ἐξ ἀναγίνεται a
12 ὁμοπλάτοις a 16 ὀρθὸν οὐδὲν coll. PR κινεῖται] δύναται κινεῖσθαι PR
18 ἀπὸ τῆς κεφαλῆς PR καὶ om. a 19 συμμετρία a τὸ ἄνω a 20 ἀνάγκη a
21 λοιπῷ—καὶ τῷ (22) om. a 22 καὶ τὸ S 24 μένοι a 27 ὃ] ὅπερ PRa
29. 30 ὑποτείνουσαν καταχρώμενος coll. a 30 ante κάμψις add. ἡ PR 31 διὰ τῆς κάμψεως τοῦ προβεβηκότος coll. PR 32 τότε] τὸ S Arist. S 33 μέρη τοῦ λόγου a ὁ τέ scripsi: τὸ τέ libri 35 θάτερος] ὁ ἕτερος a

τῷ τοῦτον κάμψαι ἀνάγκη τὸν ἕτερον ἐκτείνεσθαι. κεφαλὴν δὲ λέγει τὴν τοῦ βαδίζοντος, οἷον τὴν τοῦ Σωκράτους· ὅταν γάρ, ὡς εἴρηται, κάμπτῃ ὁ πούς, ἡ τούτου κεφαλὴ κατωτέρω γίνεται.

p. 709ᵃ24 Τὰ δ' ἄποδα τὰ μὲν κυμαίνοντα προέρχεται. |

Δείκνυσι διὰ τούτων ὅτι καὶ τὰ ἄποδα διὰ καμπῆς ποιεῖται τὴν κατὰ 182ᵛ τόπον μεταβολήν· δείκνυσι δὲ τοῦτο διὰ τοῦ δεῖξαι ὅτι κυμαίνοντα προέρχεται, ἡ δὲ κύμανσις καμπή ἐστιν· ὥστ' ἐπεὶ τὰ ἄποδα κυμαίνοντα προέρχεται, ἡ δὲ κύμανσις καμπή, καὶ τὰ ἄποδα ἄρα διὰ καμπῆς πρόεισι. φησὶν οὖν ὅτι ἡ κύμανσις διττῶς συμβαίνει· τὰ μὲν γὰρ τῶν κυμαινομένων τὰς καμπὰς ἐπὶ τῆς γῆς ποιεῖται, καὶ ἅπτονται αὐτῆς αἱ καμπαὶ αὐτῶν, ὡς αἱ τῶν ὄφεων, τὰ δὲ οὐ ποιεῖται ἐπὶ γῆς τὰς καμπὰς οὐδὲ ἅπτονται τῆς γῆς αἱ καμπαί, ἀλλ' ἄνω κάμπτει πρὸς τὸ ἀναλογοῦν μέρος αὐτῶν ῥάχει, ὡς τὰ ζῷα τὰ καλούμενα κάμπαι· τὰ δὲ κινεῖται δι' ἰλυσπάσεως, ὡς αἱ βδέλλαι καὶ τὰ καλούμενα γῆς ἔντερα. τίς δέ ἐστιν ἡ ἰλύσπασις καὶ ὅλως τὸ ἰλυσπᾶσθαι, αὐτὸς σαφηνίζει λέγων ταῦτα γὰρ τῷ ἡγουμένῳ προέρχεται, τὸ δὲ λοιπὸν σῶμα πρὸς τοῦτο συνάγουσιν. οἱ γὰρ καλούμενοι ἔντερα γῆς σκώληκες ἐκτείνουσι μὲν τὸ πρόσθεν μέρος αὐτῶν, καὶ γίνεται λίαν λεπτότατον, τὸ δ' ὄπισθέν ἐστι παχύ· εἶτα μετὰ τὴν ἔκτασιν ἠρεμεῖ μὲν τὸ πρόσθεν, συνάγουσι δὲ πρὸς τοῦτο τὸ ὄπισθεν, καὶ γίνεται τὸ μὲν ἔμπροσθεν παχύ, λεπτὸν ὂν πρότερον, τὸ δ' ὄπισθεν λεπτόν, παχὺ ὄν. ὅταν μὲν γὰρ ἠρεμῇ τὸ ὄπισθεν, ἐκτείνηται δὲ τὸ ἔμπροσθεν, τοῦτο μὲν λεπτύνεται, τὸ δὲ ἠρεμοῦν παχύνεται· ὅταν δὲ ἠρεμῇ τὸ ἔμπροσθεν, ἕλκηται δὲ καὶ συνάγηται τὸ ὄπισθεν πρὸς αὐτό, λέγω δὴ πρὸς τὸ ἔμπροσθεν, ἀνάπαλιν τὸ μὲν πρόσθεν παχύνεται, λεπτύνεται δὲ τὸ ὄπισθεν. εἰπὼν δὲ ὅτι τὰ μὲν ἐπὶ τῆς γῆς, τὰ δ' εἰς τὸ ἄνω ποιεῖται τὰς καμπάς, καὶ μεταξὺ εἰπὼν περὶ τῶν ἰλυσπωμένων, πάλιν ἐπανῆκεν ἐπὶ τὰ κυμαίνοντα καί φησι φανερὸν δ' ὅτι εἰ μὴ αἱ δύο τῆς μιᾶς μείζους ἦσαν, οὐκ ἂν ἠδύναντο κινεῖσθαι τὰ κυμαίνοντα τῶν ζῴων. ἔσται δὲ τὸ λεγόμενον σαφὲς ὧδε· ἔστω ἡ γεγονυῖα κάμψις ὑπὸ τοῦ σώματος τοῦ ὄφεως ἡ ΑΒΓ καὶ ἀχθήτω ἀπὸ τοῦ Α πρὸς τὸ Γ ἡ ΑΓ· φανερὸν δὴ ὡς εἴπερ ἴση ἦν ἡ ΑΓ ταῖς δυσὶ ταῖς ΑΒ ΒΓ καὶ μὴ ἐλάττων, οὐκ ἂν ἠδύνατο κινηθῆναι· ἐκτεταμένη γὰρ καὶ μία τις ἦν ἂν εὐθεῖα ἡ ΑΒΓ. εἰ δ' ἦν ἐκτεταμένη τοσοῦτον, ὅσον οὐκ ἂν ἠδύνατο ἄλλο ταθῆναι, πῶς ἂν ἐκινήθη; τὸ μὲν γὰρ ἰλυσπώμενον, εἰ καὶ τείνεται τὸ πρόσθεν αὐτοῦ ὅσον ἦν δυνατὸν ταθῆναι, ἀλλὰ διὰ τὸ εἶναι τὸ ὄπισθεν εἰς ἑαυτὸ συνηγμένον καὶ ὡσπερεὶ

---

2 Σωκράτους] σώματος S ὅτε Sa κάμ̄π̄τ̄ S: κάμπτει a 4 Τὰ δ' ἄποδα— προέρχεται in marg. P 5 τούτου a 7 ἐστιν — καμπή (8) om. PR 8 καὶ τὰ ἄποδα post πρόεισι ponunt Sa διὰ τῶν καμπῶν PR 11. 13. 14 ὥσπερ PR 11 ἐπὶ τῆς γῆς PR 12 κάμπτουσι PR 14 ἐστιν om. P 21 ἐκτείνεται PR 23 ἕλκεται δὲ καὶ συνάγεται R 24 μὲν om. a 25 ποιεῖται] ποιοῦσι a 26. 27 κυμαίνοντα] κινούμενα S 28 ἔστι δὲ S

δύο τινὲς βραχύταται στοαὶ ἐχόμεναι ἀλλήλων ἱστάμενον συνάγεται πρὸς 182r
τὸ πρόσθεν, καὶ ποιεῖ πάλιν στοάς τινας καὶ κάμψεις, καὶ οὕτω παρὰ μέρος
ποιοῦν κινεῖται. ἐπὶ δὲ τούτων ἀμήχανον ἦν ὅλως κίνησιν γενέσθαι μὴ
μεταβαλλόντων ὥσπερ τὰ ἰλυσπώμενα. εἰ δέ τις λέγει ὅτι κἂν ἴση ἦν ἡ
5 ΑΓ τῇ ΑΒΓ, γέγονεν ἂν καὶ οὕτω κάμψις καὶ μεταβολή, ἴδωμεν εἰ δύναται
τοῦτο γενέσθαι ἐπὶ τῆς ΑΓ τῆς ἴσης αὐτῇ. ἔστω ἡ ΑΓ εὐθεῖα καὶ καμ- 40
πτέσθω κατὰ τὸ Δ, ὡς ἔχει ἡ ΑΔΓ· ἐν τῷ αὐτῷ ἄρα μένει πάλιν τὸ Α
σημεῖον, ἐν ᾧ ἦν καὶ πρὸ τοῦ καμφθῆναι κατὰ τὸ Δ· μόνον δὲ τὸ Γ
μετέπεσε καὶ τρόπον τινὰ ἐδιπλώθη ἡ ΑΓ, ὥστε δὲ ἀμεῖψαι τόπον οὐδα-
10 μῶς. φανερὸν ἄρα ὅτι αἱ δύο τῆς μιᾶς μείζους εἰσί, καὶ κινοῦνται κατὰ
διάμετρον, ὡς ἔναγχος εἴρηται. ταῦτα εἰπὼν λέγει ὅτι ἐν ἁπάσαις ταῖς
μεταβολαῖς καὶ ταῖς διὰ τῶν ποδῶν καὶ ταῖς διὰ κυμάνσεως καὶ ταῖς δι'
ἰλυσπάσεως γινομέναις τὸ κινούμενον ὁτὲ μὲν ἐκτεινόμενον εἰς εὐθὺ προ- 45
έρχεται, ὁτὲ δὲ συγκαμπτόμενον. αὐτίκα δῆλον τοῦτο ἐπὶ τοῦ ἀνθρώπου·
15 ὁ μὲν γὰρ προωθούμενος καὶ προβαίνων πολὺς ἐκτείνεται εἰς εὐθύ, ὁ δὲ
μένων καὶ τὸ βάρος φέρων συγκάμπτεται. τοῦτο δέ, εἴ τις σκοποίη, ὄψεται
καὶ ἐπὶ τῶν ὄφεων καὶ τῶν ἄλλων ἀπόδων γινόμενον. καὶ τὰ ἀλλόμενα
δὲ ποιεῖται τὴν κάμψιν ἐν τῷ ὑποκειμένῳ μέρει τοῦ σώματος, λέγων
ὑποκείμενον τὴν γῆν. δυνατὸν δὲ ἐπὶ τῶν ὑποπόδων ὑποκείμενον ἀκούειν
20 τὰ σκέλη· ὁ γὰρ ἄνθρωπος ἐν τῇ ἅλσει συγκάμπτεται ἐν τοῖς γόνασι. 50
σαφῆ δὲ τὰ ἑξῆς διὰ τὸ πολλάκις εἰρηκέναι περὶ αὐτῶν ἐν τοῖς Περὶ
ζῴων μορίων.

p. 709ᵇ20 Ἀπορήσειε δ' ἄν τις ἴσως, πῶς κινοῦνται τέτρασι σημείοις οἱ ὄρνιθες. |

25 Ἐπεὶ ἀνεπιστάτως βλέποντές τινες ὁρῶσι τοὺς ὄρνιθας πετομένους 183r
μὲν διὰ τῶν πτερύγων μόνων, τοῦτο δὲ ταὐτόν ἐστι τῷ δυσὶ σημείοις κινεῖ-
σθαι, βαδίζοντας δὲ διὰ τῶν ποδῶν μόνων, αὐτὸς δὲ ἔδειξεν ὅτι τὰ ἔναιμα
πάντα τέτρασι σημείοις κινεῖται, φησὶ νῦν ὅτι ζητήσειεν ἄν τις ἀβασανίστως
βλέπων, πῶς κινοῦνται τέτρασι σημείοις οἱ ὄρνιθες πορευόμενοι ἢ πετό- 30
30 μενοι. καὶ λύει τὴν ἀπορίαν πρῶτον μὲν κατὰ τὴν καλουμένην ἀντιπαράστασιν, εἶθ' οὕτω καὶ κατὰ τὴν ἔνστασιν. λέγει δὴ ὅτι οὐκ εἴρηται τέτρασι σημείοις κινεῖσθαι, ἀλλ' ὅτι πλείοσι τῶν τεσσάρων οὐ δύναται κινεῖσθαι. οὐ γὰρ ὥσπερ ὑπερβαίνει τὸ δύο σημεῖα καὶ κινεῖται πλείοσι τῶν δύο, οὕτω δύναται καὶ τὰ τέσσαρα ὑπερβῆναι, καὶ κινηθῆναι πλείοσι τούτων.

---

1 πρὸς om. S 2 ὄπισθεν PR 4 μεταβαλόντων PR λέγοι a
5 τῇ] ἡ R 6 ἐπὶ τοῦ αγ PR: ἐπὶ τῆς αδγ a αὐτῇ] αὐτῆς PR post ἔστω
add. γὰρ a ἡ αδγ a, itemque v. 9 7 post ἔχει add. ἤδε a αγδ PR
7. 8 τὸ γα σημεῖον PR 11 ὡς—εἴρηται] cf. p. 150,6 ὥσπερ PR 12 διὰ
τῆς κυμάνσεως Sa 13 ἰλυσπώσεως PRS 14 συγκαπτόμενον a post αὐτίκα
add. δὴ PR 17 καὶ τῶν—γινόμενον in marg. adscr. P 21. 22 ἐν τοῖς Περὶ
ζ. μ.] Δ 12. 13 25 ἐπειδὴ PRa 28 νῦν om. PR 30. 31 ἀντιπερίστασιν a
31 καὶ om. PRa τὴν om. PR

ἀδύνατον γὰρ πλείοσι τῶν τεσσάρων κινηθῆναι· ἄναιμα γὰρ ἂν ἦσαν. 183ʳ
λύσας οὖν αὐτὴν οὕτως, λύει ταύτην καὶ κατὰ τὴν ἔνστασιν λέγων οὐ 35
μὴν ἀλλ' οὔτ' ἂν πέτασθαι δύναιντο ἀφαιρεθέντων τῶν κώλων,
καὶ τὰ ἑξῆς. εἰ γάρ τις ἀποτέμῃ τὰ τῶν ὀρνίθων σκέλη ἀπὸ τῶν ἰσχίων
5 οὐδαμῶς δύνανται πέτασθαι· ὁμοίως κἂν τὰς πτέρυγας ἐκκόψῃ ἀπὸ τῶν
ὠμοπλατῶν, οὐδ' οὕτως δύνανται πορεύεσθαι. ὥστε ἐπεὶ τῶν δύο σημείων
ἀφαιρεθέντων οὔτε πέτασθαι οὔτε πορεύεσθαι δύνανται, δῆλον ὅτι τέτρασι
σημείοις κινοῦνται. καὶ γὰρ καὶ ὁ ἄνθρωπος πρὸς τῷ κινεῖν τοὺς πόδας 40
ἐν τῷ βαδίζειν καὶ τοὺς ὤμους κινεῖ· ἀδύνατον γὰρ μὴ κινοῦντα αὐτοὺς
10 κινηθῆναι. τῷ δὲ ἅπαντα γὰρ εἰς τὸ ὑποκείμενον πρόσκειται τὸ μέχρι
τινός, διότι οὔτε οὐδεὶς ἰχθὺς τὴν ἅπασαν διέξεισι θάλασσαν, ἀλλὰ μέχρι
τινὸς τὴν νεῦσιν ποιεῖται, οὔτε οὐδὲν τῶν χερσαίων τὴν ἅπασαν γῆν,
ἀλλὰ καὶ αὐτὰ μέχρι τινὸς πρόεισιν. ἀλλὰ καὶ τὸ οἷον εἰς ὑπεῖκον
εὐλόγως πρόσκειται· εἰ γὰρ σκληρὸς ἦν ὁ ἀὴρ ἢ τὸ ὕδωρ καὶ ἀντίτυπος
15 καὶ μὴ ὑπείκων μηδ' ἐξιστάμενος, οὐκ ἂν ἦν ὅλως ἡ κατὰ τόπον μετα- 45
βολή. ὥστε δῆλον ὅτι κἂν εἰ μὴ κατ' ἄλλο μόριον γίνεται κάμψις, ἀλλ'
οὖν ὅθεν ἡ ἀρχὴ καὶ ἔκφυσις καὶ ἀναβλάστησις τοῖς μὲν ὁλοπτέροις οἷον
μελίτταις τοῦ πτεροῦ, τοῖς δ' ὄρνισι τῆς πτέρυγος, ἀλλ' οὖν ἐκεῖσε ἐξ
ἀνάγκης κάμψις γίνεται. λέγει δὲ τὸ ὀρροπύγιον ἀναλογεῖν τοῖς τοῦ πλοίου
20 πηδαλίοις· ἐν δὲ τῇ προσφύσει ἤγουν τῷ τόπῳ, ἐν ᾧ ἐρριζωμένον ἐστὶ τὸ
ὀρροπύγιον, ἐκεῖ δὴ λέγει κάμπτεσθαι αὐτό. καὶ ὅσα μὲν εὐθυπορεῖ, τού-
τοις χρησιμεύει τὸ ὀρροπύγιον πρὸς τὴν τοιαύτην εὔθυνσιν· ὅσα δὲ οὐκ
εὐθυπορεῖ, ἀλλ' ἀτάκτως φέρεται ὥσπερ τι ζῷον μαινόμενον, τούτοις οὐκ 50
εὐθυποροῦσι, τουτέστι μὴ εὐθυπόρως βαίνουσιν, ἀφυῶς ἔχει τὸ ὀρροπύγιον
25 πρὸς τὴν εἰρημένην χρῆσιν ἤτοι τὴν εὐθυπορίαν. τῶν μὲν γὰρ ὁλοπτέρων
οὐδὲν ὀρροπύγιον ἔχει, ὥστε καθάπερ πλοῖον στερηθὲν τῶν οἰκείων πηδα-
λίων φέρεται ὅπου ἂν τύχῃ, οὕτω καὶ ταῦτα προσπίπτει τοῖς τυχοῦσιν.
ὁμοίως καὶ τοῖς μὴ πτητικοῖς ἀχρεῖόν ἐστι τὸ ὀρροπύγιον, ἀλλ' ἀντ' αὐτοῦ
τείνοντα τοὺς πόδας πέτανται. σαφῆ δὲ τὰ ἑξῆς. ὁλκαδικὸν | δὲ πλοῖον 183ᵛ
30 λέγει τὸ πάμμεγα. λέγει δὲ περὶ τῶν ὁλοπτέρων καὶ τοῦτο ὅτι ἡ ἀσθένεια
αὐτῶν τῶν πτερῶν, ὁμοίως καὶ ἡ τῆς ἐκφύσεως τῶν πτερῶν ἀσθένεια
(οὐ γάρ εἰσιν εἰς βάθος ἐρριζωμένα) συμβάλλεταί τι πρὸς τὸ λεχθέν,
τουτέστι πρὸς τὸ βραδεῖαν γίνεσθαι τὴν πτῆσιν αὐτῶν. τῷ δὲ ταῷ, φησί,
τὸ ὀρροπύγιον οὐδὲν ὠφελεῖ διά τε τὸ μέγεθος καὶ διὰ τὸ ἀποβάλλειν.
35 καὶ τοῖς μὲν ἄρρεσι ταῷς δι' ἀμφότερα οὐδὲν ὠφελεῖ, ταῖς δὲ θηλείαις διὰ 5

---

1 ἂν supr. vers. P 3 πέτεσθαι PRa 4 ἀποτέμοι PRa 5 et 7 δύναται PR
5 et 7 πετάσαι PR: πέτεσθαι a 5 ἐκκόψειαν S: ἐκκόψειεν a 8 τῶ ex τὸ
corr. R¹ 9 μὴ κινῶν PRS 10 πρόκειται PR 11 ἰχθὺς οὐδεὶς coll. PR
18 τοῦ πτέρυγος PR 19 ἀναλογοῦν S τοῖς] τῆς P¹R: τῶ P² 20 πηδὰ P
ἐστιν ἐρριζωμένον coll. PR 22 χρησιμεύειν P 27 φέροιτο S 28 μὴ
del. P² post πτητικοῖς supr. vers. add. οἷς P² 29 τείνοντες Sa 31 αὐτῶν
τῶν ex Arist. scripsi: τῶν ἑαυτῶν PR: τῶν ἑαυτοῦ Sa 32 ἐρριζωμέναι PR
τι] τε P 33 ταὼ P, ex ταῶ corr. R 35 ταῷς ex ταοῖς R: ταὼς a
θηλείαις δὲ coll. PR

τὸ ἀποβάλλειν μόνον· οὐ γὰρ ἔχουσιν αὗται τὸ ὀρροπύγιον μέγα. λέγει δὲ 183ᵛ
καὶ τοὺς ὄρνις, καὶ μάλιστα τοὺς τάχιστα πετομένους ὑπεναντίως ἔχειν
τοῖς ὁλοπτέροις τὴν τῶν πτερῶν φύσιν· οἱ μὲν γὰρ ὄρνιθες ἰσχυράν, τὰ δ'
ὁλόπτερα ἀσθενῆ. ἀλλὰ καὶ οἱ γαμψώνυχες, φησίν, ὀξὺ ἔχουσι τὸ στῆθος,
5 ὥσπερ πλοίου πρώραν λεμβώδους, λέγων λεμβῶδες πλοῖον τὸ μακρὸν καὶ
στενόν. ἔστι δὲ τὸ στῆθος αὐτῶν καὶ ἰσχυρὸν τῇ φύσει τῆς σαρκός·
ἰσχυροτάτη γὰρ ἡ τοῦ στήθους αὐτῶν σάρξ. καὶ διὰ τί ἰσχυρὰ σαφῶς λέγει. 10

p. 710ᵇ5 Τὸ δὲ μέλλον ζῷον ὀρθῶς βαδιεῖσθαι διότι δίπουν τε ἀναγκαῖον εἶναι.

10 Τὸ μὲν οὖν διότι ἀντὶ τοῦ ὅτι εἴληπται. τὸ δὲ ἑξῆς τῆς λέξεως τοι-
οῦτον 'δῆλον δὲ καὶ ὅτι τὸ μέλλον ζῷον ὀρθῶς βαδίζειν, ἀναγκαῖόν ἐστι
δίπουν τε εἶναι, καὶ τὰ μὲν ἄνω τοῦ σώματος κουφότερα ἔχειν, τὰ δ'
ὑφεστῶτα βαρύτερα'. ἡ δὲ διάνοια τούτου τε καὶ τῶν ἑξῆς σαφὴς διὰ τὸ
εἰρῆσθαι περὶ τούτων καὶ ἐν τῇ Περὶ ζῴων μορίων. εἰπὼν δὲ ὅτι εἰ μὴ 40
15 τηλικοῦτον ἦν τὸ τῶν ὀρνίθων ἰσχίον, οὐκ ἂν ἦσαν δίποδα, ἐπήγαγεν
ὥσπερ γὰρ τοῖς ἀνθρώποις καὶ τοῖς τετράποσι ζῴοις, καὶ
τὰ ἑξῆς. παναληθὲς δὲ τοῦτο· εἰ γὰρ μὴ μέγα εἶχον ἰσχίον ἀλλὰ
μικρόν, καὶ ὥσπερ τοῖς ἀνθρώποις καὶ τοῖς τετράποσι ζῴοις εὐθὺς μετὰ
τὸ ἰσχίον ἐστὶν ὁ μηρός, οὕτως ἦν καὶ ἐν τούτοις, εὐθὺς ἂν ἦν ἀπὸ βραχέος
20 ὄντος τοῦ ἰσχίου ὁ μηρός· εἰ δὲ τοῦτο, λίαν ἂν ἦν τὸ σῶμα προπετὲς
αὐτῶν. φανερὸν δέ, φησίν, ὅτι κἂν δίπους ἐστὶν ὁ ὄρνις, λέγεται δὲ καὶ 45
ὀρθός, ἀλλ' οὐκ ἐνδέχεται αὐτὸν ὀρθὸν εἶναι ὥσπερ τὸν ἄνθρωπον. οὐ γὰρ
ἐνδέχεται ἄλλως χρήσιμον αὐτῷ τὴν τῶν πτερῶν εἶναι φύσιν, εἰ μὴ ὡς
ἔχει νῦν θέσεως αὐτῶν τὸ σῶμα. εἰ γὰρ ἄλλως εἶχεν αὐτῶν τὸ σῶμα,
25 οἷον ὡς τὸ τῶν ἀνθρώπων, ἄχρηστος ἂν ἦν αὐτοῖς καὶ ἀνωφελὴς ἡ τῶν
πτερῶν φύσις. εἰ γὰρ ἦσαν ὀρθοὶ ὡς οἱ ἄνθρωποι, καὶ ὡς γράφουσι τοὺς
ἔρωτας μετὰ πτερύγων, ἔνευον ἂν αἱ πτέρυγες πρὸς τὰ σκέλη αὐτῶν· καὶ
πρῶτα μὲν ἐν τῇ γῇ ἑλκόμεναι (φθάνουσι γὰρ ἄχρι τοῦ πέρατος τοῦ ὀρρο-
πυγίου) ἐν τῇ γῇ οὖν ἑλκόμεναι ἐνεπόδιζον αὐτοὺς καλῶς βαδίζειν, 50
30 ὁμοίως δὲ καὶ τὸ ὀρροπύγιον μεταξὺ ὂν τῶν σκελῶν (αὐτόθι γὰρ συνέβαινεν
εἶναι ὀρθῶν ὄντων ὡς ὁ ἄνθρωπος τῶν ὀρνίθων), ἔπειτα ἐν τῇ πτήσει * *

---

2 ὄρνιθας PR 5 μικρὸν S 6 αὐτοῦ S φύσει] περιφύσει Arist. vulg. 8 ὀρθῶς PRS: ὀρθὸν a Arist. διότι] ὅτι a 9 ἀναγκαῖόν ἐστιν εἶναι a Arist. 10. 11 Τὸ μὲν οὖν—τοιοῦτον in lit. P¹ 11 δὲ] γὰρ a βαδιεῖσθαι a 13 ἐφεστῶτα S τοῦ ἑξῆς Sa 14 περὶ τούτου a ἐν τῇ Περὶ ζῴων μορίων] Δ 10 ἐν τοῖς a 15 εἴησαν PS 16 ζῴοις—τετράποσι (18) in marg. adscr. P¹ 18 εὐθὺ μετὰ PR 20 ὄντος om. a 22 οὐκ ἐνεδέχετο a 22. 23 οὐ γὰρ ἐνεδέχετο PRa 23 αὐτῷ] αὐτοῖς PR εἶναι ante τὴν ponunt PR 25 ὡς] ὥσπερ PR, itemque 26 (ante οἱ) et 31 post ἀνθρώπων add. ἔχει PR ἦν ἂν αὐτῷ S 28 πρῶτον PRa φθάνουσι—ἑλκόμεναι (29) iterat sed priora del. P 29 ἐν τῇ—ἑλκόμεναι om. S 31 εἶναι om. S lacunam indicavi: fort. addendum ἔμελλον

τύπτειν τὰ σκέλη καὶ πόνον ἐμποιεῖν. καὶ ἐπεὶ οἱ ὄρνιθες διὰ τὸ μὴ εἶναι ὀρθοὶ ὡς οἱ ἄνθρωποι ἔχουσι τὰ πτερά, εἴ τι ἄρα ὀρθόν ἐστι, ἀδύνατον τοῦτο ἔχειν πτερά. καὶ συμπεραίνει τὸν σύμπαντα λόγον λέγων ὅτι μὲν οὖν εἰ μὴ κάμψις ἦν καὶ τὰ ἑξῆς. δῆλον καὶ ὅτι ἐναντίως οἱ ἄνθρωποι | δίποδες ὄντες καὶ οἱ ὄρνιθες τὴν τῶν σκελῶν ποι- 184r
οῦνται κάμψιν, καὶ τὰ ἑξῆς ἕως τοῦ ὁμοίως δὲ καὶ οἱ ὄρνιθες. καὶ προσυπακουστέον τὸ δῆλον, ἵν' ᾖ τὸ πᾶν καὶ τὸ ἑξῆς τοῦ λόγου τοιοῦτον 'δῆλον δὲ καὶ ὅτι ἐναντίως οἱ ἄνθρωποι δίποδες ὄντες', καὶ τὰ ἑξῆς.

p. 711a17 Αἴτιον δ' ὅτι ἡ φύσις οὐδὲν δημιουργεῖ μάτην, ὥσπερ εἴρηται πρότερον.

Διὰ τούτων δείκνυσι τίνος ἕνεκεν ὁ μὲν ἄνθρωπος δίπους ὢν κάμπτει τοὺς πόδας πρὸς τὴν κυρτὴν περιφέρειαν, ὁμοίως καὶ τὰ τετράποδα τοὺς μὲν πρόσθεν πρὸς αὐτήν, τοὺς δ' ὄπισθεν πρὸς τὴν κοίλην. καὶ πρῶτα δείκνυσι τοῦτο ἐπὶ ἀνθρώπου, καὶ λέγει διὰ τὰς αὐτὰς αἰτίας, δι' ἃς ὁ ἄνθρωπος οὕτω τοὺς πόδας κάμπτει, καὶ τὰ τετράποδα κάμπτειν τοὺς πρόσθεν· καὶ μετὰ τοῦτο δείκνυσι καὶ διὰ τί τοὺς ὄπισθεν ἐναντίως κάμπτουσι, καὶ τρίτον διὰ τί οἱ ὄρνιθες δίποδες ὄντες οὐχ ὡς οἱ ἄνθρωποι κάμπτουσιν ἀλλ' ἐξ ἐναντίας. καὶ πρῶτον μέν, ὡς εἴωθεν, τοῦ κάμπτειν πάντα τὰ ὑπόποδα τὰ σκέλη ὥσπερ κάμπτουσιν αἰτιᾶται τὴν φύσιν λέγων 'αἴτιον δὲ τοῦ κάμπτειν οὕτως ὅτι οὐδὲν ἡ φύσις μάτην ποιεῖ, ὡς καὶ πρότερον εἴρηται, ἀλλὰ πάντα πρὸς τὸ βέλτιστον ἐκ τῶν ἐνδεχομένων.

p. 711a20 Ὥστ' ἐπεὶ πᾶσιν ὅσοις ὑπάρχει κατὰ φύσιν ἡ κατὰ τόπον μεταβολὴ τοῖν σκελοῖν.

2 ἔχων δύναμιν Sa λέγει a ἀλλ' ὑπὲρ τῶν S 3 καὶ ὅλως — ῥήτωρ ἐστί (4) om. S ἂν scripsi: κἂν libri 6 τί] τὸν S 8. 9 καὶ ἐπιστῆμαι καὶ δυνάμεις S 9. 10 ἐν τῷ ἑτέρῳ τῶν S 11 δύνασθαι καὶ βούλεσθαι S 16 post γὰρ add. καὶ Sa 18 ὡς om. Ba 20 ἐκ γὰρ] καὶ γὰρ ἐκ a 21 ὥσπερ S 22 post ἔχων add. καὶ S δὲ om. BS 23 post ὁμοίως add. δὲ a 24 τἀνάπαλιν] οὔθ' οὗτος τῶν δικαίων οὔθ' ὁ δίκαιος τῶν ἀδίκων S 25 μὲν om. S 25. 26 τῶν ἐναντίων BS 27. 28 ὡς ὅλον — ἢ ἡ μὲν om. a 30 γένος] μέρος S 31 λέγω S 34 εἶδε a

ἡ ἕξις ἀπὸ τῆς ἐναντίας ἕξεως γνωρίζεται, ἀλλὰ καὶ ἤδη ἀπὸ τῶν 60r
ὑπ' αὐτὴν ἑκτῶν, καὶ τὰ ἑκτὰ ἐκ τῆς ἕξεως. εἰπὼν δὲ τὴν ἐναντίαν ἕξιν 35
ἀπὸ τῆς ἐναντίας γνωρίζεσθαι, προσέθηκε πάνυ ἀκριβῶς τὸ πολλάκις· οὐ
γὰρ ἀεὶ ἀλλ' ὡς ἐπὶ τὸ πολὺ ἡ ἐναντία ἀπὸ τῆς ἐναντίας γνωρίζεται. τοῦ
5 γὰρ φιλεῖν, ὡς ἐν τοῖς Τοπικοῖς εἶπε, πολλαχῶς λεγομένου τὸ μισεῖν πολλαχῶς
οὐ λέγεται· ὥστε ἐπὶ τούτου οὐκ ἐκ τοῦ θατέρου θάτερον γνωρισθήσεται.
λέγεται δὲ τὸ φιλεῖν ἐπί τε τοῦ κατὰ διάνοιαν ἀγαπᾶν καὶ ἐπὶ τοῦ τοῖς
χείλεσιν ἀσπάζεσθαι, ᾧ τῷ τοῖς χείλεσι φιλεῖν οὐκ ἔστι τι ἐναντίον, τῷ 40
δὲ κατὰ διάνοιαν φιλεῖν ἔστι τι ἐναντίον, τὸ κατὰ διάνοιαν μισεῖν. ἔοικε
10 δὲ πολλαχῶς λέγεσθαι ἡ δικαιοσύνη καὶ ἡ ἀδικία, ἀλλὰ διὰ
τὸ σύνεγγυς εἶναι τὴν ὁμωνυμίαν. διὰ τούτων τὴν αἰτίαν λέγει τοῦ
διὰ τί πολλαχῶς λεγομένης τῆς δικαιοσύνης οὐκ ἔστι γνώριμον τοῦτο· καὶ
φησὶν ὅτι αἴτιον τούτου ἐστὶ τὸ σύνεγγυς ἀλλήλων εἶναι τὰς δικαιοσύνας
καὶ πολλὴν ἔχειν τὴν ὁμοιότητα. ἐν γὰρ τοῖς τοιούτοις πᾶσι τοῖς ἐπιτεταμένην
15 ἔχουσι τὴν ὁμοιότητα λανθάνειν συμβαίνει τὴν κατὰ αὐτὰ ὁμωνυμίαν. τῶν 45
γὰρ ὁμωνύμων ὅσα μὲν πολὺ ἀπ' ἀλλήλων διέστηκε, γνώριμα ταῦτα ὅτι
ὁμώνυμα, ὡς ὁ Ἀλέξανδρος ὁ βασιλεὺς καὶ Ἀλέξανδρος ὁ ἐξηγητής, καὶ
ἡ κλεὶς ᾗ τὰς θύρας κλείομεν, καὶ τὸ κατὰ τὸν αὐχένα τῶν ζῴων ὀστοῦν,
καὶ ὅλως τὰ ἔκ τινος τύχης ὀνομασθέντα· ὅσα δὲ σύνεγγύς ἐστιν ἀλλήλων,
20 ταῦτα οὐκέτι δοκεῖ ὀνόματος μόνου κοινωνεῖν. σύνεγγυς δὲ ἀλλήλων τὰ ὄντα,
αἱ κινήσεις, τὰ ἀγαθά, αἱ δικαιοσύναι, ὡς δειχθήσεται περὶ αὐτῶν, λέγω δὴ
τῶν δικαιοσυνῶν. τούτων γὰρ ἡ μέν ἐστιν ὥσπερ γένος δικαιοσύνη ἡ λεγο- 50
μένη κατὰ πάσης ἀρετῆς, ἡ δὲ ὥσπερ ταύτης εἶδος· ὥστε ὡς μὲν γένος
καὶ εἶδος συνώνυμα ἔσονται (ἐπιδέχονται γὰρ τὰ εἴδη τὸν τῶν γενῶν ὁρισ-
25 μόν), καθ' ὅσον δὲ ἡ ὡς εἶδος λαμβανομένη δικαιοσύνη τὸ αὐτὸ ὄνομα
ἔχει τῇ ὡς γένος λαμβανομένῃ, κατὰ τοῦτο ἔσονται ὁμώνυμοι· ἄλλο γὰρ
ἑκατέρας αὐτῶν ὑπὸ τοῦ ὀνόματος τῆς δικαιοσύνης σημαίνεται. ὁ δ'
αὐτὸς λόγος καὶ ἐπὶ ἀδικίας· τοῦτο δὲ δῆλον ἔσται προϊόντος τοῦ λόγου.
μέλλων δὲ ἤδη δεικνύ|ναι ὅτι πολλαχῶς ἡ δικαιοσύνη λέγεται, ἀπὸ τῆς 60v
30 ἀδικίας ἄρχεται, μᾶλλον δὲ τοῦ ἀδίκου· γνωριμώτερον γὰρ ὅτι ὁ ἄδικος
πολλαχῶς λέγεται ἤπερ ἡ ἀδικία. εἰ δὲ ὁ ἄδικος πλεοναχῶς, καὶ ἡ ἀδικία·
εἰ δὲ ἡ ἀδικία, καὶ ἡ δικαιοσύνη· τοῦτο γὰρ εἴρηται ὅτι ὡς ἐπὶ πολύ,
ἂν θάτερον τῶν ἐναντίων πλεοναχῶς λέγηται, καὶ θάτερον.

p. 1129ᵃ32 Δοκεῖ δὲ ὅ τε παράνομος ἄδικος εἶναι. 5

35 Εἰπὼν ὅτι ἡ δικαιοσύνη μεσότης ἐστί, διὰ τούτων δείκνυσι καὶ ὅτι

1 ἀλλὰ καὶ — τῆς ἕξεως (2)om. S 2 εἶπεν S 3 ante τὸ add. καὶ S
5 ἐν τοῖς Τοπικοῖς] A 15 p. 106ᵇ1 sqq. τοῖς om. Sa 8 ᾧ] ὦ τινι S
τῷ μὲν τοῖς a 9 κατὰ τὴν διάνοιαν utrobique S 11 post ὁμωνυμίαν add.
αὐτῶν S 12 διὰ τὸ S 14 ἔχει S 15 συνέβη S 17 post
ὁμώνυμα add. ἐστὶν S 20 post κοινωνεῖν add. ταῦτα δέ ἐστιν τὰ S δὲ om. S
22. 23 ἡ λεγομένη om. Ba 24 ἐπιδέχεται S 26 τῇ] τῆς Ba λαμβανομένης a
ὁμώνυμαι a 29 ἤδη om. S 32 ἡ post καὶ om. B 33 λέγεται S
34 post παράνομος add. καὶ S

μεσότης καὶ τίνων μεσότης ἐστί, συλλογιζόμενος οὕτως· εἰ ὁ ἄδικος παρά- 60ᵛ
νομος καὶ ὁ παράνομος πλεονέκτης, ὁ δὲ πλεονέκτης ἄνισος, ὁ ἄδικος ἄρα
ἄνισος. οὕτως καὶ τὸ ἄδικον ἄνισον, τὸ δὲ ἄνισον περιέχει τὸ πλέον καὶ
ἔλαττον καὶ κοινῶς κατηγορεῖται κατ' ἀμφοῖν, τοῦ τε πλείονος καὶ τοῦ 10
5 ἐλάττονος. εἰ οὖν τὸ ἄδικον ἄνισον, τὸ δίκαιον ἴσον, καὶ εἰ τὸ ἄδικον πλέον
καὶ ἔλαττον, τὸ δίκαιον μέσον τοῦ πλείονος καὶ ἐλάττονος, καὶ ἡ δικαιοσύνη
μεσότης, ὅπερ ἐστὶν ἀρετῆς γνώρισμα. εἶπε γὰρ ἐν τῷ B ὅτι ἀρετή ἐστιν
ἕξις ἐν μεσότητι τῇ πρὸς ἡμᾶς. ὅτι δὲ ὁ ἄδικος ἄνισος καὶ οὐδέποτε τὸ
ἴσον καὶ μέσον αἱρεῖται, ἀλλ' ἐπὶ μὲν τῶν ἁπλῶς ἀγαθῶν τὸ πλεῖον, ἐπὶ
10 δὲ τῶν κακῶν τὸ ἔλαττον, δῆλον ἐκ τῶν ὁσημέραι γινομένων· χρημάτων 15
γὰρ ἢ τιμῶν ἢ διανομῆς χρυσοῦ γινομένης ἀεὶ τὸ πλέον λαβεῖν σπουδάζει,
ζημίας δὲ παρούσης ἤ τινος ἄλλου ὧν οὐ βουλόμεθα, πάντα τρόπον μη-
χανᾶται ἢ μηδέν τι ἢ μικρόν τι καὶ ὧν οἱ ἄλλοι πάντες εἰσενηνόχασι
τὸ βραχύτατον εἰσενεγκεῖν. ὥστε τοῦ μὲν ἀγαθοῦ τὸ πλέον, τοῦ δὲ κακοῦ
15 τὸ ἔλαττον αἱρεῖται καὶ διώκει· αἱρεῖται δὲ τὸ ἔλαττον κακὸν οὐχ ὡς κακόν,
ἀλλ' ὡς ἀγαθόν. τὸ μὲν γὰρ ἔλαττον κακὸν πρὸς τὸ μεῖζον κακὸν παρα-
βαλλόμενον ἀγαθὸν εἶναι δοκεῖ· τὸ γὰρ ἀντὶ δέκα νομισμάτων δοῦναι νόμισμα 20
ἓν ὡς ἀγαθὸν αἱρεῖται. ἔστιν οὖν τὸ μὲν δίκαιον τὸ νόμιμον καὶ ἴσον, τὸ
δ' ἄδικον τὸ παράνομον καὶ ἄνισον.

20 p. 1129ᵇ1 Ἐπεὶ δ' ὁ πλεονέκτης ἄδικος, οὐ περὶ πάντα τὰ ἀγαθὰ ἔσται.

Εἰπὼν τὸν πλεονέκτην ἄδικον εἶναι περὶ τὰ ἀγαθά, λέγει μὴ περὶ πάντα
τὰ ἀγαθὰ πλεονέκτην εἶναι· οὔτε γὰρ τοῦ ἰατροῦ ἢ τοῦ ῥήτορος ἰατρικώτερος 30
ἢ ῥητορικώτερος σπεύδει γενέσθαι οὔτε τοῦ μουσικοῦ μουσικώτερος καὶ
25 τὸ πλέον τούτων ἐν τούτοις ἔχειν, ἀλλὰ περὶ ἐκεῖνα τὰ ἀγαθὰ πλεονεκτεῖ,
ἅπερ ἐστὶν ἁπλῶς καὶ τῇ ἑαυτῶν φύσει ἀγαθά, τοῖς φαύλοις δὲ καὶ μο-
χθηροῖς οὐκ ἀγαθά. εἰσὶ δ' ἁπλῶς ἀγαθὰ ὑγεία, πλοῦτος, κάλλος, εὐγένεια,
ἀρχή, ἐξουσία, ἃ τῇ ἑαυτῶν φύσει ἀγαθὰ ὄντα τοῖς φαύλοις κακά ἐστι·
μᾶλλον δ' ἀγαθὰ καὶ συμφέροντα αὐτοῖς ἐστιν αἶσχος, νόσος, πενία. εἰπὼν
30 δὲ ὅτι περὶ τὰ ἁπλῶς ἀγαθὰ ὁ πλεονέκτης ἐστί, τίνα ταῦτά ἐστιν ἐπήγα- 35
γεν, ὅτι ὑπὲρ ὧν τῆς λήψεως τῷ θεῷ εὔχονται οἱ ἄνθρωποι· εὔχονται δὲ
πλουτεῖν, ὑγιαίνειν· ταῦτά ἐστι τὰ ἁπλῶς ἀγαθά. ἐνδειξάμενος δὲ τίνα
εἰσὶ τὰ ἁπλῶς ἀγαθὰ διὰ τοῦ εἰπεῖν οἱ δ' ἄνθρωποι ταῦτα εὔχονται
καὶ διώκουσιν, ἐπιδιορθούμενος τὸ πλημμελὲς τῆς τοιαύτης εὐχῆς ἐπή-

---

2 δὲ om. Ba 2. 3 ἄνισος ἄρα ἄδικος Ba 3 οὕτως] ὥστε S 5 εἰ post καὶ om. S
6 καὶ τοῦ ἐλάττονος S 7 ἐν τῷ B] c. 6 p. 1106ᵇ36: ἐν τῷ ἄλφα BS 9 ἁπλῶν
ἀγαθῶν S 10 γενομένων S 11 fort. ἢ χρυσοῦ διανομῆς 14 ὥστε]
ὥσπερ S 16 τὸ post πρὸς om. a 18 post μὲν add. οὖν S 20 δ' ὁ
BS: δὲ Arist. KᵇMᵇOᵇ: γὰρ καὶ a Arist. HᵃNᵇ . ὁ ἄδικος a Arist. 20. 21 ἄδικος
περὶ τὰ ἀγαθὰ ἔσται οὐ πάντα a Arist. 20 πάντα om. B 22 περὶ τὰ ἀγαθὰ]
παρὰ τὸν ἀγαθὸν B 27 ὑγίεια S 29 αἶσχρος S 30 τὸ ἁπλῶς ἀγαθὸν BS
31 λήψεως] λύκης a τοῖς θεοῖς S 33 ἐστὶ S

γαγεν οὐ δεῖ εὔχεσθαι λαβεῖν ταῦτα, ἀλλ' εὔχεσθαι καὶ τὸν ὑγιαίνοντα καὶ 60v
τὸν πλουτοῦντα καὶ τὸν καλὸν τὴν ὑγείαν καὶ τὸν πλοῦτον καὶ τὸ κάλλος
εἰς καλὸν αὐτοῖς καὶ ἀγαθὸν γενέσθαι, καὶ μὴ εἰς βλάβην ἢ λώβην ψυχῆς. 40
τοῦ δ' ἀγαθοῦ ἐστιν ἡ πλεονεξία, διὰ τοῦτο δοκεῖ πλεονέκτης
5 εἶναι. ἐπεὶ πλεονέκτης λέγεται ὁ τὸ πλεῖον ἔχων, ὁ δ' ἄδικος ἐπὶ τοῦ
κακοῦ τὸ ἔλαττον ἔσχε κακόν, λέγει ὅτι τὸ τοιοῦτον κακὸν ὡς ἀγαθὸν
ᾑρετίσατο καὶ ἐδίωξεν· ὥστε πλεονέκτης ἐστί, καθ' ὅσον τοῦ ἀγαθοῦ ἐστιν
ἡ πλεονεξία. εἰπὼν δὲ ἔστιν ἄνισος ἐπήγαγε τοῦτο γὰρ περιέχον καὶ
κοινόν, λέγων τοῦτο τὸ ἄνισον· τὸ γὰρ ἄνισον περιέχει τὸ πλέον καὶ
10 ἔλαττον, ὡς εἴρηται.

p. 1129b11 Ἐπεὶ δ' ὁ παράνομος ἄδικος ὁ δὲ νόμιμος δίκαιος, 45
δῆλον ὅτι πάντα τὰ νόμιμά ἐστί πως δίκαια.

Δείξας τὸ ἄδικον ἄνισον, πιστούμενος ὅτι ὁ δίκαιος ἴσος ἐπὶ τὸ δει- 54
κνύναι τὴν διαφορὰν τοῦ δικαίου τοῦ τε | ὡς νομίμου καὶ τοῦ ὡς ἴσου πρόεισι, 61r
15 καὶ τίς ἐστιν ὁ νόμιμος δίκαιος λέγει. τὸ μὲν οὖν ὅτι νόμιμός ἐστι λαμ-
βάνει πάλιν ἐκ τοῦ καὶ τὸ ἄδικον παράνομον εἶναι. εἰ δὲ ὁ νόμιμος δίκαιος,
δῆλον ὡς καὶ τὰ νόμιμα πάντα δίκαια ἂν εἴη. πρόσκειται δὲ τὸ πῶς
δίκαια, ὅτι μὴ κατὰ τὴν ἰδίως λεγομένην δικαιοσύνην πάντα τὰ νόμιμα
δίκαια, ἀλλὰ κατὰ τὴν κοινῶς. καθ' ὅσον γὰρ τοῖς νόμοις πειθόμενός τις 5
20 ταῦτα ποιεῖ, δίκαιός ἐστι, καὶ αὐτὰ δίκαια, αὐτὰ δὲ καθ' αὑτὰ ἢ ἀνδρεῖα
ἢ σωφρονικά εἰσιν, ἢ ἐξ οἵας ἂν εἴη ἀρετῆς. ἀλλὰ μὴν περὶ πάντων οἱ
νόμοι ὁρίζουσι τῶν κατὰ τὰς ἀρετὰς καὶ προαγορεύουσι τὴν ἀναφορὰν
ποιούμενοι αὐτῶν ἐπὶ σύστασιν τῆς καθεστώσης πολιτείας ἢ εὐδαιμονίαν
καὶ σωτηρίαν, ἡ μὲν δημοκρατία, ὥς φησιν αὐτός, τοῦ κοινῇ συμφέροντος
25 πᾶσι καταστοχαζομένη· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων πολιτειῶν, τῆς ἀριστο-
κρατίας καὶ τιμοκρατίας καὶ τῶν λοιπῶν. ἡ γὰρ ἠθικὴ καὶ ἡ πολιτικὴ 10
τῷ σκοπῷ διαφέρουσι μόνῳ, ἐπεὶ ἀμφοτέραις περὶ ἀρετῆς ἡ πραγματεία,
ἀλλὰ τῇ μὲν ἠθικῇ ἑνὸς ἑκάστου διὰ τῶν ἀρετῶν ἡ εὐταξία καὶ εὐστά-
θεια σκοπός, τῇ δὲ πολιτικῇ ἡ τῆς πόλεως, ἣν οὐχ οἷόν τε διοικεῖσθαι καλῶς
30 χωρὶς ἀρετῶν καὶ τῆς κατ' αὐτὰς ἐνεργείας. ὁ δὴ τούτοις πειθόμενος
νόμιμός τε καὶ δίκαιος, καὶ τὸ νόμιμον ἄρα δίκαιον. ἀλλὰ μὴν τὰ κατὰ
τὰς ἀρετὰς πάντα ποιητικά τέ ἐστιν εὐδαιμονίας καὶ φυλακτικὰ τῶν μορίων
αὐτῆς, μόρια δὲ εὐδαιμονίας αἱ ἀρεταὶ καὶ αἱ κατ' αὐτὰς ἐνέργειαι. καὶ 15
τὸ δίκαιον ἄρα ποιητικόν τέ ἐστι καὶ φυλακτικὸν εὐδαιμονίας καὶ τῶν

---

2 καὶ τὸν καλὸν — πλοῦτον om. Ba 6 ἔλαττον] ἄδικον S 7 ᾑρετίσατο B: ᾑρετήσατο Sa 8 περιέχοι S: περιέχει Arist. 9 τὸ post τοῦτο om. S 11 post ἄδικος add. ἦν a Arist. 12 τὰ om. S 14 ὡς ante ἴσου om. S 17. 18 πῶς δίκαιος a 18 μὴ om. S 19 τις post γὰρ ponit S 21 ἐστὶν S 22 τῶν] τὰ B προαγορεύουσι Anon.: προσαγορεύουσι libri διαφορὰν a 23 σύστασιν scripsi: συστάσει libri ἢ — σωτηρίαν (24) scripsi: ἡ εὐδαιμονία καὶ σωτηρία libri 25. 26 τῆς τ' ἀριστοκρατείας S 26 καὶ] τῆς S τιμοκρατίας] δημοκρατίας a post ἠθικὴ add. ἀρετὴ S 27 ἀρετῶν S 28. 29 εὐσταθία Sa 29 ὁ σκοπὸς S 31 μὲν S 32 εὐδαιμονικὰ S

μορίων αὐτῆς. ἢ λέγοι ἂν μόρια εὐδαιμονίας τὰς ἀρετὰς πάσας τὰς ψυχικὰς 61r
καὶ σωματικὰς καὶ τὰ ἐκτός, ἅπερ ἐκτός εἰσι χρήματα, κτήματα, κτῆσις
ἄλλη πᾶσα· ἐκ τούτων γὰρ πάντων τῶν ψυχικῶν καὶ σωματικῶν ἀρετῶν
καὶ τῶν ἐκτὸς ἀγαθῶν βούλεται συγκεκροτῆσθαι τὴν εὐδαιμονίαν τὴν
5 πολιτικήν, ἐπεὶ μὴ ὅτι ἐκ τούτου καὶ τὴν θεωρητικήν, ἐν τῷ K τῆσδε
τῆς πραγματείας γνωσόμεθα. εἰπὼν δὲ ἕνα τρόπον δίκαια λέγεσθαι καὶ 20
τὰ ποιητικὰ καὶ φυλακτικὰ εὐδαιμονίας καὶ τῶν μορίων αὐτῆς, ἐπήγαγε
τῇ πολιτικῇ κοινωνίᾳ, διότι οἱ νομοθέται περὶ τῶν κατὰ τὰς ἀρετὰς
διαγορεύουσιν οὐχ ἁπλῶς τὴν φύσιν τῶν ἀρετῶν σκοποῦντες, ἥτις ἐστὶν
10 ἑκάστη αὐτῶν, καὶ τί τὸ ⟨τί⟩ ἦν εἶναί ἐστιν αὐτῶν καὶ ἡ οὐσία, ἀλλὰ στοχα-
ζόμενοι τοῦ κοινῇ συμφέροντος καὶ ἐπ' ἐκεῖνο τὴν ἀναφορὰν ποιούμενοι
προστάττουσι τὰ κατὰ τὰς ἀρετὰς πράττειν. ἀπεσχεδιασμένον δὲ νόμον 25
λέγει τὸν μὴ ἐκ πολλῆς μελέτης καὶ ἐξετάσεως τεθέντα, ἀλλ' ἀθρόον καὶ
ἀμελετήτως.

15 p. 1129b25 Αὕτη οὖν ἡ δικαιοσύνη ἀρετὴ μέν ἐστι τελεία.

Τριχῶς ἡ τελεία ἀρετὴ λέγεται. λέγεται γὰρ τελεία ἀρετὴ καὶ ἡ
ἀνδρία μόνη ἡ ἠθικὴ ἡ μετὰ φρονήσεως καὶ ὀρθοῦ λόγου ὑπομενετικὴ 30
τῶν μεγίστων ἐν τοῖς πολέμοις κινδύνων· λέγεται δὲ τελεία αὕτη ἡ ἀν-
δρία πρὸς ἀντιδιαστολὴν τῆς φυσικῆς ἀνδρίας, καθ' ἣν φυσικὴν ἀνδρίαν
20 ὁ Ἀχιλλεὺς ἀνδρεῖος ἐλέγετο. λέγεται πάλιν τελεία ἀρετὴ καὶ τὸ ἐκ πασῶν
τῶν ἀρετῶν ἄθροισμα, ἥτις καὶ ἁπλῶς ἀρετὴ λέγεται καὶ μόνως ἀρετὴ
τελεία. λέγεται δὲ ἀρετὴ τελεία καὶ ἡ κατὰ τὴν νομιμότητα, περὶ ἧς νῦν
λέγει, ἥτις ἡ αὐτή ἐστι τῇ ἐκ πασῶν ἀρετῶν οὔσῃ, ὡς προϊὼν ἐρεῖ· δια-
φέρουσι δ' ὅτι ἡ μὲν προτέρα ὡς ἕξις ψυχῆς ἁπλῶς θεωρεῖται, ἡ δὲ κατὰ 35
25 τὴν νομιμότητα ἀρετή, ἥτις καὶ δικαιοσύνη λέγεται, ἐν τῇ πρὸς ἕτερον χρήσει
κρίνεται. ἡ γὰρ κατὰ πάσας τὰς ἀρετὰς ἐνέργεια ἐπὶ σωτηρίᾳ γινομένη τῆς
πολιτικῆς κοινωνίας ἐστὶν ἡ νῦν λεγομένη τελεία μὲν ἀρετή, ἀλλ' οὐχ ἁπλῶς
ἀλλ' ὡς πρὸς ἕτερον, ἤτοι πρὸς τὸ διαμένειν καὶ διασώζεσθαι τὸ πολίτευμα.
ὥστε δῆλον γέγονεν ὅτι ἡ καθόλου ἀρετὴ καὶ ἡ καθόλου δικαιοσύνη τῷ
30 ὑποκειμένῳ καὶ τῇ οὐσίᾳ αἱ αὐταί εἰσι, διαφέρουσι δὲ κατά τι, ὡς εἴρηται·
ὅταν μὲν γὰρ ἁπλῶς ὡς ἕξις θεωρεῖται ψυχῆς, ἀρετὴ μόνως λέγεται, ὅταν 40
δὲ ὡς σωστικὴ τῆς πολιτείας, δικαιοσύνη προσαγορεύεται. τούτῳ τε οὖν
διαφέρουσι καὶ καθὸ τελειοτέρα ἡ δικαιοσύνη δοκεῖ εἶναι τῆς ἀρετῆς· τελειο-
τέρα γὰρ αὕτη, ἣν ὁ ἔχων καὶ πρὸς ἄλλους χρῆσθαι δύναται, ἀλλ' οὐχὶ

---

1. 2 σωματικὰς καὶ ψυχικὰς Ba 2 καὶ τὰ — εἰσι] οἷον Ba 4 post ἀγαθῶν add. αὐτὸς S 5 K] ἐκ S: κοινῷ a: cf. K 7 6 τρόπω S 8 περὶ om. B 9 post ἐστὶν add. ἡ S 10 alterum τί addidi 15 Αὕτη μὲν οὖν a Arist. 17 καὶ δι' ὀρθοῦ S ὑπομονητικὴ Sa: ὑπομενητικὴ Anon. 18 τοῖς om. S 21 μόνον S 23 ἡ] τ̈ ὡς Sa 25 χρήσει] κρίσει S 28 ἀλλὰ πρὸς S σώζεσθαι S 29 ἡ post καὶ om. S 32 ὡς συστατικὴ τῆς a 33 τελειότερον S εἶναι om. B 34 ὁ om. S χρᾶσθαι B

μόνον καθ' ἑαυτόν· ἔστι δὲ ὡς εἴρηται πρὸς ἄλλον ἡ κατὰ νομιμότητα. 61r
διὰ οὖν τὸ πρὸς ἄλλον εἶναι τὴν δικαιοσύνην καὶ πρὸς σωτηρίαν τῆς πολι-
τικῆς κοινωνίας κρατίστη, φησί, καὶ ἀρίστη δοκεῖ εἶναι ἡ δικαιοσύνη, καὶ
θαυμασιωτέρα καὶ αὐτοῦ τοῦ τῆς Ἀφροδίτης ἀστέρος. ἑῴα δὲ φαῦσις 15
5 ἀστέρος λέγεται, ὅταν πρὸ τῆς ἀνατολῆς τοῦ ἡλίου φαίνηται ὁ ἀστήρ, ἕσπερος
δὲ ὅταν μετὰ τὴν τοῦ ἡλίου δύσιν ὁρᾶται. οὐχ οὕτω δοκεῖ, φησί, θαυμαστὴ
ἡ Ἀφροδίτη, καίτοι λαμπροτάτη οὖσα ἑῴα καὶ ἑσπέριος φαινομένη, ὡς
ἡ δικαιοσύνη. ὅτι δὲ καὶ κρατίστη καὶ θαυμαστὴ καὶ ἀρίστη ἐστὶν ἡ δικαιο-
σύνη πιστούμενος ἐπήνεγκε καὶ τὴν λέγουσαν παροιμίαν

10 p. 1129ᵇ29 Ἐν δὲ δικαιοσύνῃ συλλήβδην πᾶσ' ἀρετὴ ἔνι. 61v

Τουτέστιν ἅπαν κακὸν πόρρω τῆς δικαιοσύνης. ἡ δὲ παροιμία Θεόγνι-
δός ἐστιν, ὡς Θεόφραστός φησιν ἐν τῷ πρώτῳ Περὶ ἠθῶν λέγων, ἐν δὲ
τῷ πρώτῳ τῶν Ἠθικῶν ὡς Φωκυλίδης αὐτοῦ μέμνηται, καὶ οὐδὲν θαυ-
μαστὸν καὶ Φωκυλίδην αὐτῷ καὶ Θέογνιν χνήσασθαι. πολλοὶ γὰρ ἐν
15 μὲν τοῖς οἰκείοις δύνανται τῇ ἀρετῇ χρῆσθαι. οὐχ ὥσπερ ἐν ταῖς
θεωρητικαῖς ἐπιστήμαις ἐν γνώσει τὸ τέλος ἐχούσαις ὁμοία ἐστὶν ἡ γνῶσις 5
τοῦ γνωστοῦ αὐτῷ τε ἐφ' ἑαυτοῦ καὶ ἐπ' ἄλλων, οὕτως καὶ ἐπὶ τῶν
ἀρετῶν ἔχει, καὶ ὅλως περὶ τῆς πολιτικῆς· οὐ γὰρ ἐξαρκεῖ καθόλου
εἰδέναι τίνα τε πρακτέον καὶ τίνα μή, ἀλλὰ καὶ δι' ὧν καὶ πῶς ἂν πρα-
20 χθείη εἰδέναι χρή, ὧν ἡ γνῶσις δι' ἐμπειρίαν παραγίνεται. διὸ δεῖ πολλοῖς
καὶ παντοδαποῖς ἐντετυχηκέναι πράγμασι τὸν μέλλοντα πολιτικὸν ἔσεσθαι,
ὡς καὶ κυβερνήτην καὶ ἰατρόν. οὐ γὰρ αὐτάρκεις τούτοις οἱ καθόλου
λόγοι ἀλλὰ καὶ ἐμπειρίας αὐτοῖς δεῖ. διὰ τοῦτο δὴ ἐν μὲν τοῖς οἰκείοις 10
δύνανται πολλοὶ τῇ πολιτικῇ κοινωνίᾳ χρῆσθαι, οἷον ἐν γυναιξὶ καὶ παισὶ
25 καὶ ἀδελφοῖς, ἐν δὲ τοῖς ἄλλοις ἀδυνατοῦσι διὰ τὸ μὴ ἐμπειρίαν ἔχειν τῶν
πραγμάτων. δεῖται οὖν ὁ πολιτικὸς καὶ πρακτικὸς πρὸς τῷ τοὺς καθόλου
λόγους ἔχειν καὶ τῆς τῶν πραγμάτων ἐμπειρίας, ὡς καὶ ὁ στρατηγὸς καὶ
ὁ ἰατρὸς καὶ ὁ κυβερνήτης. ὅτι δὲ τὸ πρὸς ἑτέρους χρῆσθαι τῇ ἀρετῇ
χαλεπόν ἐστι, μάρτυρα ἐπάγει τὸν Βίαντα εἰπόντα "ἀρχὴ τὸν ἄνδρα δείξει"·
30 ὁ γὰρ ἄρχων πρὸς ἑτέρους· τινῶν γὰρ ὁ ἄρχων ἄρχει καὶ ἐν κοινωνίᾳ 15
ἡ ἀρχή, ἐν ᾗ χαλεπώτεραι αἱ ἐνέργειαι. εἰπὼν δὲ τὴν κατὰ τὴν νομιμό-
τητα δικαιοσύνην πρὸς ἄλλον εἶναι, πιστούμενος τοῦτο λέγει διὰ δὲ τὸ
αὐτὸ τοῦτο, τουτέστι τὸ πρὸς ἕτερον ἢ πρὸς ἑτέρους εἶναι τὴν δικαιο-

---

1 ἑαυτὴν S 4 τοῦ om. S 5 πρὸ] πρὸς S 7 ἕσπερος S
8 θαυμαστικὴ a 10 post συλλήβδην add. εἰπεῖν B ἔνι BS Arist. KᵇLᵇOᵇ: ἐστὶ
a Arist. HᵃMᵇNᵇ 11 ἡ δὲ παροιμία] ἐστί. τὸ δὲ δικαιοσύνη σύμπασα συλλήβδην
ἀρετὴ ἔνι S 11. 12 Θεόγνιδος] v. 147 Bergk 13 Φωκυλίδης] fr. 17 Bergk:
Φωκιλλίδου S: Φωκυλιδείου Bergk, at cf. Anonym. vol. XX p. 210,17 15 ὥσπερ] ὥστε Ba
17 τοῦ γνωστοῦ om. S αὐτὸ S 19 πρακτὰ Sa 19. 20 πραχθῆ S 20 παρά-
γεται a 24 πολλὰ a 26 πρὸς τὸ S 29 τὸν Βίαντα] cf. Leutsch
Paroemiogr. Gr. I 212. II 101, 310 εἰπόντα om. S ἀρχὰ S 30 γὰρ
post τινῶν om. S 32 πρὸς ἄλλο Ba πιστούμενος om. Ba

σύνην, οὐ τοῦ ἔχοντος τὴν τοιαύτην ἕξιν λέγουσιν εἶναι οὐδὲ ἀγαθὸν 61ᵛ αὐτοῦ τυγχάνειν, ἀλλ' ἐκείνοις εἶναι ἀγαθόν, οἷς τὰ συμφέροντα πράττει, ἄρχουσιν ἢ κυρίοις, ἢ τοῖς βασιλεῦσιν ἢ τοῖς ἀρίστοις, ὡς ἐν ἀριστοκρατίᾳ.

p. 1130ᵃ5 Κάκιστος μὲν οὖν ὁ καὶ πρὸς αὑτὸν καὶ πρὸς τοὺς φίλους.

Οὐχ ὥσπερ, φησίν, κάκιστός ἐστιν ὁ καὶ πρὸς ἑαυτὸν καὶ πρὸς τοὺς κοινωνοὺς καὶ φίλους χρώμενος τῇ μοχθηρίᾳ, οὕτω δὴ καὶ ἄριστός ἐστιν ὁ πρὸς ἑαυτὸν καὶ φίλους καὶ κοινωνοὺς χρώμενος τῇ ἀρετῇ· ὁ γὰρ τῇ ἀρετῇ πρὸς τοὺς φίλους χρώμενος τρόπον τινὰ πρὸς ἑαυτὸν χρῆται· ἀλλ' ἔστιν ἄριστος ὁ καὶ πρὸς ἑαυτὸν καὶ πρὸς ἑτέρους, ὁποῖοι ἂν τύχωσιν ὄντες. τοῦτο δὲ εἶπεν ὡς κατασκευαστικὸν τοῦ τὴν τοιαύτην δικαιοσύνην τελείαν εἶναι, εἴ γε ἄριστος ὁ τῇ ἀρετῇ πρὸς ἄλλους χρώμενος, ὃ ἴδιόν ἐστι τῆς δικαιοσύνης. ταῦτα εἰπὼν ἐπάγει αὕτη μὲν οὖν ἡ κατὰ τὴν νομιμότητα δικαιοσύνη οὐ μέρος ἀρετῆς ἐστιν, ὡς ἡ ἀνδρία καὶ ἡ σωφροσύνη, ἀλλ' ὅλη καὶ πᾶσα ἀρετή ἐστι, καὶ οὐ μία τις ἀρετὴ ἢ μέρος ἀρετῆς. τί δὲ διαφέρει ἡ ἀρετὴ καὶ ἡ δικαιοσύνη, ἐκ τῶν εἰρημένων δῆλον. ὥσπερ ὁ θεωρητικὸς καὶ πρακτικὸς νοῦς τῇ μὲν οὐσίᾳ εἷς ἐστι καὶ ὁ αὐτός, ταῖς δ' ἐνεργείαις δύο (ὅταν μὲν γὰρ τὰ ἀεὶ ὡσαύτως ἔχοντα καὶ ἐξ ἀνάγκης ὄντα θεωρῇ, θεωρητικὸς ὀνομάζεται, ὅταν δὲ τὰ πρακτὰ καὶ ἐνδεχόμενα ἄλλως ἔχειν σκοπῇ καὶ βουλεύηται πῶς ἂν κάλλιστα γένοιτο, πρακτικὸς λέγεται), καὶ ὥσπερ ὁ αὐτὸς καὶ εἷς, ὅταν μὲν τὰ καθ' αὑτὰ ὑπάρχοντα τῷ διωρισμένῳ ποσῷ σκοπῆται, ἀριθμητικὸς ἐπονομάζεται, ὅταν δὲ τῷ συνεχεῖ ποσῷ, γεωμέτρης, οὕτω καὶ ἡ καθόλου ἀρετὴ καὶ ἡ καθόλου δικαιοσύνη τῷ μὲν ὑποκειμένῳ ἕν ἐστι, πῇ δὲ διαφέρουσιν. ὅταν μὲν γὰρ ἁπλῶς ὡς ἕξις ψυχῆς σκοπῆται ἀρίστη καὶ μηδέν τι πλέον, ἀρετὴ λέγεται, ὅταν δὲ ὡς χρῆσις πρὸς ἕτερον, δικαιοσύνη ὀνομάζεται. καὶ ἐπεὶ ἄλλη ἐστὶ δικαιοσύνη ἑτέρα τῆς ὅλης καὶ καθόλου ἀρετῆς καὶ δικαιοσύνης, μερική τις οὖσα καὶ σύστοιχος τῇ ἀνδρίᾳ καὶ σωφροσύνῃ [καὶ] δικαιοσύνη, καὶ περὶ ταύτης λεκτέον· ὁμοίως καὶ περὶ τῆς μερικῆς ἀδικίας. καὶ τοῦτο εἰπὼν πρότερον δείκνυσιν ὅτι ἔστι τις ἄλλη δικαιοσύνη καὶ ἀδικία ἑτέρα τῆς καθόλου δικαιοσύνης καὶ ἀδικίας, εἶτα λέγει τίς ἐστι· πρότερον γὰρ ἐν τοῖς ζητουμένοις τὸ εἰ ἔστι τοῦ τί ἐστιν, ὡς ἐν τῷ B τῶν Ὑστέρων ἀναλυτικῶν μεμαθήκαμεν.

---

1 λέγει a 2 αὐτὸ S ἀγαθοῖς S πράττειν Ba 4 ὁ om. S 6 δὴ Anon.: δεῖ S: om. Ba 9 ἕτερον S 13 σωφροσύνη] δικαιοσύνη Sa 14 ὅλη οὐ πᾶσα S 18 ὄντα om. a 19 σκοποῖ B: σκοπεῖ S βουλεύεται S: βουλεύοιτο Ba 21 ἀριθμητικὸν S ὀνομάζεται S 22 συνεχῆ Ba γεωμετρικός a 23 πῇ] πλὴν S 24 σκοπεῖται S 26 καὶ post ἀρετῆς om. Ba 27 καὶ post σωφροσύνῃ delevi, sed nescio an δικαιοσύνη quoque expungendum sit δικαιοσύνῃ a 29 ἔστι om. S 31 τοῦ εἰ ἔστι τὸ τί ἐστιν B 31. 32 τῶν Ὑστέρων ἀναλυτικῶν] B l

p. 1130ª16 Κατὰ μὲν τὰς ἄλλας μοχθηρίας ὁ ἐνεργῶν ἀδικεῖ μέν, πλεονεκτεῖ δ' οὐδέν.

Μέλλων δεικνύειν ὅτι ἔστι τις ἄλλη δικαιοσύνη παρὰ τὴν καθόλου, πρότερον ὡς γνωριμώτερον δεί|κνυσιν ὅτι ἔστι τις μερικωτέρα ἀδικία, ἄλλη 62r
5 οὖσα τῆς κοινῆς ἀδικίας καὶ καθόλου, ἥτις καὶ ἀντίκειται τῇ ζητουμένῃ μερικωτέρᾳ δικαιοσύνῃ. μεμνήμεθα ὅτι καθόλου δικαιοσύνην καὶ καθόλου δίκαιον ἐλέγομεν τὸν πάντα τὰ ὑπὸ τῶν νόμων διατεταγμένα τηροῦντα καὶ πράττοντα, καθόλου δὲ ἀδικίαν καὶ καθόλου ἄδικον τὸν παράνομον καὶ μὴ κατὰ τὰ τῶν νόμων προστάγματα πολιτευόμενον. εἰ οὖν δειχθῇ ὅτι ἔστι τις ἄλλος 5
10 ἄδικος παρὰ τὸν παράνομον, δῆλον ἔσται ὡς ἔσται καὶ δίκαιός τις μερικώτερος παρὰ τὸν καθόλου, ὅστις καθόλου, ὡς εἴρηται, νόμιμος δίκαιος λέγεται. ὅτι δέ ἐστιν ὑπὸ τὴν κοινὴν ἀδικίαν, ἥτις ἐστὶ παρανομία, ἀδικία τις ἡ κατὰ τὴν πλεονεξίαν, ἄλλη μὲν οὖσα τῆς καθόλου, ὑπ' αὐτὴν δὲ τὴν καθόλου οὖσα, καὶ ὁμωνύμως τῇ καθόλου καὶ αὐτὴ ἀδικία λεγομένη, δείκνυσι λέγων· οἱ
15 μὲν γὰρ κατὰ τὰς ἄλλας μοχθηρίας ἐνεργοῦντες πλεονέκται οὐ λέγονται, ἀλλ' 10
ἄδικοι καὶ παράνομοι· οὔτε γὰρ ὁ ῥίψας τὴν ἀσπίδα ἐν πολέμῳ πλεονεκτεῖ, καίτοι διὰ δειλίαν τοῦτο ποιήσας καὶ διὰ τοῦτο ἀδικῶν καὶ παρανομῶν, οὔθ' ὁ κακῶς εἰπών τινα πλεονεκτεῖ, καίτοι δι' ὕβριν τοῦτο ποιήσας καὶ παρὰ νόμον, οὔθ' ὁ μὴ ἐπαρκέσας τινὶ δεομένῳ, καίτοι δι' ἀνελευθερίαν
20 τοῦτ' εἰργασμένος. εἰ οὖν οὗτοι καὶ πάντες ὅμοιοι παράνομοι μὲν καὶ ἄδικοι λέγονται, πλεονέκται δὲ οὔ, δῆλον ὡς ὁ πλεονέκτης ἕτερός ἐστι τούτων, καὶ ἡ πλεονεξία ἄλλη τῆς καθόλου ἀδικίας. καὶ ὥσπερ ἐκείνων ἕκαστος 15
ὃ εἰργάσατο οὐ διὰ πλεονεξίαν ἐποίησεν, ἀλλ' ὁ μὲν διὰ δειλίαν, ὁ δὲ δι' ἀνελευθερίαν, ὁ δὲ διὰ χαλεπότητα, οὕτως οὐδ' ὁ πλεονέκτης κατά τινα
25 τῶν εἰρημένων ἀδικιῶν ἢ κατὰ πάσας ὁμοῦ ἀδικεῖ, ἀλλὰ κατὰ μόνην τὴν πλεονεξίαν, ἥτις πλεονεξία οὐκ ἔστιν οὐ δειλία, οὐκ ἀνελευθερία, οὐκ ὀργή, οὐκ ἄλλο τῶν ὁμοίων οἷς ὁ παράνομος χαρακτηρίζεται. ὥστε ὁ πλεονέκτης ἃ ποιεῖ κατὰ κακίαν τινὰ ποιεῖ καὶ πλεονεκτεῖ· κἀκείνους μὲν ψέγοντες λέγομεν δειλοὺς καὶ ἀνελευθέρους καὶ ὑβριστὰς καὶ ὀργίλους καὶ παρανόμους, 20
30 τοῦτον δὲ πονηρὸν καὶ πλεονέκτην· κἀκείνους μὲν λέγομεν ἀδικίαν ποιεῖν τοῦτον δὲ πλεονεξίαν. ἐκεῖνοι ἄρα ἄδικοι μέν εἰσι κατὰ τὴν καθόλου ἀδικίαν, οὗτος δὲ ἄδικος κατὰ τὴν μερικωτέραν. καὶ ἔστιν ἡ ἀδικία αὕτη ἤτοι ἡ πλεονεξία ὑπὸ τὴν καθόλου ἀδικίαν, ὡς καὶ ἡ δειλία καὶ ἡ θρασύτης, ὠνομασμένη τῷ κοινῷ ὀνόματι ἀδικία ὁμωνύμως τῇ καθόλου ἀδικίᾳ,
35 κἂν μὴ δοκῇ ὁμώνυμος διὰ τὸ ὑποτετάσθαι αὐτῇ, ὡς εἶδος γένει. ὅτι δὲ 25

---

1 μὲν γὰρ τὰς a Arist. 4 μερικωτέρῃ et 6 μερικωτέρῃ a 5 καὶ post ἥτις om. a 6 καὶ] τε καὶ S 8 ἀδικία Ba 9 τὰ om. Sa τὸν νόμον S 11 post ὡς add. καθόλου S 13 ἄλλη] ἄλλων ἡ S καθόλου οὖσαν S 19 νόμον] τὸ ὑπὸ τῶν νόμων διατεταγμένον S 20 μὲν om. S 21 post οὐ add. λέγονται S τούτου S 23 ὃ] ὅπερ S 25 ἀδικιῶν] κακιῶν S 26 διλεία a 27 post ἄλλο add. τι a 28 ὃ ποιεῖ a 30 ἀδικίας S 32 post μερικωτέραν add. ἀδικίαν S ἡ κακία αὕτη S 34 ὁμώνυμος Ba 35 δοκεῖ S

ὁ πλεονέκτης οὐδὲ κατὰ πάσας ὁμοῦ τὰς μοχθηρίας πλεονεκτεῖ, οὐκ ἄδηλον. 62r
εἰ γὰρ κατὰ πάσας ὁμοῦ ἀδικεῖ, δῆλον ὡς κατὰ τὴν κοινήν· τὸ γὰρ κοινὸν
οὐδὲν ἄλλο ἐστὶν ἢ ὁμοῦ πάντα· εἰ δὲ κατὰ τὴν κοινήν, ἔσται ἡ πλεονεξία
ἡ αὐτὴ τῇ κοινῇ ἀδικίᾳ, καὶ κατηγοροῖτο ἂν ὥσπερ ἡ κοινὴ κατὰ πασῶν
5 τῶν ἄλλων, καὶ ῥηθείη ἂν καὶ ἕκαστος τῶν κατὰ τὰς ἄλλας κακίας ἁμαρ-
τανόντων πλεονέκτης, ὥσπερ καὶ ἄδικος. οὐ λέγεται δὲ ἐκείνων τις πλεο-
νέκτης ἀλλ' ἄδικος· ὥστε οὐδὲ κατὰ πάσας ὁμοῦ τὰς κακίας ὁ πλεονέκτης 30
ἀδικεῖ. εἰ δὲ τοῦτο, ἔστιν ἄρα τις ἄδικος καὶ ἀδικία τις ὡς μέρη τινὰ
τῶν ὅλων, τοῦ ἀδίκου καὶ τῆς ἀδικίας τῶν παρὰ τὸν νόμον. ἔτι δὲ εἰ ὁ
10 μὲν τοῦ κερδαίνειν ἕνεκα μοιχεύει καὶ προσλαμβάνει. καὶ διὰ τούτων τὸ αὐτὸ δείκνυσιν ὅτι ἐστὶν ἡ πλεονεξία ἀδικία ἑτέρα τῆς κοινῆς
ἀδικίας. λαμβάνει δὲ δύο μοιχούς, τὸν μὲν μοιχεύοντα οὐ δι' ἀκο-
λασίαν οἰκείαν, ἀλλὰ διὰ χρήματα διδόμενα αὐτῷ παρὰ τῆς μοιχευομένης
ἀκολάστου οὔσης, τὸν δὲ μοιχεύοντα δι' ἀκολασίαν καὶ διὰ τοῦτο διδόντα 35
15 τῇ μοιχευομένῃ καὶ ζημιούμενον, καὶ φησὶ τὸν μὲν ἀναλίσκοντα καὶ ζη-
μιούμενον δι' ἀκολασίαν ἀκόλαστον μὲν καὶ παράνομον λέγεσθαι, πλεονέκτην
δὲ μή, τὸν δὲ μοιχεύοντα καὶ λαμβάνοντα πλεονέκτην μέν (κερδαίνει γάρ)
ἀκόλαστον δ' οὔ· οὐ γὰρ δι' ἐπιθυμίαν καὶ ἀκολασίαν, ἀλλὰ διὰ χρημάτων
ἔρωτα παρανόμως μίγνυται. ἄλλος ἄρα οὗτος ἄδικος ὁ κερδαίνων καὶ πλεονεκ-
20 τῶν, καὶ ἄλλος ἐκεῖνος ἄδικος· εἰ δὲ τοῦτο, δύο ἀδικίαι εἰσίν, ἥ τε πλεονε- 40
ξία καὶ ἡ κοινή, ὑφ' ἣν αἱ ἄλλαι πονηρίαι καὶ ἡ δι' ἀκολασίαν μοιχεία.
ὅτι δ' οὐδεὶς πλεονεκτεῖ, οὔθ' ὁ τὴν ἀσπίδα ῥίψας οὔθ' ὁ ὑβρίσας οὔθ'
ὁ μοιχεύων καὶ ζημιούμενος, ἀλλὰ μόνον παρανομοῦσι καὶ ἀδικοῦσι κατὰ
τὴν κοινὴν ἀδικίαν, οὐδεὶς ἀγνοεῖ· τί γὰρ ἐκέρδανεν ὁ τὴν ἀσπίδα ῥίψας ἢ
25 ὁ κακολογήσας ἢ ὁ τῶν ἑαυτοῦ διὰ μοιχείαν ἀποστερούμενος; ἄλλοι ἄρα
ἄδικοι οὗτοι καὶ ἄλλος ὁ πλεονεκτῶν καὶ κερδαίνων.

p. 1130a28 Ἔτι περὶ μὲν τἆλλα πάντα ἀδικήματα γίνεται ἡ ἐπανα- 45
φορὰ ἐπί τινα μοχθηρίαν. |

Ὃ λέγει τοιοῦτόν ἐστιν· ἐὰν αἱ μοχθηρίαι καὶ αἱ κακίαι πᾶσαι πρὸς 62v
30 τῷ κοινῷ τῷ τῆς ἀδικίας ὀνόματι καὶ ἰδίῳ τινὶ εἴδει κακίας ὑπάγωνται,
οἷον ἡ μοιχεία τῷ τῆς ἀκολασίας εἴδει καὶ ἡ τῶν ὅπλων ἀποβολὴ καὶ 10
ῥῖψις τῷ τῆς δειλίας καὶ ἡ ὕβρις τῷ τῆς χαλεπότητος καὶ αἱ ἄλλαι ὁμοίως,
καὶ λέγεται ὁ μοιχὸς καὶ ἀκόλαστος καὶ ἄδικος, εἰ οὖν πᾶσαι αἱ ἄλλαι
οὕτως, ὁ δὲ πλεονέκτης μόνῳ τῷ τῆς ἀδικίας κοινῷ ὀνόματι λέγεται, δῆλον
35 ὅτι ἔστι τις ἄλλη μερικὴ ἀδικία ἀνάλογον τῇ δειλίᾳ καὶ τῇ ἀκολασίᾳ, [ἐν] ἡ

---

2 post ὡς add. καὶ S 6 πλεονέκτην Ba 10 μοιχεύοι B προσλαμβάνει Sa Arist. LbMb: προσλαμβάνοι B Arist. Ob: προσλαμβάνων Arist. vulg. 12 δύο μοιχούς] δ' ὁ μοιχὸς S οὐ om. S 13 χρημάτων S 15. 16 καὶ φησὶ—ζημιούμενον om. S 19 et 20 ἄλλως S 19 οὕτως S 20 εἰ καὶ τοῦτο Ba 24 κερδαίνει S 25 διὰ τὴν μοιχίαν S 25 et 26 ἄλλως a 27. 28 ἀναφορὰ B 30 ὑπάγονται Ba 32 ἡ om. S 35 ἐν delevi

ὁ πλεονέκτης ὑπάγεται. καὶ εἴη ἂν ἡ ἀναλογία τοιαύτη * * πρὸς 62v
τὴν ἀκολασίαν, ὡς ὁ πλεονέκτης πρὸς τὴν μερικὴν ἀδικίαν, καὶ ὡς ἡ
ἀκολασία πρὸς τὴν ἀδικίαν, οὕτως ἡ μερικὴ ἀδικία πρὸς τὴν κοινὴν 15
ἀδικίαν. δῆλον τοίνυν γέγονεν ἤδη ὡς ἔστι τις ἀδικία ἄλλη παρὰ τὴν
5 ὅλην ἀδικίαν ἐν μέρει, συνώνυμος τῇ ὅλῃ ἀδικίᾳ. ἔθος δὲ Ἀριστοτέλει
συνώνυμα λέγειν καὶ τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἓν λεγόμενα, ἃ ὡς ἐν τῷ τρίτῳ
τῶν Μετὰ τὰ Φυσικὰ * * μεταξύ ἐστι τῶν τε συνωνύμων καὶ τῶν κυρίως
ὁμωνύμων. ὅτι ὁ ὁρισμὸς ἐν τῷ αὐτῷ γένει· ἄμφω γὰρ ἐν τῷ
πρὸς ἕτερον. ἀπ' ἀρχῆς τοῦ παρόντος βιβλίου μέχρι καὶ τοῦδε τὴν ἐν
10 μέρει κακίαν συνώνυμον λέγων τῇ ὅλῃ κακίᾳ ἤτοι τὴν ἐν μέρει ἀδικίαν 20
τῇ ὅλῃ ἀδικίᾳ (εἰσὶ δὲ τῇ ἀληθείᾳ οὐ συνώνυμοι, ἀλλὰ μέσαι τῶν συνωνύμων
καὶ ὁμωνύμων), δι' ὧν παρατίθεται ἐμφαίνει ὡς οὐχ ἁπλῶς συνωνύμους τὰς
ἀδικίας ἐκάλει, ἀλλὰ πῇ, οἷά ἐστι τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν, ἃ τρόπον μέν
τινα συνώνυμά ἐστιν, ὡς ἐν τοῖς Μετὰ τὰ Φυσικὰ δέδεικται, τρόπον δέ
15 τινα ὁμώνυμα. καθ' ὅσον μὲν γὰρ ὁ ὁρισμὸς αὐτῶν, ὡς αὐτός φησιν, ἐν
τῷ αὐτῷ γένει ἐστί, κατὰ τοῦτο συνώνυμόν ἐστι· πῶς δὲ ἐν τῷ αὐτῷ
γένει καὶ ἐν τίνι γένει, ἐδήλωσεν εἰπὼν ἄμφω γὰρ ἐν τῷ πρὸς ἕτερον, 25
ἥ τε κοινὴ ἀδικία καὶ ἡ κατὰ τὴν πλεονεξίαν, ἣν ἐπὶ μέρους λέγομεν· ἀμ-
φότεραι γὰρ αἱ ἀδικίαι ἐν τῷ πρὸς ἑτέρους ἁμαρτάνειν τὸ εἶναι ἔχουσι.
20 κατὰ μὲν δὴ τοῦτο συνώνυμοί εἰσι. καθ' ὅσον δὲ ἡ μὲν ἐν μέρει ἀδικία
ἡ κατὰ πλεονεξίαν περὶ τιμήν ἐστι καὶ χρήματα (λέγοι δ' ἂν τιμὴν
καὶ χρήματα τὰ τυχηρὰ τῶν ἀγαθῶν, ἐν οἷς δι' ἡδονὴν τὴν ἀπὸ τοῦ κέρ-
δους ἡ πλεονεξία) ἡ δὲ καθόλου ἀδικία περὶ πάντα περὶ ὅσα ὁ νόμιμος καὶ
σπουδαῖος, κατὰ δὴ τοῦτο πάλιν ὁμώνυμοί εἰσιν αἱ ἀδικίαι. δύνανται 30
25 δὲ καὶ συνώνυμοι λέγεσθαι μὴ κατὰ τὸ ἐν τῷ αὐτῷ εἶναι γένει, ἀλλὰ καθ'
ὅσον ἀμφοτέρων ὁ αὐτός πώς ἐστι λόγος καὶ κοινός. ἀμφότεραι γὰρ ἕξεις
εἰσὶ πρακτικαί, διαφέρει δὲ ὅτι ἡ μὲν πλεονεξία τῶν αἰσχρῶν ἐστι πρακτική,
ἡ δὲ περὶ ὅσα ἐστὶν ὁ σπουδαῖος. εἰπὼν δὲ ἀλλ' ἡ μὲν πλεονεξία
περὶ τιμὴν καὶ χρήματα (σπουδάζει γὰρ ἀεὶ τὸ πλέον ἢ καὶ τὸ πᾶν
30 ἔχειν ὁ πλεονέκτης) ἐπήγαγεν ἢ σωτηρίαν, λέγων σωτηρίαν ἁπλῶς πᾶν 35
ὃ σωστικόν ἐστιν ἡμῶν καὶ εἰς τὸ ζῆν ἢ εὖ ζῆν συντελεῖ. ἐπεὶ δὲ περὶ ἃ
ἡ πλεονεξία ἐστὶ πολλά εἰσι καὶ διάφορα κατ' εἶδος, οὔκ εἰσι δὲ ἑνὶ ὀνόματι
περιειλημμένα, ἐπήγαγεν ἢ εἴ τινι ἔχοιμεν ἑνὶ ὀνόματι περιλαβεῖν,
δυνάμει λέγων 'εἴπερ εἶχον ἑνὶ ὀνόματι πάντα δηλῶσαι, περὶ ἃ ἐστιν ἡ
35 πλεονεξία, οὐκ ἂν ἔλεγον τιμήν, χρήματα, σωτηρίαν, ἀλλ' εἶπον ἂν ὅτι ὁ
μὲν πλεονέκτης ἐστὶ περὶ τόδε, ὁ δὲ καθόλου ἄδικος περὶ τόδε· ἐπεὶ δὲ

---

1 ἂν ἡ] ἂν καὶ Ba lacunam indicavi: fort. addendum ὡς ὁ μοιχὸς et v. 2 legendum οὕτως ὁ πλ. 5 δὲ] γὰρ S 6. 7 ἐν τῷ τρίτῳ τῶν Μετὰ τὰ φυσικά] Γ 2 p. 1003a33 sqq. 7 post Φυσικὰ adde δέδεικται 8 γένει] λέγεται a 9 καὶ μέχρι coll. S 11 μέσον B: μέσα S 12 συνωνύμους scripsi: συνωνύμως libri 14 τοῖς] τῷ B: τῆς S 15 ὁ om. S 16 τῷ τῷ αὐτῷ utrobique a 19 ἕτερον S 20 συνώνυμα S 26 γὰρ] δὲ S 28 ἐστὶν om. S 31 post ὃ add. ἂν S 34 δύναμιν S ἐστιν om. a 35 εἶπεν ex εἶπον S

οὐ κεῖται αὐτοῖς ὄνομά τι κοινόν, ἀνάγκη αὐτὰ λέγειν τοῖς οἰκείοις ὀνό- 62ᵛ
μασιν. οὕτως οὖν δείξας ὅτι ἔστι τις ἐν μέρει ἀδικία ἑτέρα τῆς καθόλου, 41
ἔχων δὲ ἀπὸ ταύτης τῆς ἀποδείξεως ὅτι ἔστι καὶ δικαιοσύνη τις ἑτέρα τῆς
καθόλου (εἴρηται γὰρ ὅτι τῶν ἐναντίων ἂν θάτερον λέγηται πλεοναχῶς, καὶ
5 τὸ λοιπὸν ὡς ἐπὶ τὸ πολὺ πλεοναχῶς λέγεται), συμπεραίνεται λέγων ὅτι
μὲν οὖν εἰσι δικαιοσύναι πλείους, καὶ ἑτέρα τις παρὰ τὴν ὅλην, δῆλον·
ἡ γὰρ κατὰ τὸ ἴσον δικαιοσύνη, ὡς εἴρηται, ἑτέρα τίς ἐστι τῆς ὡς νομι-
μότητος καὶ καθόλου δικαιοσύνης. ὅτι μὲν οὖν πλείους εἰσὶ δικαιοσύναι, 45
δέδεικται· τίς δὲ τῷ γένει ἡ ὡς ἐν μέρει δικαιοσύνη καὶ ὁποία τις τὸ
10 εἶδος, ληπτέον. ἔστι δὴ οὖν τῷ γένει τέως ἰσότης. ἐπεὶ γὰρ ἄδικον κεῖται
τό τε παράνομον καὶ τὸ ἄνισον, δίκαιον δὲ τό τε νόμιμον καὶ ἴσον, κατὰ
μὲν τὸ παράνομον ἡ προτέρα ἤτοι ἡ ὅλη ἀδικία ἐστί, κατὰ δὲ τὸ ἄνισον
ἡ ὡς μέρος ἀδικία· ὁμοίως δὲ καὶ κατὰ μὲν τὸ νόμιμον ἡ ὅλη δικαιοσύνη,
κατὰ δὲ τὸ ἴσον ἡ ὡς μέρος, περὶ ἧς εἰπεῖν πρόκειται. ἐπεὶ δὲ τὸ ἄνισον 50
15 καὶ τὸ πλεῖον οὐ ταὐτόν, ἐξ ἀναλογίας τινὸς δείκνυσι τὴν διαφορὰν τῆς
τε μερικῆς ἀδικίας καὶ τῆς ὅλης ἀδικίας, καὶ τῆς μερικῆς δικαιοσύνης καὶ
τῆς ὅλης, δυνάμει λέγων, ὡς τὸ πλέον πρὸς τὸ ἄνισον, οὕτω ἡ μερικὴ
δικαιοσύνη πρὸς τὴν ὅλην δικαιοσύνην. ἀμφότεραι γὰρ ἥ τε μερικὴ δικαιοσύνη
καὶ τὸ πλέον ὡς μέρος ἐν ὅλοις εἰσίν, ἡ μὲν τῇ δικαιοσύνῃ, τὸ δὲ πλέον
20 τῷ ἀνίσῳ. ὅτι δὲ τὸ πλέον μέρος ἐστὶ τοῦ ἀνίσου, δείκνυσι λέγων τὸ
μὲν γὰρ πλέον ἄνισον, ὡς καὶ ὁ ἄνθρωπος ζῷον, οὐ μὴν τὸ | ἄνισον 63ᵛ
πλέον, ὥσπερ οὐδὲ τὸ ζῷον ἄνθρωπος. ἔστι γὰρ ἄνισον καὶ τὸ ἔλαττον,
καὶ κατηγορεῖται τὸ ἄνισον κατὰ ἀμφοτέρων, τοῦ τε πλείονος καὶ τοῦ
ἐλάττονος. εἰπὼν δὲ ὅτι τὸ πλέον ἅπαν ἄνισόν ἐστιν, οὐ μὴν καὶ τὸ ἄνισον
25 πᾶν πλέον (τὸ γὰρ ἔλαττον, ὡς εἴρηται, ἄνισον ὂν οὐκ ἔστι πλέον) ἐπήγαγε
καὶ τὸ ἄδικον καὶ ἡ δικαιοσύνη οὐ ταὐτά, τουτέστι τὸ μερικὸν ἄδικον
καὶ δίκαιον καὶ ἡ μερικὴ ἀδικία καὶ δικαιοσύνη οὐ ταὐτὰ ἐκείνοις, τοῖς 5
ὅλοις δηλονότι, ἀλλ' ἕτερα ἐκείνων ὂν τρόπον καὶ τὸ μέρος τοῦ ὅλου.
σαφῆ δὲ τὰ ἑξῆς διὰ τὸ πολλάκις εἰρῆσθαι περὶ αὐτῶν.

30 p. 1130ᵇ22 Σχεδὸν γὰρ τὰ πολλὰ τῶν νομίμων τὰ ἀπὸ τῆς ὅλης ἀρετῆς προσταττόμενά ἐστι.

Εἰπὼν ὅτι τὰ πολλὰ τῶν νομίμων τὰ ἀπὸ τῆς ὅλης ἀρετῆς προσταττόμενά εἰσι (καθ' ἑκάστην γὰρ ἀρετὴν προστάττει ζῆν· προστάττει γὰρ ὁ νόμος καὶ τὰ τῆς ἀνδρίας πράττειν τοὺς πολίτας καὶ τὰ τῆς
35 σωφροσύνης καὶ τὰ τῆς φρονήσεως· ὁμοίως κωλύει ποιεῖν τὰ τῶν ἐναντίων

---

1 αὐτὸ S 2 γοῦν S 3 δὲ] καὶ S ἀποδόσεως a 7 ὡς] ἐν S
9 post τις add. ἐστὶν S 10 δὴ] δεῖ S: om. a 13 ἐν ὅλῃ δικαιοσύνῃ a
14 ὡς μέρει a 15 ἀναλόγου a 17 post ὅλης add. δικαιοσύνης S
19 ὥσπερ S ὅλης S 25 τὸ γὰρ—πλέον om. B 26 ἡ δικαιοσύνη] ἡ ἀδικία Arist. ταὐτόν a τουτέστι] τοῦ τέλους S: καὶ a 26. 27 δίκαιον καὶ τὸ ἄδικον S 29 εἰρεῖσθαι a 31 et 33 προσταττόμενα Ba Arist. Kᵇ: πραττόμενα S Arist. vulg.

ταῖς ἀρεταῖς μοχθηριῶν. ταῦτα δὲ λέγει ὡς δεικτικὰ τοῦ τὴν ὡς νομιμότητα 63r
δικαιοσύνην πασῶν τῶν ἀρετῶν εἶναι χρῆσιν πρὸς ἄλλους, καὶ διὰ τοῦτο τελείαν 15
καὶ ὅλην ἀρετήν), εἰπὼν δὴ ὅτι τὰ πολλὰ τῶν νομίμων σχεδὸν τὰ ἀπὸ τῆς
ὅλης ἀρετῆς προσταττόμενά εἰσιν, ἐπάγει ὡς ἐξηγητικὸν τοῦ σχεδὸν τὸ
5 τὰ δὲ ποιητικὰ τῆς ὅλης ἀρετῆς ἐστι τῶν νομίμων ὅσα νενο-
μοθέτηται περὶ παιδείαν τὴν πρὸς τὸ κοινόν. ἔστι γάρ τινα τῶν
νομίμων (καὶ τίνα ταῦτα, λέγει ἐν ταῖς Πολιτείαις) ἔστι δ' οὖν τινα τῶν
νομίμων ἃ οὐ περὶ τοῦ πῶς δεῖ ζῆν διορίζεται, ἀλλὰ ⟨περὶ⟩ τοῦ πῶς ἂν
ἀγαθοὶ καὶ σπουδαῖοι καὶ ἐνάρετοι γένοιντο οἱ πολῖται εἰσηγοῦνται. ὁ γὰρ 20
10 ἔμφρων νομοθέτης οὐ μόνον περὶ τούτων νομοθετεῖ καθ' ἃ ζῆν δεῖ τοὺς
τῆς αὐτῆς πολιτείας μετέχοντας, οἷον περὶ οἰκοδόμων, περὶ ὑφαντῶν, περὶ
ἁπλῶς πάντων τεχνιτῶν, ἀλλὰ καὶ περὶ γεωργῶν καὶ στρατιωτῶν, καὶ
ἐμπόρων, καὶ ἄλλων πολλῶν, δι' ὧν αἱ πολιτεῖαι συνίστανται, οὐ μόνον δὴ
περὶ τούτων νομοθετεῖ, ἀλλὰ πολὺ δὴ πρότερον περὶ τῆς παιδείας τῶν
15 μελλόντων ἔσεσθαι ἀγαθῶν τε καὶ νομίμων πολιτῶν προαγορεύει ἅπερ
ἐστὶ ποιητικὰ τῆς ὅλης καὶ κοινῆς καὶ τελείας ἀρετῆς. ἑκάστην δὲ παιδείαν 25
τοὺς πολίτας παιδεύει κατὰ τὴν πρὸς τὸ κοινὸν ἀναφοράν· ἃ γὰρ τῷ κοινῷ
καὶ τῇ καθεστηκυίᾳ πολιτείᾳ συμφέρει, ταῦτα ὁ νομοθέτης ἀξιοῖ παιδεύεσθαι
τοὺς μέλλοντας ἔσεσθαι ἀγαθοὺς πολίτας. ταῦτα δὲ τὰ τοὺς ἀγαθοὺς πολίτας
20 ποιοῦντά ἐστι καὶ ποιητικὰ τῆς ὅλης ἀρετῆς, καὶ τῆς τοιαύτης ἤτοι τῆς
ὅλης δικαιοσύνης. εἰπὼν δὲ ὅτι τὰ ποιητικὰ τῆς ὅλης ἀρετῆς τῶν νομίμων
ἐστὶν ὅσα νενομοθέτηται περὶ παιδείας τῆς πρὸς τοὺς πολίτας ἐπάγει λέγων 30
περὶ δὲ τῆς καθ' ἕκαστα παιδείας, καθ' ἣν ἁπλῶς ἀνὴρ ἀγαθός
ἐστιν, ὕστερον διοριστέον, καὶ τοῦτο ποιήσει ἐν ταῖς Πολιτείαις. οὐ γὰρ ὁ
25 ἀγαθὸς ἀνὴρ ἤδη καὶ πολίτης ἀγαθός. ἐν μὲν γὰρ ταῖς ἀγαθαῖς καὶ καλῶς
ἐχούσαις πολιτείαις ὁ ἀγαθὸς ἀνὴρ καὶ πολίτης ἀγαθός ἐστιν, ἐν δὲ ταῖς
μοχθηραῖς καὶ κακῶς ἐχούσαις οὔτε ὁ ἀγαθὸς ἀνὴρ καὶ ἀγαθὸς πολίτης
ἐστὶν οὔτε ὁ ἐν ἐκείναις ἀγαθὸς πολίτης ἀγαθός ἐστιν ἀνήρ. τῆς μὲν γὰρ
ἀγαθῆς καὶ καλῶς ἐχούσης πολιτείας καὶ ὁ πολίτης ἀγαθός· ἐπεὶ γὰρ οὐχ 35
30 ἁπλῶς ἀγαθόν, ἀλλὰ πολίτην ἀγαθὸν ἐκεῖνον λέγομεν τὸν πάντα τρόπον
ποιοῦντα τὰ εἰς σωτηρίαν τῆς πολιτείας συντελοῦντα, δῆλον ὅτι τὰ εἰς
σύστασιν καὶ διαμονὴν καὶ σωτηρίαν τῆς ἀγαθῆς πόλεως σπεύδων ποιεῖν
καὶ ἀγαθός ἐστιν ἁπλῶς καὶ πολίτης ἀγαθός· ὁ δὲ τὰ εἰς σύστασιν μοχθηρᾶς
καὶ παντοίως φαύλως ἐχούσης πολιτείας σπουδάζων πολίτης μὲν ἀγαθός
35 ἐστιν, ἁπλῶς δ' ἀγαθὸς οὐκ ἔστιν. οὐ γὰρ διασώζεσθαι ἔσπευδε μοχθηρὰν
πολιτείαν, εἰ ἀγαθὸς ἁπλῶς ἦν· οὐδεὶς γὰρ φιλεῖ ἀγαθὸς καὶ μένειν βούλεται 40
τὰ φαῦλα. ὥστε ὁ ἁπλῶς ἀγαθὸς ἐν φαύλῃ πολιτείᾳ πολίτης ἀγαθὸς οὐκ

---

1 μοχθηρῶν Sa 3 δὴ] δὲ Ba 4 τοῦ om. a 7 post νομίμων add. καὶ τινὰ νομίμων B καὶ τίνα — νομίμων (8) om. S 7 et 24 ἐν ταῖς Πολιτείαις] cf. Polit. Θ 8 alterum περὶ ex Anon. addidi 10 δεῖ ζῆν coll. a 12 post πάντων add. τῶν S 13 ἐμπορίων a οἱ πολῖται Ba δὴ] δεῖ B 14 νομοθετεῖν Ba πολὺ δὴ] πολλὰ δεῖ B 22 τῆς] τοὺς S 25 γὰρ om. a 27 post ἐχούσαις add. πολιτείαις S 29 ἀγαθῆς] ἀγαθῶς S ἐπειδὴ S 31 ὅτι τὰς εἰς Ba 32 διανομὴν Sa 36 φιλεῖ ἀγαθὰ a: ἀγαθὸς φιλεῖ S

ἔστι, καταφρονῶν αὐτῆς καὶ μὴ κατ' αὐτὴν πολιτευόμενος. εἰ δὲ τοῦτο, 63r
οὐκ ἀεὶ ὁ αὐτὸς καὶ εἷς ἀγαθός ἐστι καὶ πολίτης ἀγαθός, ἀλλά ποτε, ἐν τῇ καλῶς δηλονότι ἐχούσῃ πολιτείᾳ. διὰ τοῦτο καὶ αὐτὸς οὕτως εἶπεν·

p. 1130b28 Οὐ γὰρ ἴσως ταὐτὸν ἀνδρί τε ἀγαθῷ εἶναι καὶ πολίτῃ παντί. τῆς δὲ κατὰ μέρος δικαιοσύνης καὶ τοῦ κατ' αὐτὴν δικαίου ἓν μέν ἐστιν εἶδος. 45

Μέλλων λέγειν περὶ τῆς κατὰ μέρος δικαιοσύνης διαιρεῖ αὐτὴν εἰς δύο. εἴτε δὲ μέρη αὐτῆς δεῖ λέγειν εἰς ἃ διαιρεῖται, εἴτε εἴδη, νῦν οὐ πρόκειται σκοπεῖν· τὴν δ' οὖν τοιαύτην διελὼν εἰς δύο λέγει περὶ ἑκατέρου ὁποῖόν τί ἐστι. μαθόντες γὰρ τὰ μέρη ἔχομεν καὶ τὸ ὅλον ὁποῖόν τί ἐστιν, εἴπερ τὸ ὅλον ἢ τὸ γένος μηδέν τί ἐστι παρὰ τὰ μέρη ἢ τὰ εἴδη. λέγει τοίνυν 50 ὅτι ταύτης ἓν μέν ἐστιν εἶδος τὸ ἐν ταῖς διανομαῖς, τὰ δὲ διανεμόμενα καὶ μεριζόμενα παρὰ τοῦ δικαίου πρός τινας ἢ τιμαί εἰσιν, οἷον ἀξιώματα, στέφανοι, ἀνδριάντων ἀναστηλώσεις καὶ τοιαῦθ' ἕτερα, ἢ χρήματα. ἐν δὲ τοῖς χρήμασίν ἐστι καὶ τὰ νομίσματα ἢ γῆ ἢ ἄμπελοι ἢ οἰκόπεδα ἢ ὅσα νέμονται τοῖς κοινωνοῦσι τῆς πολιτείας, οἷον βασιλείας ἢ ἀριστοκρατίας ἢ τιμοκρατίας ἢ δημοκρατίας· ἐν τούτοις γὰρ ἐνδέχεταί τινας πλέον ἔχειν τῆς ἀξίας αὐτῶν ἢ ἔλαττον, ἃ τῆς | τοῦ ἀδίκου μοίρας ἐστί, τινὰς δὲ τὸ κατ' 63v ἀξίαν καὶ ἴσον, ὅπερ ἐστὶ τῆς δικαιοσύνης. καὶ ἔστι τοῦτο τὸ διανεμητικὸν δίκαιον κατὰ τὴν γεωμετρικὴν ἀναλογίαν. ἓν μὲν οὖν εἶδος τῆς ἐν μέρει δικαιοσύνης τοῦτο, ἕτερον δὲ τὸ ἐπανορθωτικόν, ὃ ὁρῶμεν καθ' ἑκάστην τοὺς δικαστὰς ποιοῦντας· τὰς γὰρ γινομένας ἐν τοῖς συναλλάγμασιν ἀνισώσεις καὶ ἀδικίας πειρῶνται ἰσάζειν, καὶ γίνεται τοῦτο κατὰ τὴν ἀριθμητικὴν ἀναλογίαν. ἐπεὶ δὲ τὰ τοιαῦτα εἴδη κατὰ τὰς ἀναλογίας ταύτας γίνονται, ῥητέον πρότερον τίνες εἰσὶν αὗται καὶ πῇ διαφέρουσιν ἀλλήλων, εἶθ' οὕτω τὴν Ἀριστοτέλους λέξιν μετιτέον. καὶ πρῶτον ῥητέον, τίς ἐστιν ἡ ἀριθμητικὴ ἀναλογία. ἔστι δὲ ἀριθμητικὴ ἀναλογία, ὅταν τριῶν ἢ καὶ πλειόνων ὅρων ἐφεξῆς κειμένων ἡ μὲν πρὸς ἀλλήλους διαφορὰ κατὰ τὸ ποσὸν ἡ αὐτὴ ὑπάρχῃ, τουτέστιν ἐν ἰσότητι, κατὰ δὲ τὸν λόγον καὶ τὴν τῶν λόγων ποιότητα μὴ ⟨ἡ⟩ αὐτὴ ἀλλ' ἑτέρα. οἷον ἔστωσαν ὅροι ὁ ὀκτώ, ὁ ἑπτά, ὁ 10 ἕξ, ἢ ὁ $\bar{\delta}$, ὁ $\bar{\gamma}$, ὁ $\bar{\beta}$. ἐν τούτοις ὅσον ὑπερέχει ὁ ὀκτὼ τοῦ ἑπτά, τοσοῦτον καὶ ὁ ἑπτὰ τοῦ ἕξ· μονάδι γὰρ ἑκάτερος ἑκατέρου. ὁμοίως καὶ ὅσον ὁ τέσσαρα τοῦ τρία, τοσοῦτον καὶ οὗτος τοῦ δύο· ἐν μονάδι γοῦν καὶ τούτων ἡ πρὸς ἀλλήλους διαφορά· ἐν ἰσότητι ἄρα τῇ κατὰ τὸ ποσόν. καὶ μετέχουσιν ἐν ταῖς πρὸς ἀλλήλους διαφοραῖς ποσοῦ μὲν ἴσου, ποιοῦ δὲ οὐδαμῶς. ὁ

---

2 ἀεὶ] ἂν a 3 καὶ ὁ αὐτὸς Ba 5 παντί om. B 10 μέρη scripsi: μέρει libri ἤπερ S 12 μὲν ἓν coll. Sa 13 καὶ om. B 14 ἀναστειλάσεις S 16. 17 ἢ τιμοκρατίας om. a 17 ἐν τούτοις] ἐν τοῦτο S 18 ἅτινα τῆς S 21 ὅπερ S 24 ἐπειδὴ δὲ S 29 ὑπάρχει Sa ἰδιότητι a δὲ om. S 30 ἡ addidi 31 $\bar{\delta}$ ἢ ὁ $\bar{\gamma}$ ἢ ὁ $\bar{\beta}$ a ἑπτὰ] εὔδομος S 32 ἕξ] ἕκτου S μονάδα S 33 τέταρτος τοῦ τρίτου S τοῦ δευτέρου S

γὰρ τέταρτος πρὸς τὸν τρίτον τὸν τοῦ ἐπιτρίτου λόγον ἔχει· περιέχει γὰρ 63v
ὁ δ̄ τὸν τρία καὶ τὸ τρίτον αὐτοῦ τὴν μονάδα· ὁ δὲ τρίτος πρὸς τὸν β̄ τὸν τοῦ 15
ἡμιολίου· ἔχει γὰρ ὁ τρίτος ἐν ἑαυτῷ τὸν δύο καὶ τὸ ἥμισυ τοῦ δύο τὴν
μονάδα. ὥστε ἡ πρὸς ἀλλήλους τούτων διαφορὰ τῷ μὲν ποσῷ καὶ τῇ
5 ἰσότητι ἡ αὐτή ἐστι, τῷ δὲ λόγῳ καὶ τῇ ποιότητι ἑτέρα· ἄλλος γὰρ λόγος
ὁ ἐπίτριτος καὶ ἄλλος ὁ ἡμιόλιος. πάλιν ἔστωσαν ὁ ὀκτώ, ὁ ἕξ, ὁ τέσσαρα,
καὶ ἐν τούτοις ἡ μὲν κατὰ τὸ ποσὸν διαφορὰ ἡ αὐτή· δυάδι γὰρ ὁ ὀκτὼ
τοῦ ἕξ καὶ ὁ ἕξ τοῦ τέσσαρα διαφέρουσιν· ἡ δὲ κατὰ τὸ ποιὸν καὶ τὸν
λόγον οὐχ ἡ αὐτή, ἀλλ' ἔστιν ὁ μὲν ὀκτὼ τοῦ ἕξ ἐπίτριτος, ὁ δὲ ἕξ τοῦ 20
10 δ̄ ἡμιόλιος. ἀναλογία οὖν ἀριθμητική ἐστιν ἡ ποσοῦ μὲν ἴσου ἐν ταῖς
διαφοραῖς, ποιοῦ δὲ μὴ ἴσου ἢ μὴ ὁμοίου μετέχουσα. ἐπειδὴ δὲ καὶ
συνημμένης καὶ διεζευγμένης ἀναλογίας μεμνῆσθαι μέλλει ὁ Ἀριστοτέλης,
ῥητέον καὶ περὶ τούτων, τίνες εἰσὶν αὗται. ὅταν μὲν γὰρ ὁ αὐτὸς καὶ εἷς
ὅρος πρόλογός τε καὶ ὑπόλογος πρὸς τοὺς ἄκρους ὑπακούοι, τουτέστι δὶς ὁ
15 αὐτὸς καὶ εἷς λέγοιτο, συνημμένη ἡ τοιαύτη ἀναλογία λέγεται, ὡς ἔχει ἐπὶ
τῶν ἐκκειμένων ὅρων· δὶς γὰρ ὁ αὐτὸς λέγεται. φαμὲν γὰρ ὅσον ὁ δ̄ τοῦ 25
γ̄ ὑπερέχει, τοσοῦτον καὶ ὁ γ̄ τοῦ β̄· δὶς ἄρα ὁ τρίτος εἴρηται. καὶ πάλιν
ὅσον ὁ ὀκτὼ τοῦ ἕξ ὑπερέχει, τοσοῦτον καὶ ὁ ἕξ τοῦ δ̄· δὶς κἀνταῦθα ὁ
ἕξ ἐρρήθη. ἢ καὶ οὕτω· ᾧ ὑπερέχει ὁ ὀκτὼ τοῦ ἕξ, τούτῳ καὶ ὁ ἕξ τοῦ
20 δ̄. ἡ μὲν οὖν συνημμένη ἀναλογία αὕτη, ἡ δὲ διεζευγμένη ἥδε· ᾧ ὑπερέχει
ὁ η̄ τοῦ ς̄, τούτῳ καὶ ὁ δ̄ τοῦ β̄· ἐν τούτοις γὰρ ἅπαξ ὁ ϛ̄ εἴρηται,
ὁμοίως καὶ ὁ δ̄. γεωμετρικὴ δὲ ἀναλογία, ἣ καὶ κυρίως ἀναλογία ἐστὶ καὶ
λέγεται, ἐστὶν ὅταν τριῶν ἢ καὶ πλειόνων ὅρων ὡς ἔχει ὁ μέγιστος κατὰ τὸ 30
ποιὸν πρὸς τὸν μέσον ἢ τὸν ἐφεξῆς, οὕτω καὶ ὁ μέσος ἢ ὁ ἐφεξῆς πρὸς
25 τὸν ὑπ' αὐτόν. ὅταν τοίνυν τῇ μὲν ποιότητι διαφέρωσι τῇ αὐτῇ, τῇ δὲ
ποσότητι μὴ τῇ αὐτῇ, ἡ τοιαύτη ἀναλογία γεωμετρικὴ καλεῖται. ἔστωσαν
ὅροι ὁ θ̄, ὁ ϛ̄, ὁ δ̄· ἐν τούτοις γὰρ ὡς ὁ πρῶτος ὁ θ̄ πρὸς τὸν ὑπ' αὐτὸν
τὸν ϛ̄, οὕτως ὁ ϛ̄ ὁ δεύτερος πρὸς τὸν τρίτον τὸν δ̄· ἐν τῷ αὐτῷ γὰρ
λόγῳ· ἡμιόλιος γὰρ καὶ ὁ θ̄ τοῦ ϛ̄ καὶ ὁ ϛ̄ τοῦ δ̄. καὶ ἔστιν ὁ μὲν λόγος
30 ὁ αὐτός, οὐ μὴν ἡ μεταξὺ ποσότης ἴση ἐστὶν ἀλλ' ἄνισος· ἔστι γὰρ μεταξὺ 35
τοῦ μὲν θ̄ καὶ ϛ̄ ὁ γ̄, τοῦ δὲ ϛ̄ καὶ δ̄ ὁ β̄. πάλιν ἔστωσαν ὅροι ὁ ιϛ̄, ὁ
ιβ̄, ὁ θ̄· κἀνταῦθα ὡς ὁ ιϛ̄ πρὸς τὸν ὑπ' αὐτὸν ιβ̄, οὕτω καὶ ὁ ιβ̄ πρὸς
τὸν θ̄· ἐν ἐπιτρίτῳ γὰρ λόγῳ. ἔχει γὰρ ὁ ιϛ̄ τὸν ιβ̄ καὶ τὸ τρίτον τοῦ
ιβ̄ τὰ δ̄, ὁμοίως καὶ ὁ ιβ̄ τὸν θ̄ καὶ τὸ τρίτον τοῦ θ̄ τὰ γ̄. κἀν τούτοις
35 ἡ τῶν λόγων ποιότης [καὶ ταυτότης] ἡ αὐτή, ἡ δὲ μεταξὺ τῶν ὅρων ποσότης
ἑτέρα· ὁ μὲν γὰρ ιϛ̄ τοῦ ιβ̄ τετράδι διαφέρει, ὁ δὲ ιβ̄ τοῦ θ̄ τριάδι. ἔστι
δὲ ἡ ἀναλογία αὕτη συνημμένη· δὶς γὰρ ὁ ιβ̄ λαμβάνεται. διεζευγμένη δὲ 40
ἥδε· ὡς ὁ ιϛ̄ πρὸς τὸν η̄, ὁ δ̄ πρὸς τὸν β̄ ἐν διπλασίονι λόγῳ, καὶ ὁ
αὐτὸς λόγος, οὐχ ἡ αὐτὴ δὲ ποσότης. τούτων οὕτω προειλημμένων ἐπὶ
40 τὰ ἑξῆς τῶν Ἀριστοτέλους ἰτέον.

---

2 ὁ δὲ τρία πρὸς S 3 τὸν δεύτερον et τοῦ δευτέρου S 7. 8 ὁ ὄγδοος τοῦ ἕκτου itemque porro S 12 διεζευγμένος καὶ συνημμένος S 15 λέγοιτο] λέγηται Sa 22 post δὲ add. ἡ S ἢ] ἤτις S 23 ἢ om. S 27 θ̄ καὶ ὁ S 27. 28 αὐτὸν τοῦ ϛ̄ 32 ιβ̄ post αὐτὸν om. BS καὶ om. S 35 καὶ ταυτότης delevi

p. 1130ᵇ33 Ἐν δὲ τὸ ἐν τοῖς συναλλάγμασιν διορθωτικόν. τούτου δὲ μέρη δύο. 63ᵛ

Τοῦ ἐν τοῖς συναλλάγμασι διορθωτικοῦ δύο, φησίν, εἰσὶ μέρη. τῶν γὰρ συναλλαγμάτων, φησί, τὰ μὲν ἑκούσια τὰ δ' ἀκούσια. ὅταν μὲν γὰρ δοίη τις σῖτον καὶ λάβοι οἶνον ἢ νόμισμα, ἢ δανείσῃ ἑκὼν ἢ ἐγγυήσηται, ἑκούσια τὰ τοιαῦτα συναλλάγματα. καὶ γὰρ καὶ ὁ δανείζων καὶ [ὁ] λαμβάνων ἐγγυητὴν ἀνταλλαγὴν εἰργάσατο (ἔλαβε γὰρ ἀντὶ τῶν νομισμάτων τρόπον τινὰ τὴν ἐγγύην) καὶ ὁ πρὸς ἡμέρας τινὰς δοὺς τὸν οἰκεῖον βοῦν εἰς ἐργασίαν γῆς τινι καὶ λαβὼν ἀντὶ τούτου νόμισμα ἢ σῖτον ἢ καὶ ἵππον, χρῄζων δι' αὐτοῦ ἀπελθεῖν που συνάλλαγμα πεποίηκε, καὶ ὁ παρακαταθέμενος πρός τινα ἀντηλλάξατο· ἔλαβε γὰρ τρόπον | τινὰ ἀντὶ τῆς παρακαταθήκης 64ʳ τὴν τοῦ ἀνδρὸς χρηστότητα. ὅταν οὖν ἐπὶ τούτων ὁ ἐξωνησάμενος τὶ μὲν τοῦ τιμήματος δοίη, τὶ δὲ δοῦναι φήσει, μὴ διδοῖ δέ, ὅπερ οὐδέν ἐστιν ἄλλο ἢ ἀδικεῖν, τοῦ ἐπανορθωτικοῦ δεόμεθα δικαίου· τοῦτο καὶ ἐπὶ τῆς παρακαταθήκης καὶ τῶν λοιπῶν. ἑκούσια δὲ λέγονται τὰ συναλλάγματα ταῦτα οὐ διὰ τὰ ὕστερον ἀποβαίνοντα, ἀλλ' ὅτι τὴν ἀρχὴν ἑκουσίως γεγόνασιν. ἑκούσια μὲν ταῦτα, ἀκούσια δέ, ὡς εἴρηκεν ἐν τῷ τρίτῳ τῆς παρούσης πραγματείας, τά τε ἀγνοούμενα καὶ τὰ βίᾳ· ἀγνοούμενα δὲ κλοπὴ καὶ τὰ λοιπὰ ἃ καταλέγει. ἀλλὰ πῶς συναλλάγματα ταῦτα λέγεται; ἢ ὅτι ὁ κλέψας ἀντὶ τῶν κλεμμάτων ὁτὲ μὲν δίδωσιν ἕτερά τινα, ὁτὲ δὲ μαστιγοῦται, καὶ γέγονε τρόπον τινὰ δόσις καὶ λῆψις, ὅ ἐστι τὸ συναλλάσσειν. λαβὼν γὰρ χρήματα ἤ τι ἄλλο ὁ κλέψας δέδωκεν ἀντ' ἐκείνων εὐθύνας· ὁμοίως καὶ ὁ μοιχεύσας ἢ χρήματα δέδωκεν ἢ δεινόν τι πέπονθε, καὶ ὁ διὰ φαρμακοδοσίας ἀνελὼν τινα ἐπίσης τούτοις ὅμοιόν τι πέπονθεν. ὁμοίως καὶ ὁ δοῦλον ἀπατήσας καὶ ὁ φονεύσας ἀντάλλαγμα δίδωσι. προαγωγὸς δὲ κυρίως λέγεται ὁ τὴν ἑαυτοῦ γυναῖκα μοιχᾶσθαι προτρεπόμενος· νῦν δὲ προαγωγίαν οὐ ταύτην ὁ Ἀριστοτέλης φησί, ἀλλὰ τὴν ⟨δι'⟩ ἄγνοιαν τοῦ οἰκείου ἀνδρὸς μοιχείαν τῆς μοιχευομένης. τῆς οὖν τοιαύτης μοιχείας λαθραίας οὔσης, ἐπειδὰν γνωσθῇ, διόρθωσις γίνεται καὶ τὸ διορθωτικὸν δίκαιον. εἰπὼν δὲ τίνα εἰσὶ τὰ δι' ἄγνοιαν ἀκούσια, λέγει καὶ τίνα τὰ βίᾳ, ὅτι αἰκίαι, θάνατοι, δεσμοί, καὶ ἔστι καὶ ἐπὶ τούτων τὸ ἐπανορθωτικόν· λαμβάνει γὰρ ὁ μαστιγωθεὶς ἢ δεσμευθείς τι ἀνθ' ὧν βίᾳ πέπονθεν. ἀλλὰ καὶ ὁ φονευθεὶς ἔλαβε τρόπον τινά· ἃ γὰρ ἡ γυνὴ ἢ οἱ συγγενεῖς τοῦ φονευθέντος ἔλαβον, τρόπον τινὰ ἐκείνῳ δέδοται.

---

4 post μὲν add. εἰσὶν S ὅταν] ὅτω B 5 λάβῃ S 6 post συναλλάγματα add. ἔσται S ὁ ante λαμβάνων delevi 7 ἐγγυηταὶ Ba 8 τρόπω S 9 τινὸς S 11 ante πρὸς add. δὲ S 13 fort. φήσαι et διδοίη 17 εἴρηται S 17. 18 ἐν τῷ τρίτῳ τῆς παρούσης πραγματείας] Γ 1 p. 1109ᵇ35 18 δὲ] καὶ S κλοπὴν a 20 post μαστιγοῦται add. ἢ καὶ χειρῶν ἢ καὶ ὀμμάτων ἀποστερεῖται S 21 ὅπερ S 23 καὶ ὁ — πέπονθεν (24) om. S 25 ὁ om. a 26 προσαγωγίαν a 27 δι' addidi 28 μοιχείας a οὔσης om. S 29 γνωρισθῇ S 30 post ὅτι add. εἰσὶν S αἰκίαι] αἰκία Arist.: αἱ κίαι S: ἀδικίαι Ba 33 post συγγενεῖς add. ἢ οἱ παῖδες S ἀναιρεθέντος S

p. 1131a9 Ἐπεὶ δ' ὅ τε ἄδικος ἄνισος καὶ τὸ ἄδικον ἄνισον, δῆλον 64r
ὅτι καὶ μέσον τί ἐστι τοῦ ἀνίσου.

Διὰ τούτων δείκνυσιν ὅτι τὸ δίκαιον μέσον καὶ ἡ δικαιοσύνη μεσότης, ὅπερ ἐστὶν ἴδιον τῆς ἀρετῆς. εἴρηται πολλάκις καὶ δέδεικται ὅτι αἱ ἀρεταὶ 25
5 μεσότητές εἰσιν. εἰ γὰρ τὸ ἄδικον ἄνισον, δῆλον ὅτι τὸ δίκαιον ἴσον διὰ τοῦ λέγοντος τόπου, εἰ τὸ ἐναντίον ὑπάρξει τῷ ἐναντίῳ, καὶ τὸ λοιπὸν τῷ λοιπῷ. ἐπεὶ γὰρ ἀντίκειται τὸ ἴσον τῷ ἀνίσῳ καὶ τὸ δίκαιον τῷ ἀδίκῳ, ὑπάρχει δὲ τὸ ἄνισον τῷ ἀδίκῳ, τὸ ἴσον ὑπάρξει τῷ δικαίῳ, καὶ ἔσται ἐξ ἀνάγκης τὸ δίκαιον ἴσον. ἔσται οὖν τὸ δίκαιον μέσον τοῦ πλείονος καὶ ἐλάττονος.
10 ὃ καὶ ἄνευ λόγου δοκεῖ πᾶσι, λέγων λόγον τὸν λέγοντα τόπον δύο ἀντιθέσεων οὐσῶν, εἰ τὸ ἓν τῶν ἀντικειμένων ἐν τῷ ἑνὶ τῶν ἀντικειμένων ἐστί, 30
καὶ τὸ λοιπὸν ὑπὸ τὸ λοιπὸν ἔσται· καὶ εἴρηται πῶς. ἔστι δὲ τὸ ἴσον ἐν ἐλαχίστοις δυσίν. ἐπεὶ τὸ ἴσον τῶν πρός τι, τῶν πρός τι δὲ τὸ εἶναί ἐστιν ἐν τῷ πρός τί πως ἔχειν, καὶ τῷ ἴσῳ ἄρα τὸ εἶναί ἐστιν ἐν τῷ πρός
15 τί πως ἔχειν, ἤτοι πρὸς ἴσον· τὸ γὰρ ἴσον ἴσῳ ἴσον. συλλογιστέον δὴ οὕτως· τὸ ἴσον πρός τι, τὸ πρός τι ἐν δυσί, τὸ ἴσον ἐν δυσίν. ὅτι δὲ τὸ πρός τι ἐν δυσί, δῆλον· τὸ γὰρ διπλάσιον ἡμίσεος καὶ ὁ πατὴρ υἱοῦ. καὶ τὸ ἴσον ἄρα ἐκείνῳ ἴσον, πρὸς ὃ λέγεται ἴσον. καὶ ἐπεὶ τὸ δίκαιον ἴσον, τὸ δ' 35
ἴσον ἐν δυσί, καὶ τὸ δίκαιον ἐν δυσί, τῷ νεμομένῳ πράγματι καὶ τῷ πρὸς
20 ὃν ἡ νομή· καὶ ἔσται ὡς μὲν ἁπλῶς ἴσον ἐν δυσί (τὸ γὰρ ἴσον, ὡς εἴρηται, ἴσῳ ἴσον), ὡς δὲ δίκαιον ἐν τέτρασι, τοῖς τε λαμβάνουσι καὶ τοῖς διανεμομένοις χρήμασιν ἢ τιμαῖς. κἂν γὰρ πλείους ὦσιν οἱ λαμβάνοντες οἷον $\bar{\nu}$ ἢ ρ, ὡς $\bar{\beta}$ θεωροῦνται· ἢ γὰρ ὡς ἴσοι, τὸ δὲ ἴσον ἐν δυσίν, ἢ ὡς ἄνισοι, καὶ τοῦτο ὡς $\bar{\beta}$· καθ' ὑπεροχὴν γὰρ καὶ ἔλλειψιν. εἰπὼν δὲ τὸ ἴσον ἐν
25 ἐλαχίστοις ἐστὶ δυσίν, ἐπάγει ἀνάγκη δὴ τὸ δίκαιον καὶ μέσον εἶναι 40
καὶ ἴσον καὶ τισὶ καὶ πρός τινας. καὶ διὰ τί τούτων ἕκαστόν ἐστι τὸ δίκαιον λέγει. μέσον μὲν γάρ ἐστι διὰ τὸ τὸ πλέον καὶ τὸ ἔλαττον παρ' ἑκάτερα αὐτοῦ κεῖσθαι, καὶ ᾗ μὲν μέσον, δύο τινῶν ἐστι μέσον· ᾗ δὲ ἴσον, ἐν δυσὶ τῷ νεμομένῳ καὶ μεριζομένῳ πράγματι καὶ τῷ πρὸς ὃν νέμεται
30 ἀνθρώπῳ· ᾗ δὲ δίκαιον, τισὶ καὶ πρός τινας. τὸ δὲ τισὶ καὶ πρός τινας ἐκ παραλλήλου κεῖται ταὐτὸν σημαῖνον· πρὸς ἄλλους γὰρ τὸ δίκαιον καὶ ἡ δικαιοσύνη, ὡς εἴρηται, δύναται. τὸ δὲ ᾗ δὲ ἴσον, ἐν δυσὶ δύο λέγει 45
τά τε διανεμόμενα πράγματα καὶ πάλιν τοὺς πρὸς οὓς διανέμονται. ἢ γὰρ ὅδε καὶ ὅδε πρὸς οὓς δίδονται * * οἷον εἰ τύχοι τὰ νομίσματα ἢ τὰ
35 οἰκόπεδα ἢ γῆ, οἷον $\bar{\epsilon}$ καὶ $\bar{\epsilon}$ νομίσματα ἢ πενταμέδιμνος καὶ πενταμέδιμνος

---

4 ante εἴρηται add. καὶ S 5 post ἴσον add. τὸ δὲ ἴσον μέσον τοῦ πλείονος καὶ ἐλάττονος. τὸ δίκαιον ἄρα μέσον δείκνυται καὶ τὸ δίκαιον μέσον ἴσον S 5. 6 τοῦ τόπου τοῦ λέγοντος S 6 post λοιπὸν add. ὑπάρξει S 10 ὅπερ Arist. λέγει a
15 πως om. Ba 22 χρήματα ἢ τιμάς a γὰρ om. S 22. 23 $\bar{\rho}$ ἢ $\bar{\nu}$ B
23 ἄνισον a 26 καὶ τισὶ om. Arist. L^b καὶ πρός τινας a: καὶ πρός τι BS (sed iidem infra v. 30 καὶ πρός τινας) Arist. O^b: om. Arist. K^b διά τι Ba: τι om. S
27. 28 ἑκάτερον a: ἑκατέρου S 31 σημαίνων S 33 διανέμεται Sa
34 lacunam indicavi: fort. addendum ἢ τὰ διδόμενα τύχη a

γῆ. λέγει γὰρ ἐν ταῖς Πολιτείαις καὶ τοιαύτην ἰσότητα, λέγει καὶ τὴν 64r
εἰρημένην· τὸ γὰρ κατ' ἀξίαν διδόμενόν τινι ἴσον ἐκείνῳ ἐστίν. ἐπεὶ γὰρ
ἴσα ἐστὶ κατὰ τοὺς γεωμέτρας τὰ προσαρμόζοντα καὶ μήθ' ὑπερέχοντα μήτ' 50
ἐλλείποντα, εἰ ἔστιν ὁ Ἀχιλλεὺς διπλασίων τοῦ Αἴαντος, δοθῇ δὲ τῷ μὲν
5 Ἀχιλλεῖ νομίσματα $\bar{\eta}$, τῷ δ' Αἴαντι $\bar{\delta}$, τὰ κατ' ἀξίαν λαβὼν ἕκαστος τὸ
ἴσον ἑαυτῷ ἔλαβε· κείσθω γὰρ τὸν Ἀχιλλέα μήτε πλείω τῶν $\bar{\eta}$ μήτε ἐλάττω
λαβεῖν ἄξιον εἶναι, ὁμοίως καὶ τὸν Αἴαντα.

p. 1131ª18 Ἀνάγκη ἄρα τὸ δίκαιον ἐν ἐλαχίστοις εἶναι τέτρασιν. |

Ἐπεὶ γὰρ ἡ διανομὴ πρὸς τοὺς κοινωνοῦντας τῆς αὐτῆς πολιτείας 64v
10 γίνεται, ἀνάγκη τὸ δίκαιον ἐν ἐλαχίστοις τέτρασιν εἶναι. ἢ γὰρ ἴσοι εἰσὶν 4
οἱ γεωργοὶ τοῖς στρατιώταις καὶ πάλιν ἡ βουλὴ τῷ δήμῳ, καὶ εἰσὶ κἀκεῖνοι
δύο καὶ οὗτοι δύο, ἢ κρείττους οἱ γεωργοὶ ὡς πλείω ὠφελοῦντες τὴν πόλιν,
χείρους δὲ οἱ στρατιῶται ὡς ἥττω, καὶ πάλιν δύο εἰσὶν ὡς κρείττονες καὶ
χείρονες· ὁμοίως καὶ ἐπὶ τῆς βουλῆς καὶ τοῦ δήμου. ὁμοίως καὶ τὰ διδόμενα
15 τοῖς γεωργοῖς ἢ ἴσα ἐστὶ τοῖς διδομένοις πρὸς τοὺς στρατιώτας, καί εἰσι
δύο, ἢ τὰ μὲν πλείω τὰ δ' ἐλάττω, καὶ οὕτως πάλιν δύο εἰσίν. ἐπεὶ οὖν οἷς
ἀνθρώποις δίκαιον τυγχάνει τὰ χρήματα δοθῆναι δύο εἰσὶ καὶ τὰ διδόμενα
δύο, ἀνάγκη τὸ δίκαιον ἐν τέτρασιν εἶναι, ἀνθρώποις μὲν δυσὶν ἢ τῷ ἀριθμῷ 10
ἢ τῷ εἴδει καὶ πράγμασιν ὡσαύτως δυσίν. τὰ μὲν οὖν λεγόμενα ταῦτ' ἐστί·
20 τὴν δὲ λέξιν τὴν καὶ ἐν οἷς τὰ πράγματα, δύο, ὑπερβατῶς ἀναγνωστέον·
καὶ τὰ πράγματα ἐν οἷς, δύο. ἦν δ' ἂν σαφεστέρα, εἰ ἀντὶ δοτικῆς πτώσεως
τῶν πληθυντικῶν κατὰ γενικὴν τῶν πληθυντικῶν ἦν γεγραμμένη. ἔστι δὲ
ὃ λέγει· καὶ τὰ πράγματα οἷς τουτέστιν ὧν ἡ διανομή, δύο ἐστί, καὶ τὴν
αὐτὴν ἰσότητα καὶ τὸ αὐτὸ πρέπον ἔχουσι καὶ οἱ ἄνθρωποι καὶ τὰ πράγματα. 15
25 τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ οἷς καὶ ἐν οἷς, λέγων οἷς τοὺς ἀνθρώπους,
ἐν οἷς δὲ τὰ πράγματα. ὡς γὰρ οἱ ἄνθρωποι ἔχουσι πρὸς ἀλλήλους, καὶ
τὰ σφίσι διδόμενα ἕξει, καὶ ὡς αὐτά, οὕτω κἀκεῖνοι. ὡς γὰρ ἐκεῖνα
ἔχει τὰ ἐν οἷς, ἤτοι ὡς γὰρ οἱ ἄνθρωποι ἔχουσι πρὸς ἀλλήλους, οὕτω
κἀκεῖνα ἕξουσι, τὰ χρήματα δηλονότι. δύναται τὸ ὡς γὰρ ἐκεῖνα ἔχει
30 τὰ ἐν οἷς εἰρῆσθαι περὶ τῶν πραγμάτων, τὸ δὲ κἀκεῖνα ἔχει περὶ τῶν
πολιτῶν. ὅταν μὲν οὖν οὕτω γίνηται ἡ διανομή, καὶ ἕκαστοι τὰ ἴσα καὶ 20
ἁρμόζοντα αὐτοῖς ἔχωσιν, εἰρηνεύει ἡ πόλις· ὅταν δὲ οἱ ἄνισοι ἴσα ἔχωσιν
ἢ οἱ κρείττους ἐλάττω οἱ δὲ χείρους πλείω ἔχωσι καὶ νέμωνται, τότε μάχαι
καὶ ἐγκλήματα καὶ στάσεις κατ' ἀλλήλων.

35 p. 1131ª24 Ἔτι ἐκ τοῦ κατ' ἀξίαν τοῦτο δῆλον.

Εἰπὼν ὅτι δικαία διανομή ἐστιν, ὅταν γένηται τὰ διδόμενα ὡς ἐκεῖνοι

---

1 ἐν ταῖς Πολιτείαις] cf. Polit. E 1 sqq. 2 ἐπειδὴ S 5 $\bar{\eta}$ om. B 6 τοῦ $\bar{\eta}$ a
9 Ἐπεὶ — εἶναι (10) om. B 13 ἥττω] ἧττον εὖ ποιοῦντες τὴν πόλιν S
14 χειροῦντες S ὁμοίως δὲ καὶ τὰ S 15 δεδομένοις S 16 δύο ἔσται S
γοῦν S 18 post μὲν add. γὰρ S 19 πράγματα a 22 γεγραμμένον S
26 ἔχουσι] ἔσχον B 32 δὲ] καὶ S 33 ἔχωσι om. Ba καὶ om. a

πρὸς οὓς δίδονται (τοῦτο δ' ἐστὶν ἀναλογία γεωμετρική) ὅτι, φησίν, ἀναλογία 64v
ἐστὶ τοῦτο, δῆλον ἐκ τοῦ κατ' ἀξίαν. εἰ γὰρ δίκαιον τὸ κατ' ἀξίαν, τὸ δὲ
κατ' ἀξίαν ἀνάλογον, τὸ δίκαιον ἄρα ἀνάλογον. καὶ τὴν μὲν ἐλάττω πρότασιν
τὴν λέγουσαν δίκαιόν ἐστι τὸ κατ' ἀξίαν ἐδήλωσε διὰ τοῦ τὸ γὰρ δίκαιον
5 ἐν ταῖς διανομαῖς ὁμολογοῦσι πάντες κατ' ἀξίαν τινὰ δεῖν εἶναι· 30
τὴν δὲ μείζω τὴν λέγουσαν τὸ κατ' ἀξίαν ἀνάλογον καὶ τὸ συμπέρασμα
παρῆκεν. ἔθος δὲ αὐτῷ σχεδὸν πανταχοῦ τοῦτο ποιεῖν. τὴν μέντοι ἀξίαν οὐ
τὴν αὐτὴν λέγουσι πάντες. μέτρον, φησί, καὶ ὅρον τῆς ἀξίας καὶ τῆς ἰσότητος
οὐ τὸ αὐτὸ πάντες τίθενται, ἀλλ' οἱ μὲν δημοκρατικοὶ τῇ ἐλευθερίᾳ μετροῦσι
10 τὴν ἀξίαν καὶ τὸ ἴσον, καὶ ἴσους φασὶ πάντας τοὺς ἐλευθέρους, κἂν ὁ μέν,
εἰ τύχοι, Θεμιστοκλῆς ἢ Περικλῆς τυγχάνῃ ὤν, ὁ δὲ σκυτεὺς ἢ βυρσοδέψης,
καὶ δεῖν φασιν ἐν τῇ διανομῇ τὸν στρατηγικώτατον Περικλέα μὴ πλέον 35
τι λαβεῖν τοῦ σκυτέως, ἀλλὰ τὸ ἴσον· οἷον εἰ νόμισμα ἓν ἐδόθη τῷ σκυτεῖ,
καὶ τῷ Θεμιστοκλεῖ ἓν δοθῆναι δεῖ, ὅτι ἀμφότεροι ἐλεύθεροι καὶ ἴσοι·
15 τῆς γὰρ αὐτῆς ἀξίας μετέχουσι τῆς ἐλευθεριότητος. οἱ μὲν οὖν δημοκρατικοὶ
ἐλευθερίᾳ, ὡς εἴρηται, κρίνουσι τὴν ἰσότητα, οἱ δὲ ὀλιγαρχικοὶ πλούτῳ,
κἀκείνους λέγουσιν ἴσους καὶ ἴσα δεῖν ἔχειν καὶ νέμεσθαι, ὅσων ἡ οὐσία
ἴση, ὧν δὲ ἐλάττων, ἀνίσους καὶ ἐλάττονας ἐκείνων, ὥστε καὶ τὰ διδόμενα 40
αὐτοῖς ἐλάττονα δεῖν εἶναι. οἱ δ' ἀριστοκρατικοὶ ἀρετῇ κρίνουσι τὸ ἴσον καί
20 φασι πάντας τοὺς σπουδαίους ἴσους εἶναι, κἂν οἱ μὲν αὐτῶν ὦσι πλουσιώτεροι,
οἱ δ' ἐνδεέστεροι. οἱ δὲ κρίνουσι τὴν ἰσότητα τῇ εὐγενείᾳ καὶ τοὺς τοιούτους
πάντας ἴσους φασίν. εἰ δὴ τοῦθ' οὕτως ἔχει, οὐ τὸ αὐτὸ ἴσον τε καὶ
δίκαιον ἐν πάσαις ταῖς πολιτείαις ἔσται. ἐρεῖ δὲ περὶ τούτων ὁ Ἀριστοτέλης
ἐν ταῖς Πολιτείαις καὶ πολλὰ καὶ καλά.

25 p. 1131a30 Τὸ γὰρ ἀνάλογον οὐ μόνον ἐστὶ μοναδικοῦ ἀριθμοῦ 45
ἴδιον, ἀλλ' ὅλως ἀριθμοῦ.

Μοναδικὸν ἀριθμὸν λέγει ᾧ ἀριθμοῦμεν, οἷον τὴν δεκάδα, ᾗ ἀριθμοῦμεν
τοὺς δέκα ἵππους ἢ τοὺς δέκα ἄνδρας, ὃς καὶ κυρίως ἀριθμὸς λέγεται, ὁμοίως 50
καὶ τὴν πεντάδα καὶ εἰκοσάδα καὶ τοὺς ἄλλους ἀριθμούς. ὅλως δὲ ἀρι-
30 θμοὺς λέγει τὰ ἀριθμητά, οἷον τοὺς δέκα βόας ἢ ἀνθρώπους ἢ τοὺς πέντε
ἵππους ἢ ὄνους. ἀναλογία γάρ, φησίν, οὐ μόνον ἐστὶ τῶν ἐκ μονάδων
συγκειμένων καὶ ὡς μέτρων λαμβανομένων ἀριθμῶν, ἀλλὰ καὶ τῶν ἀριθμη-
τῶν ἢ καὶ ἠριθμημένων. ὡς γὰρ ἐπὶ τῶν ὡς μέτρων ἀριθμῶν ἔστι τις
ἀναλογία, ὡς ὁ $\bar{\eta}$ πρὸς τὸν $\bar{\delta}$, ὡς ὁ $\bar{\varsigma}$ πρὸς τὸν $\bar{\gamma}$, οὕτως ἔστι καὶ ἐπὶ

---

1 ἀνάλογον utrobique a 2 εἰ γὰρ—κατ' ἀξίαν om. S 3 τὸ δίκαιον—ἀνάλογον om. S ἐλάττω] ἔλαβεν S 11 τυγχάνοι S: τυγχάνει a 12 δεῖ S ταῖς διανομαῖς S 15 οὖν om. Ba 16 ἐλευθερίαν B 17 καὶ post ἔχειν om. a 18 δὲ om. S 22 ταῦθ' οὕτως S 23 post ὁ add. αὐτὸς S 24 ἐν ταῖς Πολιτείαις] Polit. E 1 sqq. 27 λέγω a δεκάδην a ᾗ] ᾧ a 28 ὃς] ἥτις S 29 πεντάδα scripsi: πεντάδην libri εἰκοσάδην Ba 29. 30 ἀριθμὸν λέγει S: ἀριθμοὶ λέγονται a 30 τὰ ἀριθμήματα a 31 ὄνους] ἀνθρώπους a 33 ὡς post τῶν om. S

τῶν ἀριθμη|τῶν, ἵππων, κυνῶν, γραμμῶν, ἐπιπέδων καὶ ἁπλῶς ὧν ἐστιν 65r
ἀριθμός. καὶ γὰρ καὶ ἐν τούτοις ἀναλογία ἐστίν· ἔχουσι γὰρ ἀριθμόν· δεῖ γὰρ ἵνα ἀναλογία τις ᾖ, ἀριθμόν τινα εἶναι. καὶ ὅρα πῶς· φαμὲν γάρ, ὡς ὁ οἰκοδόμος πρὸς τὸν σκυτέα, τὸ ἔργον τοῦ οἰκοδόμου πρὸς τὸ τοῦ σκυτέως. ἔστι δὲ ὁ οἰκοδόμος δεκαπλασίων τοῦ σκυτέως· καὶ ἡ οἰκία ἄρα τοῦ ὑποδήματος, οἷον δέκα νομισμάτων ἡ οἰκία εἰ τύχοι ἀξία, τοιούτου ἑνὸς ἄξιον τὸ ὑπόδημα. ὁρᾷς ὅπως δεόμεθα ἀριθμοῦ εἰς τὸ γενέσθαι ἀναλογίαν. ἥ τε γὰρ ἀναλογία λόγων ἰσότης ἐστὶ καὶ ἐν τέτρασιν ἐλαχίστοις. τὸ ἰσότης ἀντὶ τοῦ ὁμοιότης· ἀναλογία γάρ ἐστι λόγων ὁμοιότης. καὶ ἐπεὶ ἀναλογία ἐστὶ λόγων ὁμοιότης, τὸ δὲ ὅμοιον τινὶ ὅμοιον, ἀνάγκη τὰ ὅμοια β̄ τοὐλάχιστον εἶναι· ὥστε καὶ τοὺς ἀνάλογον λόγους ἀνάγκη β̄ εἶναι τοὐλάχιστον. πάλιν ἐπεὶ λόγος ἐστὶ δύο μεγεθῶν ἢ δύο ἀριθμῶν πρὸς ἄλληλα ποιὰ σχέσις, ἀνάγκη τὸν λόγον ἐκ δύο εἶναι. ἐπεὶ οὖν ἡ ἀναλογία β̄ λόγων τοὐλάχιστον ὁμοιότης ἐστίν, ἕκαστος δὲ τῶν λόγων ἐκ δύο τινῶν ἐστιν, ἀνάγκη τὴν ἀναλογίαν ἐν τέτρασιν ἐλαχίστοις εἶναι. ἀναλογία δὲ ἐκ β̄ λόγων ἐστὶν ἥδε· ὡς ὁ η̄ πρὸς τὸν δ̄, ὁ ἓξ πρὸς τὸν γ̄, † καὶ αὕτη ἢ οὗτος ὁ λόγος ἐκ τοῦ ς̄ πρὸς γ̄. εἰσὶν οὖν λόγοι μὲν β̄, τέσσαρα δὲ μόρια, τὰ η̄ τὰ δ̄ τὰ ς̄ καὶ τὰ γ̄. ἔστι δὲ [καὶ] διῃρημένη ἡ ἀναλογία αὕτη. καὶ οὐ μόνον ἡ διῃρημένη ἐν τέτρασι θεωρεῖται, ἀλλὰ καὶ ἡ συνεχής, ὡς ὁ η̄ πρὸς τὸν δ̄, ὁ δ̄ πρὸς τὸν β̄. δὶς οὖν εἴρηται ὁ δ̄· ὥστε εἰ τεθῇ δὶς ὁ δ̄, τέσσαρες ἔσονται οἱ ὅροι, ὀκτώ, τέσσαρες καὶ πάλιν τέσσαρες, δύο. ἃ μὲν οὖν λέγει, ταῦτά ἐστιν. τὸ δὲ τῆς λέξεως τῆς οἷον ὡς ἡ τοῦ πρώτου πρὸς τὴν τοῦ δευτέρου τοιοῦτόν ἐστιν· ὡς ἡ τοῦ πρώτου ὅρου σχέσις τοῦ ὀκτὼ πρὸς τὸν δεύτερον τὸν δ̄, οὕτως ἡ τοῦ δευτέρου τοῦ δ̄ πρὸς τὴν τοῦ τρίτου τοῦ β̄.

p. 1131ᵇ2 Ὥστε ἂν ἡ τοῦ β̄ τεθῇ δίς.

Ἤτοι ὥστε ἂν ὁ δεύτερος τεθῇ δίς, τέσσαρες ἔσονται. ἔστι δὲ καὶ τὸ δίκαιον ἐν τέτρασιν ἐλαχίστοις. ὃ συνάγει διὰ τούτων ἐστίν, ὅτι τὸ διανεμητικὸν δίκαιον καὶ ἡ τοιαύτη δικαιοσύνη ἀνάλογόν ἐστιν, καὶ ἀναλογία γεωμετρική. εἴη δ' ἂν ὁ συλλογισμὸς τοιοῦτος· τὸ διανεμητικὸν δίκαιον ἐν τέτρασίν ἐστι, β̄ ἡγουμένοις καὶ β̄ ἑπομένοις· τὸ ἐν τέτρασι τοιούτοις γεωμετρικὴ ἀναλογία ἐστί· τὸ διανεμητικὸν ἄρα δίκαιον ἐν γεωμετρικῇ ἀναλογίᾳ ἐστίν, ἢ εἰ βούλῃ γεωμετρικὴ ἀναλογία ἐστίν. ἀλλὰ τὸν μὲν τοιοῦτον συλλογισμὸν αὐτὸς οὐ τέθεικεν· ᾐνίξατο δὲ τὴν ἐλάττονα πρότασιν τὴν τὸ διανεμητικὸν δίκαιον ἐν τέτρασίν ἐστι, β̄ ἡγουμένοις καὶ β̄ ἑπομένοις, διὰ τοῦ ἔστι δὲ καὶ τὸ δίκαιον ἐν τέτρασιν ἐλαχίστοις,

---

4 post οἰκοδόμου add. ἡ οἰκία S 5 post σκυτέως add. ἔργον τὸ ὑπόδημα S ὁ καὶ ὁ οἰκοδόμος S 6 νομισμάτων ἢ οἰκία libri 8 ἥ τε BS Arist. MᵇOᵇ: ἥτις a: ἡ Arist. vulg. 9 ἀντὶ] ἂν ἐστὶ S 12 δύο μεγεθῶν] μεγέθη B: μεγέθους a 16 ὡς om. Sa 17 καὶ αὕτη—πρὸς γ̄ depravata sunt 18 καὶ post δὲ delevi 19 ἡ συνεχής] οἱ ἐν συνεχείᾳ S 20 τὸν δ̄ οὕτως ὁ δ̄ S 26 et 27 ἐὰν S 32 τὸ διανεμητικὸν—ἀναλογία ἐστίν (33) om. S 35 τὴν δὲ τὸ B

καὶ ὁ λόγος ὁ αὐτός· διῄρηται γὰρ ὁμοίως. τὸ γὰρ διῄρηται ὁμοίως 65r
ταὐτόν ἐστι τῷ ὡς γὰρ ἐν τοῖς ἀνθρώποις πρὸς οὓς γίνεται ἡ διανομή,
ἔστιν ἡγούμενον καὶ ἑπόμενον, οἷον ὁ μὲν Ἀχιλλεὺς ἡγούμενον ὁ δ' Αἴας
ἑπόμενον, οὕτω καὶ ἐν τοῖς χρήμασιν, ὧν ἡ διανομή, ἔστιν ἡγούμενον
5 καὶ ἑπόμενον, καὶ ὁ λόγος ὁ αὐτός, ἤτοι καὶ ὃν λόγον ἔχει ὁ Ἀχιλλεὺς 80
πρὸς τὸν Αἴαντα, τὸν αὐτὸν καὶ τὸ τῷ Ἀχιλλεῖ δοθὲν πρὸς τὸ τῷ Αἴαντι.
τὸ δὲ οἷς τε καὶ ἃ, οἷς μὲν λέγει τὸν Ἀχιλλέα καὶ Αἴαντα, ἃ δὲ τὰ
χρήματα.

p. 1131ᵇ5 Ἔσται ἄρα ὡς ὁ ᾱ ὅρος πρὸς τὸν β̄, οὕτως ὁ γ̄ πρὸς
10 τὸν δ̄, καὶ ἐναλλάξ.

Ἔστωσαν πρῶτος ὅρος ὁ Ἀχιλλεύς, δεύτερος ὁ Αἴας, καὶ κείσθω ὁ
Ἀχιλλεὺς διπλασίων τοῦ Αἴαντος, ἔστω δὲ καὶ τρίτος ὅρος νομίσματα η̄,
τέταρτος δὲ νομίσματα δ̄· ἔστιν ἄρα ὡς ὁ Ἀχιλλεὺς πρὸς τὸν Αἴαντα (διπλα-
σίων δέ) οὕτω τὰ η̄ νομίσματα πρὸς τὰ δ̄, καὶ ἐναλλάξ, ὡς ὁ Ἀχιλλεὺς
15 πρὸς τὰ δοθέντα αὐτῷ η̄ νομίσματα, οὕτως ὁ Αἴας πρὸς τὰ δ̄ ἃ δέδοται
αὐτῷ. ἐναλλὰξ γὰρ κατὰ τοὺς γεωμέτρας ἐστὶ λῆψις τοῦ ἡγουμένου πρὸς
τὸ ἡγούμενον ὡς ἑπομένου, καὶ τοῦ ἑπομένου ὡς ἡγουμένου πρὸς τὸ ἑπό-
μενον. λέγουσι δὲ ἡγούμενον τὸν πρῶτον ὅρον, οἷον τὸν Ἀχιλλέα, ἑπόμενον 40
δὲ τὸν Αἴαντα τὸν δεύτερον, καὶ πάλιν ἡγούμενον τὸν τρίτον ὅρον, οἷον
20 τὰ η̄ νομίσματα, καὶ ἑπόμενον τὰ δ̄ νομίσματα. ὅταν οὖν λέγῃ τις, ὡς ὁ
Ἀχιλλεὺς πρὸς τὸν Αἴαντα, οὕτως τὰ η̄ πρὸς τὰ δ̄, λαμβάνει ἡγούμενον
τὸν Ἀχιλλέα, ὁμοίως ἡγούμενον καὶ τὰ η̄ νομίσματα, ἑπόμενα δὲ τὸν Αἴαντα
καὶ τὰ δ̄ νομίσματα. ὅταν δὲ λέγῃ καὶ ὡς ὁ Ἀχιλλεὺς ἄρα πρὸς τὰ η̄, ὁ
Αἴας πρὸς τὰ δ̄, ἐναλλὰξ λέγει· ἐνήλλαξε γὰρ καὶ πεποίηκε τὸ μὲν ἡγού- 45
25 μενον τὰ η̄ ἑπόμενον, τὸ δὲ ἑπόμενον τὸν Αἴαντα ἡγούμενον. καὶ τοῦτό
ἐστι τῆς δικαίας διανομῆς καὶ τῆς κατὰ λόγον γεωμετρικῆς ἀναλογίας, τὸ
συνδυάσαι καὶ συζεῦξαι τὸ πρέπον καὶ ἁρμόζον ἑκάστῳ τῶν ἀνθρώπων
δῶρον, καὶ γενέσθαι ὡς ἔχει ὁ ἄνθρωπος πρὸς τὸν ἄνθρωπον, οὕτω καὶ
τὸ ὅλον πρὸς τὸ ὅλον, τουτέστιν οὕτω καὶ ὁ ἄνθρωπος μετὰ τοῦ δο-
30 θέντος αὐτῷ πρὸς τὸν ἄνθρωπον μετὰ τοῦ δοθέντος ἐκείνῳ. οἷον εἰ ἦν ὁ
Ἀχιλλεὺς τοῦ Αἴαντος διπλασίων, δεῖ μετὰ τὴν διανομὴν καὶ τὸν Ἀχιλλέα 50
μετὰ τῶν δοθέντων αὐτῷ νομισμάτων διπλασίονα εἶναι τοῦ Αἴαντος σὺν
τοῖς νομίσμασι τοῦ Αἴαντος. τοῦτο δὲ δῆλον ἔσται ἐπ' ἀριθμῶν. ἔστω
ὁ Ἀχιλλεὺς ὁ η̄ ἀριθμός, ὁ δ' Αἴας ὁ δ̄, τὰ δοθέντα τῷ Ἀχιλλεῖ νομί-

---

3 ἐστὶν ἡγουμένοις καὶ ἑπομένοις οἷον a οἷον ὁ μὲν—καὶ ἑπόμενον (5) om. B
7 ἃ, οὓς μὲν S 9 ἄρα om. S 14 δέ om. a ὁ om. S 16 post ἐστὶ add. λόγος S 17 ἑπομένου post ὡς scripsi: ἑπόμενον libri ὡς ἡγούμενον πρὸς S 19 δὲ] καὶ (ex δὲ καὶ corr.) B 20 τὰς δ̄ a 21 ὁ η̄ Ba
22 post νομίσματα add. ὁμοίως ἡγούμενον τὸν Ἀχιλλέα sed rursus delet B 23 λέγω Ba ἄρα] ἔχει S 24 λέγει scripsi: λέγῃ S: λέγω Ba 30 post ἄνθρωπον add. καὶ S 33 ἔσται scripsi: ἔστω libri ἐπ' ἀριθμῶν] ἢ παρ' ὑμῶν B
34 ὁ ante η̄ et δ̄ om. a

σματα $\bar{\varsigma}$, τὰ δὲ τῷ Αἴαντι $\bar{\gamma}$· ἔστιν οὖν, ὡς ὁ $\bar{\eta}$ ὁ Ἀχιλλεὺς πρὸς τὰ $\bar{\delta}$ 65r
τὸν Αἴαντα, οὕτω τὰ $\bar{\varsigma}$ νομίσματα πρὸς τὰ $\bar{\gamma}$· ἐν διπλασίονι γὰρ λόγῳ
καὶ τὰ ὀκτὼ πρὸς τὰ $\bar{\delta}$ καὶ τὰ $\bar{\varsigma}$ πρὸς τὰ $\bar{\gamma}$. καὶ ἐναλλὰξ ὡς ὁ Ἀχιλλεὺς
ὁ $\bar{\eta}$ πρὸς τὰ $\bar{\varsigma}$ νομίσματα, οὕτως ὁ Αἴας ὁ $\bar{\delta}$ πρὸς τὰ $\bar{\gamma}$ νομίσμα|τα. ἐν 65v
5 ἐπιτρίτῳ γὰρ λόγῳ· καὶ γὰρ καὶ ὁ $\bar{\eta}$ τοῦ $\bar{\varsigma}$ ἐπίτριτος καὶ ὁ $\bar{\delta}$ τοῦ $\bar{\gamma}$. καὶ
ὡς ἄρα ἓν πρὸς ἕν, ἤτοι Ἀχιλλεὺς πρὸς Αἴαντα, οὕτω καὶ τὸ ὅλον, ἤτοι
ὁμοῦ τὰ $\bar{\beta}$ ὁ Ἀχιλλεὺς καὶ τὰ $\bar{\varsigma}$ νομίσματα, πρὸς τὸ ὅλον, ἤτοι τὸν Αἴαντα
καὶ τὰ $\bar{\gamma}$ νομίσματα. ἔστι δὲ ὁ Ἀχιλλεὺς $\bar{\eta}$ καὶ τὰ νομίσματα αὐτοῦ $\bar{\varsigma}$,
$\bar{\varsigma}$ δὲ καὶ $\bar{\eta}$ $\overline{\iota\delta}$· ἀλλὰ καὶ ὁ Αἴας $\bar{\delta}$, καὶ τὰ νομίσματα τοῦ Αἴαντος $\bar{\gamma}$, τρία
10 δὲ καὶ $\bar{\delta}$ $\bar{\zeta}$. ὡς ἄρα ὁ Ἀχιλλεὺς ὁ $\bar{\eta}$ πρὸς τὸν Αἴαντα τὸν $\bar{\delta}$, οὕτω τὸ 5
ὅλον ὁ Ἀχιλλεὺς καὶ τὰ νομίσματα αὐτοῦ, ἅπερ εἰσὶ $\overline{\iota\delta}$ πρὸς τὸν Αἴαντα
καὶ τὰ αὐτοῦ, ἅ εἰσιν $\bar{\zeta}$· ἐν διπλασίονι γὰρ λόγῳ καὶ ὁ $\bar{\eta}$ τοῦ $\bar{\delta}$ καὶ τὰ
$\bar{\eta}$ καὶ $\bar{\varsigma}$ τῶν $\bar{\delta}$ καὶ $\bar{\gamma}$. ἂν οὖν οὕτω συζευχθῇ καὶ συντεθῇ, ὡς εἶναι ὡς
τὸν ἡγούμενον πρὸς τὸν ἑπόμενον, οὕτω καὶ τὸ ὅλον ἤτοι τοὺς $\bar{\beta}$ ἡγου-
15 μένους πρὸς τοὺς $\bar{\beta}$ ἑπομένους, δικαία ἔσται ἡ διανομή· γέγονε γὰρ κατὰ
τὴν γεωμετρικὴν ἀναλογίαν.

p. 1131ᵇ9 Ἡ ἄρα τοῦ $\bar{\alpha}$ ὅρου τῷ τρίτῳ. 10

Πρῶτον ὅρον καὶ τρίτον τοὺς $\bar{\beta}$ ἡγουμένους λέγει, τὸν Ἀχιλλέα καὶ
τὰ δοθέντα αὐτῷ $\bar{\varsigma}$ νομίσματα, δεύτερον δὲ καὶ τέταρτον τοὺς $\bar{\beta}$ ἑπομένους, 15
20 τὸν Αἴαντα καὶ τὰ $\bar{\gamma}$ ἃ ἐδόθη αὐτῷ νομίσματα. καὶ ἔστιν ἡ τοιαύτη σύζευ-
ξις τὸ ἐν διανομῇ δίκαιον καὶ τὸ μέσον τοῦ πλείονος καὶ ἐλάττονος,
ὃ πλεῖον καὶ ἔλαττον παρὰ τὸ ἀνάλογόν ἐστιν. εἰ γὰρ τὸ δίκαιον ἀνάλογον,
τὸ πλέον δηλονότι καὶ ἔλαττον ἄδικον ὂν παρὰ τὸ ἀνάλογόν ἐστιν, ἤτοι
ἕτερον τοῦ ἀνάλογον καὶ τοῦ δικαίου ἐστίν. εἰπὼν δὲ ὅτι τὸ δίκαιον μέσον,
25 συνάγει τοῦτο διὰ συλλογισμοῦ λέγων τὸ μὲν γὰρ ἀνάλογον μέσον,
τὸ δὲ δίκαιον ἀνάλογον· τὸ δίκαιον ἄρα μέσον. ἀλλὰ πόθεν δῆλον ὅτι 20
τὸ ἀνάλογον μέσον; ἢ ὅτι τὸ μὲν ἀνάλογον ἴσον, τὸ δ' ἴσον μέσον· τὸ
ἀνάλογον ἄρα μέσον. καλοῦσι δέ, φησί, τὴν τοιαύτην ἀναλογίαν
οἱ μαθηματικοὶ γεωμετρικήν, ὅτι ὅπερ συμβαίνει ἐπ' ἐκείνης, τοῦτο
30 καὶ ἐπὶ τῆς τοιαύτης ἀναλογίας· συμβαίνει δὲ ἐπ' ἐκείνης τὸ ὡς τὸ ἡγού-
μενον πρὸς τὸ ἑπόμενον, καὶ τὸ ὅλον πρὸς τὸ ὅλον.

p. 1131ᵇ15 Ἔστι δ' οὐ συνεχὴς ἡ τοιαύτη ἀναλογία· οὐ γὰρ γίνεται εἷς ἀριθμῷ ὅρος ᾧ καὶ ὅ.

Διὰ μὲν τοῦ μακροῦ ἢ διχρόνου ἢ ὡς ἄν τις ἐθέλῃ λέγειν φωνήεντος

---

1 post $\bar{\eta}$ add. ἀριθμὸς S 2 διπλασιάζονι S λόγος a 5 καὶ γὰρ om. S
$\bar{\gamma}$] τρίτου ἐπίτριτος S 9 et 10 δὲ om. S 10 post οὕτω add. καὶ a
12 διπλασιάζονι S: διπλασίῳ a 13 συντεθῇ ex συντεχθῇ corr. S 14 τὸ ἑπόμενον a
17 τῷ τρίτῳ] τοῦ $\bar{\gamma}$ a 19 δεύτερον] τρίτον S 22 ὅπερ πλεῖον S 24 τοῦ
ἀναλόγου a 25 συνήγαγε S 27 τὸ ἀνάλογον] τὸ δίκαιον S 29. 30 τοῦτο καὶ
— ἐπ' ἐκείνης om. S 32 ἡ τοιαύτη BS: αὐτὴ ἡ a Arist. Kᵇ: αὕτη ἡ Arist. vulg.
32 γὰρ in corr. B: om. a 34 ἐθέλει B 1 φωνήεντα B

ἐδήλωσε τὸν ἄνθρωπον, ᾧ δίδοται τὰ νομίσματα ἢ ὃ ἂν εἴη τὸ 65ᵛ
διδόμενον, διὰ δὲ τοῦ βραχέος φωνήεντος ἐδήλωσε τὸ διδόμενον πρᾶγμα.
λέγει οὖν ὅτι ἡ τοιαύτη ἀναλογία οὐκ ἔστι συνεχὴς ἀλλὰ διῃρημένη. ἐπεὶ
γὰρ β̄ εἰσὶν οἱ ἄνθρωποι, οἷς ἡ διανομὴ γίνεται τῶν πραγμάτων, καὶ β̄
5 τὰ νεμόμενα καὶ μεριζόμενα πράγματα, καὶ ἀδύνατον ἓν κατ' ἀριθμὸν εἶναι 35
καὶ ταὐτὸν τὸν ἄνθρωπον καὶ τὸ πρᾶγμα τὸ νεμόμενον αὐτῷ, ἀνάγκη διῃρῆ-
σθαι τοὺς ὅρους ἀπ' ἀλλήλων καὶ γίνεσθαι β̄ μὲν ἀνθρώπους, β̄ δὲ πρά-
γματα. πῶς γὰρ δυνατὸν τὸν ἄνθρωπον, ᾧ τὸ πρᾶγμα νέμεται, ἄνθρωπον
ὄντα πρᾶγμα γεγονέναι, ἢ ἴσον ἢ ἄνισον τῷ πράγματι εἰλῆφθαι κατ' ἀλή-
10 θειαν. τὸ μὲν οὖν δίκαιον τοῦτό ἐστι τὸ ἀνάλογον, τὸ δ' ἄδικον
τὸ παρὰ τὸ ἀνάλογον, ὃ γίνεται ὅταν μὴ τηρῆται ἡ προειρημένη ἰσότης, 40
ἀλλ' ὁ μὲν ὑπερέχων τῇ ἀξίᾳ ἔλαττον, ὁ δ' ἐλλείπων πλέον ἔχωσι. καὶ
ἔστι τὸ ἄδικον καὶ τὸ παρὰ τὸ ἴσον· εἰ γὰρ ἰσότης ἡ ἀναλογία, τὸ ἔξω
τῆς ἀναλογίας καὶ τῆς ἰσότητος ἄνισον. ἄνισον δὲ ἐν ᾧ τὸ μέν ἐστι πλέον
15 τῆς ἀξίας, τὸ δ' ἔλαττον. καὶ τοῦτο δῆλον καὶ ἐπὶ τῶν ἔργων· ἄδικον γὰρ
λέγομεν τὸν τὸ πλέον τῆς ἀξίας ἔχοντα, ἠδικημένον δὲ τὸν τὸ ἔλαττον.
οὐκ ἀεὶ δὲ ὁ ἄδικος, ὡς καὶ πρότερον εἴρηται, τὸ πλέον αἱρεῖται, ἀλλ' ἐπὶ
τῶν ἀγαθῶν ἀεὶ τὸ πλέον σπεύδει λαμβάνειν, ἐπὶ δὲ τῶν κακῶν τὸ ἔλαττον. 45
ἐπεὶ γὰρ τὸ ἔλαττον κακὸν πρὸς τὸ μεῖζον κακὸν συγκρινόμενον ἀγαθόν
20 πως δοκεῖ, αἱρεῖται τὸ ἔλαττον κακὸν ὡς ἀγαθοῦ ὑπεροχήν. τὰ μὲν οὖν
λεγόμενα ταῦτα· ἐν δὲ τῇ λέξει τῇ καὶ τὸ μᾶλλον μεῖζον τὸ λεγόμενόν
ἐστιν ὅτι καὶ τὸ μᾶλλον αἱρετὸν μεῖζον ἀγαθόν ἐστι.

p. 1131ᵇ25 Τὸ δὲ λοιπὸν εἶδος τὸ διορθωτικὸν ὃ γίνεται ἐν τοῖς συναλλάγμασι καὶ τοῖς ἀκουσίοις καὶ ἑκουσίοις.

25 Πληρώσας τὸν περὶ τοῦ ἐν διανομαῖς δικαίου λόγον λέγει καὶ περὶ τοῦ
διορθωτικοῦ δικαίου. ἰστέον δὲ ὅτι συναλλάγματα οἱ παλαιοὶ ἐκάλουν οὐ 50
μόνον ἃ ἑκόντες συνετίθεντο πρὸς ἀλλήλους ποιεῖν, ἀλλὰ καὶ τὰ ὑπὸ τῶν
νόμων διηγορευμένα καὶ κελευόμενα, καθ' ἃ χρὴ ζῆν τε καὶ συναλλάσσειν·
καὶ τάχα κατὰ τοῦτο συναλλάγματα λέγεται, καθὸ πρὸς ἕτερον ἔχει τὴν
30 ὕπαρξιν, οὐ κατὰ τὸ ἑκούσιον. οὐδεὶς γὰρ μοιχεύει κατὰ συνάλλαγμα τοῦ
τῆς μοιχευομένης ἀνδρός, οὐδ' ὁ ἱεροσυλῶν ἱεροσυλεῖ κατὰ συνάλλαγμα
ἢ ὁ ὑβρίζων ὑβρίζει. καὶ εἴρηταί μοι πρότερον ἐπὶ πλέον περὶ | τούτων, 66ʳ
καὶ οὐ δεῖ πάλιν μηκύνειν.

---

1 δίδονται S 2 ἐδήλωσε] ἐσήμανε S 5 ἓν] ἑνὶ S 6. 7 διαιρεῖσθαι S
8 ᾧ] ὃς S 10 δίκαιον τουτέστι τὸ Ba 11 τὸ post ἄδικον om. S
ὃ] καὶ S προηρημένη Ba 13 post ἄδικον add. τὸ παρὰ τὸ Ba καὶ]
δίκαιον a: om. S 14 τῷ μὲν Sa 15 τὸ scripsi: τοῦ B: τῷ Sa 20 ὡς
ἀγαθὸν ὑπεροχῇ S 21 μεῖζον μᾶλλον coll. a 23. 24 Τὸ δὲ—ἑκουσίοις] lemma
in libris non discernitur 23 εἶδος] ἓν Arist. 24 ἀκουσίοις καὶ ἑκουσίοις Ba
et addito τοῖς post καὶ Arist. L.b: ἑκουσίοις καὶ τοῖς ἀκουσίοις S Arist. vulg.
28 καθ' ἃ χρὴ ζῆν Anon.: χρήζειν libri 31 ἱεροσυλᾷ Sa 32 πρότερον]
cf. p. 17 33 πάλιν μὴ κρίνειν S

p. 1131 b 27 Τὸ μὲν γὰρ διανεμητικὸν δίκαιον τῶν κοινῶν. 66r

Ὑπομιμνήσκει πάλιν ἡμᾶς τῶν εἰρημένων περὶ τοῦ διανεμητικοῦ δικαίου καὶ φησὶν ὅτι τὸ διανεμητικὸν δίκαιόν ἐστι περὶ τὴν διανομὴν τῶν κοινῶν τοῖς πολίταις, γινόμενον κατὰ τὴν γεωμετρικήν, ὡς δέδεικται, ἀναλογίαν. κἂν γὰρ χρήματα ᾖ κἂν γῆ κἂν ἄλλο τι τὸ διανεμόμενον, πάντως κατὰ τὸν αὐτὸν λόγον διαιρεθήσεται, καθ' ὃν καὶ προσπεπόρισται· τῷ μὲν γὰρ πλεῖον εἰς ταῦτα συντελέσαντι πλεῖον δοθήσεται, τῷ δὲ ἔλαττον ἔλαττον, εἰ μέλλει ἡ διανομὴ δικαία ἔσεσθαι, καὶ κατὰ τὸν λόγον τῆς κατὰ τὴν συντέλειαν ἰσότητος ἡ ὑπεροχὴ καὶ ἡ ἔλλειψις τῶν νεμομένων. ὡς γὰρ ἔχει τὰ εἰσενεχθέντα πρὸς τὸ κοινόν, οὕτως ἔσται καὶ τὰ διδόμενα πρὸς τοὺς εἰσενεγκαμένους.

p. 1131 b 32 Τὸ δ' ἐν τοῖς συναλλάγμασι δίκαιον ἔστι μὲν ἴσον τι.

Τὸ δὲ τὶ προσκείμενον δηλωτικόν ἐστι τοῦ ἄλλο τι παρὰ τὸ ἐν διανομῇ δίκαιον καὶ ἴσον, καὶ ἔστι τὸ τοιοῦτον δίκαιον κατὰ τὴν ἀριθμητικὴν ἀναλογίαν. ἔστι δὲ ἡ ἀριθμητικὴ ἀναλογία, ὥς μοι εἴρηται πρότερον, ἐν ἰσότητι κατ' ἀριθμὸν ἢ ποσόν, ἀλλ' οὐ τῇ κατὰ ἀναλογίαν ἰσότητι. ἥτις ἡ ἀριθμητικὴ ἀναλογία ὅπως γίνεται, ἐπάγει λέγων ὅτι ὁ νομοθέτης ἢ ὁ διαστὴς οὐ τὴν ἀναλογίαν, ἣν ἔχει ὁ ἀδικήσας πρὸς τὸν ἀδικηθέντα ἐξετάζων τὴν ἐπανόρθωσιν τῶν ἀδικημάτων ἐπάγει· οὐ γὰρ ἐξετάζει, εἰ εὐγενὴς ἢ σοφὸς ἢ σπουδαῖος ἢ φαῦλος ὁ ἀδικήσας, ἢ πάλιν ὁ ἀδικηθεὶς πότερον φαῦλος ἢ σπουδαῖός ἐστιν ἤ τι τοιοῦτον· οὐδὲν οὖν τοιοῦτον ἐπιζητεῖ, ἀλλ' ὡς ἴσους λαβὼν σκοπεῖ, εἰ ὁ μὲν ἠδίκησεν ὁ δ' ἠδικήθη, καὶ τίς καὶ ποία ἡ κατὰ τὴν βλάβην διαφορά, καὶ τὴν ἀνισότητα τὴν γενομένην κατὰ τὴν τῆς βλάβης διαφορὰν ἐπανορθοῦν πειρᾶται καὶ εἰς ἰσότητα ἁπλῶς ἐπανάγειν σπουδάζει, καὶ οὐ κατὰ τὴν ἀναλογίαν τῶν ὑποκειμένων εἰς κρίσιν προσώπων. χρῆται δὴ οὖν ὡς ἴσοις τῷ ἀδικήσαντι καὶ ἀδικηθέντι ἢ τῷ βλάψαντι καὶ βλαβέντι. ἰστέον δὲ ὅτι τὴν ἀδικίαν καὶ βλάβην ὁ Ἀριστοτέλης λέγει, κἂν οἱ Πλατωνικοὶ ἀδικεῖσθαι μὲν λέγωσι τὸν τὴν ψυχὴν κακυνόμενον, βλάπτεσθαι δὲ τὸν εἰς σῶμα ἢ χρήματα. διὰ τοῦτο καὶ Σωκράτης κατηγορηθεὶς ἔλεγε "Σωκράτην Ἀθηναῖοι βλάψαι μὲν δύνανται, ἀδικῆσαι δὲ οὐ δύνανται", τουτέστι φονεῦσαι μὲν δύνανται, κακῦναι δέ μου τὴν ψυχὴν οὐ δύνανται. ὅτι δὲ ὁ νομοθέτης οὐ πρὸς ποιότητα προσώπων βλέπων ἢ ὁ διαστὴς ὁ μὲν νομοθετεῖ ὁ δὲ δικάζει, δῆλον ἐκ τοῦ μὴ γεγράφθαι τέως τῷ νομοθέτῃ ὅτι ὁ ὑβρίσας εὐγενῆ ἢ σπουδαῖον ἄρχοντα

---

2 ὑμᾶς a 3 περὶ] παρὰ a 5 ᾖ Anon.: ἐστὶ libri 6 προσπεπόρισται scripsi: προσεπορίσθαι libri 7 post ἔλαττον add. πάντως S 8 μέλλοι B ἡ] καὶ S 15 ἡ om. Sa 20 εἰ σοφὸς εἰ σπουδαῖος εἰ φαῦλος S post σοφὸς add. δὲ B 21 ἐστὶν ἢ σπουδαῖος coll. S οὖν τῶν τοιούτων S 22 σκοποῦ a μὲν ἡ δίκης ἡ δὲ ἡ δίκη, καὶ τίς S 23 τὴν ἰσότητα τὴν a 24 τῆς βλάβης] τὴν βλάβην S 28 λέγουσι a 28. 29 λέγωσι τὴν ψυχὴν κακυνόμενον δὲ βλάπτεσθαι τὸν εἰς σώματα S 31 δὲ] μὲν S 33 βλέπων om. B 34 τὸν νομοθέτην S: τῷ νομοθέτῳ a ἄρχοντα] ἄρτι S

ζημιούσθω πλείω ζημίαν ἢ τυπτέσθω πλείους πληγάς, ὁ δὲ φαῦλον ἄρχοντα 66r
ἢ οὐκ εὐγενῆ ὑβρίσας ἐλάττω ζημιούσθω ἢ μετρίως κολαζέσθω, ἀλλὰ 35
ἁπλῶς καὶ καθόλου γέγραφεν ὅτι ὁ τὸν ἄρχοντα ὑβρίσας ζημιούσθω μνᾶς
δέκα ἢ τῆς πόλεως διωκέσθω. ἐπεὶ οὖν οὐκ ἄλλο μὲν πρόστιμον οἷον
5 πλέον μὲν ὥρισεν ἐπὶ τοῦ εὐγενοῦς ἢ σπουδαίου ἄρχοντος, ἕτερον δὲ οἷον
ἔλαττον ἐπὶ τοῦ ἀγενοῦς ἢ οὐ σπουδαίου, δῆλον ὡς ἴσους πάντας τοὺς ἀδι-
κοῦντας καὶ τοὺς ἀδικουμένους λαμβάνει, βλέπει δὲ πρὸς μόνην τὴν τοῦ
βλάβους διαφοράν· εἰ μὲν γάρ ἐστι τὸ βλάβος μέγα, καὶ εὐθύνη καὶ πρό-
στιμον γίνεται μέγα, εἰ δὲ σμικρά, καὶ ἡ εὐθύνη καὶ τὸ πρόστιμον κατ' 40
10 ἐκεῖνα ἐνεργεῖται.

p. 1132ᵃ6 Ὥστε τὸ ἄδικον τοῦτο ἄνισον ὂν ἰσάζειν πειρᾶται ὁ δικαστής.

Ὡς ἐπὶ β̄ ἴσων ἀριθμῶν, οἷον τοῦ η̄ καὶ η̄, ἄν τις ἀπὸ τοῦ ἑνὸς
ἀφέλῃ μίαν δυάδα καὶ προσθῇ τῷ ἑτέρῳ, ἀνίσους ἀπειργάσατο τοὺς ἀρι- 45
15 θμούς (γέγονε γὰρ ὁ μὲν ᾧ προσετέθη ἡ δυὰς ῑ, ὁ δὲ ἀφ' οὗ ἀφῃρηται
ς̄), οὕτως συμβαίνει γίνεσθαι καὶ ἐπὶ τοῦ ὑβρίσαντος καὶ ὑβρισθέντος· ὁ
μὲν γὰρ ὑβρίσας οἷον ἐκέρδανε καὶ μείζων γέγονεν, ὁ δὲ ὑβρισθεὶς οἷον
ἐζημιώθη καὶ ἠλάττωται, καὶ πρὸ τῆς ὕβρεως ἴσοι ὄντες γεγόνασιν ἄνισοι
μετὰ τὴν ὕβριν. τοῦτο τὸ ἄνισον πειρᾶται ὁ δικαστὴς ἰσάζειν· λαμβάνει
20 γὰρ ἀπὸ τοῦ ὑβρίσαντος πρᾶγμά τι καὶ δίδωσι τῷ ὑβρισθέντι, ἢ ἀντὶ τῆς
ζημίας πληγὰς ἐπιτίθησι τῷ ὑβριστῇ. καὶ γὰρ ὅταν ὁ μὲν πληγῇ ὁ 50
δὲ πατάξῃ ἢ κτείνῃ ὁ δὲ ἀποθάνῃ, διῄρηται τὸ πάθος. ἐπειδὴ ἡ
ἐπὶ ζημίᾳ χρημάτων ἀνισότης φανερά ἐστι καὶ ἡ πλεονεξία ἡ ἐπὶ τούτοις
δήλη, καὶ ῥᾷόν ἐστι γνῶναι πόσον ὑπερέχει ὁ ἀδικήσας τοῦ ἠδικημένου,
25 ἐπὶ δὲ τῶν εἰς ὕβριν καὶ βίαν οὐ πάνυ τί ἐστιν ἡ πλεονεξία διάδηλος, δεί-
κνυσι, πῶς καὶ ἐπὶ τούτων τὸ κατὰ διόρθωσιν ἴσον γίνεται. ἂν γὰρ ὁ μέν,
φησί, πλήξῃ ὁ δὲ πληγῇ, καὶ κατὰ τοῦτο ἡ ἀδικία καὶ ἡ ἀνισότης γένηται,
διῄρηται καὶ ἐν τούτοις τὸ τοῦ παθόντος πάθος καὶ ἡ πρᾶξις καὶ τὸ ἔργον 55
τοῦ ποιήσαντος, τουτέστι τοῦ πλήξαντος, εἰς ἄνισα, καὶ | ἔχει ὁ μὲν πλήξας 66v
30 πλέον, ὁ δὲ πληγεὶς ἔλαττον, ἢ ὁ μὲν πλήξας γέγονεν οἷον μείζων, ὁ δὲ
πληγεὶς οἷον ἐλάττων. ταύτην δὴ τὴν ἀνισότητα πειρᾶται ἰσάζειν ὁ δικαστὴς
τῇ ζημίᾳ, ἣν ἐπιτίθησι τῷ ἀδικήσαντι. γίνεται δὲ τοῦτο οὕτως· τιμᾶται
τὰς πληγὰς ὁ δικαστὴς νομισμάτων εἰ ἔτυχε δ̄, εἶτα λέγει πρὸς τὸν πλή-
ξαντα καὶ κατὰ τοῦτο πλεονεκτήσαντα ὧδε· ἴσοι ὄντες πρότερον σὺ καὶ ὃν
35 ἐπάταξας, νῦν δὲ μετὰ τὴν πληγὴν ἄνισοι εὑρίσκεσθε, σὺ μὲν κερδήσας 5

---

3 γέγραφα a 4. 5 πρόστιμον ὥρισεν οἷον πλέον ἐπὶ S 6 τοῦ μὴ εὐγενοῦς S
ἢ] καὶ a μὴ σπουδαίου S ἴσως S 9 fort. σμικρόν 14 ἀφελεῖ S ἀναπειργάσατο S 18 ἠλάττωσεν Ba 22 ἢ κτείνῃ BSa Arist. Mᵇ: ἢ καὶ κτείνῃ Arist. vulg.
26 καὶ om. S 30 οἷον γέγονεν coll. S 31 δὴ] δεῖ S ἀνισότατον a
32 τὴν ζημίαν S 33 νομισμάτων scripsi: νομίσμασι Ba: compendio utitur S, sed porro εἰ ἔτυχε τεσσάρων exhibet εἶτα — νομίσματα δ̄ (27,1) om. S λέγων a
34 ὧδε scripsi: ὦ σὺ libri

νομίσματα δ̄, αὐτὸς δὲ ζημιωθεὶς τοσαῦτα· καὶ δεῖ με δικαστὴν ὄντα ἀφελεῖν 66v
τὰ τοσαῦτα νομίσματα ἀπὸ σοῦ, προσθεῖναι δὲ τῷ πληγέντι καὶ ζημιωθέντι.
καὶ τοῦτο εἰπὼν καὶ ποιήσας ἰσάζει καὶ ποιεῖ οἷοι ἦσαν πρότερον.

p. 1132a10 Λέγεται γὰρ ὡς ἁπλῶς εἰπεῖν ἐπὶ τοῖς τοιούτοις, κἂν
5 εἰ μή τισιν οἰκεῖον ὄνομα δοκῇ.

Ἐπεὶ τὸ κέρδος καὶ ἡ ζημία ἐπὶ χρημάτων μόνων δοκεῖ λέγεσθαι καὶ 10
ἐπὶ κτημάτων, καὶ ὁ μὲν πλέον ἐπὶ τούτοις προσκτησάμενος κερδαίνειν, ὁ
δὲ ἔλαττον ἔχων ζημιοῦσθαι λέγεται, ἐπισημαίνεται τοῦτο λέγων ὅτι κυρίως
καὶ ἁπλῶς καὶ ἐπὶ τούτων, ἤτοι τῆς ὕβρεως καὶ τῶν πληγῶν καὶ τοῦ
10 φόνου, τὸ κέρδος καὶ ἡ ζημία λέγεται, καὶ οὐκ ἐπὶ μόνης τῆς εἰς χρήματα
ὑπεροχῆς καὶ ἐλλείψεως, κἂν μὴ δοκῇ τισιν οἰκεῖα ὀνόματα κεῖσθαι τὸ
κέρδος καὶ ἡ ζημία ἐπὶ τῆς ὕβρεως καὶ τοῦ φόνου· οἰκείως γὰρ καὶ ἐπὶ
τούτων τὸ κερδαίνειν καὶ τὸ ζημιοῦσθαι λέγεται· διὸ ἐπιφέρει λέγων ἀλλ' 15
ὅταν γε μετρηθῇ τὸ πάθος. ἔστι δὲ τὸ μετρηθῇ ταὐτὸν τῷ τιμηθῇ·
15 τῷ γὰρ μετρεῖσθαι τὸ πάθος καὶ τῷ τιμᾶσθαι ζημία καὶ κέρδος λέγεται·
τιμηθέντος γὰρ τοῦ πάθους ὅσου ἐστὶν ἄξιον, τοσοῦτον ζημιοῦται ὁ ποιήσας
ὡς καὶ τοσοῦτον δηλαδὴ κερδήσας.

p. 1132a14 Ὥστε τοῦ μὲν πλείονος καὶ τοῦ ἐλάττονος τὸ ἴσον μέσον.

Δείξας καὶ τὴν κατὰ τὴν ὕβριν ζημίαν εἰς κέρδος καὶ ζημίαν διαιρου- 25
20 μένην συλλογίζεται πάλιν καὶ τὸ ἐν ταύτῃ δίκαιον ἴσον καὶ μέσον ζημίας
καὶ κέρδους, λέγων τὸ δίκαιον ἴσον, τὸ ἴσον μέσον τοῦ πλείονος καὶ ἐλάττονος,
τὸ πλέον καὶ ἔλαττον κέρδος καὶ ζημία, τὸ δίκαιον ἄρα καὶ ἴσον μέσον
κέρδους καὶ ζημίας. ἐπεὶ δὲ πολλάκις καὶ ὁ τοῦ κακοῦ τὸ ἔλαττον λαβὼν
ἀδικεῖ τε καὶ κερδαίνει, διορίζει καὶ περὶ τούτου μεταξὺ καὶ φησὶν ἐναντίως
25 τὸ κέρδος καὶ τὴν ζημίαν τὸ πλέον καὶ τὸ ἔλαττον ἔχειν. ἔστι γὰρ τὸ
μὲν κέρδος ἐπὶ ἀγαθοῦ μὲν πλεονεξίας κακοῦ δὲ μειονεξίας. ὡς γὰρ ὁ ἔχων 30
τὸ πλέον μὲν ἀγαθὸν ἔλαττον δὲ κακὸν κερδαίνει, οὕτω καὶ ὁ ἔχων τὸ
μεῖζον κακὸν ἔλαττον δ' ἀγαθὸν ζημιοῦται. καὶ ἔστι τὸ δίκαιον καὶ ἴσον,
ὡς εἴρηται, μέσον ζημίας καὶ κέρδους, δίκαιον δὲ τὸ ἐπανορθωτικὸν ἀλλ'
30 οὐ τὸ διανεμητικόν· οὐ γὰρ ἦν ἐκεῖνο μέσον ζημίας καὶ κέρδους. καὶ διὰ τὸ
εἶναι, φησί, τὸ ἐπανορθωτικὸν δίκαιον μέσον ζημίας καὶ κέρδους, ὅταν
ἀμφισβητῶσί τινες πρὸς ἀλλήλους ὡς οὐκ ἔχοντες τὸ ἴσον ἀλλὰ ζημιού-
μενοι, ἐπὶ τὸν δικαστὴν καταφεύγουσι, τουτέστιν ἐπὶ τὸ δίκαιον καὶ ἴσον, 35
καὶ καλοῦσι τὸν δικαστὴν μεσίδιον οἱ δοκοῦντες ἀδικεῖσθαι ὡς τὸ οἰκεῖον
35 μέσον καὶ δίκαιον παρέχοντα τούτοις.

---

3 οἷον a 5 δοκῇ B Arist. Ob: δοκεῖ S: εἴη Arist. vulg.: εἴη δοκεῖ a 6 μόνον Sa
7 κερδαίνει S 8 λέγονται Ba 10 et 12 φόβου S 11 δοκεῖ S 13 τὸ κέρδος καὶ ἡ ζημία λέγεται S ἐπιφέρων λέγει Sa 14 τὸ μετρηθῆναι S ταυτὸν τὸ S τιμηθῆναι S 18 τοῦ ἐλάττονος BS Arist. Ob: τοῦ om. a Arist. vulg. 20 ταύτῃ] αὐτῷ S δίκαιον] δεῖ καὶ S 26 ante κακοῦ add. ἐπὶ a 30. 31 διὰ τοῦτο εἶναι a 32 ἀμφισβητοῦσι a

p. 1132a25 Καὶ ὥσπερ γραμμῆς εἰς ἄνισα τεμνομένης. 66v

Εἰπὼν ὅτι τὸ δίκαιον μέσον, ἐπεὶ καὶ ὁ δικαστὴς μέσος, πῶς μέσος καὶ ἴσος ὁ δικαστής, διὰ τούτων δείκνυσιν. ἔστω δὴ ἡ γραμμὴ ἣν λαμβάνει, πήχεων δώδεκα, καὶ τετμήσθω εἰς ἴσα ἓξ καὶ ἕξ, εἰς δὲ ἄνισα η̄ καὶ δ̄, καὶ κείσθω ὁ μὲν δικαστὴς ὁ ς̄, ὁ δὲ πλεονεκτήσας ὁ η̄, ὁ δὲ ἀδικηθεὶς ὁ δ̄. ᾧ δὴ οὖν ὑπερέχει ὁ ἀδικήσας ὁ η̄ τῆς ἡμισείας, τοῦ ς̄, ὅπερ ς̄ ἐστὶν ὁ δικαστής, τοῦτο ἀφαιρεῖ ὁ δικαστὴς ὁ ς̄ ἀπὸ τοῦ η̄ τοῦ ἀδικήσαντος καὶ προστίθησι τῷ δ̄ τῷ ἠδικημένῳ καὶ ποιεῖ ἴσους. πίπτει οὖν ὁ δικαστὴς ὁ ς̄ ⟨εἰς⟩ μέσον τοῦ η̄ καὶ δ̄, τοῦ ἠδικηκότος καὶ ἠδικημένου καὶ ἀφαιρεῖ ἀπὸ τοῦ η̄ τὰ β̄ (τούτοις γὰρ ὑπερέχει ὁ η̄ τοῦ ς̄) καὶ προστίθησι τοῖς τέσσαρσι, καὶ γίνονται οἱ τρεῖς ἀνὰ ς̄. εἰ γὰρ ἀφαιρεθῇ ἀπὸ τοῦ η̄ β̄, λείπεται ς̄, καὶ εἰ προστεθῇ τὰ β̄ τοῖς τέσσαρσι, γίνεται ς̄. μέσος ἄρα ὁ δικαστὴς τοῦ η̄ καὶ δ̄, ἀλλὰ καὶ ἴσος τοῖς πρὸς αὐτὸν ἐκ τῆς ἀφαιρέσεως καὶ προσθέσεως γεγονόσι· καὶ γεγονότες ὁ η̄ καὶ ὁ δ̄ κατὰ τὸν δικαστὴν τὸν ς̄, ἤτοι γεγονότες καὶ αὐτοὶ ἀνὰ ἕξ, ἔχει τὸ οἰκεῖον ὁ ἠδικημένος.

p. 1132a29 Τὸ δ' ἴσον μέσον ἐστὶ τῆς μείζονος καὶ ἐλάττονος κατὰ τὴν ἀριθμητικὴν ἀναλογίαν.

Εἴρηται πολλάκις ὅτι ἡ ἀριθμητικὴ ἀναλογία ἐν ἴσῃ ὑπεροχῇ ἐστι τοῦ μείζονος καὶ ἐλάττονος. ᾧ γὰρ ὑπερέχει ὁ ς̄ τοῦ ἐλάττονος τοῦ δ̄, τούτῳ ὑπερέχεται ὁ ς̄ ὑπὸ τοῦ μείζονος τοῦ η̄· δυσὶ γὰρ ὑπερέχων τοῦ δ̄ δυσὶν ὑπερέχεται ὑπὸ τοῦ η̄. καὶ διὰ τοῦτο, φησίν, ὀνομάζεται δίκαιον, διότι δίχα ἐστίν.

p. 1132a32 Ἐπὰν γὰρ δύο ἴσων ἀφαιρεθῇ ἀπὸ θατέρου. | 67r

Δείκνυσι καὶ διὰ τούτων ὅτι ἡ τοιαύτη διαίρεσις κατὰ ἀριθμητικὴν ἀναλογίαν γίνεται. ἐπεὶ δὲ ὃ δείκνυται διὰ τῶν γραμμῶν καὶ ⟨διὰ⟩ τῶν ἀριθμῶν δείκνυσθαι δύναται, καὶ ἔστι καὶ σαφεστέρα ἡ διὰ τῶν ἀριθμῶν δεῖξις, ληπτέον ἀριθμοὺς εἰς τὴν τοῦ προκειμένου δεῖξιν. καὶ ἔστωσαν ἑξάδες τρεῖς, ἕξ, ἕξ, ἓξ ἐφεξῆς κείμεναι, ὧν τριῶν ἑξάδων ἡ μὲν πρώτη ἔστω ὁ μέλλων πλεονεκτῆσαι καὶ ἀδικῆσαι, ἡ δὲ ἐσχάτη ὁ πλεονεκτηθησόμενος καὶ ἀδικηθησόμενος, ἡ δὲ μέση ἑξὰς πρὸς ὃν μέλλουσιν ἀφικέσθαι τῆς ἀδικίας γινομένης, ὁ δικαστής· καὶ δὴ λαβέτω ἡ πρώτη ἑξὰς εἰς ἑαυτὴν ἀπὸ τῆς τρίτης

---

1 τετμημένης Arist. 3 ἡ γραμμὴ] γραμμὴν Ba 4 δέκα καὶ δύο S καὶ post ἕξ om. B 6 ὑπερέχων Sa 7 ἀφαιρεῖται a 9 εἰς addidi καὶ τοῦ δ̄ S τοῦ ἠδικηθέντος καὶ ἠδ. S 12 γίνονται S 14 ὁ ante δ̄ om. a κατὰ τὸ a διχαστὴν B 18 ὑπεροχῇ S 20 ὑπερέχηται a 23 ἴσα BS 25 post δὲ add. καὶ S διὰ post καὶ addidi 26 ἔσται S 27 τὴν προκειμένην a 28 τῶν τριῶν S 29 πλεονεκτήσειν καὶ ἀδικήσειν S 30 ἀδικίας] δικαιοσύνης Ba 31 εἰς ἑαυτὴν ἡ πρώτη ἑξὰς coll. a εἰς ἑαυτὸν S

ἑξάδος τριάδα· γεγόνασι τοίνυν θ̄ ς̄ γ̄· ἂν γὰρ ἀπὸ τοῦ ἑνὸς ἓξ ἀφαιρεθῇ 67r
γ̄ καὶ προστεθῇ τῷ λοιπῷ ἕξ, ᾧ μὲν ἓξ προσετέθη ὁ γ̄, ἔσται θ̄, ἀφ' 11
οὗ δὲ ἀφῃρηται, λειφθήσεται γ̄. τούτων οὕτως ἐχόντων, δῆλον ὡς ὁ μὲν πλεονεκτήσας καὶ ἓξ μὲν πρὸ τῆς πλεονεξίας ὤν, μετὰ δὲ τὴν πλεονεξίαν γενόμενος θ̄, οὗτος δὴ ὁ θ̄ τοῦ μὲν δικαστοῦ τοῦ ς̄ ὑπερέχει μιᾷ τριάδι, τοῦ δὲ ἀδικηθέντος γεγονότος γ̄ ὑπερέχει δυσὶ τριάσιν. εἰ μὲν οὖν ἀφαιρεθεῖσα ἡ τριὰς ἀπὸ τῆς τρίτης ἑξάδος μὴ προσετέθη τῇ πρώτῃ ἑξάδι, ἑνὶ ἂν ἤτοι μιᾷ τριάδι ὑπερεῖχεν ἡ πρώτη ἑξὰς τῆς μετὰ τὴν ἀφαίρεσιν λειφθείσης τριάδος, προστεθείσης δὲ δυσὶν ὑπερέχει τριάσι. τοῦτο θεὶς ἐπήγαγε τοῦ μέσου ἄρα ἑνί, τουτέστιν ὁ πλεονεκτήσας θ̄ τοῦ μὲν μέσου τοῦ δικαστοῦ ἑνὶ ἤτοι μιᾷ τριάδι ὑπερέχει, καὶ τὸ μέσον ἤτοι ὁ δικαστὴς ἑνί, ἤτοι καὶ οὗτος μιᾷ τριάδι ὑπερέχει τοῦ γ̄. ὑπερέχει οὖν ὁ μὲν πρῶτος ὅρος τοῦ μέσου μιᾷ τριάδι, καὶ ὁ μέσος τοῦ ἐσχάτου, ἀφ' οὗ γέγονεν ἡ ἀφαίρεσις, ἑνί. τούτῳ δὴ τῷ μέσῳ γνωριοῦμεν τί μὲν ἀφελεῖν δεῖ ἀπὸ τοῦ πρώτου ὅρου, καὶ τί δεῖ προσθεῖναι τῷ τρίτῳ. ᾧ μὲν γὰρ τὸ μέσον ὑπερέχει, τοῦτο προσθεῖναι δεῖ τῷ τὸ ἔλαττον ἔχοντι. ὃ λέγει τοιοῦτόν ἐστιν· ἡλίκον ὑπερέχει ὁ μέσος ὅρος ὁ ς̄ τοῦ ἐσχάτου τοῦ γ̄, τοσοῦτον προστεθῆναι δεῖ τῷ ἐσχάτῳ, ἵνα γένηται ὁ ἔσχατος ἴσος τῷ μέσῳ. ὑπερέχει δέ, ὡς εἴρηται, ὁ μέσος τοῦ ἐσχάτου τοῦ γ̄ τρισί. ταῦτα τὰ τρία εἰ προσθῶμεν τῷ γ̄, γενήσεται ὁ ς̄ ἴσος τῷ μέσῳ, ἓξ ὄντι καὶ αὐτῷ. ὅσον οὖν ὑπερέχει ὁ μέσος τοῦ ἐσχάτου, τοσοῦτον προστεθῆναι δεῖ τῷ ἐσχάτῳ, εἰ μέλλουσι γενέσθαι ἴσοι· ὅσον δὲ αὖ πάλιν ὑπερέχει ὁ πρῶτος τοῦ μέσου (ὑπερέχει δὲ τρισί) ταῦτα ἀφελεῖν δεῖ αὐτοῦ τοῦ πρώτου, καὶ ἔσται ἴσος τῷ μέσῳ· ἂν γὰρ ἀπὸ τοῦ θ̄ ἀφαιρεθῇ τὰ γ̄, λείπεται ς̄. ἀφαιρεθέντων οὖν ἀπὸ τοῦ πρώτου ὅρου τοῦ θ̄ τριῶν καὶ προστεθέντων τῷ ἐσχάτῳ ὅρῳ τῷ γ̄ γεγόνασιν ἀμφότεροι ἀνὰ ς̄, ἴσος ἑκάτερος τῷ μέσῳ ὄντι ἕξ. δῆλον τοίνυν ὅτι τὸ δίκαιον τὸ ἐπανορθωτικὸν καὶ τὸ ἴσον τὴν τοῦ μέσου χώραν ἔχει καὶ κανών ἐστι καὶ μέτρον τοῦ πόσον δεῖ ἀφελεῖν ἀπὸ τοῦ ἀδικήσαντος καὶ προσθεῖναι τῷ ἠδικημένῳ, ἵνα ἴσοι γίνωνται.

p. 1132b6 Ἴσαι αἱ ἐφ' ὧν ΑΑ, ΒΒ, ΓΓ.

Τοῦτο δῆλον ἐξ ὧν εἴπομεν· ὅμως καὶ πάλιν ῥητέον. λαμβάνει τρεῖς γραμμὰς καὶ καλεῖ τὴν μὲν πρώτην ΑΑ, τὴν δὲ δευτέραν ΒΒ, τὴν δὲ τρίτην ΓΓ, ἴσας ἀλλήλαις· ἔστι δ' ἑκάστη ἀνὰ πηχῶν ς̄. ταύτας λαβὼν λέγει ἀφαιρείσθω ἀπὸ τῆς πρώτης τῆς ΑΑ ἡ ΑΕ, ἣν ΑΕ ἐκάλεσεν ΔΓ, καὶ προσκείσθω τῇ ΓΓ ἡ ἀφῃρημένη ἡ ΑΕ ἤτοι ἡ ΔΓ· γέγονεν οὖν ἡ προσλα-

---

5 οὗτος—θ̄ om. S 7 πρώτῃ ἑξάδῃ Sa 8. 9 λειφθείσης scripsi: ληφθείσης libri 14 τὸ μέσον S 16 δεῖ a Arist.: πρὸς BS τῷ ἔλαττον Arist. 17 et 19 ὑπερέχων a 18 et 21 προστεθεῖναι (sic) a 19 ὑπερέχει—μέσῳ (20) om. B 21 post μέσος add. ὅρος S 23 δεῖ ἀπ' αὐτοῦ S 28 πόσον scripsi: πόσου libri 29 προστεθῆναι S: προστεθεῖναι a 30 αἱ om. Sa 33 ἔστι] ἔστωσαν S ἀναπήχεων S 34 ἀφαιρεῖσθαι a 34 et 35 ΔΓ] δε Ba, itemque p. 30,1. 4 35. p. 30,1 προλαβοῦσα a

βοῦσα τὸ ἀφαιρεθὲν ἡ ΔΓΓ, ἀφ' ἧς δὲ ἀφῃρέθη τὸ ΑΕ ἤτοι τὸ ΔΓ κατα- 67r
λέλειπται ἡ ΕΑ. τετμήσθω ἡ ΓΓ δίχα κατὰ τὸ Ζ, ὡς εἶναι ἑκάτερον
τῶν τμημάτων, ἤτοι τὸ ΓΖ καὶ τὸ ΖΓ ἀνὰ πήχεων τριῶν. ἔστω δὲ καὶ
τὸ ΑΕ ἤτοι τὸ ΔΓ τὸ προστεθὲν τοῖς ΓΓ τριῶν πήχεων. λείπεται ἄρα τὸ
5 ΕΑ πήχεων τριῶν. καὶ ἐπεὶ τὸ ΔΓ ἐστὶ πήχεων τριῶν καὶ τὸ ΓΖ ἑτέρων
τριῶν καὶ τὸ ΖΓ τριῶν, τὸ δὲ ἀπὸ τῶν ΑΑ ληφθὲν ΕΑ πήχεών ἐστι 45
τριῶν, δῆλον ὅτι τὸ ΓΓΔ πήχεων ὂν θ̄ ὑπερέχει τοῦ τριπήχεως τοῦ ΕΑ
δυσὶ τριπήχεσιν, ἃ δύο τριπήχη ἐστὶ τό τε ΔΓ καὶ ΓΖ. ὑπερέχει οὖν ἡ
ΔΓΓ τῆς μὲν ΕΑ τῇ ΔΓ καὶ ΓΖ, τῆς δὲ ΒΒ ὑπερέχει ἡ ΔΓΓ τῇ ΓΔ.
10 ἔστι δὲ τοῦτο καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν. διὰ τούτων παρίστησιν
ὅτι καὶ αἱ ἀντιδόσεις καὶ αἱ ἀμοιβαὶ τῶν γινομένων ἔργων παρὰ τῶν τεχνῶν
κατὰ τὴν ἀριθμητικὴν ἀναλογίαν καὶ τὴν ἰσότητα ταύτην γίνονται. πρὸ δὲ
τῆς τῶν λεγομένων σαφηνείας πρότερον ῥητέον ὅτι πάσχοντας λέγει τοὺς 50
δεομένους καὶ χρῄζοντας, ποιοῦντας δὲ ὧν δεόμεθα καὶ χρῄζομεν· χρῄζομεν
15 δὲ δηλονότι οὐκ ἐκείνων, ἀλλὰ τῶν ἔργων αὐτῶν, οἷον ὁ μὴ ἔχων οἰκίαν
καὶ δεόμενος οἰκίας λέγεται χρῄζειν οἰκοδόμου. καὶ λέγεται ἐπὶ τούτων
ποιῶν μὲν ὁ οἰκοδόμος, πάσχων δὲ ὁ δεόμενος οἰκίας· ὁμοίως ὁ μὲν δεόμενος
σίτου πάσχων, ὁ δὲ ἔχων ὁ γεωργὸς ποιῶν. εἰ δ' ἐπίσης δέονται ὁ μὲν
γεωργὸς νομισμάτων ὁ δὲ πολίτης σίτου, ἐπίσης ἀμφότεροι καὶ ποιοῦντες
20 καὶ πάσχοντες ῥηθεῖεν. ὅταν δὲ ὁ μὲν πολίτης, ὡς ἐπὶ ταῖς ἀφορίαις συμ- 55
βαίνει, δέηται σίτου, ὁ δὲ γεωργὸς τῶν νομισμάτων οὐ χρῄζει, πά|σχων 67v
μὲν ὁ πολίτης ἐστὶ καὶ λέγεται, ποιῶν δὲ ὁ γεωργός. τίνα μὲν οὖν λέγει
ποιοῦντα καὶ τίνα πάσχοντα, εἴρηται. ἃ δὲ λέγεται, τοιαῦτα ἂν εἴη· ὡς
γὰρ ἐπὶ τοῦ ἐπανορθωτικοῦ δικαίου ὁ δικαστὴς τὴν ὑπεροχὴν τοῦ πλέον
25 ἔχοντος ἀφελὼν τῷ ἠλαττωμένῳ καὶ παθόντι προστίθησιν, ἥτις ὑπεροχὴ
φανερὰ γίνεται ἀπὸ τοῦ μέσου καὶ ἴσου, καὶ οὕτως συμμένει καὶ ἵσταται
ἡ πολιτεία, εἰ δὲ μὴ ἦν τὸ ποιοῦν οἷον ὁ δικαστής, (οὗτος γὰρ ὁ ποιῶν 5
ἤτοι ὁ ἀφαιρῶν ἀπὸ τοῦ ἠδικηκότος τὸ ἀδίκημα) καὶ τὸ πάσχον ἤτοι ὁ
ἀδικήσας ἔπασχεν, εἰ οὖν μὴ ὁ δικαστὴς ἐποίει καὶ ὁ ἀδικήσας ἔπασχεν,
30 οὐκ ἂν ἡ πολιτεία ἦν, ὡς οὖν ἐπὶ τούτων, οὕτως καὶ ἐπὶ τῶν τεχνῶν καὶ τῶν
κατ' αὐτὰς κοινωνιῶν καὶ ἀντιδόσεων· εἰ μὴ τὸ τοῦ ποιοῦντος ἔργον καὶ
ἡ ὑπεροχὴ αὐτοῦ πρὸς τὸ τοῦ πάσχοντος ἔργον καὶ τὴν ἔλλειψιν αὐτοῦ ἦν
ὡρισμένη καὶ μεμετρημένη, ὡς ἐπὶ τοῦ ποιοῦντος καὶ πλεονεκτοῦντος καὶ
πάσχοντος καὶ πλεονεκτουμένου, οὐκ ἂν ἠδύναντο κοινωνεῖν ἀλλήλοις. οὐδὲν
35 δὲ θαυμαστόν, εἰ ὁ πλεονέκτης καὶ ποιεῖν καὶ πάσχειν λέγεται· πρότερον 10
μὲν γὰρ ὅτε πλεονεκτεῖ ποιεῖ, ὕστερον δὲ ὅτε ἰσάζεται πάσχει. ῥητέον
δὲ καὶ οὕτως· εἰ μὴ κατ' ἀξίαν τῶν γινομένων ἔργων ὑπὸ τῶν τεχνι-
τῶν κατά τε τὸ μέγεθος, ὅπερ αὐτὸς ὅσον εἶπε, καὶ τὴν ποιότητα, ὅπερ

---

1 et 9 (utrobique) ἡ ΔΓΓ scripsi: ἡ ΔΓ libri 1 δὲ] καὶ S 5 ἑτέρων] πήχεων a
6 post ΖΓ add. ἑτέρων a fort. λειφθὲν 7 ΓΓΔ scripsi: ΓΔ libri ὂν] ἐστὶν a ὑπερέχων a 10 δὲ τοῦτο BSa Arist. KᵇOᵇ: τοῦτο post τεχνῶν Arist. vulg. 11 γενομένων S τεχνιτῶν S 12 τὴν post καὶ om. a
14 δὲ om. Ba καὶ ὧν χρῄζομεν S 22 λέγει] λέγεται a 23 ἃ δὲ λέγει S
26 συμμένει] συμβαίνει Sa 30 οὖν om. Ba

πάλιν οἷον εἴρηται, ἦν ἡ χρεία τῶν δεομένων καὶ πασχόντων, ἀνῃροῦντο ἂν 67v
αἱ τέχναι· οὐ γὰρ ἂν εἰργάζοντο μὴ μέλλοντες τὸ ἴσον ἀντιλήψεσθαι. ἐλήλυθε τὰ ὀνόματα ταῦτα ἥ τε ζημία καὶ τὸ κέρδος ἐκ τῆς ἑκουσίου ἀλλαγῆς. ἐπειδὴ τὸν μὲν πλεονεκτοῦντα ἔθος ἦν αὐτοῖς κερδαίνειν λέγειν, τὸν 15
5 δ' ἀδικούμενον ζημιοῦσθαι, φησὶν ὅτι τὸ κερδαίνειν καὶ ζημιοῦσθαι κυρίως ἐπὶ τῶν ἑκουσίως ἀλλασσόντων λέγεται, μετήχθη δὲ ταῦτα καὶ ἐπὶ τοὺς ἀδικοῦντας καὶ ἀδικουμένους. ὥστε κέρδους τινὸς καὶ ζημίας μέσον ἐστὶ τὸ δίκαιον. τῶν δὲ παρὰ τὸ ἑκούσιον κέρδος ἐστὶ τὸ πλέον, ζημία δὲ τὸ ἔλαττον· μέσον δὲ τούτων τὸ δίκαιον. ἔστιν οὖν, φησί, τὸ δίκαιον
10 μέσον ἐκείνων. τίνων δή; τῶν ὄντων παρὰ τὸ ἑκούσιον, ἤτοι τῶν πλειόνων καὶ ἐλαττόνων. ἔστιν οὖν, φησί, δίκαιον τὸ ἔχειν ὕστερον τὸ ἴσον οὗ εἶχε καὶ πρότερον πρὸ τῆς πλεονεξίας. τοῦτο γάρ ἐστι δίκαιον τὸ ἔχειν τοσοῦτον ὕστερον, 20
ὅσον εἶχε καὶ πρότερον πρὸ τοῦ ἀδικηθῆναι. τὸ ἴσον ἔχειν πρότερον καὶ ὕστερον. δεῖ προσθεῖναι τῇ λέξει τὸ ὅσον, καὶ οὐδεμίαν ἕξει ἀσάφειαν.
15 καὶ εἴη ἂν τὸ πλῆρες καὶ κατάλληλον τοιοῦτον· δίκαιόν ἐστι τὸ ἴσον ἔχειν ὕστερον, ὅσον καὶ πρότερον εἶχε πρὸ τῆς πλεονεξίας.

p. 1132b21 Δοκεῖ δέ τισι καὶ τὸ ἀντιπεπονθὸς εἶναι ἁπλῶς δίκαιον.

Εἰπὼν περὶ τῶν δύο εἰδῶν ἢ μερῶν τῆς ἐν μέρει δικαιοσύνης ἀλλ' οὐ τῆς κοινῆς τῆς ὡς νομιμότητος λεγομένης (ἦσαν δὲ ταῦτα τὸ διανεμητικὸν καὶ
20 ἐπανορθωτικόν, καὶ ἑκάτερον ἐν ἀναλογίᾳ, τὸ μὲν διανεμητικὸν ἐν τῇ γεωμετρικῇ καὶ ἐν τέτρασιν ὅροις θεωρούμενον, ὅτι καὶ τὰ νεμόμενα δύο καὶ οἷς ἐνέμοντο δύο, τὸ δὲ ἐν τῇ ἀριθμητικῇ ἀναλογίᾳ καὶ ἐν τρισὶν ὅροις, δύο μὲν τῶν 25
ἄκρων τοῦ τε ἀδικήσαντος καὶ ἀδικηθέντος καὶ ἑνὸς μέσου τοῦ δικαστοῦ) ταῦτα εἰπὼν καὶ δείξας μνημονεύει περὶ τοῦ ἀντιπεπονθότος δικαίου, ὃν ὅρον
25 οἱ Πυθαγόρειοι τῶν δικαίων ἐποιοῦντο. περὶ οὗ τί ποτέ ἐστι, σαφέστερον εἶπεν ἐν τῷ πρώτῳ τῶν Μεγάλων ἠθικῶν. ἐκεῖνοι γὰρ δίκαιον ᾤοντο τὸ ἀντιπαθεῖν ἃ ἄν τις πεποίηκεν, οἷον ⟨εἰ⟩ ἐτύφλωσέ τίς τινα, ἀντιτυφλωθῆναι, ⟨εἰ⟩ ἔτυψεν, ἀντιτυφθῆναι. τοῦτο δὴ τὸ δίκαιον οὐ πρὸς ἅπαντας ἁρμόζει· εἰ γὰρ δοῦλος ἐλεύθερον ἔπληξεν, οὐχ ἅπαξ δεῖ τὸν δοῦλον 40
30 ἀντιπληγῆναι, ἀλλὰ καὶ πολλάκις. τί δέ ἐστι τὸ ἀντιπεπονθὸς τοῦτο δίκαιον, καὶ νῦν σαφῶς ἐδήλωσε παραθέμενος τὸ τοῦ Ῥαδαμάνθυος· ἔστι δὲ τὸ ἔπος ἀπὸ τοῦ Ἡσιόδου. αἰτιᾶται δὲ καὶ ἐνταῦθα Ἀριστοτέλης τῶν Πυθαγορείων τὸ ἁπλῶς εἰπεῖν τὸ ἀντιπεπονθὸς δίκαιον καὶ μὴ διορίσαι μηδὲ προσθεῖναι τὸ κατὰ ἀναλογίαν· τὸ γὰρ ἁπλῶς ἀντιπάσχειν ἕκαστον ὃ πεποίηκεν
35 οὐδαμῶς δίκαιον. οὗ σημεῖον παρέθετο τὸ μὴ ἐφαρμόζειν αὐτὸ μήτε τῷ

---

1 οἷον Arist.: ποῖον libri εἴρηκεν S 11 ἔστιν] ἔστι δὴ οὖν Sa 14 post δεῖ add. γὰρ S προστεθῆναι S οὐδεμία ἀσάφεια S 19 post καὶ add. τὸ S 20 νεμητικὸν Ba 21 καὶ ἐν οἷς S 24 ante περὶ add. καὶ S ὃν Anon.: ὃ Ba: ὅπερ S 26 ἐν τῷ πρώτῳ τῶν Μεγάλων ἠθικῶν] A 34 p. 1194a 28 sqq. ἐκεῖνο a 27 et 28 εἰ ante ἐτύφλωσε et ἔτυψεν addidi 27 τινα om. S 28 post δίκαιον add. καὶ S 32 Ἡσιόδου] fr. 212 Goettl. 35 post αὐτὸ add. δὲ Sa

διανεμητικῷ δικαίῳ μήτε τῷ διορθωτικῷ, εἰς ἃ τὸ δίκαιον διῃρηται. ἀλλὰ 67r
πῶς οὐκ ἐφαρμόζει ἐκείνοις; ἢ ὅτι ἐκείνων ἑκάτερον ἐν ἀναλογίᾳ ἐστί, τὸ 16
μὲν γεωμετρικῇ, τὸ δ' ἀριθμητικῇ, τοῦτο δ' ἐν οὐδετέρᾳ τῶν ἀναλογιῶν
ὑποπίπτει. ὅτι μὲν οὖν οὐκ ἔστι τὸ ἀντιπεπονθὸς ταὐτὸν τῷ διανεμητικῷ
5 οὐδὲ κατὰ τὴν γεωμετρικὴν ἀναλογίαν, δῆλον· ἐν μὲν γὰρ ἐκείνῳ τὸ ἴσον
καὶ τὸ δίκαιον ἦν τὸ κατ' ἀξίαν, ἐν δὲ τῷ ἀντιπεπονθότι οὐκ ἔστι. ποῦ
γὰρ τὸ κατ' ἀξίαν, εἰ δοῦλος εὐγενῆ καὶ σπουδαῖον μίαν πληγὴν πλήξει,
καὶ αὐτὸν μίαν ἀντιπληγῆναι, ἢ εἰ ἱερέα λακτίσει, ἀντιλακτισθῆναι; ἀλλὰ μὴν 50
οὐδὲ τῷ διορθωτικῷ ταὐτὸν τὸ ἀντιπεπονθός. τὸ μὲν γὰρ διορθωτικὸν οὐ ταὐτὰ
10 ἀξιοῖ ἀντιπάσχειν τοὺς ποιήσαντας· οὐ γὰρ ὀδόντα ἀντὶ ὀδόντος ἀξιοῖ ἐξαιρεῖν,
ἀλλὰ τιμᾶσθαι πόσου καὶ ποίου ἄξιος ὁ ὀδοὺς ἢ ὁ ὀφθαλμὸς ἢ ὅ τι ἂν ᾖ
τὸ μέλος, οἷον εἰ δέκα νομισμάτων, ταῦτα ἀπαιτεῖν ἀπὸ τοῦ ποιήσαντος καὶ
διδόναι τῷ πεπονθότι τὴν στέρησιν τοῦ ὀδόντος ἢ τοῦ ὀφθαλμοῦ. ἐπὶ
μὲν οὖν τῶν τοιούτων δικαίων οὕτως· ἐπὶ δὲ τοῦ ἀντιπεπονθότος χωρίς
15 τινος ἀναλογίας λαμβάνεται. δεῖ γάρ, φησίν, ἁπλῶς καὶ δίχα τινὸς ἀνα- 55
λογίας παθεῖν ὃ δέδρακε· τοῦτο δὲ οὐδαμῶς δίκαιον. καὶ ὅτι οὐκ ἔστι
δίκαιον, δείκνυσι | τῇ παραθέσει τῶν παραδειγμάτων λέγων οὐ γὰρ 68r
εἰ ἀρχὴν ἔχων ἐπάταξε, δεῖ ἀντιπληγῆναι· τὰ γὰρ αὐτὰ οὐκ ἴσην
βλάβην ποιεῖ τῷ ἄρχοντι καὶ ἀρχομένῳ. ὁ γὰρ ἄρχων πλέον τι κατὰ
20 τὸν πολίτην ἐστί· διὸ οὔτε πλήξας ἀντιπλήσσεται, διότι μηδὲ ἀδικεῖν δοκεῖ
(καίτοι πέπονθεν ὁ πληγείς) μήτε πληγέντος τὰ ἴσα ἀντιπληγήσεται ὁ τὸν
ἄρχοντα πλήξας. τὸ δὲ ἁπλῶς ἀντιπεπονθὸς τὰ αὐτὰ βούλεται παθεῖν τὸν 5
δράσαντα ἃ δέδρακεν. ἔτι ποῖον δίκαιόν ἐστι τὸ τὰ αὐτὰ πάσχειν ἃ πεποίηκε
τὸν ἑκόντα δράσαντα καὶ τὸν ἄκοντα; ὅπερ δή, λέγω δὴ τὸ μὲν πότερον
25 ἑκὼν δέδρακεν ἢ ἄκων, ἐν μὲν τῷ ἐπανορθωτικῷ δικαίῳ ἐξετάζεται, καὶ
εἰ μὲν εὑρεθῇ ἑκὼν δράσας, εὐθύνεται μειζόνως, εἰ δ' ἄκων, μετριωτέρως·
ἐπὶ δὲ τοῦ ἀντιπεπονθότος οὐδὲν τοιοῦτον ἐξετάζεται. ἀλλ' ἐν μὲν ταῖς
κοινωνίαις ταῖς ἀλλακτικαῖς συνέχει τὸ τοιοῦτον δίκαιον τὸ ἀντι-
πεπονθός. δείξας ὅτι τὸ ἀντιπεπονθὸς δίκαιον οὕτως ἁπλῶς καὶ δίχα
30 διορισμοῦ τινος λεγόμενον καὶ γινόμενον οὐκ ἔστι δίκαιον, διὰ τούτων ἐπι- 10
χειρεῖ δεικνύναι, πρὸς τίνα χρήσιμον καὶ πῶς γινόμενον δίκαιον ἂν εἴη.
καὶ λέγει ὅτι, ἂν μὴ ἁπλῶς ὡς οἱ Πυθαγόρειοί φασι γίνηται, ἀλλὰ κατ'
ἀναλογίαν καὶ τὴν ταύτης ἰσότητα, χρήσιμον ἔσται πρὸς τὰς κοινωνίας τὰς ἀλλα-
κτικάς, ἐν αἷς τὸ καὶ τὰς πόλεις σώζεσθαι καὶ συμμένειν ἐστί. σύμφωνα δὲ ταῦτα
35 τοῖς πρὸ ὀλίγου ῥηθεῖσιν· εἶπε γὰρ "ἀνῃροῦντο ἄν, εἰ μὴ τὸ ποιοῦν ἐποίει καὶ
τὸ πάσχον ἔπασχεν οἷον καὶ ὅσον". τοῦτο οὖν ἐστιν ὃ καὶ νῦν λέγει διὰ τοῦ
τῷ ἀντιποιεῖν γὰρ ἀνάλογον καὶ οὐχ ἁπλῶς, ὥς φασιν οἱ Πυθαγόρειοι, 15
συμμένουσι καὶ σώζονται αἱ πόλεις." ἀντιδιδομένων γὰρ ἀνάλογον

---

1 νεμητικῷ Ba 2 ἐν om. S 3 ἐν fort. delendum 11 ποίου scripsi: δίου libri
ὅ τι] εἴ τι a 14 οὖν om. Ba 19. 20 κατὰ τῶν πολιτῶν S 24 πρότερον Ba
26 δράσας] πράξας S μειζόνως scripsi: μείζονος libri μετριότερον (sic) S
32 φησι B 34 τὰς πόλεις] τοὺς πολλοὺς S σημαίνειν S post ἐστί add
καὶ S 37 τῷ Arist.: τὸ libri ἀντιπονεῖν S γὰρ om. Ba

τοῖς κακῶς ποιοῦσι κακῶν καὶ τοῖς καλῶς καλῶν οὐκ ἐν δουλείᾳ ἡ πολιτεία 68ʳ
εὑρίσκεται, ἀλλ' ἐν ἐλευθερίᾳ καὶ δημοκρατικῶς πολιτευομένη. γινόμενον
οὖν κατὰ νόμους καὶ κατ' ἀναλογίαν καὶ ὡρισμένως τὸ ἀντιπεπονθὸς σώζει
καὶ συντηρεῖ τὰς πόλεις καὶ οὐκ ἐᾷ ἐκπολεμοῦσθαι καὶ ἀνατρέπεσθαι τὴν
5 κοινωνίαν καὶ τὴν πολιτείαν. οὕτω μὲν οὖν ἀναλόγως γινόμενον τὸ ἀντι-
πεπονθὸς δίκαιόν ἐστι καὶ σώζει τὰς πόλεις, ὡς δ' οἱ Πυθαγόρειοι ἀπο- 20
φαίνονται, οὐδαμῶς. καὶ τὰ μὲν λεγόμενα τοιαῦτα· κατὰ δὲ τὴν λέξιν τὴν

p. 1132ᵇ34 Ἢ γὰρ τὸ κακῶς ζητοῦσιν· εἰ δὲ μή, δουλεία δοκεῖ εἶναι

Ὃ λέγει τοιοῦτόν ἐστιν· ἢ γὰρ τοὺς κακῶς ποιήσαντας ζητοῦσιν οἱ
10 κακῶς πεπονθότες κακὰ ἀντιπαθεῖν (δουλεία γάρ ἐστιν, εἰ μὴ πάθοιεν ἀνα-
λόγως κακά) ἢ πεποιηκότες εὖ τὴν πόλιν ἢ πολίτην τινὰ καὶ ζητοῦσιν
ἀντιπαθεῖν εὖ· εἰ δὲ μή, μετάδοσις οὐκ ἔσται. ὅτι δὲ τοὺς εὖ πεποιηκότας
δεῖ ἀντευποιεῖν, σημεῖόν φησι τὸ ἱδρῦσθαι ἐν ταῖς πόλεσιν ἐμποδὼν ἤτοι
ἐν τῷ μέσῳ Χαρίτων ἱερόν, ὡς δεῖ πάντως τὸν εὖ παθόντα ἀνθυπηρετῆσαι
15 τῷ προκατάρξαντι, καὶ αὐτὸν πάλιν ἄρξασθαι χαριζόμενον. διὰ τοῦτο καὶ
τριῶν οὐσῶν ἐν τῷ νεῷ Χαρίτων ἡ μέση οὖσα τῶν ἄκρων ἔμπαλιν ἔστραπται 35
πρὸς τὸν χαρισάμενον καὶ δεξιοῦται. καὶ τὸ μὲν ἐπεστράφθαι πρὸς τὸν
εὖ πεποιηκότα ἦν σύμβολον ὑπηρεσίας, τὸ δὲ δεξιοῦσθαι τοῦ πάλιν αὐτὴν
ἀρχὴν ποιεῖσθαι τοῦ ἀντευεργετεῖν. ποιεῖ δὲ τὴν ἀντίδοσιν τὴν κατὰ
20 ἀναλογίαν ἡ κατὰ διάμετρον σύζευξις. εἰπὼν ὅτι τὸ ἀντιπεπονθὸς
δίκαιον γινόμενον κατὰ ἀναλογίαν σωστικόν ἐστι τῆς πολιτικῆς κοινωνίας
(οὕτω γὰρ ἂν ὑπάγοιτο τῷ πολιτικῷ δικαίῳ κατὰ ἀναλογίαν δηλονότι γινό-
μενον), διὰ τούτων δείκνυσι πῶς γίνεται καὶ πῶς ἐν τῷ διαγράμματι ἡ 40
κατὰ διάμετρον σύζευξις, καὶ πῶς οἱ τεχνῖται ἀλλασσόμενοι τὰ ἔργα αὐτῶν
25 τὸ ἴσον καὶ τὸ δίκαιον ἂν ἔχοιεν. ἁπλῶς μὲν γὰρ τῆς ἀλλαγῆς γινομένης
οὐκ ἔσται τὸ συνάλλαγμα ἴσον, οὐδ' ἂν συσταίη οὕτω ἡ πόλις· εἰ δ' ἀνά-
λογον γένοιτο, εἴη ἂν ἴσον καὶ δίκαιον. οὐ γὰρ ἔστιν ἡ οἰκία ἴση τῷ
ὑποδήματι· διὰ τοῦτο δεῖ τὸ ἀνάλογον παραλαμβάνειν ἐν τούτοις. οἰκοδόμος
ἐφ' οὗ Α, σκυτοτόμος ἐφ' οὗ Β. δείκνυσιν, ὡς εἶπον, πῶς τὸ ἀντι-
30 πεπονθὸς κατὰ ἀναλογίαν γινόμενον δίκαιόν ἐστι καὶ τίς ἡ κατὰ διάμετρον 45
ἐν τῷ διαγράμματι σύζευξις. ἔστι δέ, ἵν' ἐντεῦθεν ἄρξωμαι, κατὰ διάμετρον
σύζευξις ἡ τοῦ οἰκοδόμου πρὸς τὰ ὑποδήματα καὶ ἡ τοῦ σκυτέως πρὸς τὴν
οἰκίαν. διάμετρος γάρ ἐστιν εὐθεῖα τέμνουσα δίχα τὸ τετράγωνον. ἔστι
δὲ τοιαύτη ἡ ἀπὸ τοῦ οἰκοδόμου πρὸς τὸ ὑπόδημα ἐπεζευγμένη, ὁμοίως
35 καὶ ἡ ἀπὸ τοῦ σκυτέως πρὸς τὴν οἰκίαν. ἡ μὲν οὖν κατὰ διάμετρον

---

1 κακῶν] κακοῖς Ba καλῶν] καλῶς B: καλοῖς a δούλῳ a 2 ἐν om. a
ἐλευθέρῳ a δημοκρατικῇ πολιτευομένῃ a 10 εἰ μὴ ἀντιπεποίθοιεν S
11 ante πεποιηκότες add. οἱ a συμπολίτην S: πολιτείαν a 12 ἔστιν S
13 ἀντιποιεῖν BS τὸ] τῷ Ba 14 ἱερά Ba 15 ἄρξασθαι χαρακτηριζόμενον B
16 ἔστραπτε a 17 δεξιοῦται τὴν ἑτέραν Anon. 18 αὐτὸν S 19. 20 κατὰ τὴν
ἀναλογίαν a 22. 23 γινομένην S 24 ἀλλασσόμενα a 26 ἔστιν S 28 δεῖ] δὴ S
31 ἄρξομαι a 34 δὲ] γὰρ a ἀπὸ om. B ἐπιζευγμένη (sic) Ba: om. S

σύζευξις αὕτη· ἡ δὲ ἀναλογία, ὡς ὁ οἰκοδόμος πρὸς τὸν σκυτέα, ἡ οἰκία 68r
πρὸς τὰ ὑποδήματα. εἰ οὖν ὁ οἰκοδόμος ἴσος τῷ σκυτεῖ, ἔσται καὶ ἡ 50
οἰκία ἴση τοῖς ὑποδήμασι, καὶ λαβὼν ὁ οἰκοδόμος τὰ ὑποδήματα καὶ ὁ
σκυτεὺς τὴν οἰκίαν ἕξουσι τὰ ἴσα, καὶ ἔσται ἡ ἀνταλλαγὴ δικαία καὶ τὸ
5 ἀντιπεπονθὸς τοῦτο δίκαιον διὰ τὸ κατὰ ἀναλογίαν γενέσθαι· ἐπίσης γὰρ
ὠφέληται ὁ οἰκοδόμος παρὰ τοῦ σκυτέως καὶ ὁ σκυτεὺς παρὰ τοῦ οἰκοδόμου.
ἐπεὶ γὰρ ἴση ἡ οἰκία τοῖς ὑποδήμασι διὰ τὸ καὶ τοὺς τεχνίτας ἴσους εἶναι,
δῆλον ὅτι ὅσον ἔλαβεν ὁ οἰκοδόμος, τοσοῦτον καὶ ὁ σκυτεύς. εἰ δὲ μή
ἐστιν ὁ οἰκοδόμος ἴσος τῷ σκυτεῖ ἀλλ' ὑπερέχει, δῆλον ὅ|τι καὶ τὸ ἔργον 68v
10 τοῦ οἰκοδόμου ὑπερέχει τοῦ ἔργου τοῦ σκυτέως, καὶ δεῖ γενέσθαι τὸ ἀνά-
λογον, ὥστε γενέσθαι τὰ ὑποδήματα ἴσα τῇ οἰκίᾳ· κἂν οὕτω γένηται, ἔσται
ἡ διανομὴ ἴση καὶ δικαία. ἔστω γὰρ τοῦ σαφοῦς ἕνεκα ὁ μὲν οἰκοδόμος
ὁ ς̄ ἀριθμός, ὁ δὲ σκυτεὺς ὁ γ̄· διπλασίων ἄρα ὁ οἰκοδόμος τοῦ σκυτέως·
εἰ δὲ τοῦτο, διπλάσιον δηλονότι καὶ ἡ οἰκία τῶν ὑποδημάτων. εἰ οὖν
15 διπλασιασθῇ τὰ ὑποδήματα ἔσονται ἴσα τῇ οἰκίᾳ, καὶ λήψεται ὁ μὲν οἰκοδόμος 5
τὰ ὑποδήματα, ὁ δὲ σκυτεὺς τὴν οἰκίαν. εἰ οὖν πρῶτον, φησί, γένηται
τὸ κατὰ ἀναλογίαν ἴσον, καὶ ἰσασθῇ τὰ ἔργα τῶν τεχνιτῶν ὡς μὴ
ὑπερέχειν θάτερον θατέρου, εἶτα τὸ ἀντιπεπονθὸς γένηται, τουτέστιν
εἶτα ἡ ἀνταλλαγὴ γένηται, ἔσται τὸ λεγόμενον, ἤτοι τὸ κατὰ ἀναλογίαν
20 δίκαιον· εἰ δὲ μὴ πρότερον γένηται τὸ κατὰ ἀναλογίαν καὶ ἰσασθῇ τὰ ὑποδή-
ματα τῇ οἰκίᾳ, οὐχ ἕξουσι τὰ ἴσα, ἀλλὰ τὰ ἄνισα· πλέον μὲν ὁ σκυτεύς,
ὅτι ἡ οἰκία μείζων τῶν ὑποδημάτων, ἔλαττον δὲ ὁ οἰκοδόμος, ὅτι τὰ ὑπο- 10
δήματα ἐλάττω τῆς ἀξίας τοῦ οἰκήματος· ὥστε οὐδὲ συμμενεῖ ἡ κοινωνία
τοῦ οἰκοδόμου καὶ τοῦ σκυτέως.

25 p. 1133a16 Οὐ γὰρ ἐκ δύο ἰατρῶν γίνεται κοινωνία, ἀλλ' ἐξ ἰατροῦ καὶ γεωργοῦ.

Εἰπὼν ὅτι οὐθὲν κωλύει κρεῖττον εἶναι τὸ θατέρου ἔργον ἢ τὸ θατέρου,
τοῦτο διὰ τῶν λεγομένων νῦν δείκνυσι. δυνάμει λέγων "εἰ μὲν γὰρ ἦσαν 15
ἀμφότεροι οἱ τεχνῖται ἰατροὶ ἢ ἀμφότεροι σκυτεῖς, οὐκ ἂν ἦν τὸ θατέρου
30 ἔργον κρεῖττον ἢ τὸ θατέρου· ἐπεὶ δὲ διαφέρουσιν οἱ τεχνῖται, ἐνδέχεται τὸ
μὲν θατέρου εἶναι κρεῖττον, τὸ δὲ θατέρου χεῖρον". καὶ ὅλως ἑτέρων
καὶ οὐκ ἴσων. προσέθηκε τῷ ἑτέρων τὸ οὐκ ἴσων, διότι ὧν τὰ ἔργα
ἕτερα καὶ οὐκ ἴσα, ἀνάγκη καὶ τοὺς τεχνίτας ἀνίσους εἶναι. δεῖ δέ, εἰ
μέλλει κοινωνία εἶναι καὶ πόλις, ἑτέρους εἶναι τοὺς κοινωνοῦντας τῆς πολιτείας.
35 οὔτε γὰρ πόλις οὔτε ἄλλη τις γίνεται κοινωνία ἐκ τῶν πάντα τὰ ἔργα
ἐργαζομένων· εἰ γὰρ πάντες τὰ αὐτὰ ἐργάζονται, ἕκαστος ἂν ἔχοι τὰ ἑκάστου, 20

---

2 post ὑποδήματα add. ἐπιζευγνυμένη S 7 καὶ] κατὰ a 9 ἴσον a
11 post ὥστε add. καὶ S 14 διπλασία a καὶ ἡ οἰκία δηλονότι coll. a
18 ὑπερέχει a 19 εἶτα om. S 21 σκυτεύς] οἰκοδόμος S 22 οἰκοδόμος] σκυτεὺς S 27 θάτερον ἔργον Sa 30 ἢ τὸ] τοῦ a 32 τῷ ἑτέρων] τῷ ἑτέρῳ a: τὸ ἑτέρων S 34 κοινωνίαν εἶναι καὶ πολιτείαν a 35 πόλιν a πάντα] παντὸς S: πάντων a ἔργα] αὐτὰ Sa

καὶ οὕτω πάντες ἕν τι ἔσονται καὶ μηδένες μηδένων χρῄζοντες· ἡ γὰρ 68v
χρεία πλειόνων, πλείονες δὲ οἱ διαφέροντες. οἱ γὰρ τὰ αὐτὰ εἰδότες καὶ
ἐργαζόμενοι κἂν πλείους ὦσιν ὡς ἄνθρωποι, ἀλλ' ὡς τὰ αὐτὰ ἐργαζόμενοι
πάντες εἷς εἰσιν. ὥστε εἰ μέλλει κοινωνία εἶναι, δεῖ ἑτέρους εἶναι καὶ μὴ
5 ἴσους. ἡ γὰρ τῶν χρησίμων καὶ λειπόντων ἑκάστῳ λῆψις καὶ δόσις αἰτία
τῆς κοινωνίας. ἐπεὶ τοίνυν μὴ οἷόν τέ ἐστιν ἕκαστον ἅπαντα ἐργάζεσθαι
ὧν χρῄζει, διαφέροντας ἀνάγκη εἶναι τοὺς τὰ χρειώδη ἐργαζομένους (εἰ 25
δ' οὗτοι διαφέροντες, καὶ τὰ ἔργα διάφορα) εἶθ' οὕτως γενέσθαι τὴν ἄμειψιν
καὶ ἀνταλλαγὴν τῶν κοινῶν· οὕτω γὰρ ἂν τὸ ἴσον ἔχοιεν.

10 p. 1133a19 Διὸ πάντα συμβλητὰ δεῖ πως εἶναι, ὧν ἐστιν ἀλλαγή.

Τὸ συμβλητὰ ἀντὶ τοῦ λόγον ἔχειν πρὸς ἄλληλα καὶ σύγκρισιν, τουτέστι 35
τιμᾶσθαι καὶ ὡρισμένην εἶναι τὴν ἑκάστου τιμήν. διὰ τοῦτο τὰ νομίσματα
εὕρηται· μετρεῖ γὰρ πάντων τὴν ἀξίαν καὶ ἐπ' ὄψιν τίθησι καὶ δήλην ποιεῖ
τὴν ἑκάστου ὑπεροχὴν καὶ ἔλλειψιν. δήλου μὲν γὰρ ὄντος ὅτι ὑπερέχει
15 ἡ οἰκία τῶν β̄ ὑποδημάτων, τῆς δ' ὑπεροχῆς ἀδήλου οὔσης πόση τίς ἐστι,
τὸ νόμισμα ταύτην ἐμφανῆ καθίστησιν. εὑρόντες γὰρ ὅτι ἡ οἰκία ἐστὶν
ἀξία, εἰ ἔτυχε, νομισμάτων ῑ, τὰ δὲ β̄ ὑποδήματα ἑνός, ἔχομεν ὅσον ὑπερέχει
ἡ οἰκία τῶν ὑποδημάτων καὶ ὅσον ἐλλείπει τὰ ὑποδήματα τῆς οἰκίας. 40
ἐπεὶ γὰρ ἡ οἰκία δέκα ἐστὶν ἀξία νομισμάτων, τὰ δὲ ὑποδήματα νομί-
20 σματος ἑνός, ἡ ὑπεροχὴ τῆς οἰκίας πρὸς τὰ ὑποδήματά ἐστιν νομισμάτων
θ̄. ἰσασθήσεται δὲ ἡ οἰκία καὶ τὰ ὑποδήματα οὕτως. ἐπεὶ τὰ β̄ ὑποδήματα
ἑνός ἐστι νομίσματος ἄξια, ἔσται τὰ κ̄ ὑποδήματα νομισμάτων ῑ ἄξια· ἔστι
δὲ καὶ ἡ οἰκία τῶν αὐτῶν δέκα νομισμάτων ἀξία· τὰ ἄρα κ̄ ὑποδήματα τὰ
αὐτά εἰσι τῇ οἰκίᾳ καὶ ἴσα. ⟨ὥστε⟩ ἂν κ̄ ὑποδήματα λαβὼν ὁ οἰκοδόμος
25 ἀπὸ τοῦ σκυτέως δοίη αὐτῷ τὴν οἰκίαν, ἔσται τὸ ἀντιπεπονθὸς κατὰ τὴν 45
ἀναλογίαν δίκαιον καὶ ἴσον. καὶ ὁρᾷς ὅπως τὰ νομίσματα ἀνάλογόν εἰσι
τῷ δικαστῇ. ὡς γὰρ ἐπὶ τοῦ ἐπανορθωτικοῦ δικαίου τῇ τοῦ δικαστοῦ
μεσότητι ἐγινώσκομεν πόσον δεῖ ἀφελεῖν ἀπὸ τοῦ πλεονέκτου καὶ προσθεῖναι
τῷ ἀδικηθέντι (μέσον γὰρ πίπτων ὁ δικαστὴς τοῦ ἠδικηκότος καὶ ἠδικημένου
30 ἐποίει ἀμφοτέρων τὴν ὑπεροχὴν καὶ τὴν ἔλλειψιν δήλην), οὕτως κἀνταῦθα
τῇ παραθέσει τῶν νομισμάτων εὕρομεν τὴν τῆς οἰκίας πρὸς τὰ ὑποδήματα
ὑπεροχήν. καλῶς ἄρα εἴρηκεν ὅτι γίνεταί πως μέσον τὸ νόμισμα· 50
κανὼν γὰρ καὶ κριτήριον γίνεται τῆς ἀρετῆς τοῦ οἰκήματος καὶ τῶν ὑποδη-
μάτων, ὡς καὶ ὁ δικαστὴς τῆς πλεονεξίας καὶ μειονεξίας. δεῖ τοίνυν,

---

1 μηδὲν μηδένων S 3 πλείονες εἰσὶν οἱ ἄνθρωποι S ἀλλ' οὖν ὡς S 4 εἷς πάντες coll. S
5 εἰ γὰρ S 8 διαφέροντες] διαφέρονται a ἔργα διαφέρουσιν a 9 κοινωνιῶν S:
κοινωνῶν a 11 Τῷ a συμβλητὸν S ἀντὶ τοῦ] αὐτὸ S: πάντα a
ἔχει S 15 ἀδήλης Ba 17 νομίσματα S: νομίσματος a ὅσα a
19 post ὑποδήματα add. ταῦτα S 20. 21 νομίσματα θ̄ S 24 ὥστε addidi
λάβει a 25 τὴν post κατὰ om. Sa 27 ante δικαίου add. τοῦ a 33 ἀρετῆς] ὑπερ-
οχῆς τε S 34 καὶ τῆς μειονεξίας S post τοίνυν add. ὅμως S

ὅπερ ὁ οἰκοδόμος πρὸς σκυτοτόμον, τοῦτο γενέσθαι τὰ ὑποδήματα πρὸς 68ᵛ
τὴν οἰκίαν. ἦν δὲ ὁ οἰκοδόμος διπλασίων τοῦ σκυτοτόμου· δεῖ δὴ διπλα-
σιάσαι τὰ ὑποδήματα, καὶ ἔσονται ἴσα τῇ οἰκίᾳ. εἰ γάρ ἐστιν ἡ οἰκία δ̄,
τὰ δὲ ὑποδήματα β̄, εἰ διπλασιασθῇ τὰ β̄, ἔσται δ̄. εἰ γὰρ μὴ ἔσται ἰσότης,
5 οὐκ ἔσται ἀλλαγὴ οὐδὲ κοινωνία· μετρηθήσονται δὲ καὶ ἰσασθήσονται 69ᵛ
ἑνί τινι, οἷον τῷ νομίσματι, καὶ εἴρηται πῶς. τοῦτο δέ ἐστι τῇ μὲν
ἀληθείᾳ ἡ χρεία. τὸ αἴτιον, φησί, τῆς πρὸς ἀλλήλους κοινωνίας ἐστὶν ἡ
χρεία· διὰ γὰρ τὸ χρῄζειν ἕκαστον ἡμῶν πολλῶν, μὴ οἷόν τε δὲ εἶναι, ὡς
καὶ πρότερον εἴρηται, πάντα ἐργάζεσθαι ὧν χρῄζει, κοινωνοῦμεν ἀλλήλοις.
10 ὅτι δὲ τῆς κοινωνίας ἡ χρεία ἐστὶν αἰτία, δῆλον ἐφ' ὧν μὴ δέονται θάτεροι
θατέρων. ὅταν γὰρ μὴ δέηται ὁ γεωργὸς ὑποδημάτων ἢ ὁ σκυτοτόμος 5
σίτου, οὐδὲ κοινωνία τούτων ἐστί· δεηθέντες δὲ ἀμφότεροι καὶ ὁ γεωργὸς
τῶν τοῦ σκυτέως καὶ ὁ σκυτεὺς τῶν τοῦ γεωργοῦ ἔργων, εὐθὺς κοινωνῆσαι
σπεύδουσι τῶν ἀλλήλων ἔργων. ἀλλ' ἐπεὶ πολλάκις ὁ μὲν σκυτεὺς χρῄζει
15 τῶν τοῦ οἰκοδόμου ἔργων ἢ τοῦ γεωργοῦ, ὁ δὲ οἰκοδόμος ἢ γεωργὸς τῶν
τοῦ σκυτέως οὐ χρείαν ἔχει ἔργων, ἀνάλλαγμα τῆς χρείας γέγονε τὸ νόμισμα,
καὶ διδόαμεν ἀντὶ ὑποδημάτων ἢ σίτου ἢ οἰκίας νομίσματα κατὰ συνθήκην.
καὶ διὰ τοῦτο νόμισμα καλεῖται, ὅτι οὐ φύσει ἀλλὰ νόμῳ καὶ θέσει 10
ἡμετέρᾳ, καὶ ἐφ' ἡμῖν ἄχρηστον ποιῆσαι αὐτό· εἰ γὰρ θελήσομεν διδόναι ἃ
20 ἔχομεν καὶ λαμβάνειν ἃ μὴ ἔχομεν, ἄχρηστον ἔσται τὸ νόμισμα.

p. 1133ᵃ31 Ἔσται δὴ ἀντιπεπονθός, ὅταν ἰσασθῇ, ὥστε ὅπερ γεωργὸς πρὸς σκυτοτόμον.

Ὅταν, φησίν, ἰσασθῇ τὰ ἔργα, ἔσται τὸ ἀντιπεπονθὸς δίκαιον, ὡς εἶναι
ὡς ὁ γεωργὸς πρὸς τὸν σκυτοτόμον, τὸ ἔργον τοῦ σκυτοτόμου πρὸς 15
25 τὸ τοῦ γεωργοῦ. εἰ γάρ ἐστιν ὁ γεωργὸς διπλασίων τοῦ σκυτοτόμου, ἥμισυς
ἄρα ὁ σκυτοτόμος τοῦ γεωργοῦ· καὶ τὰ ὑποδήματα ἄρα ἡμίση τοῦ σίτου. εἰ οὖν
διπλασιασθῇ τὰ ὑποδήματα, ὡς εἶναι, ὡς ὁ γεωργὸς πρὸς τὸν σκυτέα, τὰ ὑπο-
δήματα τὰ διπλασιασθέντα πρὸς τὰ ὑποδήματα τὰ ἐξ ἀρχῆς τὰ ὄντα ἡμίση τοῦ
σίτου, ἔσται τὰ ὑποδήματα ἴσα τῷ σίτῳ καὶ τὸ ἀντιπεπονθὸς δίκαιον κατὰ
30 τὴν γεωμετρικὴν ἀναλογίαν, ἥτις γίνεται ἐν τέτρασιν ὅροις. δείξει δὲ ὕστερον 20
ὅτι καὶ ἐν τρισὶν ὅροις γίνεταί πως καὶ κατὰ τοῦτο ὑπάγεται τῇ ἀριθμητικῇ
ἀναλογίᾳ. καὶ εἴη ἂν ἡ μὲν ἀντίδοσις καὶ ἀνταλλαγὴ κατὰ τὴν γεωμετρικὴν
ἀναλογίαν, ἡ δὲ ἔκθεσις τῆς ἀναλογίας καὶ τῆς ἰσότητος τῶν ἐν τῇ ἀντιδόσει
γινομένων διὰ τῆς ἀριθμητικῆς καὶ ἐκείνῃ προσχρωμένη.

---

1 τοῦτο] οὕτως Sa supra scr. B γενέσθω S 2 δὴ scripsi: δὲ libri ante διπλασιάσαι add. καὶ a 2. 3 διπλασιάσασθαι S 10 αἴτιον a 11 ἢ ὁ σκυτεὺς Sa 13 τῶν post γεωργὸς om. S τοῦ σκυτοτόμου a σκυτοτόμος a 17 διδόαμεν ἀεὶ τὸ τοῦ ὑποδήματος S 25 ἥμισυ Ba 26 ἥμισυ Sa 27 σκυτοτόμον a 28 ἥμισυ S 29 τῷ σίτῳ] τοῦ ἴσου Ba 32 ἂν εἰ μὲν S 33 post τῇ add. αὐτῇ S

p. 1133a33 Εἰς σχῆμα δ' ἀναλογίας οὐ δεῖ ἄγειν, ὅταν ἀλλάξωνται· 69r
εἰ δὲ μή, ἀμφοτέρας ἕξει τὰς ὑπεροχάς.

Ἡ ὑπεροχὴ λέγεται καὶ ἐπὶ τῆς ὑπερβολῆς καὶ τῆς ἐλλείψεως, καὶ ἔθος ἐστὶ λέγειν "εἰς ὑπερβολὴν ἐδόθη αὐτῷ πολλά", καὶ ἔμπαλιν "εἰς ὑπερβολὴν ἐδόθη αὐτῷ ὀλίγα", καὶ "εἰς ὑπερβολὴν ὅδε πλούσιός ἐστι", καὶ αὖ "εἰς ὑπερβολὴν ὅδε πένης", ἴσον λέγοντες τῷ λίαν ἔχει ὅδε χρήματα πολλά, καὶ λίαν ὅδε ὀλίγα. καὶ τὸ μὲν τῆς λέξεως τοιοῦτον· 30
ὃ δὲ λέγει, τοιοῦτον ἂν εἴη· τὰς ἀναλογίας τῶν τεχνιτῶν καὶ τῶν ἔργων, ἃ ἐργάζονται, δεῖ ποιεῖν πρὸ τοῦ ἀλλάξασθαι κατὰ τὸν ὑφηγημένον τρόπον. γινομένης γὰρ τῆς ἀναλογίας πρὸ τῆς ἀλλαγῆς, μετὰ δὲ τοῦτο τῆς ἀνταλλαγῆς, ἔσται ἡ ἀντίδοσις καὶ ἡ ἀλλαγὴ ἴση καὶ δικαία, καὶ εἰς τὸ σχῆμα τῆς ἀναλογίας ἀναχθήσεται, ὡς εἶναι, ὡς ὁ οἰκοδόμος πρὸς τὸν σκυτοτόμον, οὕτως ὁ οἰκοδόμος μετὰ τῆς οἰκίας πρὸς τὸν σκυτέα μετὰ τῶν ὑποδημάτων. ὡς γὰρ ὑπερέχει ὁ οἰκοδόμος τοῦ σκυτέως, οὕτω 35
καὶ ὁ οἰκοδόμος μετὰ τῆς οἰκίας τοῦ σκυτέως μετὰ τῶν ὑποδημάτων, πρὸ τῆς ἀλλαγῆς δηλονότι. καὶ δεῖ τὴν τοιαύτην ἀνισότητα τῆς οἰκίας πρὸς τὰ ὑποδήματα ἰσασθῆναι· ἰσασθήσεται δὲ οὕτως. ἐπεὶ γὰρ διπλῆ ἐστιν ἡ οἰκία τῶν ὑποδημάτων, εἰ διπλασιασθῇ τὰ ὑποδήματα β̄ ὄντα καὶ γένηται δ̄, ἔσται δ̄ ὑποδήματα ἴσα τῇ οἰκίᾳ· καὶ οὕτως τῆς ἰσότητος γεγονυίας, εἰ λήψεται ὁ μὲν οἰκοδόμος τὰ δ̄ ὑποδήματα καὶ ὁ σκυτεὺς τὴν οἰκίαν, ἔσται ὁ οἰκοδόμος μετὰ τῶν δ̄ ὑποδημάτων ἴσος τῷ σκυτεῖ μετὰ τῆς οἰκίας. 40
ἐπεὶ γὰρ διὰ τὴν τῆς οἰκίας πρὸς τὰ ὑποδήματα ὑπεροχὴν ἐλέγετο ὁ οἰκοδόμος ὑπερέχειν τοῦ σκυτέως, ἰσασθέντων τῶν ὑποδημάτων τῇ οἰκίᾳ ἔσται ὁ οἰκοδόμος ἴσος τῷ σκυτεῖ. τοῖς δὲ ἴσοις ἴσα ἐὰν προστεθῇ, τὰ ὅλα ἴσα ἔσται, ⟨ὥστε⟩ εἴη ἂν καὶ ὁ οἰκοδόμος μετὰ τῶν ὑποδημάτων ἴσος τῷ σκυτεῖ μετὰ τῆς οἰκίας. δεῖ οὖν, φησί, πρὸ τῆς ἀλλαγῆς ποιεῖσθαι τὴν ἀναλογίαν καὶ ἰσάζειν δι' αὐτῆς τὰ τῶν τεχνιτῶν ἔργα. εἰ δὲ μή, ἀμφοτέρας ἕξει τὰς ὑπεροχάς, τουτέστιν· εἰ δὲ ἁπλῶς καὶ χωρὶς ἀναλογίας ἀλλάξονται, ἑκάτερος τῶν ἄκρων, ἤτοι ὁ οἰκοδόμος καὶ ὁ σκυτεύς, ἀμφοτέρας 45
ἕξει τὰς ὑπεροχάς. ἂν γὰρ λάβῃ ὁ οἰκοδόμος τὰ β̄ ὑποδήματα, ἔσται μὲν ὑπερέχων ὡς οἰκοδόμος, ὑπερεχόμενος δὲ καὶ ἐλλείπων ὡς τὰ β̄ ὑποδήματα ἔχων, καὶ ὁ σκυτεὺς ὁμοίως ὡς μὲν σκυτεὺς ἐλλείπων καὶ ὑπερεχόμενος, ὡς δὲ ἔχων τὴν οἰκίαν ὑπερέχων. ὥστε τοὺς οὕτως ἁπλῶς δηλονότι ἀλλασσομένους μάταιόν ἐστι μετὰ τὴν ἀλλαγὴν πειρᾶσθαι εἰς σχῆμα ἄγειν 50
ἀναλογίας. καὶ οὐ μόνον μάταιον, ἀλλὰ καὶ ἀδύνατον· οὐ γὰρ δύναται ἐπὶ τῆς ἀλλαγῆς τῆς δίχα ἀναλογίας γεγονυίας εἶναι, ὡς ὁ οἰκοδόμος πρὸς τὸν σκυτέα, οὕτως ὁ οἰκοδόμος μετὰ τῶν β̄ ὑποδημάτων πρὸς τὸν σκυτέα

---

1 Εἰς—ἀλλάξωνται om. a 2 ἀμφότερα S 3 καὶ ἐπὶ τῆς ἐλλείψεως S
4 πολλά] ὀλίγα S 5 ὀλίγα] πολλὰ S 11 ἡ post καὶ om. S 12 et 13 οἰκοδόμος] γεωργὸς B 14 οἰκοδόμος] γεωργὸς Ba 15 οἰκοδόμος scripsi: γεωργὸς libri τῆς οἰκίας] τοῦ σίτου Sa 17 ἐπειδὴ γὰρ S 29 ἑκάτερα a
30 ἂν] εἰ a 35 δύναται] δυνατὸν a 37 σκύτεον utrobique a

μετὰ τῆς οἰκίας διὰ τὴν τῶν ἀλλασσομένων ἀνισότητα. ὅτι δὲ δύναται 69r
ἰσασθῆναι τὰ ὑποδήματα τῇ οἰκίᾳ, εἴρηται· διὰ γὰρ τῶν νομισμάτων ἢ
ἄλλου τινός. σαφέστατον δὲ τὸ διάγραμμα διὰ τὸ πολλάκις εἰρῆσθαι περὶ
αὐτοῦ, καὶ οὐ δεῖ μάτην περὶ αὐτοῦ | λέγειν πάλιν. 69v

p. 1133ᵇ6 Ὅτι δὲ ἡ χρεία συνέχει ὥσπερ ἕν τι ὄν.

Εἶπε καὶ πρότερον ὅτι τὸ συνέχον τὰς πολιτείας ἡ χρεία ἐστί, καὶ 5
πάλιν διὰ τούτων τὸ αὐτὸ πιστοῦται ἐκ τῶν ὁσημέραι γινομένων. ἕως μὲν
γὰρ ὁ μέν τις ἔχει οἶνον μόνον, ὁ δὲ σῖτον μόνον, καὶ δέονται ὁ μὲν τὸν
σῖτον ἔχων οἴνου, ὁ δὲ τὸν οἶνον σίτου, ἀλλάττονται πρὸς ἀλλήλους καὶ
10 στέργουσιν ἀλλήλους· ὅταν δὲ ὁ ἔχων ἢ καὶ γεωργῶν τὸν σῖτον ἀμπέλων
εὐπορήσῃ, καὶ ὁ τὰς ἀμπέλους ἔχων σῖτον γεωργεῖν δυνήσεται, οὐκ ἀλλάτ-
τονται οὐδὲ κοινωνοῦσι διὰ τὸ μὴ ἐν χρείᾳ ἀλλήλων εἶναι.

p. 1133ᵇ10 Ὑπὲρ δὲ τῆς μελλούσης ἀλλαγῆς, εἰ νῦν μηδὲν δεῖται, 10
ὅτι ἔσται.

15 Πῶς εὕρηται νόμισμα, διὰ τούτων λέγει. ἐπεὶ γὰρ πολλάκις ὁ μὲν
σκυτεὺς ἐδεῖτο σίτου ἢ οἴνου ἤ τινος ἄλλου, ὁ δὲ γεωργὸς ἢ ὁ ἀμπελουργὸς 15
ὑποδημάτων οὐκ ἔχρῃζεν, ἢ ἔμπαλιν ἐκεῖνοι μὲν ἐδέοντο ὑποδημάτων, ὁ δὲ
σκυτοτόμος οὐδενὸς τῶν ἐν ἐκείνοις ἔχρῃζεν, εἰς βοήθειαν τῆς τοιαύτης
περιστάσεως τὸ νόμισμα εὕρηται, καὶ γίνεται οἷον ἐγγυητής. φέρων γὰρ
20 ὁ σκυτεὺς δίδωσι τῷ γεωργῷ τὸ νόμισμα, καὶ φησὶν "ἔχε τοῦτο ἀντὶ ὑπο-
δημάτων καὶ οἷον ἐγγυητήν· ὅταν δέ ποτε ὑποδημάτων δεηθῇς, ληψόμεθα
σὺ μὲν ὑποδήματα, ἐγὼ δὲ τὸ νόμισμα τὸν ἐγγυητήν". πάσχει μὲν οὖν
καὶ τοῦτο τὸ αὐτό· οὐ γὰρ ἀεὶ ἴσον δύναται. καὶ τοῦτο, τὸ νόμισμά
φησι, τὸ αὐτὸ πάσχει. ὃ δὲ λέγει ἐστίν, ὡς ἐπὶ τῆς χρείας τοῦτο ἐπὶ
25 τοῦ νομίσματος ἴδοι ἄν τις γινόμενον. ὡς γὰρ ἐπ' ἐκείνης οὐκ ἀεὶ ὁμοίως
δεόμεθα καὶ ἐν χρείᾳ τῶν ἀλλοτρίων ἐσμέν, οὕτως οὐδὲ τὸ νόμισμα ἀεὶ
ἴσον δύναται, ἀλλὰ μεταπίπτει καὶ τὸ πρότερον πλεῖον δυνάμενον ὕστερον
ἢ οὐδὲν ἢ ἔλαττον ἰσχύει. ὅμως μᾶλλόν γε τοῦτο διαμένει, καὶ δεῖ ὡς μέτρῳ
αὐτῷ τῶν ἀλλασσομένων χρῆσθαι, καὶ πάντων προέχειν καὶ τιμᾶσθαι τὸ
30 νόμισμα. ἀλλὰ πότε δύναται πλεῖον τὸ νόμισμα ἢ πότε ἔλαττον ἢ οὐδέν; ἢ ἐν
μὲν ταῖς εὐθηνίαις πολὺ δύναται, ἐν δὲ ταῖς ἄγαν σιτοδείαις καὶ ἀφορίαις 25
πάντων τῶν καρπῶν οὐδέν· οὐδεὶς γὰρ τῶν ἐχόντων σῖτον μὴ ἀρκοῦντα
ἑαυτῷ καὶ τοῖς ἑαυτοῦ ἀνταλλάσσειν τότε προθυμεῖται. πῶς δὲ τὸ νόμισμα
σύμμετρα τὰ ἔργα ποιεῖ καὶ ἰσάζει, εἴρηται.

---

7 τὸ om. S μὲν om. a 8 μέν τι S 10 ὁ om. S 11 ὁ τὰς] ὅταν a 12 κοινωνοῦσιν ἰδίᾳ τῷ μὴ ἀλλήλων ἐν χρείᾳ εἶναι S 15 εὕρη τὸ νόμισμα a 16 ὁ post ἢ om. S 19 εὕρηται om. B, post τοιαύτης (18) ponit S 21 δεηθεῖς a 24 φησι] λέγει a post φησι add. καὶ τοῦτο φησὶ τὸ νόμισμα Ba ὥσπερ S 25 ὡς] οὐ B 28 ἢ ἔλαττον ἢ οὐδὲν coll. a 29 προέχει a 31 εὐθυνίαις S: εὐθυνείαις a 33 ἑαυτῷ] ἑαυτὸν S

p. 1133ᵇ17 Οὔτε γὰρ μὴ οὔσης ἀλλαγῆς κοινωνία ἂν εἴη. 69ᵛ

Εἰπὼν ὅτι τὸ νόμισμα ὥσπερ μέσον ἤτοι μέτρον γεγονὸς ἰσάζει καὶ σύμμετρα ποιεῖ (σύμμετρα γάρ φασιν οἱ γεωμέτραι τὰ τῷ αὐτῷ μέτρῳ μετρούμενα) πῶς σύμμετρα ποιεῖ, λέγει· εἰ μὴ ἦν ἀλλαγή, κοινωνία οὐκ ἂν ἦν. ἔστι δὲ ἡ τοῦ λόγου σύνθεσις τοιαύτη· ἡ κοινωνία ἐστί, διότι ἀλλάσσομεν, ἀλλάσσομεν δὲ διὰ τὴν ἰσότητα, ἴσα δὲ γίνεται διὰ τὴν συμμετρίαν, συμμετρία δὲ διὰ τὸ νόμισμα. ὥστε μὴ ὄντος νομίσματος συμμετρία οὐκ ἔσται, συμμετρίας δὲ μὴ οὔσης οὐδ' ἀλλαγή, τῆς δ' ἀλλαγῆς οἰχομένης οἴχεται καὶ ἡ κοινωνία. τῇ μὲν οὖν ἀληθείᾳ ἀδύνατον τὰ τοσοῦτον διαφέροντα σύμμετρα γενέσθαι. εἰ κυρίως σύμμετρα τὰ ὁμογενῆ δύνανται γενέσθαι, οἷον ἀριθμοὶ ἀριθμοῖς καὶ μεγέθη μεγέθεσι, τὰ ἀπ' ἀλλήλων τοσοῦτον διεστῶτα ἀδύνατον σύμμετρα γενέσθαι. τὰ γὰρ σύμμετρα κοινῷ μορίῳ καταμετροῦνται, ἀριθμοὶ ἀριθμῷ, τὰ μεγέθη μεγέθει, τὸ δὲ νόμισμα οὐκ ἔστι μόριον τῶν ἐν τῇ ἀλλαγῇ· οὔτε γὰρ τῶν ὑποδημάτων ἐστὶ μόριον οὔτε τοῦ οἴνου (ἦν γὰρ ἂν ἢ οἶνος ἢ ὑπόδημα) οὔτε ἄλλου οὐδενός. γίνεται δὲ μέτρον τῆς κατὰ τὴν χρείαν αὐτῶν συμμετρίας· ὅταν μὲν γάρ ἐστι πολλὴ χρεία τῶν ἀλλασσομένων, μικρόν, ὅταν δὲ σμικρά, μέγα. ἐν μὲν γὰρ ταῖς εὐθηνίαις μέγα καὶ τίμιον, ἐν δὲ ταῖς ἐνδείαις καὶ μάλιστα ταῖς μεγίσταις, πάμπαν σμικρότατον καὶ ἄτιμον. δεῖ οὖν, φησίν, ἕν τι εἶναι, δι' οὗ σύμμετρα γενήσεται τὰ ἐν ταῖς ἀλλαγαῖς, τουτέστι δεῖ ἕν τι εἶναι τὸ μετροῦν αὐτά, καὶ εἶναι μὴ μόριον τῶν μετρουμένων, ἀλλ' ἐξ ὑποθέσεως καὶ συνθήκῃ ἡμετέρᾳ ὡς μέτρον λαμβάνεσθαι, ὃ καὶ νόμισμα λέγεται διὰ τὸ κατὰ συνθήκην γεγονέναι μέτρον. καὶ μετρεῖται αὐτῷ τὰ ὤνια. οἰκία Α, μναῖ δέκα Β, κλίνη Γ. ἐν τῷ κλίνῃ Γ λείπει τὸ μιᾶς μνᾶς. εἰπὼν δὲ ὅτι τὸ νόμισμα μέσον καὶ μέτρον γίνεται ἐν ταῖς ἀλλαγαῖς καὶ ἰσάζει πάντα, δείκνυσιν διὰ τούτων, λέγω δὴ τὸ πῶς τὸ νόμισμα μεσότης γίνεται καὶ πῶς τούτῳ μετρεῖται καὶ πῶς λαμβανόμενον μέσον αὐτῶν εὑρίσκεται. καὶ λαμβάνει εἰς τὴν δεῖξιν οἰκίαν, ᾗ ἐστι ἔργον οἰκοδόμου ἐφ' ᾧ τὸ Α, δέκα δὲ μνᾶς ἢ νομίσματα, ἐπὶ τοῦ Β, κλίνην δὲ ἔργον τέκτονος ἐπὶ τοῦ Γ. καὶ ἐπεὶ πάντα τιμᾶται τοῦ νομίσματος, ἔστω οἰκία ἀξία | πέντε μνῶν, ἡ δὲ κλίνη μιᾶς μνᾶς. τῷ δὴ 70ʳ νομίσματι γνωριοῦμεν πόσαι κλῖναι ἀντάξιαι τῆς οἰκίας· πέντε γὰρ μνῶν οὔσης ἀξίας τῆς οἰκίας ἥμισύ ἐστιν ἡ οἰκία τῶν δέκα μνῶν. ἀλλὰ καὶ τῆς κλίνης μιᾶς οὔσης μνᾶς ἀξίας, δέκατόν ἐστιν ἡ κλίνη τῶν δέκα μνῶν. ἔστι δὲ ἥμισυ τῶν δέκα τὰ ε̄· τῶν δὴ ε̄ τῶν ἡμίσεων πέμπτον ἐστὶν ἡ κλίνη. ἦν δὲ ἡ οἰκία ε̄ μνῶν, ἡ κλίνη ἄρα τῆς οἰκίας πέμπτον ἐστί. ὃ

---

1 γὰρ μὴ BS Arist. Mᵇ: γὰρ ἂν μὴ a Arist. vulg. ἂν εἴη BS: εἴη Arist. Oᵇ: ἦν a Arist. vulg. 3 μέτρον a 5 διὸ S 6 et 7 συμμετρία] σύμμετρα S 7 οὐκ ἔστι S 9. 10 σύμμετρα γίνεσθαι S 15 ἂν ὁ οἶνος S 17 μικρόν] μικρὰ S 18 σμικρότητα a 19 σύμμετρον S 21 συνθήκης ἡμετέρας a 23 τὰ αἰώνια a 24 post μνᾶς add. καὶ δεῖ προσυπακούειν αὐτὸ ἵν' ἡ τελεία ἡ λέξις λέγουσα οὕτω κλίνη γ̄ μιᾶς μνᾶς S 29 κλίνη S 30 τῷ νομίσματι Ba δὴ] δὲ a 34 τῶν δὲ ε̄ Sa 35 post οἰκία add. τῶν S

πέντε ἄρα κλῖναί εἰσιν ἀντάξιαι τῆς οἰκίας. τοῦτο δὲ εὕρηται διὰ τῶν δέκα 70r
μνῶν μέσων τεθεισῶν. αἱ μὲν οὖν ἀλλαγαί, ὡς ἐν ταῖς Πολιτείαις λέγεται,
οὕτως ἐγίνοντο πρὸ τῆς τοῦ νομίσματος εὑρέσεως· κλῖναι γὰρ ἐδίδοντο ἀντὶ
οἰκίας, καὶ τἆλλα ὁμοίως. καὶ τί γὰρ διαφέρει, πέντε κλίνας λαβεῖν καὶ
5 δοῦναι οἰκίαν ἢ ε̄ μνᾶς, ἐπεὶ ε̄ μνῶν εἰσιν ἄξιαι αἱ κλῖναι; ταῦτα δείξας
συμπεραίνεται λέγων τί μὲν οὖν ἐστι τὸ δίκαιον, τό τε διανεμητικὸν δηλονότι
καὶ τὸ ἐπανορθωτικόν, καὶ τὸ ἀντικείμενον τούτοις ἄδικον, εἴρηται.

p. 1133ᵇ30 Διωρισμένων δὲ τούτων δῆλον ὅτι καὶ ἡ δικαιοπραγία μέσον ἐστὶ τοῦ ἀδικεῖν καὶ ἀδικεῖσθαι.

10 Εἰ τὸ δίκαιον μέσον ἐστὶ τοῦ πλείονος καὶ ἐλάττονος, ὅτι καὶ τῆς
πλεονεξίας καὶ τῆς μειονεξίας μέσον, δῆλον ὅτι καὶ τὸ τὰ δίκαια πράττειν
καὶ τὸ δικαιοπραγεῖν εἴη ἂν μέσον τοῦ τε πλεονεκτεῖν καὶ πλεονεκτεῖσθαι,
ἤτοι τοῦ ἀδικεῖν καὶ ἀδικεῖσθαι· ὥστε καὶ ἡ δικαιοπραγία μέση πλεονεξίας
καὶ μειονεξίας. ἡ δὲ δικαιοσύνη μεσότης ἐστὶν οὐ τὸν αὐτὸν τρόπον
15 ταῖς ἀρεταῖς. δείξας πῶς τὸ δίκαιον καὶ τὸ δικαιοπραγεῖν μέσον καὶ
τίνων μέσον, διὰ τῆς ἐπανορθωτικῆς παραθέσεως εὐλόγως ἐπιφέρει ὅτι ἡ
δικαιοσύνη μεσότης ἐστὶν οὐ τὸν αὐτὸν τρόπον ταῖς προειρημέναις ἀρεταῖς.
ἐκεῖναι μὲν γὰρ β̄ κακιῶν ἦσαν μεταξύ, ἡ μὲν ἀνδρία δειλίας καὶ θρασύτητος,
ἡ σωφροσύνη ἀκολασίας καὶ ἠλιθιότητος, καὶ αἱ ἄλλαι ὁμοίως μέσαι ὑπερβολῆς
20 καὶ ἐνδείας τοῦ μέσου οὖσαι πρακτικαὶ καὶ προαιρετικαί· ἡ δὲ δικαιοσύνη οὐκέτι
δύο κακιῶν ἐστι μέση· μία γὰρ αὐτῇ ἐστιν ἐναντία ἡ ἀδικία, ἣ θεωρεῖται
ἐν τῷ ἀδικοῦντι καὶ ἀδικουμένῳ, ὧν ὁ μὲν ἀδικῶν ἐστιν ὁ τὸ πλέον ἔχων,
ὁ δ' ἀδικούμενος ὁ τὸ ἔλαττον, μέσον δὲ τοῦ πλείονος καὶ ἐλάττονος ἡ
δικαιοσύνη, τοῦ ἴσου οὖσα πρακτική· καὶ ἐπεὶ πρακτική ἐστι τοῦ ἴσου, τὸ
25 δὲ ἴσον μέσον, καὶ αὐτὴ ἄρα μεσότης, ὅτι τοῦ μέσου καὶ ἴσου ἐστί.

p. 1134ᵃ1 Καὶ ἡ μὲν δικαιοσύνη ἐστὶ καθ' ἣν ὁ δίκαιος λέγεται πρακτικὸς κατὰ προαίρεσιν.

Πάνυ καλῶς προσέθηκε τὸ κατὰ προαίρεσιν· τῇ προαιρέσει γὰρ
χαρακτηρίζεται ὁ σπουδαῖος καὶ αἱ κατ' ἀρετὰς ἐνέργειαι. οὐ γὰρ ὁ τὰ
30 δίκαια πράττων ἐξ ἀνάγκης δίκαιος (τί γάρ, εἰ διὰ φόβον ἢ ἄλλο τι τοῦτο
ποιεῖ;) ἀλλ' ὁ προαιρούμενος καὶ πράττων ἐκεῖνός ἐστι δίκαιος. δι' ὧν δὲ
λέγει ὑπογράφει καὶ τὴν δικαιοσύνην, λέγων ἕξιν αὐτήν, καθ' ἣν πρακτικοί

---

2 τιθεισῶν S ἐν ταῖς Πολιτείαις] Polit. A 9: πολιτίαις libri λέγει S
3 γὰρ ἐγίνοντο ἀντὶ S 4 γὰρ] ἂν S 8 ὅτι καὶ ἡ Ba Arist. Mᵇ: ὅτι ἡ S Arist. vulg. 12 τοῦ πλεονεκτεῖν καὶ τοῦ πλ. S 13 μέσον S 15 ταῖς ἀρεταῖς BSa Arist. Oᵇ: (qui pergit ταῖς πρότερον): ταῖς ἄλλαις ἀρεταῖς Arist. Lᵇ: ταῖς πρότερον ἀρ. Arist. vulg. 16 μέσων a 17 οὐ om. B 19 μέσον a ὑπερβολῆ S 20 ἐνδεία S 21. 22 ἤτις θεωρητικὴ ἐν τῷ S
29 ἀρετὰς scripsi: αὐτὰς BS: αὐτὸν a 31 ἐστὶν ὁ δίκαιος S 32 πρακτικοὶ post γίνονται (p. 41,1) coll. a

κατὰ προαίρεσιν γίνονται τῶν ἐν ταῖς κοινωνίαις ἴσων. τί δ' ἐστὶ τὸ ἐν 70r
ταῖς κοινωνίαις ἴσον, δι' ὧν ἐπάγει λέγει· φησὶ γὰρ καὶ διανεμητικοὶ καὶ 35
αὐτῷ πρὸς ἄλλον καὶ ἑτέρῳ πρὸς ἕτερον. κἂν γὰρ ἑτέροις διανέμῃ τινά,
τὸ κατ' ἀξίαν, ὅπερ ἐστὶ τὸ ἴσον, ἑκάστῳ νέμει, κἂν ἑαυτῷ καὶ ἄλλοις τὴν
5 διανέμησιν ποιῆται, οὐ τὸ πλέον αὐτὸς λαμβάνει, ἐκείνοις δ' ἔλαττον δίδωσι,
ἀλλὰ τὸ ἴσον ἑαυτῷ ἐπιφέρει καὶ τὸ ἁρμόζον ἐκείνοις διανέμει. καὶ μνη-
μονεύει μὲν διὰ τούτων φανερῶς τοῦ ἐν ταῖς νομαῖς ἴσου, ἐνδείκνυται δὲ
καὶ περὶ τοῦ ἐν ταῖς ἐπανορθώσεσιν· ἅμα δὲ καὶ πῶς καὶ τίνων ἡ δι-
καιοσύνη μεσότης ἐστί, φανερὸν ποιεῖ. καὶ ὁ μὲν ἄδικος ἀεὶ ἐπὶ μὲν τῶν 40
10 ἀγαθῶν τὸ πλέον αἱρεῖται καὶ λαμβάνει, ἐπὶ δὲ τῶν κακῶν τὸ ἔλαττον, ὁ
δὲ δίκαιος ἐπὶ πάντων τὸ ἀναλογοῦν ἑαυτῷ. εἴη ἂν οὖν δικαιοσύνη ἕξις
ἀφ' ἧς πρακτικοί τε καὶ προαιρετικοὶ γίνονται τοῦ ἐν ταῖς διανομαῖς καὶ ταῖς
ἐπανορθώσεσιν ἴσου, ἡ δ' ἀδικία τοὐναντίον, ἀφ' ἧς πρακτικοὶ καὶ προαιρετικοὶ
τοῦ ἀνίσου.

15 p. 1134a11 Ἐπὶ δὲ τῶν ἄλλων τὸ μὲν ὅλον ὁμοίως, τὸ δὲ παρὰ τὸ ἀνάλογον, ὁποτέρως ἔτυχε.

Παρὰ τὸ ἀνάλογον λέγει τὸ ἄνισον, ἤτοι τὸ πλέον καὶ ἔλαττον· εἰ γὰρ τὸ ἀνάλογον ἴσον, τὸ παρὰ τὸ ἀνάλογον ἄνισον. εἴη δ' ἂν σαφεστέρα ἡ γραφή, εἰ ἀντὶ τοῦ τὸ δὲ παρὰ τὸ ἀνάλογον εἴη γεγραμμένον τὸ γὰρ
20 παρὰ τὸ ἀνάλογον. περὶ μὲν οὖν τῆς λέξεως ταῦτα· ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. εἰς ἑαυτὸν μὲν τὴν διανομὴν ὁ ἄδικος ἀεὶ ὡρισμένως ποιεῖται· ἀεὶ γὰρ ἐπὶ μὲν τῶν ὠφελίμων τὸ πλέον λαμβάνει, ἐπὶ δὲ τῶν βλαβερῶν τὸ 50
ἔλαττον· ὅταν δὲ πρὸς ἄλλους τὴν διανομὴν ποιῆται, ἀορίστως καὶ ὡς ἔτυχε ποτὲ μὲν ἐκείνῳ διανέμει τὸ πλέον, ποτὲ δ' ἑτέρῳ, καὶ ᾧ μὲν
25 τήμερον δέδωκε πλέον οὐκ ἀξίως, αὔριον δίδωσι ἔλαττον καὶ αὐτὸ ἀναξίως. ταῦτα εἰπὼν ἐπάγει τοῦ δὲ ἀδικήματος τὸ μὲν ἔλαττον ἔχειν, τοῦ κατ' ἀξίαν δηλονότι, ἀδικεῖσθαί ἐστι, τὸ δὲ μεῖζον τοῦ κατ' ἀξίαν ἀδικεῖν, διδάξας διὰ τούτων τίνα εἰσὶν ἃ ἀνωτέρω εἴρηκεν ὑπερβολὴν καὶ ἔλλειψιν.

30 p. 1134a14 Περὶ μὲν οὖν δικαιοσύνης καὶ ἀδικίας, τίς ἑκατέρα 55
ἐστίν. | 70v

Εἴρηκε γὰρ ὅτι ἔστιν ἕξις οἵαν εἴπομεν. πρόσκειται δὲ τὸ καθόλου, ὅτι μὴ ἐπεξῆλθεν τὰ καθ' ἕκαστα, καὶ ὅτι ἐν μὲν τοῖς περὶ τῶν πρακτῶν λόγοις τὸ μὲν καθόλου ὁποῖόν τι δεῖ εἶναι, ὑπογράψαι δύναταί τις, οὐκέτι

---

2 λέγει V: λέγων BSa διανεμητικὸν S Anon.: διανεμητικὸς Arist. 3 διανέμοι a 11 ἡ δικαιοσύνη ἡ ἕξις S 12 πρακτική τε καὶ προαιρετικὴ γίνεται S 13 τοὐναντίου B
15 Ἐπὶ δὴ S 19 δὲ] δὴ libri 20 ταῦτα] ταύτης S 21 ὡρισμένος S
22 λαμβάνειν S 26 τὸ δὲ B: τῷ δὲ a ἀδικήματα a ἔχει Ba
28 τίνα] ἂν τινα S 30 ἑκατέρας a 33 ἐπεξέλθη BS

μέντοι ἐπεξιόντα τὰ καθ' ἕκαστα οἷόν τε ὁρίσαι, μέχρι πόσου ἕκαστον αὐτῶν 70ᵛ γινόμενον πλέον ἐστὶν ἢ ἔλαττον ἢ ἴσον· οἱ γὰρ περὶ τῶν πρακτῶν λόγοι 5 οὐ δέχονται τὴν τοιαύτην ἀκρίβειαν τῷ ἐν πλάτει ἕκαστον τούτων τὸ εἶναι ἔχειν.

5 p. 1134ª17 Ἐπεὶ δ' ἔστιν ἀδικοῦντα μήπω ἄδικον εἶναι.

Ἢν ἂν σαφεστέρα ἡ λέξις, εἰ οὕτω πως εἶχεν· ἐπεὶ ἀδικήματά ἐστι τὸ κλέπτειν, τὸ μοιχεύειν, τὸ πορνεύειν, τὸ ἱεροσυλεῖν, καὶ ἁπλῶς πάντα τὰ παράνομα, ποῖα ἐκ τούτων πράττων τις ἀδικεῖ, καὶ ποῖα ὁμοίως πράττων οὐκ ἀδικεῖ; εἰσὶ γάρ τινα ἄδικα ἃ πράττει μέν τις, ἄδικος δὲ οὐκ ἔστι. πῶς 10 δὴ τοῦτο; ὅτι οὐκ εἰς τὴν πρᾶξιν ἀποσκοποῦντες τὰ πράγματα κρίνομεν, ἀλλ' εἰς τὸ οὗ ἕνεκα. ὁ γὰρ τοῦ μαινομένου τὴν μάχαιραν κλέψας, μεθ' 15 ἧς ἔμελλεν ἑαυτὸν ἀνελεῖν, ἔκλεψε μέν, κλέπτης δ' οὐκ ἔστιν, ἀλλὰ μᾶλλον σωτὴρ καὶ εὐεργέτης, οὐδὲ μοιχὸς ὁ τὴν πλουσίαν διαφθείρας ἐπιθυμίᾳ χρημάτων, ἀλλὰ φιλοχρήματος. ἐρωτήσας δὴ ὁ ποῖα ἀδικήματα ἀδικῶν 15 ἄδικός ἐστιν, ἀποκρίνεται λέγων ἢ οὕτω μὲν οὐδὲν διοίσει. ἔστι δὲ ὃ λέγει· οὕτω μὲν δίχα προσδιορισμοῦ λεγόμενον δόξειεν ἂν μηδεμίαν ἔχειν διαφοράν, ἀλλὰ πάντα τὸν ἄδικόν τι πράττοντα εὐθὺς ἄδικον εἶναι· εἰ δέ τις ἐπιβλέπει εἰς τὸ τέλος καὶ οὗ ἕνεκα ποιεῖ τὸ ἄδικον, εὑρήσει πολλοὺς 20 ἄδικα μὲν πράττοντας, ἀδίκους δὲ μὴ ὄντας. καὶ ὃ μὲν βούλεται λέγειν, 20 τοῦτό ἐστιν· ἐν δὲ τῇ λέξει τῇ εἰδὼς τὸ ἧ ταὐτόν ἐστι τῷ εἰδὼς ἥτινι γυναικὶ μίγνυται, οἷον ὑπάνδρῳ, ἀλλ' ὅμως οὐ μοιχός ἐστιν· οὐ γὰρ δι' ἀκολασίαν ἐμίχθη, ἀλλὰ διὰ τὰ χρήματα. ἄδικος μὲν γὰρ ὁ βουλόμενος καὶ προαιρούμενος, ὁ δὲ μὴ διὰ προαίρεσιν ἀλλὰ διὰ πάθος πράξας ἀδικεῖ μέν, ἄδικος δ' οὐκ ἔστι.

25 p. 1134ª24 Δεῖ δὲ μὴ λανθάνειν ὅτι τὸ ζητούμενόν ἐστι καὶ τὸ ἁπλῶς δίκαιον.

Τὸ ἁπλῶς ἀντὶ τοῦ κυρίως καὶ ἀληθῶς δίκαιον. δείξας ὅτι τοῦ δικαίου τὸ μὲν διανεμητικόν, τὸ δὲ διορθωτικόν, ὧν τὸ μὲν ἦν κατὰ τὴν γεωμετρικὴν ἀναλογίαν, τὸ δὲ ἐπανορθωτικὸν κατὰ τὴν ἀριθμητικήν, ἐπεὶ καὶ ἡ 30 30 δικαιοσύνη καὶ τὸ δίκαιον πολλαχῶς λέγεται, περὶ ποίας δικαιοσύνης καὶ ποίου δικαίου τὸν λόγον πεποίηται λέγει, ὅτι περὶ τοῦ πολιτικοῦ· περὶ γὰρ τοῦ τοιούτου καὶ ἡ ζήτησις, οἷον πότερον ἡ πρᾶξις αὕτη δικαία ἢ οὔ, καὶ πότερον ἑκάστῳ δικαίως διανενέμηται ἡ γῆ ἢ τὰ χρήματα ἢ οὔ. περὶ τοῦ πολιτικοῦ οὖν δικαίου ὁ λόγος, ὅτι καὶ ἁπλῶς καὶ κυρίως τοῦτο δίκαιόν 35 ἐστιν, ὃ καὶ περιγράφοντες καὶ ὑπ' ὄψιν τιθέντες λέγομεν αὐτὸ εἶναι κατὰ

3 ἐν τῷ πλάτει S 6 σαφέστερον S ἀδικήματος S 7 ἱεροσυλᾶν a 9 ἄδικος δὲ] καὶ ὅμως ἄδικος S 17 εὐθὺς] εὐθὺ καὶ a 18 πολλὰ B 20 τὸ ἧ— εἰδὼς om. B 23 post ἀλλὰ add. μὴ S 29. 30 καὶ τὸ δίκαιον καὶ ἡ δικαιοσύνη coll. S 31 πεποίηκε BS 32 πρᾶξις αὐτοδικαία a 33 ἑκάστῳ] ἑκάτερον S 35 ὑπ' ὄψεσι S αὐτῶ S

κοινωνίαν βίου πρὸς τὸ εἶναι αὐτάρκειαν, ἐλευθέρων καὶ ἴσων. 70v
εἰπὼν δὴ ὅτι τὸ δίκαιόν ἐστιν ἀνθρώπων ἐλευθέρων καὶ ἴσων βίου κοινω- 36
νούντων πρὸς τὸ εἶναι αὐτάρκειαν (κοινωνοῦντες γὰρ καὶ ἀνταλλαττόμενοι
αὐτάρκεις γίνονται οἱ ἄνθρωποι) εἰπὼν δὴ ὅ τι ποτέ ἐστι τὸ πολιτικὸν δίκαιον
5 ἐπήγαγεν ἢ κατὰ ἀναλογίαν ἢ κατὰ ἀριθμόν, διὰ μὲν τοῦ εἰπεῖν κατὰ
ἀναλογίαν δηλώσας τὸ διανεμητικὸν δίκαιον, διὰ δὲ τοῦ κατὰ ἀριθμὸν τὸ
ἐπανορθωτικόν· τοιοῦτον γὰρ τὸ πολιτικὸν δίκαιον. συντηρητικὸν γὰρ καὶ
σωστικόν ἐστι τῆς τῶν ἐλευθέρων καὶ ἴσων κοινωνίας· σώζεται γὰρ ἡ 40
κοινωνία τῶν διανομῶν κατὰ ἀναλογίαν καὶ ἰσότητα γινομένων καὶ τῶν
10 ἀδικημάτων ἐπανορθουμένων. καὶ σκόπει τὴν Ἀριστοτέλους ἀγχίνοιαν,
ὅπως διὰ τοῦ εἰπεῖν ἢ κατὰ ἀναλογίαν ἢ κατὰ ἀριθμὸν ἐνέφηνε τὰ
εἴδη πασῶν τῶν πολιτειῶν, διὰ μὲν τοῦ κατὰ ἀριθμὸν τὸ τῆς δημοκρατίας
εἶδος· ἴσοι γὰρ κατὰ ἀριθμὸν ἐν δημοκρατίᾳ οἱ κοινωνοί, ὡς ἐν ταῖς
Πολιτείαις ἀκριβέστατα λέγει. πάντες γὰρ οἱ ἐν δημοκρατίᾳ ἴσους ἑαυτοὺς
15 ὑπολαμβάνουσιν· ἐλευθερίᾳ γὰρ τὴν ἰσότητα κρίνουσιν. διὰ μὲν οὖν τοῦ 45
κατ' ἀριθμὸν τὴν δημοκρατίαν ἐδήλωσεν, διὰ δὲ τοῦ κατὰ ἀναλογίαν τὴν
ὀλιγαρχίαν καὶ ἀριστοκρατίαν. εἰ δὴ τοῦτό ἐστι τὸ πολιτικὸν δίκαιον, ὅσοις
μή ἐστι τοῦτο, τουτέστιν ὅσοις μή ἐστι τὸ κοινωνεῖν κατὰ ἀνταλλαγὴν ἢ
διανομήν, ἐν τούτοις οὐκ ἔστι τὸ πολιτικὸν δίκαιον, ἀλλά τι δίκαιον καθ'
20 ὁμοιότητα, ὥσπερ πατρὸς πρὸς υἱόν, καὶ ἀνδρὸς πρὸς γυναῖκα, καὶ δούλου
πρὸς δεσπότην· ἐν γὰρ τούτοις οὐκ ἔστι πρὸς ἀλλήλους τὸ πολιτικὸν δίκαιον,
ἀλλὰ τὸ οἰκονομικὸν καὶ δεσποτικόν. τίνα δὲ ταῦτα τὰ δίκαια, εἶπεν ἐν 50
ταῖς Πολιτείαις.

p. 1134ª30 Ἔστι γὰρ δίκαιον, οἷς καὶ νόμος πρὸς αὐτούς.

25 Ἐν ἐκείνοις, φησίν, ἔσται τὸ κυρίως δίκαιον, ὅ ἐστι τὸ πολιτικόν, οἷς
καὶ νόμοι κεῖνται, καθ' οὓς ζῶσι πρὸς ἀλλήλους κοινωνοῦντες. τούτοις 55
δὲ νόμος πρὸς ἀλλήλους, οἳ καὶ ἀδικεῖν ἀλλήλους δύνανται· ὁ γὰρ νόμος
τηρη|τικὸς τῆς ἰσότητος τῆς κατὰ κοινωνίαν, ἧς κοινωνίας φθαρτικὴ ἡ 71r
ἀδικία, ἐπεὶ ἐν οἷς μὴ οἷόν τε ἀδικεῖν ἀλλήλους μηδὲ γίνεσθαι ἀδικίαν, οὗτοι
30 οὔτε νόμων δέονται οὔτε ἔστιν αὐτοῖς δίκαιον, οὔτε τὸ νεμητικὸν οὔτε τὸ
ἐπανορθωτικόν. εἰ γὰρ ἡ κατὰ νόμον δίκη κρίσις ἐστὶ τοῦ δικαίου καὶ
ἀδίκου, ἔνθα μὴ ἔστι τὸ ἀδικεῖν καὶ ἀδικεῖσθαι, οὐδὲ ἡ κατὰ νόμον ἐστὶ
κρίσις, ἥτις ἐστὶ τὸ πολιτικὸν δίκαιον. ἐν οἷς δὲ τὸ ἀδικεῖν, οὐ πᾶσιν
ἀδικία. ὅπου ἀδικία, ἐκεῖ καὶ τὸ ἀδικεῖν, ὡς ἀνωτέρω εἴρηται, οὐ μὴν ὅπου τὸ 5
35 ἀδικεῖν, ἐκεῖ καὶ ἀδικία· ἐν γὰρ τοῖς ἀπροαιρέτοις ἢ κατ' ἄγνοιαν ἢ κατ' ἔνδειαν
τῶν ἀναγκαίων γινομένοις τὸ ἀδικεῖν ἐστιν, ἀδικία δὲ οὐκ ἔστιν. αἱ γὰρ

---

1 ἐλευθέρων—αὐτάρκειαν (3) om. S 12 πολιτικῶν S μὲν γὰρ τοῦ S
δημοκρατείας Sa 13 δημοκρατείᾳ Sa itemque porro 13. 14 ἐν ταῖς Πολιτείαις] Polit. E 1 17 ἀριστοκρατείαν Sa τὸ om. S 22 τὰ om. S
22. 23 ἐν ταῖς Πολιτείαις] Polit. A 3 sqq. 25 ἔσται om. S ὅπερ S
35 ἢ ἔνδειαν S

κατὰ προαίρεσιν ὁρμαί, ὡς εἴρηται, κύριαί εἰσιν ἐπαίνων καὶ ψόγων, ὡς 71r
εἶπεν ἐπὶ τοῦ μοιχείαν ἐργασαμένου, μὴ μέντοι μοιχείας κρινομένου· οὐ
γὰρ δι' ἀκολασίαν ἐμοίχευσε (τοῦτο γάρ ἐστι μοιχείας κρίνεσθαι), ἀλλὰ
διὰ χρήματα. εἰπὼν δὲ ταῦτα ἐπήγαγε τοῦτο δέ ἐστι τὸ πλεῖον
5 ἑαυτῷ νέμειν, τουτέστιν ἀδικία ἐστὶ τὸ πλεῖον ἑαυτῷ νέμειν τῶν ἁπλῶς 10
ἀγαθῶν, ἔλαττον δὲ τῶν ἁπλῶς κακῶν. λέγει δὲ ἁπλῶς ἀγαθὰ καὶ
κακὰ τὰ τῇ ἑαυτῶν φύσει τοιαῦτα, ἃ καὶ ὡς δυνάμεις λέγεται καὶ ἀγαθὰ
καὶ κακά, οἷον πλοῦτος εὐγένεια, πενία δυσγένεια καὶ ἀγαθά ἐστι καὶ πάλιν
κακά· συντελοῦσι γὰρ τῷ μὲν σπουδαίῳ εἰς τὰς κατ' ἀρετὴν ἐνεργείας,
10 τῷ δὲ φαύλῳ εἰς τὰς κατὰ κακίαν, ἐν αἷς ἐνεργείαις καὶ τὸ εὐδαιμονεῖν
ἢ κακοδαιμονεῖν ὁρᾶται. τὰς τοιαύτας δὲ ἐνεργείας ὅτι ἄνευ τῶν τοιούτων
τῶν τῇ ἑαυτῶν φύσει ἀγαθῶν ὄντων μὴ οἷόν τε ἐνεργεῖν, οὐδεὶς ἀγνοεῖ· 15
δίχα γὰρ ὕλης καὶ ἄνευ ὀργάνων οὐδέν τι τῶν καλῶν ἢ κακῶν ἐνεργηθῆναι
δύναται· ὕλη δὲ καὶ ὄργανα τὰ ὡς δυνάμεις ἀγαθά, πλοῦτος, ἰσχύς, εὐγένεια,
15 τὰ ὅμοια.

p. 1134ᵃ35 Διὸ οὐκ ἐῶμεν ἄρχειν ἄνθρωπον, ἀλλὰ τὸν λόγον.

Διὰ τὸ τοὺς ἀνθρώπους δύνασθαι ἀδικεῖν, καὶ τῶν μὲν ἁπλῶς ἀγαθῶν
νέμειν ἑαυτοῖς τὰ πλείονα, τῶν δὲ κακῶν τὰ ἐλάττονα, καὶ τυραννίσιν ἐπι-
τίθεσθαι τῷ ἀκωλύτως ἐξουσίαν ἔχειν ὃ βούλοιντο ποιεῖν, διὰ ταῦτα δὴ
20 οὐκ ἐῶμεν ἄνθρωπον ἄρχειν, ἀλλ ἀντὶ ἀνθρώπου τὸν λόγον ἄρχειν καθιστῶ-
μεν. λέγει δὲ λόγον τὸν ἄρχοντα τὸν σπουδαῖον, τὸν μετὰ λόγου καὶ 25
φρονήσεως ἐνεργοῦντα· ὁ τοιοῦτος γὰρ οὐδέποτ' ἂν ἀδικήσειεν. ὁ γὰρ
ὄντως ἄρχων καὶ μὴ ψευδόμενος τοῦ ἄρχοντος τοὔνομα, φύλαξ ἐστὶ τοῦ
δικαίου καὶ τοῦ ἴσου τοῦ κατὰ ἀναλογίαν ἢ κατὰ ἀριθμόν. ἃ μὲν οὖν λέγει,
25 ταῦτα· ἐν δὲ τῇ λέξει τῇ ὅτι ἑαυτῷ τοῦτο ποιεῖ καὶ γίνεται τύραννος
οὐ περὶ τοῦ λόγου ἤτοι τοῦ ἄρχοντος εἴρηται, ἀλλὰ περὶ τοῦ ἀνθρώπου.
διὸ τὴν λέξιν ὑπερβατῶς ἀναγνωστέον οὕτως· διὸ οὐκ ἐῶμεν ἄρχειν ἄνθρωπον,
ὅτι ἑαυτῷ τοῦτο ποιεῖ, τουτέστι νέμει αὐτῷ τῶν μὲν ἁπλῶς ἀγαθῶν τὰ 30
πλείω, τῶν δὲ κακῶν τὰ ἐλάττω· τοῦτον μὲν οὐκ ἐῶμεν ἄρχειν, ἀλλὰ τὸν
30 λόγον, διότι οὐ νέμει πλέον ἑαυτῷ ὁ λόγος, εἰ μὴ πρὸς αὐτὸν ἀνάλογον
εἴη, ἤτοι εἰ μὴ προσήκει αὐτῷ τὸ πλέον· ὅτε γάρ ἐστι δίκαιον πλέον λαβεῖν,
λήψεται οὐχ ἁπλῶς πλέον, ἀλλὰ τὸ ἀναλογοῦν αὐτῷ· καὶ διὰ τοῦτο
ἀλλότριόν φασιν ἀγαθὸν εἶναι τὴν δικαιοσύνην. τὴν αἰτίαν διὰ τού-
των λέγει δι' ἣν δοκεῖ ἀλλότριον ἀγαθὸν εἶναι ἡ δικαιοσύνη. ἐπεὶ γὰρ ὁ
35 δίκαιος ἄρχων καὶ φύλαξ ἐστὶ τοῦ δικαίου καὶ ἴσου, τούτων δὲ ὁ φύλαξ 35
οὐδὲν νέμει πλέον αὐτῷ, εἰ μὴ δίκαιόν ἐστιν αὐτῷ πλειόνων τυχεῖν, ὧν

---

2 μοιχείαν κρινομένου Ba 3 μοιχείαν a 7 λέγονται S 8 εὐγένεια] ἀγένεια Ba
10 ἐν αἷς εὐτυχίαις καὶ Ba 13 ἢ τῶν κακῶν S ἐνεργηθῆναι] γενέσθαι S
14 δυνάμει S 19 βούλεται S δὴ om. S 21 σπουδῇ S 24 κατὰ
ἀριθμὸν ἢ κατὰ ἀναλογίαν coll. a 25 post ταῦτα add. ἐστὶ S 25. et 28 ἑαυτοῦ S
29 fort. μὲν ⟨οὖν⟩ οὐκ ἀλλὰ om. S 31 ἤτοι] τουτέστιν S 32 οὐχ ἁπλῶς
om. S 34 δ' ἣν a

καὶ ἄλλου νέμοντος ἐτύγχανεν ἄν, ἐπεὶ οὖν φύλαξ τῶν τοιούτων ὁ δίκαιος 71r
ἄρχων, δῆλον ὅτι ἀλλότριον ἀγαθὸν συντηρεῖ καὶ ἐργάζεται· καὶ διὰ τοῦτο
μισθὸς αὐτῷ ὡρίσθη τιμὴ καὶ γέρας, οἷον στέφανοι, εἰκόνες, ἀνδριάντες.
ᾧ δὲ μὴ ἀρκεῖ ἡ τιμὴ καὶ τὸ γέρας, οὗτοι τύραννοι γίνονται.

5 p. 1134ᵇ8 Τὸ δὲ δεσποτικὸν δίκαιον καὶ τὸ πατρικὸν οὐ ταὐτὸν τούτοις.

Εἰπὼν πρότερον "ὥστε ὅσοις μή ἐστι τοῦτο, οὐκ ἔστι τούτοις πρὸς 45
ἀλλήλους τὸ πολιτικὸν δίκαιον, ἀλλά τι δίκαιον καθ' ὁμοιότητα", νῦν λέγει
τί ἐστι τοῦτο τὸ καθ' ὁμοιότητα δίκαιον, ὅτι τὸ πατρικὸν καὶ δεσποτικόν.
10 ἕτερον γὰρ τοῦτο τοῦ πολιτικοῦ δικαίου· τὸ μὲν γὰρ πολιτικὸν ἐν ἰσότητι
θεωρεῖται τῇ πρὸς ἀλλήλους· οὔτε δὲ δούλῳ πρὸς τὸν δεσπότην, ἔστ' ἂν
ᾖ δοῦλος, ἐστὶν ἰσότης οὔτε υἱῷ πρὸς πατέρα ὑπὸ τῷ πατρὶ μένοντι.
τότε γὰρ ὥσπερ μέρη εἰσίν, ὁ μὲν δοῦλος τοῦ δεσπότου, ὁ δὲ υἱὸς τοῦ
πατρός, οὓς οὐχ οἷόν τε βλάπτειν, ὅτι μηδὲ ἑαυτόν. ὁ γὰρ βλάπτων τὸ 50
15 μέρος ἑαυτοῦ δῆλον ὡς ἑαυτὸν βλάπτει· οὐθεὶς δὲ ἑαυτὸν βλάπτει, ὥστε
οὐδὲ τὸ μέρος ἑαυτοῦ· ὥστ' οὐδὲ τὸν δοῦλον οὐδὲ τὸν υἱόν, ὅτι μέρη εἰσὶν
αὐτοῦ. εἰ οὖν τὸ πολιτικὸν δίκαιον ἐν τούτοις ἐν οἷς καὶ τὸ βλάπτειν καὶ
βλάπτεσθαι, μὴ ἔστι δ' ἐν τῷ πατρὶ καὶ τῷ υἱῷ ἢ τῷ δεσπότῃ καὶ
δούλῳ τὸ βλάπτειν καὶ βλάπτεσθαι, οὐδὲ τὸ πολιτικὸν δίκαιόν ἐστιν ἐν αὐ-
20 τοῖς. κτῆμα δὲ εἶπε τὸν δοῦλον· τὸ δὲ ἕως ἂν ᾖ πηλίκον ἴσον ἐστὶ
τῷ ἕως ἂν ᾖ τὸ τέκνον ἀτελὲς καὶ μήπω φθάσαν εἰς ἡλικίαν καθ' ἣν 55
νόμος ἀπολύεσθαι τοῦ πατρός, μέρος ἐστὶ τοῦ πατρός. οὐκ ἔστιν οὖν ἐν
τούτοις τὸ πολι|τικὸν δίκαιον, ἀλλ' ἐκείνοις ἐν οἷς καὶ νόμος· ὁ δὲ νόμος 71v
ἐν τοῖς δυναμένοις βλάπτειν καὶ βλάπτεσθαι. ἐπανορθωτικὸς γὰρ τῶν παρὰ
25 τὸ προσῆκον ὁ νόμος, τὸ δὲ βλάβος παρὰ τὸ προσῆκον· ὥστε ἐν οἷς μὴ
ἔστι βλάβη, οὐδὲ τὸ παρὰ τὸ προσῆκον, ἐν οἷς δὲ μὴ τὸ παρὰ τὸ προσῆκον,
οὐδὲ νόμος, ἐν οἷς δὲ μὴ νόμος, οὐδὲ τὸ πολιτικὸν δίκαιον. ἕως μὲν οὖν
πηλίκον ᾖ τὸ τέκνον καὶ ὁ δοῦλος τυγχάνῃ δοῦλος, ἕως τότε τὸ πολιτικὸν 5
ἐν αὐτοῖς οὐκ ἔστι δίκαιον· ἡνίκα δὲ ὁ μὲν δοῦλος ἀπολυθῇ τῆς δουλείας
30 καὶ ὁ υἱὸς τῆς διὰ τὴν ἀτελῆ ἡλικίαν ὑποταγῆς, καὶ γένηται αὐτοῖς ἰσότης,
τότε καὶ ὑπὸ τὸ πολιτικὸν πίπτουσι δίκαιον. πέφυκε γὰρ ἐν τούτοις ὁ
νόμος εἶναι, οἷς ἰσότης πρὸς ἀλλήλους ὑπάρχει τοῦ ἄρχειν καὶ ἄρχεσθαι
παρὰ μέρος, ὧν θάτερον, τὸ ἄρχειν δηλονότι, ἐπὶ τῶν ὑπεξουσίων οὐκ ἔστι.

---

1 ἔτυχεν S 3 μισθὸν a 4 ᾧ] οἷς a 6 τοιούτοις a 7 Εἰπὼν πρότερον] p. 1134ᵃ28 8 τι V: τὸ BSa, sed cf. p. 43,19 9 post ὅτι add. ἐστὶ S 11 τὸν om. S 13 ὡς μέρη S 15 et 16 μέρος αὐτοῦ S 20 δὲ post τὸ om. S 21 εὐτελὲς S post εἰς add. τὴν S 22 τοῦ πατρὸς post ἀπολύεσθαι om. S 23 ἀλλ' ἐν ἐκείνοις S 24 ἐπανορθωτικὸν Sa 25. 26 ὥστε—μὴ τὸ παρὰ τὸ προσῆκον om. S 28 τυγχάνῃ scripsi: τυγχάνει libri 30 τῆς om. S εὐτελῆ S 31. 32 ὁ νόμος ἐν τούτοις coll. S 32 τοῦ] τουτέστι S 33 περὶ μέρος S ἐπὶ] παρὰ Ba ὑπ' ἐξουσιῶν B: ἐξουσιῶν S

καὶ διὰ τοῦτο μᾶλλον πρὸς γυναῖκα, φησί, δίκαιόν ἐστι ἢ πρὸς τέκνα 71ᵛ καὶ οἰκέτας, διότι ἔστιν ἀνδρὶ πρὸς γυναῖκα ἰσότης, καθὸ ἄμφω ἐλεύθεροι, καὶ 10 ἔστι πρὸς ἀλλήλους τὸ οἰκονομικὸν δίκαιον ἄλλο ὂν τοῦ πολιτικοῦ· οὐ γὰρ ἐν τῇ πολιτικῇ ἰσότητί εἰσι πρὸς ἀλλήλους, ὡς παρὰ μέρος ἄρχειν καὶ 5 ἄρχεσθαι. δεῖ γὰρ ἀεὶ τὸν ἄνδρα ἄρχειν, δεῖ μέντοι καὶ τὴν γυναῖκα ἐξουσίαν ἔχειν τινῶν, τῶν θεραπαινίδων δηλονότι καὶ τῆς τῶν εἰσκομιζομένων σωτηρίας καὶ φυλακῆς.

p. 1134ᵇ18 Τοῦ δὲ πολιτικοῦ δικαίου τὸ μὲν φυσικὸν τὸ δὲ νομικόν, φυσικὸν μὲν τὸ πανταχοῦ τὴν αὐτὴν ἔχον δύναμιν. 15

10 Τὸ πανταχοῦ ἀντὶ τοῦ παρὰ τοῖς πλείστοις καὶ ἀδιαστρόφοις καὶ κατὰ φύσιν ἔχουσι· παρὰ γὰρ τοῖς θηριώδεσι καὶ παντάπασι τὸν νοῦν ἐκτετυφλωμένοις καὶ μόνην τὴν ζῳώδη διώκουσιν ἡδονὴν οὐκ ἔστι τὸ πολιτικὸν 20 δίκαιον. ἔστι δὲ κατὰ φύσιν δίκαιον καὶ ἐν τοῖς πλείστοις τὸ σέβειν τὸ θεῖον, τὸ τιμᾶν τὸν πατέρα καὶ τὴν μητέρα, τὸ ἐπαρκεῖν ἐνδεέσι, τὸ τοῖς 15 πλανωμένοις τὴν ὁδὸν ἐπιδεικνύειν, τὸν ἐξ ὀλισθήματος πεπτωκότα ἐπανορθοῦν. εἰπὼν δὲ φυσικὸν τὸ πανταχοῦ τὴν αὐτὴν ἔχον δύναμιν ἐπήνεγκε καὶ οὐ τῷ δοκεῖν ἢ μή, χωρίζων αὐτὸ ἀπὸ τοῦ νομικοῦ δικαίου. οὐ γὰρ τῷ δόξαι τισὶν ἢ μὴ τὸ φυσικὸν δίκαιον, ἀλλὰ τὸ νομικὸν ἤτοι πολιτικόν· τὸ γὰρ πολιτικὸν δίκαιον ἐξ ἀρχῆς μὲν οὐδὲν διαφέρει, τεθὲν 25 20 δὲ καὶ νομισθὲν πολὺ τὸ διάφορον. τὸ γὰρ τὸν ἀδελφὸν μίγνυσθαι τῇ ἀδελφῇ ἐξ ἀρχῆς μὲν ἀδιάφορον ἦν, νόμου δὲ τεθέντος μὴ μίγνυσθαι πολὺ τὸ διαφέρον. καὶ τοὺς αἰχμαλώτους πωλεῖν, ὡς βούλονται οἱ κεκρατηκότες καὶ διὰ ποίων, ἀδιάφορον ἦν· νόμου δὲ τεθέντος μιᾷ μνᾷ πιπράσκειν, οὐκ ἄλλως ἀπεδίδουν εἰ μὴ διὰ μνᾶς. τὸ δὲ αἶγα θύειν ἀλλὰ μὴ δύο πρό- 25 βατα οὐκ ἀπὸ ἱστορίας εἴληπται. καὶ τὸ θύειν ἢ μὴ θύειν Βρασίδᾳ ἀδιάφορον ἐτύγχανε· νόμου δὲ τεθέντος ὡς ἥρωϊ θύειν τὸν μὴ θύοντα 30 ἐζημίουν. οὐ μόνον, φησί, ταῦτα νομικὰ δίκαιά ἐστιν, ἀλλὰ καὶ ὅσα διὰ ψηφισμάτων προστάττουσι γίνεσθαι, καὶ ταῦτα οὐκ ἔστι τῶν φύσει δικαίων, ἀλλὰ τῶν νόμῳ καὶ θέσει ἡμετέρᾳ γινομένων.

30 p. 1134ᵇ24 Δοκεῖ δὲ ἐνίοις πάντα εἶναι τοιαῦτα.

Διελὼν εἰς β̄ τὸ δίκαιον, εἰς τὸ φυσικὸν καὶ τὸ νομικόν, λέγει ὅτι δοκεῖ τισι πάντα τὰ δίκαια νομικὰ εἶναι, μηδὲν δὲ φυσικόν, διότι πᾶν φύσει ἀκίνητόν ἐστι (τὸ γὰρ πῦρ φύσει θερμὸν ὂν οὐκ ἐνθάδε μέν ἐστι θερμόν,

---

2 καὶ οἰκέτας om. S ἄμφω om. S 7 σωτηρίαν a 9 τὴν τοιαύτην S
10 ἀδιαστρόφως Anon. 11 παρὰ] περὶ S 12 πολιτικὸν] φυσικὸν S
15 τὸν εἰς ὀλίσθημα S 16 post φυσικὸν add. δὲ B ἔχειν S 22 διάφορον a τοῦ αἰχμαλώτου S 25 ἱστορίας τινὸς εἴρηται Anon. 27 νομικὸν δίκαιον S 28 προστάττουσι] πράττουσι S γίνεται S 31 εἴς τε τὸ S
32 νομικὸν εἶναι S 33 ἐνταῦθα S

ἐν Αἰγύπτῳ δὲ οὐ θερμόν, ἀλλὰ κἀκεῖ καὶ πανταχοῦ), πᾶν δὲ δίκαιον μετα- 71ᵛ
πίπτει, ὥστε οὐδὲν δίκαιον φύσει, ἀλλὰ πᾶν δίκαιον νομικὸν καὶ πολιτικόν. •
οὕτω θεὶς τῆς δόξης τὴν αἰτίαν ἐπάγει λέγων τοῦτο δ' οὐκ ἔστιν οὕτως 40
ἔχον, ἀλλ' ἔστιν ὡς, ἤτοι οὐκ ἔστιν ἀληθὲς ἁπλῶς ὅτι πᾶν δίκαιον
5 κινεῖται, ὡς λέγουσί τινες, ἀλλ' ἔστιν ὡς ἀκίνητόν ἐστι τὸ δίκαιον. παρὰ
γὰρ τοῖς κατὰ φύσιν καὶ ἀδιαστρόφοις ἀκίνητόν ἐστιν, εἰ καὶ παρὰ τοῖς
κάκιστα διακειμένοις κινεῖται. ἢ οὖν τοῦτό ἐστιν ὃ λέγει, ἢ ὅτι οὐκ ἔστιν
ἁπλῶς ἀληθὲς ὅτι πᾶν τὸ φύσει ἀκίνητόν ἐστι· τὸ γὰρ φύσει πῶς μὲν ἀκίνητόν
ἐστιν, ἁπλῶς δὲ ἀκίνητον οὐκ ἔστι. τῇ μὲν γὰρ αὐτοῦ φύσει ἀκίνητον τὸ φύσει,
10 παρὰ δὲ τοῖς μὴ χρωμένοις ὡς πέφυκε κινούμενον. ἅμα δὲ διὰ τούτων 45
γνώριμον γέγονε καὶ πῶς εἶπεν ὅτι φυσικόν ἐστι τὸ πανταχοῦ τὴν αὐτὴν
ἔχον δύναμιν, ὅτι τὸ πανταχοῦ ἀντὶ τοῦ τοῖς κατὰ φύσιν ἔχουσιν· ἐν ἅπασι
γὰρ τοῖς κατὰ φύσιν ἔχουσι καὶ μὴ διεστραμμένοις ἀκίνητον τὸ κατὰ φύσιν
δίκαιον. καὶ γὰρ τὸ φύσει ἀγαθὸν ἀγαθόν ἐστιν, ὡς πάντας ὠφελεῖν τοὺς
15 κατὰ φύσιν ἔχοντας, καὶ οὐχ ἁπλῶς πάντας, ὡς καὶ τὸ τῇ ἑαυτοῦ φύσει
γλυκὺ γλυκύ ἐστιν, ὡς γλυκάζειν ἅπαντας τοὺς ὑγιαίνοντας. τὸ δὲ καίτοι
παρά γε τοῖς θεοῖς οὐδαμῶς ἴσως ἔχον πρὸς τὴν τοῦ Πλάτωνος 50
δόξαν ἀπιδὼν εἶπε λέγοντος εἶναι καὶ ἐν τοῖς θεοῖς δίκαιον, καὶ πρὸ αὐτοῦ
τὴν αὐτοδικαιοσύνην. εἰ γὰρ ἔστι, φησί, παρὰ τοῖς θεοῖς δίκαιον, τοῦτο
20 οὐδέποτε μεταπίπτει οὐδὲ ἄλλοις μὲν τῶν θεῶν ἐστιν αὐτοδίκαιον ἄλλοις
δ' οὐ τοιοῦτον, διὰ τὸ πάντας αὐτοὺς ὁμοίως ἔχειν. οὕτως οὖν ἔχει καὶ
ἐπὶ τῶν ἀνθρώπων· εἰ πάντες κατὰ φύσιν διέκειντο, οὐκ ἂν μετέπιπτε τὸ
φύσει δίκαιον. ὡς γὰρ ἐν τοῖς κατὰ φύσιν ἔχουσιν ἡ δεξιὰ χεὶρ κρείττων
καὶ ἰσχυροτέρα, ἐν δὲ τοῖς παρὰ φύσιν οὐχ οὕτως, ἀλλ' ἡ ἀριστερά, διὸ 55
25 καὶ σπάνιοι οἱ τοιοῦτοι, καὶ ὡς δίποδές εἰσιν οἱ κατὰ φύσιν ἔχοντες καὶ
ὡς δύο ὀφθαλμοὺς ἔχοντες, οἱ δὲ παρὰ φύσιν καὶ τερατώδεις οὐχ οὕτως, 72ʳ
οὕτω καὶ ἐν τοῖς κατὰ φύσιν ἔχουσιν ἀνθρώποις δίκαιόν ἐστι τὸ φύσει
δίκαιον· ὥστε οὐ δεῖ τὴν κρίσιν ἀπὸ τῶν κακῶς καὶ παρὰ φύσιν διακει-
μένων ποιεῖσθαι τοῦ φύσει δικαίου, ἀλλ' ἀπὸ τῶν κατὰ φύσιν ἐχόντων.
30 ἔστι δὴ οὖν παρ' ἡμῖν [κινητὸν] φύσει δίκαιον, κινητὸν μέντοι πᾶν διὰ
τὴν τῶν χρωμένων φαυλότητα καὶ τὸ παρὰ φύσιν διακεῖσθαι.

p. 1134ᵇ30 Ποῖον δὲ φύσει τῶν ἐνδεχομένων καὶ ἄλλως ἔχειν 5
καὶ ποῖον οὔ, ἀλλὰ νομικὸν καὶ συνθήκῃ.

Επεί, φησί, καὶ τὸ φύσει δίκαιον μεταπίπτει καὶ τὸ νομικόν (εἰ γὰρ
35 τὸ φύσει, πολλῷ μᾶλλον τὸ νομικόν), τίνι γνωριοῦμεν ὅτι τόδε μὲν εἰ καὶ

---

5 περὶ S 6 ἀδιαστρόφως a: ἀδιαφόροις ἔχουσιν S 9 γὰρ om. a 12 ἔχον] ἔχει S τοῦ om. S 13. 14 ἀκίνητόν ἐστι τὸ φύσει δίκαιον S 14 τὸ φύσει] καὶ τὸ κατὰ φύσιν a: καὶ τὸ φύσει S ἀγαθὸν ἀγαθοῖς ἐστιν S 17 οὐδαμῶς ἴσως] ἴσως οὐδαμῶς Arist. vulg. ἔχον BSa Arist. MᵇOᵇ: om. Arist. vulg. 18 λέγοντος] cf. Reip. A p. 352 A 19 φησί] φύσει S 21 πάντα a οὕτως—καὶ] ὡς οὖν ἐπὶ τούτων, οὕτω καὶ S 26 φύσιν τε καὶ a 30 ἔστιν οὖν S κινητὸν post ἡμῖν delevi post δίκαιον add. καὶ B μέντοι] μὲν φύσει B: μὲν S

τάχα κεκίνηται, φυσικόν ἐστι, τόδε δὲ νομικόν; ἢ εἰ καὶ μήπω μεταπεπτώ- 72r
κασιν, ἐνδέχεται δὲ μεταπεσεῖν, πῶς διακρινοῦμεν τὸ φυσικὸν ἀπὸ τοῦ
νομικοῦ; καὶ τὸ μὲν λεγόμενον τοιοῦτον, αὐτὸς δὲ οὐχ οὕτως τὴν λέξιν
ἐπήνεγκε, καὶ διὰ τοῦτο ἀσαφέστερόν πώς ἐστιν, ἀλλ' οἷον ἀποφαινόμενος 15
5 δῆλον, φησίν, ἐστὶ ποῖον δίκαιόν ἐστι φύσει, καὶ ποῖον νομικόν, καίτοι ἐν-
δεχομένων ἀμφοτέρων ἄλλως ἔχειν. διορισθήσεται γάρ, φησίν, ἀπὸ τῶν
ἄλλων· ὡς γὰρ ἐπ' ἐκείνων ἀπὸ τῶν κατὰ φύσιν ἐχόντων κρίνεται, ποία
χεὶρ ἐστι κρείττων, ὅτι ἡ δεξιά, καὶ ποία χείρων, ὅτι ἡ ἀριστερά, καίτοι
ἐνδέχεται καὶ ταῖς χερσὶν ἀμφοτέραις ἴσον τινὰ ἰσχύειν, οὕτω καὶ τὸ
10 φύσει δίκαιον, εἰ καὶ μεταπίπτειν ἐνδέχεται, ἀπὸ τῶν κατὰ φύσιν ἐχόντων
κρινοῦμεν ὅτι τοιοῦτόν ἐστιν, εἰ καὶ μὴ τοῖς παρὰ φύσιν διακειμένοις ἰσχύει. 20
ταῦτα εἰπὼν διὰ τῶν ἐπαγομένων ἐνδείκνυται, πῶς τὸ κατὰ συνθήκην
δίκαιον τίθεται καὶ πάλιν μετατίθεται. ὡς γὰρ τὰ μέτρα, φησί, πρὸς τὸ
χρήσιμον ἀλλάττεται, οὕτω καὶ τὸ κατὰ συνθήκην δίκαιον τὴν ἀρχὴν μὲν
15 τίθεται διὰ τὸ δοκεῖν συμφέρειν τῷ κοινῷ, ἔπειτα μεταπίπτει, ἡνίκα δοκεῖ
μὴ συμφέρειν ἢ ὅπου μὴ συμφέρει. οὐ γὰρ τὸ συμφέρον τῇ δημοκρατίᾳ
συμφέρει καὶ τῇ ὀλιγαρχίᾳ ἢ τῇ ἀριστοκρατίᾳ· ὥστε ἐπεὶ ἄλλο μὲν
τὸ δίκαιον καὶ τὸ συμφέρον τῇ δημοκρατίᾳ, ἄλλο δὲ τῇ ἀριστοκρατίᾳ, 25
ἐπειδὰν ἡ πολιτεία οἷον ἡ δημοκρατία μεταπέσῃ εἰς ἀριστοκρατίαν ἢ αὕτη
20 εἰς ἐκείνην δι' ἃς αἰτίας λέγει ἐν ταῖς Πολιτείαις τὰς μεταπτώσεις αὐτῶν
γίνεσθαι, ἀνάγκη καὶ τὰ νομικὰ δίκαια μεταπίπτειν. οὐκ εἰσὶ δὲ πανταχοῦ
καὶ παρὰ πᾶσιν αἱ αὐταὶ πολιτεῖαι, διότι μὴ φύσει ἀλλὰ νόμῳ καὶ κατὰ
συνθήκην συνίστανται καὶ χρῶνται καὶ δικαίοις τοιούτοις· ἡ μέντοι ἀρίστη
πολιτεία (ἥτις δέ ἐστιν αὕτη, εἴρηκεν ἐν ταῖς Πολιτείαις) ἀεὶ καὶ παρὰ
25 πᾶσι τοῖς κατὰ φύσιν ἔχουσιν ἡ αὐτή ἐστι. 30

p. 1135ᵃ5 Τῶν δὲ δικαίων καὶ νομίμων ἕκαστον ὡς τὰ καθόλου πρὸς τὰ καθ' ἕκαστα ἔχει.

Τὰ νόμιμα, φησί, καὶ τὰ δίκαια πρὸς τὰ καθ' ἕκαστα τὰ κατ' αὐτὰ 35
πραττόμενα οὕτως ἔχει, ὡς ἔχει ὁ καθόλου ἄνθρωπος πρὸς τοὺς κατὰ
30 μέρος, Σωκράτην, Πλάτωνα, Ἀριστοτέλην. κοινὸν μὲν οὖν νόμιμον καὶ
δίκαιον τὸ γεγραμμένον καὶ διοριζόμενον ὅτι δεῖ τὴν παρακαταθήκην διδόναι,
δεῖ τὸν ἀριστέα τιμᾶν στεφάνῳ· καθ' ἕκαστον δὲ τὸ τῷδε μὲν δεῖ τὴν
οἰκείαν διδόναι παρακαταθήκην, καὶ τόνδε τῷδὶ καὶ ἄλλον ἐκείνῳ καὶ ἕτερον
ἑτέρῳ· ἐν τούτοις γὰρ αἱ πράξεις, ὧν πάντων ὡς κοινὸν ἐκεῖνο τὸ λέγον
35 "δεῖ τὴν παρακαταθήκην διδόναι" κατηγορεῖται. ταῦτα εἰπὼν λέγει καὶ τί 40

---

1 νομικοῦ a 4 ἀσαφεστέρα S 11 μὴ παρὰ τοῖς παρὰ S 14 συνθήκην] φύσιν Ba 16 et 18 δημοκρατείᾳ a 17 καὶ om. S 17. 18 ἀριστοκρατείᾳ et 19 ἀριστοκράτειαν libri 19 αὕτη scripsi: αὐτὴ libri 20 ἐν ταῖς Πολιτείαις] Polit. E 1 sqq. 22 αἱ αὐταὶ] μὴ αὐ τ̄ B: αἱ τοιαῦται a διὸ a 23 τούτοις B 24 ἐν ταῖς Πολιτείαις] Polit. H 30 post μέρος add. ἀνθρώπους οἷον S οὖν om. Sa 32 τὸ τῷδε μὲν δεῖ Ba: δεῖ τόνδε μὲν δοῦναι τωδί S: fort. post τὸ addendum τόνδε 34 ἐκείνῳ S

διαφέρει τὸ ἀδίκημα τοῦ ἀδίκου καὶ τὸ δικαίωμα τοῦ δικαίου. ἄδικον 72r
μὲν γάρ ἐστι, φησί, τῇ φύσει ἢ τῇ τάξει, λέγων τάξιν τὸν νόμον.
ἄδικον οὖν, φησί, τῇ φύσει ἢ τῷ νόμῳ· τὸ μὲν γὰρ καθόλου καὶ ὡρισμένον
καὶ τεταγμένον τῷ λόγῳ, οἷον τὸ μὴ κλέψῃς, ἄδικόν ἐστιν· ὅταν δὲ ἐν
5 πράξει πρός τινος γένηται, ἀδίκημά ἐστιν ὂν ἐν τοῖς καθ' ἕκαστα. ὁμοίως
δίκαιον τὸ καθόλου καὶ ὡρισμένον, δικαίωμα δὲ ὅταν πραχθῇ.

p. 1135ᵃ12 Καλεῖται δὲ μᾶλλον δικαιοπράγημα. 45

Εἰπὼν τί ἐστι τὸ δικαίωμα, ὅτι τὸ πραχθὲν κατὰ τὸ καθόλου τε καὶ
ὡρισμένον δίκαιον, ἐπανορθῶν τοῦτό φησιν ὅτι καθόλου μὲν λεγέσθω δικαιο-
10 πράγημα πᾶν τὸ πραχθὲν κατὰ τὸ ὡρισμένον δίκαιον, εἴτε ἐν διανομῇ ἐστιν
εἴτε ἐν συναλλάγματι, ἰδίως δὲ λεγέσθω δικαίωμα τὸ ἐπανόρθωμα τοῦ ἀδικη-
ματος, | ἤτοι ἡ ἐπὶ τῷ ἀδικήματι τιμωρία καὶ ζημία. τοιοῦτον γὰρ καὶ τὸ 72v
"δικαιώσει Κόρινθον ὁ Ζεύς", ἀντὶ τοῦ κολάσει καὶ ἐπανορθώσει. δικαίωμα
τοίνυν ἐστὶ τὸ εἰς τὸν ἀδικήσαντα γινόμενον δικαιοπράγημα. δικαιοπραγεῖ
15 μὲν γὰρ ὁ τὴν παρακαταθήκην ἀποδιδούς, ὁ δὲ τῷ μὴ ἀποδιδόντι ἐπεξιὼν
δικαιοῖ τὸν ἀδικήσαντα, καὶ ἔστιν ἡ μὲν τοῦ ἀποδεδωκότος τὴν παρακατα-
θήκην πρᾶξις δικαιοπράγημα, ἡ δὲ τοῦ ἐπεξιόντος δικαίωμα. ταῦτα εἰπὼν 5
λέγει ὅτι τίνα δὲ καὶ πόσα εἴδη δικαιοπραγημάτων καὶ ἀδικημάτων, καὶ
ἐν τίσιν ἐστί, καὶ πῶς γινόμενα τοιαῦτά ἐστιν, ὕστερον ἐπισκεπτέον, καὶ
20 εἰπὼν ὅτι ὕστερον ἐπισκεπτέον εὐθὺς δι' ὧν ἐπιφέρει περὶ αὐτῶν λέγει
συντόμως, ὕστερον δὲ ἐπὶ πολὺ λέγων. ὄντων γὰρ τῶν δικαίων καὶ ἀδί-
κων τῶν προειρημένων, τουτέστι τῶν τὰ δίκαια ἢ τὰ ἄδικα πραττόντων,
τινὲς μὲν δικαιοπραγοῦσι καὶ ἀδικοῦσι κυρίως, τινὲς δ' οὐ κυρίως, ἀλλὰ κατὰ
συμβεβηκός. ὅσοι μὲν ἑκόντες τὰ δίκαια πράττουσι, κυρίως δικαιοπρα- 10
25 γοῦσιν, ὅσοι δὲ ἄκοντες, οὐ κυρίως· ὥστε ἄλλο εἶδος δικαιοπραγίας τὸ
ἑκόντα καὶ ἐκ προαιρέσεώς τινα πράττειν, καὶ ἄλλο τὸ ἄκοντα· ὁμοίως καὶ
ἐπὶ ἀδικημάτων. ὄντων δὴ τῶν δικαίων καὶ ἀδίκων τῶν προει-
ρημένων. ὅπερ εἶπον, διὰ τούτων διορίζεται λέγων τίνες εἰσὶν οἱ κυρίως
ἀδικοῦντες καὶ τὰ δίκαια πράττοντες, καὶ τίνες οἱ μὴ κυρίως ἀλλὰ κατὰ
30 συμβεβηκός, διαρθρῶν ἅμα καὶ ὃ πρὸ ὀλίγου προεβάλετο λέγων "ἐπεὶ δὲ ἔστιν
ἀδικοῦντα μήπω ἄδικον εἶναι, ὁ ποῖα ἀδικήματα ἀδικῶν ἤδη ἄδικός ἐστι 15
πᾶσαν ἀδικίαν"; καὶ φησὶν ὅτι ὅταν ἑκών τις πράττῃ τὰ ἄδικα ἢ τὰ δίκαια,
κυρίως ἀδικεῖ καὶ κυρίως δικαιοπραγεῖ, ὅταν δὲ διὰ φόβον ἢ τῶν δικαστῶν
ἢ τοῦ ἄρχοντος τὰ δίκαια ποιῇ, οἷον τὴν παρακαταθήκην δίδωσι, δίκαιον μὲν
35 ποιεῖ, δικαιοπραγεῖ δὲ κατὰ συμβεβηκός, διότι δίκαιόν ἐστιν ὃ ἔπραξεν. ἀλλὰ

---

2 ἢ τῇ τάξει BSa Arist. Lᵇ: ἢ τάξει Arist. vulg. 3 post καὶ add. ὡς Ba
4 μὴ] μὲν Ba κλέψῃς] κλέπτειν a 7 δὲ καὶ τὸ κοινὸν μᾶλλον a et omisso καὶ Arist. Mᵇ 13 δικαιώσει—Ζεύς] cf. Herodot. E 92 14 ἀδικηθέντα a δικαιοπραγεῖ om. B 19 ἐν om. a ὕστερον μὲν σκεπτέον S 19. 20 καὶ εἰπὼν—ἐπισκεπτέον om. S 20 λέγων S 21 γὰρ] δὲ S 27. 28 προειρημένων Arist. Oᵇ: εἰρημένων Arist. vulg. 30 διορθῶν S πρὸ ὀλίγου] p. 1134ᵃ16 32 πᾶσαν] ἑκάστην S Arist.

κἂν προστάξαντος τοῦ ἄρχοντος μὴ δοῦναι τὴν παρακαταθήκην οὐ δίδωσιν, 72ᵛ
ἄδικον μὲν πράττει, ἀδίκημα δ' οὐκ ἔστι· τῷ γὰρ ἑκουσίῳ, ὡς εἴρηται, καὶ 20
τῷ ἀκουσίῳ κρίνεται τὰ ἀδικήματα καὶ τὰ δικαιοπραγήματα.

p. 1135ᵃ23 Λέγω δὲ ἑκούσιον μέν, ὥσπερ καὶ πρότερον εἴρηται,
5 ὃ ἄν τις τῶν ἐφ' αὑτῷ ὄντων.

Ἐπεὶ ἐν τῷ τρίτῳ βιβλίῳ τῆς παρούσης πραγματείας περὶ ἀκουσίου καὶ ἑκουσίου εἴρηκεν, οὐ χρὴ ἡμᾶς πάλιν ἐνταῦθα μνείαν ποιουμένου τοῦ Ἀριστοτέλους πονεῖν, ἀλλ' ἐκ τῶν ἐκεῖσε γεγραμμένων τοῖς ἐξηγηταῖς σχολῶν ἔτι σωζομένων τὰ εἰς σαφήνειαν τῶν προκειμένων συντείνοντα μετενεγκεῖν· καὶ 30
10 δὴ τοῦτο ποιῶμεν. εἰπὼν τῷ ἑκουσίῳ ὁρίζεσθαι τὸ δικαιοπράγημα, ὑπομιμνήσκει ἡμᾶς τῶν περὶ τοῦ ἀκουσίου καὶ ἑκουσίου εἰρημένων αὐτῷ ἐν τῷ Γ. διττοῦ ὄντος τοῦ ἀκουσίου, τοῦ τε βίᾳ καὶ τοῦ δι' ἄγνοιαν γινομένου, ἑκούσιόν ἐστιν ὃ μήτε βίᾳ μήτε δι' ἄγνοιαν γίνεται. καὶ ἔστιν οὐ βίᾳ μὲν οὗ ἡ ἀρχὴ ἐν αὐτῷ, οὐ δι' ἄγνοιαν δέ, ὅταν μηδὲ τὰ καθ' ἕκαστά τις ἀγνοῇ,
15 δι' ὧν καὶ ἐν οἷς ἡ πρᾶξις. ὁ γὰρ τῷ τὸ καθόλου ἀγνοεῖν ἁμαρτάνων οὐ δι' ἄγνοιαν ἁμαρτάνει, ὡς ἔδειξεν ἐν τῷ Γ, ἀλλ' ἀγνοῶν. τοῦτο δή ἐστι τὸ ἑκούσιον τὸ μὴ δι' ἄγνοιαν τῶν καθ' ἕκαστα ἁμαρτηθέν. ὅταν οὖν, 35
φησίν, ἡ ἀρχὴ ᾖ ἐν αὐτῷ εἰδότι καὶ τὰ καθ' ἕκαστα, ἐν οἷς ἡ πρᾶξις, ἑκὼν πράττει· τῶν γὰρ βίᾳ γινομένων οὐκ ἐν τοῖς πράττουσιν ἡ ἀρχή.
20 ἐπεὶ γὰρ ἦν ἀκούσιον τὸ διὰ τὴν τῶν καθ' ἕκαστα ἄγνοιαν γινόμενον, τότε φησὶν ἑκούσιον εἶναι, ὅταν μηδέν τι τῶν καθ' ἕκαστα, ἐν οἷς ἡ πρᾶξις, ἀγνοῆται. τὰ δὲ καθ' ἕκαστα ἐν οἷς ἡ πρᾶξις, ὧν ἀγνοήσας τις δι' ἄγνοιαν ἐποίει, ἦν ταῦτα, ὁ πράττων ἄνθρωπος, περὶ ἃ πράττει, ὃ πράττει, δι' οὗ πράττει, οὗ ἕνεκα πράττει, ὡς πράττει. ἔστιν οὖν ὁ πράττων ὁ ἐργαζό- 40
25 μενος καὶ ποιῶν τὸ πραττόμενον καὶ ποιούμενον, οἷον ὁ φονεύσας ἢ ὁ κλέψας· περὶ ἃ δὲ πράττει, ὁ φονευθείς (περὶ αὐτὸν γὰρ πέπραχε τὸν φόνον) καὶ τὰ κλαπέντα χρήματα· ὃ δὲ πράττει, ἐστὶν ὁ φόνος ἢ ἡ τῶν χρημάτων μετάθεσις. ὅ ἐστιν ἡ κλεψία· δι' οὗ δὲ πράττει, τὸ ὄργανον δι' οὗ πεποίηκε τὸν φόνον· οὗ δὲ ἕνεκα, τὸ τέλος οὗ χάριν ἔπραξεν. οἷον ἔδωκέ τις
30 ἐρῶν τῇ ἐρωμένῃ φάρμακον ὡς φίλτρον, συνέβη δὲ μανῆναι τὴν γυναῖκα ἀντὶ τοῦ φιλεῖν, ἢ δέδωκεν ὡς ὑπνωτικόν, ἀπέβη δὲ θανεῖν τὸν πιόντα 45
ὡς ὑπνώσαι, ἢ καὶ κειμένων ἐν τῷ αὐτῷ κιβωτίῳ καὶ ὑπνωτικῶν φαρμάκων καὶ δηλητηρίων λαθεῖν καὶ δοῦναι τὸ δηλητήριον ὡς ὑπνωτικόν. τὸ δὲ ὡς πράττει, οἷον ῥέμα οἰόμενος πλήττειν σφοδρῶς ἔπληξεν, καὶ σὺν
35 τῷ πλῆξαι τὴν φλέβα ἔπληξε καὶ τὴν ἀρτηρίαν· ἔτεμεν γὰρ ἀμφοτέρας.

---

1 προτάσσοντος S 2 πράττειν S καὶ om. S 3 κρίνεται] καὶ νέμεται S
6 ἐν τῷ τρίτῳ βιβλίῳ] Γ 1—3 8 σχολίων a 15 τῷ om. a 16 ἐν τῷ Γ] c. 2
20 ἀκούσιον scripsi: ἑκούσιον libri 22 ἀγνοεῖται a ἀγνοῆται—πρᾶξις om. S 25 καὶ ποιὸν τὸ S 27 ἢ καὶ τῶν S 28 post πράττει add. οἷον S ὄργανον ὑφ' οὗ Ba 29 post φόνον add. ξίφος ἢ λίθος ἤ τι ἄλλο S
31 δὲ om. Ba ποιοῦντα S 32 ὑπνῶσαι libri ὑπνωτικῷ Ba
34 πράττειν Ba 35 ἀμφότερα S

τὰ μὲν οὖν καθ' ἕκαστα, ἐν οἷς ἡ πρᾶξις καὶ ἃ ἐνδέχεται ἀγνοῆσαι, ταῦτα 72r
ἂν εἴη. τούτων δέ, φησί, τὸν μὲν πράττοντα οὐδεὶς ἂν δύναιτο ἀγνοεῖν· 50
πῶς γὰρ ἐνδέχεταί σε ὄντα τὸν πράττοντα ἀγνοῆσαι ὅτι σὺ εἶ ὁ πράττων;
μαινόμενος γὰρ καὶ κατεσθίων τις τὰς ἑαυτοῦ σάρκας ἀγνοήσειεν ὅτι αὐτὸς
5 ἑαυτὸν ἐσθίει, σωφρονῶν δὲ οὐκ ἂν ἀγνοήσειεν ὅτι πράττει καὶ ἐνεργεῖ.
συνέστειλε δὲ ταῦτα ἐν τῷ βιβλίῳ ἐκείνῳ εἰς τρία, ὧν νῦν μνημονεύει.
ὁ γὰρ γνωρίζων τό τε περὶ ὃ ἡ πρᾶξις γίνεται καὶ τὸ ὄργανον δι' οὗ καὶ
τίνος ἕνεκα γίνεται, οὗτος ἑκουσίως ποιεῖ· καὶ γὰρ τὸ ἀκουσίως γινόμενον
δι' ἄγνοιάν τινος ἢ καὶ πάντων τούτων γίνεται· ἐδείχθη | γὰρ ἐν ἐκείνῳ 73r
10 τῷ βιβλίῳ καὶ τἆλλα ὑπαγόμενα τούτοις. εἰπὼν δὲ εἰδὼς καὶ μὴ ἀγνοῶν
πράττῃ μήτε ὃν μήτε ᾧ μήτε οὗ [καὶ τίνος] ἕνεκα, ἐπήγαγε μὴ
κατὰ συμβεβηκὸς μηδὲ βίᾳ, τουτέστιν ἐν οἷς τὸ ἑκούσιον μὴ ᾗ κατὰ
συμβεβηκὸς μηδὲ βίᾳ. καὶ εἴη ἂν λέγων μὴ τὸ μὲν αὐτῶν κατὰ συμβεβηκός,
τὸ δὲ βίᾳ· οὐ γὰρ ἀμφότερα κατὰ συμβεβηκὸς ἢ ἀμφότερα βίᾳ. ἀλλ'
15 ἐπὶ μὲν τοῦ τὴν ἀρχὴν καὶ τὴν αἰτίαν ἐν αὐτῷ εἶναι ἁρμόζοι ἂν τὸ μὴ 5
βίᾳ· δύναται γὰρ δι' αὐτοῦ τις οὗ τὴν ἀρχὴν ἔχει βιασθεὶς ποιῆσαί τι, ὡς
αὐτὸς παρέθετο τὸ ἐπὶ τῶν χειρῶν. ἂν γάρ τις λαβὼν τὴν χεῖρα τὴν
ἐμὴν τύπτῃ τὸν πατέρα μου, ἡ ἀρχὴ ἐν ἐμοί ἐστιν, ὅτι ἡ χείρ, ᾗ τύπτεται
ὁ πατήρ μου, ἐμή ἐστιν, ἀλλὰ βίᾳ ποιῷ, ὥστε καὶ ἀκουσίως· ἂν δ' αὐτὸς
20 ἐγὼ κινῶν τὸν πατέρα τύπτοιμι, τοῦτο ἑκούσιόν ἐστιν. τὸ μὲν οὖν μὴ βίᾳ
ἁρμόζει ἐπὶ τοῦ τοιούτου· τὸ δὲ μὴ κατὰ συμβεβηκὸς ἐπὶ τοῦ εἰδέναι τὰ
καθ' ἕκαστα. κατὰ συμβεβηκὸς δὲ γνωρίζοι ἄν τις ταῦτα ὧν ἡ ἄγνοια 10
ἀκούσιον ἐποίει τὸ γινόμενον οὕτως ὡς αὐτὸς δείκνυσιν. ὁ γὰρ τὸν πατέρα
τύπτων ἐν νυκτομαχίᾳ καὶ γνωρίζων μὲν ὅτι ἄνθρωπον τύπτει, ἀγνοῶν
25 δὲ ὅτι ὃν τύπτει ὁ πατὴρ αὐτοῦ ἐστι, κατὰ συμβεβηκὸς ἂν εἴη περὶ τὸν
πατέρα ἡ πρᾶξις· ὡς πρὸς μὲν γὰρ ἄνθρωπον καθ' αὑτό, ὡς δὲ πρὸς
πατέρα κατὰ συμβεβηκός· ὥστε καὶ ἀκούσιος ἡ πρὸς τὸν πατέρα ὕβρις
τοῦ υἱοῦ. ἀλλὰ καὶ ὁ τὸν ἐλλέβορον γνωρίζων ὅτι τόδε τι ἐλλέβορος,
ἀγνοῶν δὲ τὴν δύναμιν αὐτοῦ ὅτι καθαρτικός (ὑπολαμβάνει δὲ ὡς ὕπνον 15
30 ἐμποιεῖ) καὶ διδοὺς ὡς ὑπνοποιὸν κατὰ συμβεβηκὸς τὸ οὗ ἕνεκα γνωρίζοι
ἂν οὗτος. ἀλλὰ καὶ ὁ εἰδὼς τὸ ἀκόντιον ὃ ἀφίησιν, ὅτι ἀκόντιόν ἐστιν,
ἀγνοῶν δὲ ὅτι λελόγχωται, κατὰ συμβεβηκὸς ἂν γνωρίζοι καὶ οὗτος. οὐκ
ἄρα ἑκούσιος ἡ πρᾶξις γένοιτο ἂν ἐν ᾗ τὰ καθ' ἕκαστα, ἐν οἷς ἡ πρᾶξις
γίνεται, κατὰ συμβεβηκὸς γνωρίζεται· ὧν γὰρ ἡ καθ' αὑτὸ γνῶσις ἑκούσιον
35 τὴν πρᾶξιν ποιεῖ, ταῦτα εἰ κατὰ συμβεβηκὸς γνωρίζοιτο, οὐχ ἑκούσιον τὴν 20
πρᾶξιν καὶ τὸ γινόμενον ποιεῖ. ταῦτα εἰπὼν ἐπιφέρει τὸ καθόλου λέγων
ὁμοίως δὲ τοῦτο διωρίσθω καὶ περὶ τῶν οὗ ἕνεκα καὶ περὶ

---

1 post ἀγνοῆσαι add. τάχα ἂν S 2 οὐδεὶς—πράττοντα (3) om. S δύναται a
6 ἐκείνῳ om. Ba 8 ἑκουσίως γινόμενον a 11 μήτε ᾧ om. Sa καὶ τίνος
delevi μὴ om. S 12. 13 τουτέστιν—βίᾳ om. S 15 μὲν om. a
19 ἐμή] ἐμοὶ S 24 νυκτομαχείᾳ a 28 ἐλέβορον et ἐλέβορος BS
29 ὅτι καθαρτικόν ἐστι S fort. ὑπολαμβάνων 33 γίνοιτο Sa 37 τοῦτο]
τὸ τοιοῦτον a Arist. περὶ] ἐπὶ Arist. τῶν BSa Arist. L^bM^b: τοῦ Arist. vulg.

τὴν πρᾶξιν ὅλην, τὸν πράττοντα, περὶ ὃ πράττει, ὃ πράττει, δι' οὗ 73ʳ πράττει, τὸ ὡς πράττει.

p. 1135ª31 Τὸ δὴ ἀγνοούμενον ἢ μὴ ἀγνοούμενον μέν, μὴ ἐπ' αὐτῷ δὲ ὂν ἢ βίᾳ ἀκούσιον.

Εἰπὼν τί τὸ ἑκούσιον, λέγει καὶ περὶ τοῦ ἀκουσίου, τί ποτέ ἐστι, καὶ φησὶν ὅτι τοῦτό ἐστιν ἀκούσιον, τὸ δι' ἄγνοιαν γινόμενον ἢ βίᾳ τῶν ἐφ' ἡμῖν ὄντων. ὅσα γὰρ ἀγνοεῖται ἢ μὴ ἀγνοεῖται, μὴ ἐπ' αὐτῷ δ' ἐστὶ τῷ πράττοντι, ἤτοι μὴ κατὰ τὴν ἐν αὐτῷ ἀρχὴν γίνεται, ἀλλὰ βίᾳ, ἀκούσιά ἐστι. δεῖ δὲ ἐν τῇ λέξει τῇ ἢ βίᾳ ἀντὶ τοῦ ἤ τὸ ἀλλά γράφειν, ἵνα ᾖ ἀλλὰ βίᾳ· τὸ γὰρ μὴ ἐπ' αὐτῷ ἀλλὰ βίᾳ ἀκούσιον. λέγει δὲ καὶ πολλὰ τῶν φυσικῶν οὐκ ἀγνοούμενα ἡμῖν καὶ γινόμενα καὶ πραττόμενα οὔθ' ἑκούσια οὔτ' ἀκούσια εἶναι, καίτοι ὡς εἴρηται καὶ ἐφ' ἡμῖν ὄντα· ἐφ' ἡμῖν γὰρ ἡ ἀρχὴ καὶ οὐκ ἀγνοεῖται ὅτι γίνεται. ἔστι δὲ ταῦτα ὅσα κατὰ φύσιν γίνεται, οἷον τροφῆς πέψις καὶ ἀνάδοσις καὶ πρόσκρισις, καὶ τὸ γηρᾶν ἢ ἀποθνήσκειν. ἢ τὸ μὲν τὰ τοιαῦτα ὅτι οὐκ ἀγνοεῖται ὡς γίνεται δῆλον καὶ ἀληθές, οὐ μὴν καὶ ἐφ' ἡμῖν εἰσι. διὰ τοῦτο καὶ ὁ ποιητὴς εἶπε "φύσει γὰρ ὄντες θνητοὶ οὐ κύριοί ἐσμεν τοῦ ἐπὶ τοῦτο μὴ ἐλθεῖν· ἀνάγκῃ γὰρ ἥκομεν."

p. 1135ᵇ2 Ἔστι δ' ὁμοίως καὶ ἐπὶ τῶν ἀδίκων καὶ τῶν δικαίων καὶ τὸ κατὰ συμβεβηκός.

Εἰπὼν ὅτι ἐν οἷς ἡ πρᾶξις, καὶ τὸ κατὰ συμβεβηκὸς καὶ τὸ καθ' αὑτό, ὧν τὸ μὲν ἐποίει τὸ ἑκούσιον, τὸ δὲ τὸ ἀκούσιον, λέγει ὅτι καὶ ἐπὶ τῶν δικαίων καὶ τῶν ἀδίκων ἔστι καὶ τὸ κατὰ συμβεβηκός. ὁ γὰρ ποιῶν τι τῶν δικαίων ἄκων καὶ κατὰ φόβον κατὰ συμβεβηκὸς δικαιοπραγεῖ, ὅτι οἷς συμβέβηκε δικαίοις εἶναι ταῦτα ποιεῖ, οὐ μὴν ἁπλῶς οὐδὲ κυρίως, ὅτι οὐχ ἑκὼν ἀλλὰ διὰ φόβον ποιεῖ. ἀλλὰ καὶ ὁ ἄκων ⟨ἄδικόν⟩ τι ποιῶν, ὡς ὁ ἀναγκασθεὶς μὴ ἀποδοῦναι τὴν παρακαταθήκην, κατὰ συμβεβηκὸς ἀδικεῖ (ὅτι γὰρ συμβέβηκε τῷ πραττομένῳ ὑπ' αὐτοῦ ἀδίκῳ εἶναι) οὐ μὴν ἁπλῶς· τὸ γὰρ ἁπλῶς ἀδικεῖν ἦν ἐν τῷ ἑκόντι αὐτὰ πράττειν. λαβὼν δὲ ὅτι ἐν τοῖς ἑκουσίως γινομένοις ἐστὶ τὸ δικαιοπραγεῖν καὶ τὸ ἀδικεῖν, ἑξῆς τῶν ἑκουσίως γινομένων διαφοράν τινα ποιεῖται λέγων τῶν ἑκουσίως πραττομένων τὰ μὲν προελόμενοι καὶ μετὰ προαιρέσεως ποιοῦμεν, τὰ δὲ οὐ προελόμενοι. τὰ γὰρ διὰ θυμὸν γινόμενα ἀπροβούλευτα· ἑκόντες μὲν γὰρ ποιοῦμεν ταῦτα, οὐ προβουλευσάμενοι δέ.

---

3 δὴ] δ' a 3. 4 ἐπ' αὐτῷ a Arist. vulg.: ἐφ' ἑαυτῷ BS Arist. Oᵇ (ἐφ' αὐτῷ Lᵇ) 6 γινόμενον] πραττόμενον S 7 ἡμῶν S ἐπ' αὐτῶν a 10 λέγεται S 12 ἐν ἡμῖν γὰρ S 16 ὁ ποιητὴς] nescio quis 16. 17 φύσεως γὰρ ὄντες θνητῆς Anon. 18 καὶ post ὁμοίως apud Arist. non legitur 22 καὶ post ἔστι om. S 25 ἄδικον addidi: ὁ μὴ ἐκ τῶν ἀδίκων τι (lege ὁ μὴ ἑκὼν ἀδικόν τι) ποίησας Anon. 27 post γὰρ add. μὴ S 28 πράττειν] ποιεῖν S 29 ἑκουσίοις S 32 μὲν om. S

p. 1135ᵇ11 Τριῶν δ' οὐσῶν βλαβῶν τῶν ἐν ταῖς κοινωνίαις, τὰ μὲν μετ' ἀγνοίας ἁμαρτήματά εἰσιν. |

Εἰπὼν πρὸ ὀλίγου περὶ αὐτῶν "καθ' ἕκαστόν γε αὐτῶν ὁποῖά τε εἴδη 73ᵛ
καὶ πόσα, καὶ περὶ ποῖα ὄντα τυγχάνουσιν, ὕστερον ἐπισκεπτέον" νῦν τοῦτο 11
5 ποιεῖ· διελὼν γὰρ τὸ ἑκούσιον εἰς τὸ κατὰ προαίρεσιν καὶ τὸ χωρὶς προαιρέσεως * * ἔστι δὲ ἡ ἀδικία βλάβη τις, ἀποδίδωσι νῦν πῶς μὲν γινομένη ἡ βλάβη ἀδικία ἐστί, καὶ πῶς γινομένη οὐκ ἔστιν ἀδικία. τῶν δὴ βλαβῶν αἱ μὲν μετ' ἀγνοίας τοῦ γινομένου γίνονται καὶ εἰσὶν ἀκούσιοι, αἱ δὲ εἰδότων καὶ ἑκουσίως. καὶ τῶν μετ' ἀγνοίας αἱ μὲν παράλογοι καὶ ἐκ παραδόξου 15
10 γίνονται, αἱ δὲ τὸ μὲν ἀκούσιον ἔχουσιν, οὐ μὴν κατὰ τὸ παράλογόν τε καὶ παράδοξον. εἰπὼν δὲ τὰς κατὰ ἄγνοιαν γινομένας βλάβας κοινῶς ἁμαρτήματα ὑποδιαίρεσιν αὐτῶν ποιεῖται καὶ φησὶ τὰς μὲν παραλόγως αὐτῶν γινομένας δεῖ καλεῖν ἀτυχήματα, τὰς δὲ μὴ παραλόγως ἁμαρτήματα ὁμωνύμως τῷ κοινῷ. εἴη δ' ἂν παραλόγως γινόμενα τὰ σπάνια καὶ ἀπροσδόκητα, οἷον
15 εἰ τὴν θύραν ἄφνω ἀνοίξαντός τινος ὁ πατὴρ ἐκείνου παρεστὼς ἐπλήγη, ἢ εἰ τοξεύοντος ἐν τοιούτῳ τόπῳ ἐν ᾧ οὐδεὶς εἴωθε πορεύεσθαι, ἄφνω τις 20
ἔκ τινος τύχης ἐκεῖσε διερχόμενος ἐτρώθη τῷ ἀφεθέντι βέλει. τὰ γὰρ τοιαῦτα παράλογά τε καὶ ἀπροσδόκητα· πῶς γὰρ ἂν προσεδόκησεν ὁ τοξεύων ἐκεῖσέ τινα διελθεῖν ἐν ᾧ οὐδεὶς οὐδέποτε ὠπται διιών; ὅσα δὲ μὴ
20 ἔστι παράλογα, ἀγνοοῦντος μέντοι τοῦ πράξαντος γίνεται, ταῦτα λεγέσθω ἁμαρτήματα. ὁ γὰρ ἐν ὁδῷ ἀκοντίζων ἢ ἔν τινι χωρίῳ, ἐν ᾧ ἐνδέχεταί τινας εἶναι, καὶ βαλών τινα ἡμάρτηκε, καὶ' καλοῦνται αἱ τοιαῦται τῶν 25
βλαβῶν ἁμαρτήματα. ἁμαρτάνει γάρ, φησίν, ὅταν ἐν αὐτῷ ἡ ἀρχὴ ἢ τῆς αἰτίας· ἔστι δὲ ἐν αὐτῷ, καθ' ὅσον εἰς τόπον ἠκόντιζεν ἐν ᾧ ἔθος
25 ἦν διέρχεσθαί τινας. τὰ μὲν οὖν μετ' ἀγνοίας γινόμενά εἰσιν, ὡς εἴρηται, τὰ ἀτυχήματα καὶ τὰ ἁμαρτήματα· ἀδικήματα δέ ἐστιν ὅταν πράξῃ τίς τι εἰδὼς μέν, μὴ προβουλεύσας δέ. ταῦτα δ' ἐστὶ τὰ διὰ θυμὸν γινόμενα καὶ διὰ πάθη ἀναγκαῖα ἢ φυσικά. εἰσὶ δὲ πάθη φυσικὰ ἔρωτες λῦπαι φόβοι, ἀναγκαῖα δὲ πεῖνα δίψα. ὁ γὰρ διὰ μεγάλην λύπην βλάψας τινὰ 30
30 ἢ διὰ φόβον ἐξειπὼν τὰ τοῦ φίλου μυστήρια ἢ διὰ σφοδρὸν ἔρωτα βλάψας ἢ διὰ πεῖναν ἰσχυρὰν ἢ δίψαν ἀποστερήσας τινὰ τοῦ οἰκείου ἀδικεῖ μέν, καὶ ἄδικοι αἱ πράξεις, οὐ μὴν ἤδη ἄδικός ἐστιν· οὐ γὰρ διὰ μοχθηρίαν πέπραχεν, ἀλλ' ἠναγκάσθη πρᾶξαι. ἄδικος δ' ἐστὶν ὁ ἐκ προαιρέσεως ταῦτα ποιῶν δίχα τῶν εἰρημένων παθῶν τῶν ἀναγκαίων καὶ φυσικῶν. ἡ
35 μὲν οὖν σύμπασα τῶν λεγομένων διάνοια αὕτη. τὸ δὲ κατὰ τὴν ἀρχὴν τῆς λέξεως τὸ ὅταν μήτε ὃν μήτε ὃ μήτε ᾧ μήτε οὗ ἕνεκα, ὃν μὲν 35

---

1 δ' οὐσῶν BSa Arist. Lᵇ: δὴ οὐσῶν Arist. vulg. 2 ἐστὶν Sa Arist. 3 πρὸ ὀλίγου] p. 1135ᵃ13 καθ' ἕκαστον Arist.: καθ' ἑκάστων BS: καθ' ἑκάστην a γε] τε S
6 post προαιρέσεως add. γινόμενον Sa lacuna ex Anon. explenda est προαιρέσεως, ἐπεὶ τῶν γινομένων τὰ μὲν ἀκουσίως γίνεται, τὰ δὲ ἑκουσίως, ἔστι δὲ κτλ. 9 παράλογοι καὶ ἐκ om. S 10 post μὴν add. καὶ S 16 τοξεύοντος scripsi: τοξεύων τις libri post τοιούτῳ add. τινὶ S 24 αὐτῷ scripsi: ἑαυτῷ libri 26 ἀδίκημα S
28 εἰσὶ—φυσικὰ om. S 30 κλέψας S 33 ἠναγκάσας (sic) S

λέγει τὸν πατέρα περὶ ὃν ἡ πρᾶξις· ὃ δὲ ἡ πρᾶξις, ὡς ὁ ἐξειπὼν τὰ 73ᵛ
μυστήρια ἀγνοήσας ὅτι μυστήριά ἐστιν· ᾧ δὲ τὸ ὄργανον, οἷον ὅτι ἀκόντιόν
ἐστιν, οὗ δὲ τὸ τέλος, ὡς ὁ ἀγνοήσας ὅτι οὐ ποιεῖ φιλίαν τόδε τὸ φάρ-
μακον, ἀλλὰ μανίαν, ὧς δὲ ὁ τρόπος, οἷον ἠρέμα ἀλλ' οὐ σφοδρῶς. διὸ
5 καλῶς τὰ ἐκ θυμοῦ οὐκ ἐκ προνοίας κρίνεται. ὁ διὰ θυμὸν ποιήσας
εἰδὼς μὲν ἐποίησε καὶ ἑκών, οὐ προβουλεύσας δὲ οὐδὲ προελόμενος· ὁ γὰρ
ὑβρισθεὶς καὶ διὰ τοῦτο τρώσας οὐκ ἐν ἑαυτῷ τὴν ἀρχὴν ἔχει, ἀλλ' ἐν 40
τῷ ὑβρίσαντί ἐστιν· ὁ γὰρ ὑβρίσας γέγονεν ἀρχὴ καὶ αἴτιος τοῦ κινηθῆναι
εἰς ἀνθύβρισιν τὸν ὑβρισθέντα.

10 p. 1135ᵇ27 Ἔτι δὲ οὐδὲ περὶ τοῦ γενέσθαι ἢ μὴ ἀμφισβητεῖται.

Ταῦτα ὡς σημεῖα παρατίθεται τοῦ τοὺς διὰ θυμόν τι πράξαντας μὴ
ἐκ προαιρέσεως μηδ' ἐπιβούλως μηδ' ἀπὸ κακίας πεπραχέναι * * ἀλλ'
ἀπαρνοῦνται λέγοντες μὴ πεποιηκέναι, καὶ γίνεται ἐν τούτοις ἡ ἀμφιβολία,
εἰ γέγονε παρὰ τοῦδε τόδε τὸ κακὸν ἢ μὴ γέγονε, τῶν μὲν κατηγόρων
15 λεγόντων ὡς αὐτὸς πεποίηκεν, αὐτοῦ δὲ ἀπαρνουμένου καὶ λέγοντος μὴ
πεποιηκέναι. ὁ δὲ διὰ θυμὸν πράξας ὁμολογεῖ καὶ λέγει ὡς πεποίηκα
τοῦτο, ἀλλὰ δικαίως. ὡς γὰρ ἠδικημένοι οἱ δι' ὀργήν τι ποιοῦντες καὶ
ἀμυνόμενοι | αὐτοὺς ὡς προηδικηκότας· ἐπὶ φαινομένῃ γὰρ ἀδικίᾳ ἡ 74ʳ
ὀργή ἐστιν. ἐν μὲν γὰρ τοῖς συναλλάγμασι βλάπτοντες περὶ τοῦ γεγονέναι
20 ἢ μὴ ἀμφισβητοῦσι· τὸ γὰρ δρᾶμα ἀμφισβητοῦσιν ἅτ' ἐξ ἐπιβουλῆς ποι-
οῦντες, οἱ μὲν ἀποδεδωκέναι τὸ ὀφειλόμενον λέγοντες, οἱ δὲ μὴ κεκομίσθαι,
ὧν ἀνάγκη τὸν ἕτερον πάντως εἶναι κακόν, ἢ τὸν λέγοντα δεδωκέναι ἢ τὸν
μὴ λαβεῖν διισχυριζόμενον. ἔσται δὲ ἐξ ἀνάγκης ὁ ἕτερος κακός, εἰ μὴ 5
διὰ λήθην δρᾷ· εἰ γὰρ μὴ δοὺς ἐπιλέλησται ὅτι οὐ δέδωκεν, ὁμοίως δὲ
25 καὶ λαβὼν ὅτι ἔλαβεν, οὐ κακός. ἐπὶ δὲ τῶν διὰ θυμὸν γινομένων τὸ
μὲν πρᾶγμα ὁμολογοῦσι πεποιηκέναι, περὶ δὲ τοῦ δικαίως ἢ ἀδίκως ἡ
ἀμφισβήτησίς ἐστι τῷ πεποιηκότι καὶ πεπονθότι. εἰ οὖν οἱ ἐκ προαιρέσεως
πράξαντες τὸ κακὸν οὐχ ὁμολογοῦσι πεποιηκέναι, οἱ δὲ διὰ θυμὸν ὁμο-
λογοῦσιν, οἱ διὰ θυμόν τι ποιοῦντες οὐκ ἐκ προαιρέσεως ποιοῦσιν. ἃ μὲν
30 οὖν λέγει ταῦτ' ἐστίν· ἐν δὲ τῇ λέξει τῇ ὥστε ὁ μὲν οἴεται ἀδικεῖσθαι, 10
ὁ δὲ μὴ περὶ τῶν διὰ θυμόν τι ποιησάντων καὶ παθόντων εἴρηται. εἰ
οὖν ὁ μὲν ἀδικεῖσθαι οἴεται, ὁ δ' οὐκ ἀδικεῖν, δῆλον ὅτι ἡ ἀμφισβήτησις
αὐτῶν ἐστιν οὐ περὶ τοῦ εἰ γέγονεν ἢ μή, ἀλλὰ περὶ τοῦ εἰ δίκαιον ἢ
ἄδικον τὸ γεγονός. ἂν δὲ ἐκ προαιρέσεως βλάψῃ, ἀδικεῖ, καὶ κατὰ
35 ταῦτα ἤδη τὰ ἀδικήματα. ἀδικήματα λέγει τὰς βλάβας. δείξας δὲ

---

7 ἀρχὴν] αὐτὴν S 10 ἔτι corr. ex ὅτι B 12 lacuna ex Anon. explenda ὃ οὐ ποιοῦσιν οἱ ἐξ ἐπιβουλῆς ἀδικοῦντες 13 καὶ γίνεται — πεποιηκέναι (16) om. S 15 post αὐτὸς add. αὐτὸ B 16 πεποίηκε a 20 τράμα B 22 τὸν ante ἕτερον Arist.: τὸ libri 23 ἔστι δὲ a 25 διὰ θυμοῦ a 27 εἰ scripsi: οἱ libri οἱ om. Ba 29 οἱ δὲ διὰ S 30 τῇ οὕτως οἱ μὲν S 31 ὁ δ' οὐ Arist. 32 οὐκ ἀδικεῖ a 33 αὐτῶν] αὐτῷ B: om. a εἰ utrumque om. S ἀλλ' εἰ περὶ S

ὅτι ὁ διὰ πάθος τι ποιήσας οὔπω ἄδικός ἐστιν, ὡς ἀκόλουθον τούτοις 74r
ἐπιφέρει ὅτι ἀδικεῖ καὶ ἄδικός ἐστιν ὁ ἐκ προαιρέσεως βλάπτων. ὅταν οὖν 15
κατὰ προαίρεσιν βλάπτῃ τις ἢ νέμων ἑαυτῷ τῶν ἀγαθῶν τὸ πλέον παρὰ
τὸ ἀνάλογον, ἢ πλεονεκτῶν τὸ ἴσον παραβαίνῃ (τούτου γὰρ δηλωτικὸν τὸ
5 ὅταν παρὰ τὸ ἀνάλογον ἢ παρὰ τὸ ἴσον), οὗτος ἤδη ἄδικος. ὥστε
ἄδικος μὲν καὶ ἀδικεῖ ὁ κατὰ προαίρεσιν βλάπτων, ὁ δὲ εἰδὼς μέν, μὴ κατὰ
προαίρεσιν δὲ βλάπτων ἀδικεῖ μέν, ἀδίκημα μέντοι τὸ γινόμενον οὐκ ἔστιν.
οὕτως ἔχει καὶ ἐπὶ τοῦ δικαίου· ὁ μὲν γὰρ πρὸς τῷ εἰδέναι καὶ κατὰ
προαίρεσιν δίκαια ποιῶν δίκαιός ἐστιν, ὁ δὲ εἰδὼς μέν, μὴ κατὰ προαίρεσιν 20
10 δὲ ποιῶν δικαιοπραγεῖ μέν, οὐ μέντοι δίκαιός ἐστι.

p. 1136ᵃ5 Τῶν δ' ἀκουσίων τὰ μέν ἐστι συγγνωμονικά, τὰ δ' οὐ συγγνωμονικά· ὅσα μὲν γὰρ μὴ μόνον ἀγνοοῦντες, ἀλλὰ καὶ δι' ἄγνοιαν.

Ἀγνοοῦντα λέγει τὸν τὸ καθόλου ἀγνοοῦντα. ὁ γὰρ μὴ εἰδὼς ὅτι 25
15 τὸ μοιχεύειν κακόν, ἀγνοῶν λέγεται καὶ ἀγνοῶν πράττει, ὁ δὲ εἰδὼς τὸ
καθόλου ὅτι ἡ μοιχεία κακὸν καὶ ὅτι κεκώλυται ὑπὸ τοῦ νόμου, ταύτην
δὲ ᾗ ἐμίχθη οὐκ οἶδεν ὅτι ἀνδρὶ συνοικεῖ, οὗτος ἀγνοῶν οὐκ ἔστι, δι'
ἄγνοιαν δὲ τοῦ συνοικεῖν ἀνδρὶ συνεφθάρη τῇ γυναικί. δι' ἄγνοιαν μὲν
οὖν λέγει γίνεσθαι ἐφ' ὧν τῶν καθ' ἕκαστά τι ἐν οἷς ἡ πρᾶξις ἀγνοεῖται,
20 ἃ ἦν καὶ κυρίως ἀκούσια· ἀγνοούντων δέ εἰσι τὰ παρὰ τὴν τοῦ καθόλου
προσήκοντος ἄγνοιαν ἁμαρτήματα. καὶ τὰ μὲν περὶ τὴν λέξιν τοιαῦτα. 30
ἀκούσια δὲ νῦν ἔοικε λέγειν πάντα τὰ μὴ κατὰ προαίρεσιν γινόμενα· τὰ
γὰρ κατὰ πάθος γινόμενα πρὸ ὀλίγου ἑκούσια μὲν εἶπεν, ἀπροαίρετα δέ,
νῦν δὲ τοῖς ἀκουσίοις ὑπάγει καὶ ταῦτα. καὶ θαυμαστὸν οὐδέν, εἰ ἑκούσια
25 λέγων ταῦτα πάλιν ἀκούσιά φησιν· ἑκούσια μὲν γὰρ δοκεῖ εἶναι, καθ' ὅσον
οὐ δι' ἄγνοιαν γίνεται, ἀκούσια δ' αὖ πάλιν, καθ' ὅσον οὐ κατὰ προαίρεσιν.
τῶν δὴ ἀκουσίως γινομένων ὅσα πρὸς τῷ ἀγνοεῖν καὶ δι' ἄγνοιαν γίνεται, 35
συγγνώμης ἄξιά ἐστι· τὸν γὰρ μὴ εἰδότα μήτε τὸ καθόλου μήτε τὸ κατὰ
μέρος καὶ ἁμαρτήσαντα συγγνωμονήσειεν ἂν πᾶς. ὅσα δὲ οὐ δι' ἄγνοιαν
30 τῶν καθ' ἕκαστα γίνεται, ἀγνοούντων δέ (ταῦτα δὲ ἦν τὰ διὰ πάθος γινόμενα) τούτων, φησίν, ὅσα μὴ διὰ πάθος γίνεται μήτε φυσικὸν μήτε ἀνθρωπικόν, οὐ συγγνωμονικά. φυσικὰ δέ εἰσιν, ὡς εἴρηται, πεῖνα καὶ δίψα, ἀνθρωπικὰ δὲ λύπη, φόβος, ἔλεος. ὁ γὰρ διὰ πεῖναν ἁμαρτήσας καὶ ἁπλῶς τὴν τῶν ἀναγκαίων ἀπορίαν καὶ ἐπιθυμίαν συγγνωστός, ὁ δὲ τοιᾶσδε τροφῆς 40
35 ἐπιθυμῶν καὶ τοιοῦδέ τινος πόματος, οἷον σαρκὸς πέρδικος καὶ οἴνου γλυκέος, καὶ διὰ ταῦτα ἁμαρτήσας οὐκ ἔστι συγγνώμης ἄξιος.

---

3 τῶν om. S 4 παραβαίνει Sa 5 ἢ παρὰ BSa Arist. Mᵇ: ᾗ ἢ παρὰ Arist. vulg. 5. 6 ὡς δὲ ἄδικος S 7 βλάπτων] πράττων S οὐκ superscr. B¹: om. a 14 Ἀγνοοῦντες a 19 τῶν] τὸ Ba 20 παρὰ scripsi: περὶ libri 21 προσήκοντος (ος in ras.) B: προσήκοντα Sa παρὰ S 22 μὴ Anon.: om. BSa 27 πρὸς τὸ Sa 31. 32 ἀνθρωπικὸν BSa Arist. LᵇMᵇOᵇ: ἀνθρώπινον Arist. vulg. 32 συγγνωμονικόν S

p. 1136ª10 Ἀπορήσειε δ' ἄν τις εἰ ἱκανῶς διώρισται περὶ τοῦ 74r
ἀδικεῖσθαι καὶ τοῦ ἀδικεῖν.

Εἰπὼν πρότερον περὶ τοῦ ἀδικεῖν καὶ ἀδικεῖσθαι ὅτι ἀδικεῖν ἐστι καὶ ἄδικός ἐστιν ὁ ἑκὼν ἀδικῶν, ἀδικεῖσθαι δὲ τὸ ἀκουσίως πάσχειν, ἐπεὶ πρὸς 50
5 ταῦτα τὰ τοῦ Εὐριπίδου ἀντιφθέγγεται (λέγει γὰρ οὗτος ὅτι ἔστι καὶ ἐπὶ τοῦ ἀδικεῖσθαι τὸ ἑκούσιον καὶ εἰσὶν οἱ ἑκόντες ἀδικοῦνται), ζητεῖ ὁ Ἀριστοτέλης, ἆρα ἔστιν ἑκόντα ἀδικεῖσθαι, καὶ ὡς τὸ ἀδικεῖν ἑκούσιόν ἐστι (τῷ ἑκουσίῳ γὰρ ὁ ἄδικος ὁρίζεται· ὁ γὰρ ἑκὼν καὶ κατὰ προαίρεσιν βλάπτων ἄδικός ἐστιν) ἆρα οὖν ὥσπερ τὸ ἀδικεῖν ἑκούσιον, οὕτως | καὶ τὸ ἀντι- 74v
10 κείμενον αὐτῷ τὸ ἀδικεῖσθαι πᾶν ἑκούσιον, ἢ ἐπεὶ ἀντίκειται ἀλλήλοις τὸ ἀδικεῖν καὶ ἀδικεῖσθαι, θατέρου τοῦ ἀδικεῖν ὄντος ἑκουσίου θάτερον τὸ ἀδικεῖσθαι ἀκούσιόν ἐστι. τὸ δ' αὐτό, φησί, ἀπορήσειεν ἄν τις καὶ ἐπὶ τοῦ δικαιοῦσθαι· ἐπεὶ γὰρ τὸ δικαιοπραγεῖν πᾶν ἑκούσιον ὥσπερ τὸ ἀδικεῖν, ἀντίκειται δὲ ὡς τὸ ἀδικεῖν τῷ ἀδικεῖσθαι, οὕτω καὶ τὸ δικαιοπραγεῖν τῷ
15 δικαιοῦσθαι, ὡσαύτως ἂν καὶ ἐπὶ τούτων δόξειεν ἔχειν, καὶ ἢ ὡς ἀκούσιον 5
ἑκουσίῳ ἀντικείσεται ἢ ὡς ἑκούσιον ἑκουσίῳ. ἔστι δὲ τὸ δικαιοῦσθαι τὸ ὑπὸ τοῦ δικαστοῦ ἐπανισοῦσθαι, ὡς εἴρηται, κατὰ τὸ ἐπανορθωτικὸν δίκαιον. αὐτὸ μὲν οὖν τὸ ἀδικεῖσθαι καὶ τὸ ἀδικεῖν ὁμοίως ἔχει τῷ δικαιοῦσθαι καὶ δικαιοπραγεῖν· ἀλλὰ μήποτε οὐκ ἐν ἅπασιν ὁμοίως ταῦθ' ὑπάρχει. ὁ
20 μὲν οὖν ζητεῖ, τοῦτο· κατὰ δὲ τὴν λέξιν παρατίθεται τὰ τοῦ Εὐριπίδου ἰαμβεῖα ἐκ τοῦ Βελλεροφόντου εἰς πίστωσιν τοῦ ἔστιν ἑκόντα ἀδικεῖσθαι. 10
ὃ καὶ εὐθὺς ἀπερράπισεν ὡς μὴ ἀποδεχόμενος, προσθεὶς τὸ ἀτόπως· παράλογον γὰρ τὸ εἰρημένον καὶ ἄτοπον τὸ τὴν μητέρα ἐθέλουσαν ἀνῃρῆσθαι ὑπὸ ἑκόντος τοῦ παιδὸς ἢ θέλουσαν ἀναιρεθῆναι ὑπ' ἄκοντος.
25 τὸ γὰρ μὴ θέλουσαν ὑπὸ ἑκόντος ἀναιρεθῆναι εὔλογον· ἀντίκειται γὰρ τὸ θέλειν καὶ μὴ θέλειν, ἤτοι τὸ ἑκούσιον καὶ ἀκούσιον· τὸ δὲ θέλουσαν θέλοντος εὔλογον οὐδαμῶς, εἴπερ τὸ ἀδικεῖσθαι, ὡς δείξει, ἀκούσιον. δύναται δὲ τὸ ἀτόπως καὶ πρὸς τὸν Εὐριπίδην εἰρῆσθαι, ὡς εἰ ἔλεγεν 15
ἀτόπως εἶπεν ὁ Εὐριπίδης· δύναται καὶ καθόλου εἰρῆσθαι ὅλως δὴ τὸ λέγειν
30 ὅτι ἀδικεῖταί τις ἑκὼν ἄτοπον.

p. 1136ª21 Ἄτοπον δ' ἂν δόξειε καὶ ἐπὶ τοῦ δικαιοῦσθαι, εἰ ἅπαν ἑκούσιον.

Εἰπὼν ὅτι καὶ τὸ λέγειν πᾶν τὸ δικαιοῦσθαι ἑκούσιον ἄτοπόν ἐστι, συντόμως τὴν αἰτίαν τῆς ἀτοπίας τέθεικεν εἰπὼν ἔνιοι γὰρ δικαιοῦνται 25
35 οὐχ ἑκόντες. εἰσὶ δὲ οὗτοι οἱ πεπλεονεκτηκότες, ὧν τὸ πλέον ἐχόντων

5 Εὐριπίδου] v. Nauck, Fr. Tr. Gr. p. 381² οὕτως BS 7 ἑκόντες S
12 ἀπορήσοι S 15 δικαιοῦσθαι] ἀδικεῖσθαι S 16 ἑκουσίῳ post ἀκούσιον scripsi: ἑκουσίως S: ἀκουσίῳ Ba ἑκούσιον ἀκουσίῳ S 21 βελλεροφόντος Sa
23 παραλόγως S 27 δόξει Ba ἑκούσιον B'a 28 ὡς εἰ — εἰρῆσθαι (29) om. S
35 post δὲ add. καὶ S

ἀφαιρεῖται ὁ δικαστὴς καὶ δίδωσι τῷ ἠδικημένῳ. εἴρηται δὲ πρότερον ὅτι 74v
τὸ δικαιοῦσθαι λέγεται καὶ ἐπὶ τοῦ λαμβάνοντος, ὅπερ ἀφῄρηται, παρὰ τοῦ πλεονέκτου (δεδικαιῶσθαι γὰρ λέγεται οὗτος), λέγεται καὶ ἐπὶ τοῦ κολαζομένου· ὁ γὰρ ἀδικήσας καὶ κολασθεὶς δεδικαιῶσθαι καὶ οὗτος λέγεται.
5 ἐκεῖνος μὲν οὖν ἑκὼν δικαιοῦται, οὗτος δὲ ὁ ἀδικήσας ἄκων. εἰσὶν οὖν 30
τῶν δεδικαιωμένων οἱ μὲν ἑκόντες δικαιούμενοι, ὅσοι ἠλάττωνται, οἱ δὲ ἄκοντες, ὅσοι ἐπλεονέκτησαν. ἐπεὶ καὶ τόδε διαπορήσειεν ἄν τις, πότερον ὁ τὸ ἄδικον πεπονθὼς ἀδικεῖται πᾶς. ἀπορήσας, εἰ ἔστιν ἑκόντα ἀδικεῖσθαι, καὶ κοινοποιήσας τὸν λόγον καὶ ἐπὶ τοῦ δικαιοῦσθαι ὡς
10 ὁμοίως ἐχόντων τοῦ ἀδικεῖσθαι πρὸς τὸ ἀδικεῖν καὶ τοῦ δικαιοῦσθαι πρὸς τὸ δικαιοπραγεῖν, καὶ ὀφειλόντων [ἢ] ἀμφοτέρων τοῦ ἀδικεῖσθαι καὶ δικαιοῦσθαι ἢ ἀκουσίων εἶναι ἢ ἑκουσίων, [καὶ] ἐπεὶ μὴ οἷόν τε πᾶν τὸ δικαιοῦσθαι 35
ἑκούσιον εἶναι, συνάγεται δὲ μηδὲ πᾶν τὸ ἀδικεῖσθαι ἀκούσιον εἶναι, ἀλλ' εἶναι καὶ ἐπὶ τούτου τὸ ἑκούσιον, ταῦτα ἀπορήσας διὰ τούτων δεικνύναι
15 πειρᾶται ὅτι ὡδὶ μὲν ἑκάτερον αὐτῶν γινόμενον ἑκούσιόν ἐστιν, ὡδὶ δὲ ἀκούσιον. λέγει δὴ ὅτι ὡς ἔχει ἐπὶ τοῦ πράττειν, οὕτως ἕξει καὶ ἐπὶ τοῦ πάσχειν, πράττειν λέγων τὸ ἀδικεῖν καὶ δικαιοπραγεῖν, πάσχειν δὲ τὸ ἀδικεῖσθαι καὶ δικαιοῦσθαι. ἐπεὶ δέ, ὡς ἀνωτέρω δέδεικται, τοῦ ἀδικεῖν τὸ μὲν ἦν καθ' αὑτό, ὅταν ὁ ἀδικῶν ἑκὼν ἠδίκει, τὸ δὲ κατὰ συμβεβηκός, ὅταν 40
20 οὐχ ἑκών, ὁμοίως καὶ τοῦ δικαιοπραγεῖν τὸ μὲν καθ' αὑτὸ τὸ ἑκούσιον, τὸ δὲ κατὰ συμβεβηκὸς τὸ ἀκούσιον, τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τοῦ ἀδικεῖσθαι καὶ δικαιοῦσθαι ἕξει, καὶ ἔσται καὶ τὸ ἀδικεῖσθαι διττόν. ἀσαφῶς δὲ ἀπήγγελται ἡ λέξις ἡ λέγουσα κατὰ συμβεβηκὸς γὰρ ἐνδέχεται ἐπ' ἀμφοτέρων μεταλαμβάνειν τῶν δικαίων. ἔστι δὲ ὃ λέγει δυνάμει
25 τοιοῦτον. τεττάρων ὄντων, τοῦ ἀδικοῦντος, τοῦ ἀδικουμένου, τοῦ δικαιοπρα- 45
γοῦντος, τοῦ δικαιουμένου, ἐπ' ἀμφοτέρων, ἤτοι ἐπὶ τῶν δύο τοῦ δικαιοπραγοῦντος καὶ δικαιουμένου, ἐνδέχεται τὸν δικαιούμενον κατὰ συμβεβηκὸς μεταλαμβάνειν τοῦ δικαίου, ὅταν ὁ δικαιοπραγῶν κατὰ συμβεβηκὸς δικαιοπραγῇ· ὁμοίως καὶ ἐπὶ τῶν ἀδίκων ἐνδέχεται κατὰ συμβεβηκὸς ἀδικεῖσθαι τὸν
30 ἀδικούμενον, ὅταν κατὰ συμβεβηκὸς ὁ ἀδικῶν ἀδικῇ. ἀλλὰ πρότερον κατὰ συμβεβηκὸς ἀδικεῖταί τις, [ἢ] ὅταν ἑκὼν πάσχῃ, ὡς δείξει, ὥσπερ οἱ ἐπιεικεῖς καὶ μέτριοι τὸ ἦθος· λαμβάνουσι γὰρ ἐν ταῖς διανοιαῖς πολλάκις τὰ ἐλάττω 50
ὧν προσῆκεν αὐτοῖς λαβεῖν. ἑκόντες οὖν τότε πάσχοντες οὗτοι. κατὰ συμβεβηκὸς οὖν ἀδικεῖ ὁ τὸ ἔλαττον αὐτοῖς νείμας, καὶ εἴη ἂν ὁ ἑκὼν
35 ἀδικούμενος ἀντικείμενος τῷ κατὰ συμβεβηκὸς ἀδικοῦντι, ὁ δ' ἄκων ἀδικούμενος τῷ ἑκουσίως ἀδικοῦντι. ὡς γὰρ ὁ ἀδικῶν ἐν τούτοις ἁπλῶς καὶ καθ' αὑτὸ ἀδικεῖ, διότι ἑκὼν καὶ ἐκ προαιρέσεως, οὕτω | καὶ ὁ ἀδικούμενος ἁπλῶς 75r
ἀδικεῖται, ὅτι ἄκων καὶ ἀπροαιρέτως· ὥστε καὶ ἀντίκειται ἀλλήλοις. τὸ δ' αὐτὸ συμβαίνει καὶ ἐπὶ τοῦ δικαιοῦσθαι· ὁ μὲν γὰρ κατὰ συμβεβηκὸς

---

11 ἢ delevi ἀμφότερα a καὶ τοῦ δικαιοῦσθαι S 12 καὶ delevi
14 τὸ om. S 16 λέγει δ' ὅτι a 17 λέγει a 18 ἐπεὶ δέ—δικαιοῦσθαι (22) om. S 22 post ἕξει add. καὶ τὸ δικαιοῦσθαι S 23 ἀπαγγέλλεται S
26. 27 ἐπ' ἀμφοτέρων—δικαιουμένου om. S 30 ἀδικεῖ libri 31 ἢ delevi
πάσχει a 34 οὖν om. Ba διανείμας S 38 post ἀλλήλοις add. τὸ δ' ἀλλήλοις B

δικαιούμενος ἑκὼν δηλονότι πάσχει τὰ δίκαια, καὶ εἴη ἂν ἀντικείμενος τῷ 75r
κατὰ συμβεβηκὸς δικαιοπραγοῦντι, ὅς, ὁ κατὰ συμβεβηκὸς δικαιοπραγῶν, ἄκων
δικαιοπραγεῖ. εἰ γὰρ ὁ καθ' αὑτὸ δικαιοπραγῶν ἑκὼν δικαιοπραγεῖ, ὁ κατὰ 5
συμβεβηκὸς δικαιοπραγῶν δῆλον ὡς ἄκων δικαιοπραγεῖ· εἰ δὲ τοῦτο, ὁ κατὰ
5 συμβεβηκὸς δικαιούμενος ἑκὼν δικαιοῦται. καὶ εἴη ἂν οὗτος ὁ ἀδικήσας
μὲν ἐπανορθούμενος δὲ τὴν ἀδικίαν ἣν εἰργάσατο. ἀδύνατον γὰρ ἀδικεῖσθαι μὴ ἀδικοῦντός τινος ἢ δικαιοῦσθαι μὴ δικαιοπραγοῦντος. εἰ ἀδύνατον ἀδικεῖσθαι ἢ δικαιοῦσθαι μὴ ὄντων τοῦ ἀδικοῦντος ἢ δικαιοπραγοῦντος, ἀνάγκη, ὡς ἔχει ὁ ἀδικῶν, οὕτως ἔχειν καὶ τὸν ἀδικούμενον·
10 ὁμοίως καὶ ὁ δικαιοπραγῶν καὶ ὁ δικαιούμενος. εἰ μὲν οὖν καθ' αὑτὸ ὁ 10
ποιῶν ποιεῖ, καθ' αὑτὸ καὶ ὁ πάσχων πάσχει· εἰ δὲ κατὰ συμβεβηκός, δηλονότι καὶ ὁ πάσχων κατὰ συμβεβηκὸς πάσχει.

p. 1136ª31 Εἰ δέ ἐστιν ἁπλῶς τὸ ἀδικεῖν τὸ βλάπτειν ἑκόντα τινά.

Ζητήσας εἰ ἔστιν ἀληθὲς τὸ ἀδικεῖν τινα ἑαυτόν, ὡς ὁ Εὐριπίδης
15 εἴρηκε, συνάγειν πειρᾶται διὰ τούτων ὅτι ἐνδέχεται ἀδικεῖν ἑαυτόν. ἀλλ' 20
εἰ τὸ ἀδικεῖν τῷ ἑκουσίῳ ὥρισται, εἰ ἀδικεῖ τις ἑαυτόν, ἑκουσίως ἀδικεῖ, ὥστε καὶ ἑκουσίως ἀδικεῖται· ἔστιν ἄρα τὸ ἑκουσίως ἀδικεῖσθαι, ὡς καὶ ὁ Εὐριπίδης εἶπεν. εἰ γάρ ἐστι, φησί, τὸ ἁπλῶς καὶ χωρὶς προσθήκης τινὸς ἀδικεῖν τὸ βλάπτειν ἑκόντα τινά, τὸ δὲ ἑκόντα ἦν τὸ μὴ δι' ἄγνοιαν, ἀλλ'
20 εἰδότα ταῦτα ἐν οἷς ἡ πρᾶξις, ἐν οἷς δ' ἡ πρᾶξις, ἐστὶ περὶ ὃν ἡ ἀδικία καὶ ὅπερ ἐστὶ τὸ ἀδίκημα καὶ ὡς ὁ τρόπος τῆς βλάβης, εἰ οὖν τὸ βλάπτειν τοῦτό ἐστιν, εἴη ἂν τὸ ἑαυτὸν ἀδικεῖν ἑκόντα. ὁ γὰρ ἀκρατὴς ἑαυτὸν ἀδικεῖ 25
ἑκόντα· εἰδὼς γὰρ τὰ καθ' ἕκαστα καὶ μὴ ἀγνοῶν τίνα τὰ εἰς βλάβην αὐτοῦ, πράσσει. εἰ δὲ εἰδὼς ταῦτα πράττει, ἑκὼν ἑαυτὸν βλάπτει· ὥστε καὶ
25 ἀδικοῖτο ἂν ἑκών. ὁ γὰρ ἀκρατὴς ὑπὸ τῆς ἐρωμένης ἀποσυλώμενος τὰ ἴδια χρήματα ἑκὼν βλάπτεται, κἀκείνης ἑκούσης βλαπτούσης, ὥστε καὶ ἑκὼν ὑφ' ἑκούσης. ὀρθῶς ἄρα εἴρηται τῷ Εὐριπίδῃ ὅτι ἑκὼν ἑκοῦσαν ἔκτεινε τὴν μητέρα ὁ Βελλεροφόντης. οὕτως οὖν ὁριμέως ἐπιχειρήσας ὅτι ἐνδέχεται ἀδικεῖν ἑαυτὸν τὴν παραγωγὴν λύει διὰ τῆς προσθήκης τοῦ λεί- 30
30 ποντος τῷ προσδιορισμῷ τοῦ ἀδικεῖν, οὗ προστεθέντος δειχθήσεται ὅτι μὴ οἷόν τε αὐτὸν ἑαυτὸν ἀδικεῖν εἰ μὴ κατὰ συμβεβηκὸς μήτε ἑκόντα ἀδικηθῆναι. λύων δὴ τὴν παραγωγὴν λέγει οὐ δεῖ λέγειν βλάπτειν ἐστὶ τὸ εἰδέναι ὃν καὶ ὃ καὶ ὥς, ἀλλὰ χρὴ λέγειν τὸ εἰδέναι ὃν καὶ ὃ καὶ ὡς παρὰ τὴν τοῦ βλαπτομένου βούλησιν. προκειμένου γὰρ παρὰ τὴν τοῦ
35 βλαπτομένου βούλησιν οὐκ ἂν ῥηθείη ὁ ἀκρατὴς βλάπτειν ἑαυτόν· οὐ γὰρ

---

3 καθ' αὑτὸν Ba 7 τινος BSa Arist. $M^b O^b$: om. Arist. vulg. 16 τὸ om. B
21 ante ὅπερ add. ὃ a 22 ἀδικεῖ] ἀδικεῖν a 24 ἑκὼν om. Ba 25 post ἑκών add. ἀλλὰ καὶ ὑπ' ἄλλου ἑκόντα δι' ἀκρασίαν βλάπτοιτο ἂν ἑκών· ὥστε καὶ ἀδικεῖτο ἂν ἑκών S
ἀποσυλλόμενος a 26 καὶ om. S 27 ἐφ' ἑκούσης S 30 προσταχθέντος S
32 λέγει] ὅτι S 33 ὃ prius BSa (ut Arist. M^b et corr. L^b) ὃ alterum S: ᾧ B (ut Arist. vulg.): ὡς a 33. 34 ὡς περὶ a 34 προκειμένου—ἑαυτόν (35) om. S

παρὰ τὴν ἑαυτοῦ βούλησιν ἀποστερεῖται τῶν οἰκείων χρημάτων πρὸς τῆς 75r
ἐρωμένης, ἀλλὰ βουλόμενος. τότε γὰρ ἀδικεῖ ὁ ἀδικῶν, ὅταν ἑκὼν βλάπτῃ 36
παρὰ τὴν βούλησιν τοῦ βλαπτομένου. βλάπτεται μὲν γάρ τις ἑκὼν καὶ τὰ ἄδικα
πάσχει ἑκών, ἀδικεῖται δ' οὐδεὶς ἑκών· τῷ γὰρ ἀκουσίῳ τὸ ἀδικεῖσθαι ὁρί-
5 ζεται καὶ τῷ παρὰ τὴν οἰκείαν βούλησιν βλάπτεσθαι. ὁμοίως καὶ τὸ ἀδικεῖν
τῷ ἑκόντα βλάπτειν παρὰ τὴν βούλησιν τοῦ βλαπτομένου. εἰ δὴ ὁ ἀδικού-
μενος παρὰ τὴν ἑαυτοῦ βλάπτεται βούλησιν, ὁ δ' ἀκρατὴς οὐ παρὰ τὴν 40
ἑαυτοῦ βλάπτεται βούλησιν, οὐκ ἀδικεῖται· εἰ δὲ μὴ ἀδικεῖται, οὐδ' ἀδικεῖ
ἑαυτόν. ἑκὼν μὲν οὖν τις βλάπτεται, ὡς εἴρηται, καὶ τὰ ἄδικα πάσχει,
10 ἑκὼν δ' οὐκ ἀδικεῖται.

p. 1136ᵇ7 Ἀλλὰ παρὰ τὴν βούλησιν πράττει.

Δεῖ τὸ ἀλλὰ εἰς τὸ ἀκρατὴς συνάψαι, ἵν' ᾖ τὸ πᾶν τοιοῦτον ἀλλ'
οὐδ' ὁ ἀκρατὴς παρὰ τὴν βούλησιν πράττει, ἀλλὰ κατὰ βούλησιν, ὥστε
οὐδὲ ἀδικεῖται. ἀλλὰ πῶς ὁ ἀκρατὴς ὃ οὐκ οἴεται δεῖν πράττειν,
15 πράττει; ἢ τῷ ἡττᾶσθαι ὑπὸ τῆς ἡδονῆς. τὸ δὲ πράττειν μὴ παρὰ τὴν βού-
λησιν ἃ πράττει ὡς δεικτικὸν παρέθετο τοῦ ἐπ' αὐτῷ εἶναι τὸ μὴ πράττειν
καὶ κινεῖν ἐπὶ τοῦτο τὰ ὀργανικὰ μόρια, καὶ αὐτός ἐστιν αἴτιος τοῦ ἡττᾶσθαι
ὑπὸ τῆς ἡδονῆς. ὁ δὲ τὰ αὑτοῦ διδοὺς ὡς Ὅμηρός φησι δοῦναι
τὸν Γλαῦκον τῷ Διομήδει χρύσεα χαλκείων. οὐδὲ ὁ Γλαῦκος,
20 φησίν, ἠδίκησεν ἑαυτόν, ὅτι ἑκὼν δέδωκε τὰ ἑαυτοῦ· ὅτι δὲ ἑκὼν δέδωκε,
δείκνυσι προσχρώμενος τῷ ἐπ' αὐτῷ εἶναι τὸ μὴ δοῦναι τὰ ἑαυτοῦ. ὡς
οὖν ὁ Διομήδης, οὕτω καὶ οἱ ἀκρατεῖς ἑκόντες τὰ οἰκεῖα προΐενται· εἰ δὲ
ἑκόντες δι|δόασιν, ἔστι δὲ ἡ δόσις αὐτοῖς βλαβερά, ἑκόντες βλάπτονται. 75v
τὸ δ' ἀδικεῖσθαι οὐκ ἦν ἐν τῷ ἑκόντα βλάπτεσθαι, ἀλλ' ἐν τῷ ἄκοντα·
25 τοῦ γὰρ ἀδικεῖσθαι ἡ ἀρχὴ οὐκ ἐν τῷ ἀδικουμένῳ ἐστίν, ἀλλ' ἐν τῷ ἀδικοῦντι.

p. 1136ᵇ15 Ἔτι δ' ὧν προειλόμεθα δύο ἔστιν εἰπεῖν, πότερόν ποτε ἀδικεῖ.

Περὶ τῶν δύο ἀπορίων ἃς προτίθησιν οὐδαμοῦ μνείαν ἐν τοῖς ἔμπροσθεν
πεποίηκε, κἂν δοκῇ ὅσον ἐπὶ τῇ λέξει προειρηκέναι περὶ αὐτῶν. εἴη δ'
30 ἂν λέγων ὅτι τῆς προθέσεως ἡμῖν περὶ δικαιοσύνης εἰπεῖν οὔσης, ἐπεὶ ὁ 15
περὶ αὐτῆς λόγος πεπλήρωται, ὑπόλοιπόν ἐστι περὶ δύο τινῶν εἰπεῖν. ἔστι
δὲ τὰ δύο, ἃ τίθησιν ὡς ἀπορεῖσθαι δυνάμενα καὶ δεόμενα προσδιορισμοῦ
τινος, ἓν μὲν τίς ἐστιν ὁ ἀδικῶν, ὁ παρὰ τὴν ἀξίαν νέμων τὸ πλέον ἢ ὁ

---

1 ἀποστερῆται a 3 τῶν βλαπτομένων Ba μὲν om. Ba 4 ἀκουσίῳ scripsi: ἑκουσίῳ libri 5 τὸ παρὰ Sa 8 οὐκ ἀδικεῖ a 12 ἀκρατεῖ a 14 ὃ οὐκ BSa Arist. LᵇMᵇOᵇ: οὐχ ἃ Arist. vulg. 15 μὴ om. Ba 16 δεικτὸν Ba post τοῦ add. μὴ Ba 17 τοῦτο] τοῦ S exspectas καὶ αὐτὸν εἶναι αἴτιον 18 Ὅμηρος] Il. Z 236 19 οὐδὲ ex ὁ δὲ corr. B² 21 μὴ διδόναι Sa 22 Διομήδης] immo Γλαῦκος 24 ἄκοντι S 26 δ' οὖν S 28 προτίθησιν a Anon: προστίθησιν S: προτίθεμεν B 31 ὑποληπτὸν S 32 ὡς om. S δυνάμει Ba

λαβὼν παρὰ τοῦ νείμαντος τὸ πλέον καὶ ἔχων, ἕτερον δὲ εἰ ἔστιν ἑαυτὸν 75ᵛ
ἀδικεῖν. ἤρτηται δὲ αὕτη ἡ ἀπορία τῆς προτέρας, ὡς καὶ αὐτὸς λέγει·
διὸ καὶ πάλιν αὐτῆς ἐμνημόνευσε, καίτοι περὶ αὐτῆς εἰπὼν πρὸ ὀλίγου.
ἔστι δὲ τὸ ἀπορούμενον διὰ τῆς προτέρας ἀπορίας τοιοῦτον· εἰ ἐνδέχεται 20
5 τὸν ἀδικοῦντα εἶναι τὸν ἀνίσως διανέμοντα καὶ μὴ τὸν ἔχοντα καὶ λαμβάνοντα
τὸ πλέον, ἔσται ἑαυτὸν ἀδικεῖν. εἰ γάρ τις νέμων τι ἄλλῳ καὶ ἑαυτῷ ἐκείνῳ
μὲν δοίη τὸ πλεῖον, αὐτῷ δὲ τὸ ἔλαττον, ὃ μάλιστα εἰώθασιν ποιεῖν οἱ
ἐπιεικεῖς, ἑαυτὸν ἀδικήσει. εἰ γὰρ ὁ ἀνίσως νέμων ἀδικεῖ, ἀδικεῖται δὲ
ὑπὸ τοῦ ἀνίσως νέμοντος ὁ τὸ ἔλαττον λαμβάνων, αὐτὸς δέ ἐστι καὶ ὁ
10 ἀνίσως νέμων καὶ ὁ τὸ ἔλαττον λαμβάνων, αὐτὸς ἂν αὑτὸν ἀδικοίη, ὃ οὐκ
ἐδόκει οἷόν τε εἶναι. λύει δὲ τὴν ἀπορίαν πρῶτον μὲν ⟨τῷ⟩ τὸν ἐπιεικῆ 25
ἐν τῇ τοιαύτῃ νομῇ μὴ ἑαυτῷ τὸ ἔλαττον νέμειν, ἀλλὰ τοῦ μὲν διδομένου
λαμβάνειν ἔλαττον, διὰ τοῦτο δὲ ἄλλου τινὸς ἀγαθοῦ μείζονος πλεονεκτεῖν·
δόξης γὰρ ἢ τοῦ ἁπλῶς καὶ κυρίως ἀγαθοῦ· ὥστε οὐ τὸ ἔλαττον αὐτῷ
15 νέμει οὐδ' ἐλαττοῦται. δεύτερον δὲ λύει αὐτὴν λέγων ⟨ὅτι⟩ μὴ παρὰ τὴν αὐτοῦ
βούλησιν μηδ' ἄκων ἐλαττοῦται καὶ βλάπτεται, ἐν ᾧ ἦν τὸ ἀδικεῖσθαι, ἀλλ'
οὐκ ἐν τῷ ἁπλῶς βλάπτεσθαι. εἰ δὲ μὴ ἀδικεῖται, οὐδ' ἂν ἀδικοίη ἐν
τῇ οὕτω γινομένῃ ἀνίσῳ νομῇ. πᾶς γὰρ ὁ ἀδικῶν τινὰ ἀδικεῖ, ὁ δὲ οὕτω 30
νέμων οὔτε τὸν ᾧ πλέον νέμει ἀδικεῖ οὔτε ἑαυτὸν τὸν ᾧ τὸ ἔλαττον. ἃ
20 μὲν οὖν λέγει, ταῦτα. κατὰ δὲ τὴν λέξιν εἰ ἐνδέχεται τὸ πρότερον
λεχθὲν τοιοῦτόν ἐστιν· εἰ ἐνδέχεται τὸν ἀδικοῦντα εἶναι τὸν ἀνίσως διανέ-
μοντα, καὶ μὴ τὸν ἔχοντα ὡς λαμβάνοντα τὸ πλέον, ἔσται ἑαυτὸν ἀδικεῖν.
φανερὸν δὲ καὶ ὅτι ὁ διανέμων ἀδικεῖ, ἀλλ' οὐχ ὁ τὸ πλέον ἔχων
ἀεί. λύσας τὸ δοκοῦν ἐνίστασθαι τῷ εἶναι τὸν ἀδικοῦντα τὸν διανέμοντα
25 ἀδίκως, δῆλόν φησιν ὅτι ὁ ἀνίσως νέμων καὶ παρὰ τὴν ἀξίαν ἐστὶν ὁ 35
ἀδικῶν, ἀλλ' οὐχ ὁ ἔχων τὸ πλέον· προσθεὶς δὲ τῷ οὐχ ὁ ἔχων τὸ ἀεὶ
ἐδήλωσεν ὅτι ὁ ἔχων τὸ πλέον ποτὲ μὲν ἀδικεῖ καὶ ἄδικός ἐστι, ποτὲ δ'
οὐκ ἔστιν, ὃ καὶ δείξει. ὅταν γὰρ ὁ τὸ πλέον ἔχων παρὰ τὴν ἀξίαν αὐτός
ἐστιν ὁ ποιήσας τὴν ἄνισον διανομὴν καὶ νείμας ἑαυτῷ τὸ πλέον ἀναξίως,
30 καὶ τὸ πλέον ἔχει καὶ ἄδικός ἐστιν. ὥστε οὐκ ἀεὶ ὁ τὸ πλέον ἔχων οὐκ
ἀδικεῖ, ἀλλὰ ποτέ, ὅταν ὁ νείμας τὸ παρὰ τὴν ἀξίαν ἕτερος ᾖ καὶ οὐκ
αὐτὸς ὁ ἔχων. καὶ διὰ τοῦτο ὁ μὲν ἄδικος ἀεὶ τὸ πλέον ἔχει, ὁ δὲ τὸ 40
πλέον ἔχων οὐκ ἀεὶ ἀδικεῖ. οὐ γὰρ ᾧ τὸ ἄδικον ὑπάρχει ἤδη καὶ ἀδικεῖ,
ἀλλὰ δεῖ πρὸς τῷ ὑπάρχειν αὐτῷ τὸ ἄδικον προσεῖναι καὶ τὸ ἑκόντα τοῦτο
35 πεποιηκέναι, καὶ ὡς εἶπε πολλάκις, καὶ μετὰ προαιρέσεως. ἑκὼν δὲ ποιεῖ
ἐν ᾧ ἡ ἀρχὴ τῆς πράξεως· ἡ δὲ τῆς πράξεως ἀρχὴ ἐν τῷ διανέμοντι,
ἀλλ' οὐκ ἐν τῷ λαβόντι.

---

2 ἤρτηται] εἴρτηται a 7 εἰώθαμεν Ba 8 ἑαυτὸν ἀδικεῖ a 9 ἔλαττον] πλέον a 11 λύσας S τῷ ex Anon. addidi 12 μὲν om. a 14 γὰρ εἰ τοῦ S 15 ὅτι addidi 18 διανομῇ a 19 alt. τὸν] τὸ S: om. a 21 ἐνδέχεται — ἔχοντα ὡς (22) om. S 24 τῷ scripsi: τὸ libri 25 ἀδίκως] immo ἀνίσως; ὁ post ὅτι om. S ὁ post ἐστὶν om. a 32 ὁ post αὐτὸς om. a 34 τὸ ἑκόντα] τῷ ἑκόντι S

p. 1136b29 Ἔτι ἐπεὶ πολλαχῶς τὸ ποιεῖν λέγεται. 75v

Ἐπεί, φησί, τὸ ποιεῖν πολλαχῶς λέγεται, καὶ οὐ πᾶς ὁ ποιῶν τὸ ἄδικον ἀδικεῖν λέγεται ἁπλῶς, ὡς εἴρηται, καὶ ὁ διανέμων ἀνίσως, ἂν μὲν ἑκὼν τοῦτο ποιήσῃ, ἁπλῶς ἀδικήσει καὶ ἄδικος ἔσται, ἂν δὲ μὴ ἑκών, κατὰ συμβεβηκὸς ἀδικήσει (οὕτω γὰρ καὶ τὰ ἄψυχα λέγεται κτείνειν καὶ ἀδικεῖν καὶ ἡ χείρ, ὡς εἴρηται, καὶ ὁ κελευθεὶς οἰκέτης κατὰ συμβεβηκὸς καὶ οὐχ ὡς ἁπλῶς, ὅτι μηδὲ προαιρούμενος), ὡς οὖν τὸ ποιεῖν πολλαχῶς, τό τε ἑκουσίως καὶ μετὰ προαιρέσεως, καὶ τὸ ἀκουσίως καὶ ἀπροαιρέτως, οὕτω καὶ τὸ πλέον ἔχειν κατὰ συμβεβηκὸς ἀδικεῖν ἐστιν, ὅταν οὐκ ἐκ προαιρέσεως οὐδὲ ἑκουσίως. ἁπλῶς δὲ καὶ κυρίως ἀδικεῖ ὁ ἑκὼν βλάπτων τινὰ ἄκοντα καὶ παρὰ τὴν προαίρεσιν, ἀδικεῖται δὲ κυρίως ὁ παρὰ τὴν βούλησιν καὶ ἄκων ὑπὸ ἑκόντος βλαπτόμενος τῷ τὸ ἔλαττον καὶ ἄνισον ἔχειν· κατὰ συμβεβηκὸς δὲ ἀδικεῖ ὁ ἄκων ἑκόντα βλάπτων, καὶ κατὰ συμβεβηκὸς ἀδικεῖται ὁ ἑκὼν | ὑπὸ τοῦ ἄκοντος βλαπτόμενος. 76r

p. 1136b32 Ἔτι εἰ μὲν ἀγνοῶν ἔκρινεν.

Εἰπὼν ὅτι ἐπεὶ τὸ ποιεῖν πολλαχῶς λέγεται, ἀκολουθεῖ τὸν πάσχοντα πάσχειν ὡς ἂν ὁ ποιῶν ποιῇ, καὶ διὰ τούτων τὸ αὐτὸ κατασκευάζει. ἐπεὶ γὰρ ἐνδέχεται αὐτὸν πῇ μὲν δικαίως ποιεῖν, πῇ δὲ ἀδίκως, καὶ ὁ πάσχων κατά τι μὲν πάσχει δικαίως, κατά τι δὲ ἀδίκως. τοῦτο δὴ οὖν βουλόμενος δεῖξαι διαιρεῖ τὸ δίκαιον εἰς τὸ κατὰ νόμον καὶ εἰς τὸ φύσει, καὶ λέγει ὅτι ὁ ἄνισον νείμας ἢ τὸ φύσει δίκαιον ἀγνοήσας τοῦτο ἐποίησεν ἢ τὸ νόμιμον ἢ ἀμφότερα. εἰ μὲν ἀμφότερα ἀγνοήσας καὶ κρίνας τὸ ἄνισον διένειμεν, οὐκ ἀδικεῖ· οὐ γὰρ ἑκὼν τοῦτο πεποίηκεν. οὐδ' ἂν κατὰ τὸ νόμιμον κρίνας ἔνειμε τὸ ἄνισον ἀγνοήσας τὸ φύσει ἀδικεῖ· κατὰ γὰρ νόμους ἔκρινε, τοὺς δὲ κατὰ νόμους κρίνοντας οὐκ ἐπιτιμῶμεν. ὁμοίως δὲ καὶ ὁ τὸν νόμον ἀγνοήσας, γνοὺς δὲ τὸ φύσει δίκαιον καὶ κρίνας κατ' αὐτὸ οὐκ ἀδικεῖ· οὐδὲ γὰρ οἱ κατὰ τὸ φύσει δίκαιον κρίνοντες ἐπιτιμίαις ὑποβάλλονται. εἰ δ' ἀμφότερα εἰδὼς καὶ τὸ νόμιμον καὶ τὸ φύσει δίκαιον δι' ἐμπάθειάν τινα ἢ δῶρα τὸ ἄνισον ἔνειμεν, ἑκὼν ἀδικεῖ καὶ ἄδικός ἐστι, καὶ ὁ τὸ ἔλαττον ἔχων οὐ κατὰ συμβεβηκὸς ἀλλὰ καθ' αὑτὸ καὶ κυρίως ἠδίκηται. ἀλλὰ κἂν τὸ φύσει γινώσκων δίκαιον, ἀγνοῶν δὲ τὸ νόμιμον διά τι πάθος τὸ ἄνισον ἔνειμεν παρὰ τὸ φύσει δίκαιον, κυρίως ἀδικεῖ· ὁμοίως δὲ καὶ ὁ τὸ

---

1 ἐπεὶ] εἰ a 2 τὸ ante ἄδικον om. B 7 τὸ] τοῦτο a 9 ἀδικεῖν om. Ba 11 προαίρεσιν] exspectas βούλησιν δὲ] δὴ a 13 ἀδικεῖν a 17 διὰ τοῦτο S 18 ante αὐτὸν add. τὸν Sa 19 ante τοῦτο add. καὶ a 20 post δίκαιον add. καὶ B post νόμον add. δίκαιον S 22 ἀμφότερον utrobique S 23 τὸ om. Ba 24 ἀδικεῖ scripsi: ἀγνοεῖ libri 25 κατὰ νόμον S 27 ἐπιτιμίσεις ὑπολαμβάνονται a 32 φύσει om. Ba ὁμοίως —ἀδικεῖ (62,2) om. B δὲ om. a

φύσει ἀγνοῶν, τὸ δὲ νόμιμον εἰδώς, εἰ δι' ἔχθραν ἢ δῶρα οὐκ ἔκρινεν 76r
ὡς ὁ νόμος διαγορεύει, κυρίως ἀδικεῖ καὶ ὁ τὸ ἄνισον ἔχων κυρίως ἀδικεῖται.
ἐν τούτοις δὴ ὁ οἷον δή ποτ' οὖν τῶν δικαίων ἀγνοήσας εἰ τὸ ἄδικον ἔκρινεν,
οὐκ ἔστιν ἡ κρίσις αὕτη ἄδικος, ὅτι κατά τινα τῶν νόμων ὑπάρχει, ἢ τῶν
5 φύσει ἢ τῶν γεγραμμένων, ἔστι μέντοι πως ἄδικος, ὅτι μὴ ταὐτὸν τὸ φύσει 25
τῷ νομίμῳ δικαίῳ· καὶ ἔστι κατὰ μὲν τὸ νόμιμον δίκαιον, εἰ κατ' αὐτὸ
ἔκρινε, δικαία ἡ κρίσις, ὡς πρὸς τὸ φύσει δὲ ἄδικος, καὶ ἔμπαλιν πρὸς
μὲν τὸ φύσει, εἰ κατ' αὐτὸ ἡ κρίσις γέγονε, δικαία, πρὸς δὲ τὸ νόμιμον
ἄδικος, καὶ διὰ τοῦτο καὶ ὁ κρίνας οὕτως κατὰ συμβεβηκὸς ἀδικεῖ· ὁμοίως
10 καὶ ὁ τὸ ἄνισον λαβὼν κατὰ συμβεβηκὸς ἀδικεῖται. οὐκ ἔστι, φησί, ταὐτὸν
τὸ νόμιμον δίκαιον καὶ τὸ πρῶτον, λέγων πρῶτον τὸ φύσει δίκαιον·
ὥστε ὁ κρίνας, ὡς εἴρηται, οὐκ ἀδικεῖ οὐδ' ἄδικος ἁπλῶς ἐστιν. ὁ δέ γε 30
εἰδὼς ἢ ἀμφότερα ἢ θάτερον καὶ γνωρίζων καὶ κρίνων ἀνίσως πλεονεκτεῖ·
λαβὼν γὰρ παρ' ἐκείνου, ᾧ τὸ πλέον ἔνειμεν, ἢ χρυσὸν ἢ ὅλως χάριν
15 τινὰ πλεονεκτεῖ. ἀλλὰ κἂν ἔλαττον νέμῃ τινὶ ἀμυνόμενος αὐτὸν καὶ τιμωρούμενος ὡς ἐχθρόν, καὶ οὕτω τρόπον τινὰ ἔλαβέ τι καὶ πλεονεκτεῖ· τρόπον γάρ τινα μοῖράν τινα ἔλαβε τοῦ ἀδικήματος. ὡς γὰρ ὁ ἐπὶ λήψει ἀργυρίου τὸν ἀγρὸν νείμας τῷ δεδωκότι τὸ ἀργύριον τοῦ ἀδικήματος τρόπον τινὰ μετέσχε (τὸ δὲ τρόπον τινὰ εἶπον, διότι οὐκ ἀγρὸν ἔλαβεν) οὕτω καὶ ὁ δι' 35
20 ἔχθραν τιμωρούμενος καὶ τὸ ἔλαττον νέμων ἀγρὸν μὲν οὐκ ἔλαβεν οὐδ' ἀργύριον, ἀλλ' ὅμως ἔχει τι τρόπον τινὰ τοῦ ἀδικήματος. τί δὲ ἔχει; τὴν τοῦ θελήματος ἀποπλήρωσιν καὶ τῆς βουλῆς τὸ τέλος· βουλόμενος γὰρ ἀμύνεσθαι ἠμύνατο. δείξας οὖν διὰ τούτων ἄδικον ἐκεῖνον εἶναι τὸν ἑκόντα ἀνίσως νείμαντα ἢ κρίναντα, οὐ μὴν τὸν δι' ἄγνοιαν τοῦτο πεποιηκότα,
25 συναπέδειξε μὴ ἀδικεῖν ποτε καὶ ᾧ τὸ πλέον νέμεται. ἀδικεῖ μὲν γὰρ ὁ 40
τὸ πλέον ἔχων, ὅταν ἐπὶ δόσει ἀργυρίου τοῦτο λήψεται· ὅταν δὲ δι' ἄγνοιαν τοῦ κρίναντος, οὐκ ἀδικεῖ. ἡ μὲν σύμπασα τῶν λεγομένων διάνοια αὕτη· κατὰ δὲ τὴν λέξιν τὴν καὶ ὁ διὰ ταῦτα κρίνας ἀδίκως πλέον ἔχει τὸ πλέον ἔχει ταὐτόν ἐστι τῷ πλεονεκτεῖ. οἱ δ' ἄνθρωποι ἐφ' ἑαυτοῖς
30 οἴονται εἶναι τὸ ἀδικεῖν. ὅτι μὲν ἡ δικαιοσύνη καὶ ἀδικία ἐν τοῖς ἑκουσίοις καὶ ἐφ' ἡμῖν ἐστι (τοιαῦτα γὰρ τὰ κατὰ προαίρεσιν), διὰ πάντων τῶν προειρημένων ἱκανῶς δέδεικται· δοκεῖ δὲ διὰ τῶν προκειμένων λέγειν μὴ 45
εἶναι ἐφ' ἡμῖν τὸ δικαίοις ἢ ἀδίκοις εἶναι. παντὸς γὰρ μᾶλλον ἐφ' ἡμῖν αἱ ἀρεταὶ καὶ αἱ κακίαι. δοκεῖ μὲν οὖν τοῦτο λέγειν, οὐ τοῦτο δὲ δείκνυσιν,
35 ἀλλὰ τὸ δεικνύμενόν ἐστιν ὅτι οὐχ ὅτε θέλομεν οὐδ' ὁπηνίκα βουληθῶμεν, δίκαιοι ἢ ἄδικοί ἐσμεν. ἐνεδείξατο δὲ τοῦτο διὰ τοῦ προσθεῖναι διὸ καὶ τὸ δίκαιον εἶναι ῥᾴδιον ἡγοῦνται. ὥσπερ τὸ τύραννον ἀνελεῖν ἐφ'

---

3 δὴ] δὲ Ba ὁ om. Sa εἰ om. Ba 4. 5 τὸν φύσει ἢ τὸν γεγραμμένον Sa 9 οὕτος S 11 νόμιμον BSa Arist. Mb: νομικὸν Arist. vulg. 12 ὥστε] ὅτε Ba 13 ἀμφότερον a 17 ὁ om. Sa 20 ἔχθρας B 23 ἀμύνασθαι S ἑκόντι Ba 29 ἔχειν S τῷ πλεονεκτεῖν Sa ἐφ' ἑαυτῶν a 32 προκειμένων] προειρημένων a 33 exspectas καίτοι παντός γε 35 βουλόμεθα a

ἡμῖν μὲν κεῖται καὶ ἔστιν, οὐχ ὅτε δὲ θέλομεν τοῦτο ποιεῖν, οἷοί τέ ἐσμεν, 76ᵛ
οὕτως καὶ ἐπὶ τῶν ἀρετῶν ἔχει καὶ κακιῶν· ἐφ' ἡμῖν γάρ ἐστι τὸ δικαίοις
ἢ ἀδίκοις εἶναι ἀλλ' οὐχ ὅτε θέλομεν τοῦτο δυνατόν ἐστι. διὰ τί; διότι 50
αἱ κακίαι ἕξεις εἰσί, τὰς δ' ἕξεις ἔχειν εὐθὺς τῷ βουληθῆναι ἀδύνατον·
5 δεόμεθα γὰρ πρὸς τὴν κτῆσιν αὐτῶν ὡς καὶ πρὸς τὴν τῶν ἐπιστημῶν
καὶ ἐθῶν καὶ ἀσκήσεως καὶ διδασκαλίας· ὥστε οὐχ ὅτε θέλομεν ἢ ἅμα
τῷ θελῆσαι καὶ δίκαιοι ἢ ἄδικοί ἐσμεν. ὡς γὰρ τὸ τὴν ἰατρικὴν ἢ τὴν
γεωμετρίαν ἐφ' ἡμῖν ἐστι μαθεῖν, οὐ μὴν ὅτε θέλομεν ἔχομεν αὐτὰς ἢ
ἀποβάλλομεν ὅτε θέλομεν ἔχοντες αὐτάς, οὕτω καὶ ἐπὶ τῶν ἀρετῶν ἔχει
10 καὶ κακιῶν· χρόνου γὰρ | χρεία καὶ συνασκήσεως καὶ μαθήσεως πρὸς τὴν 76ᵛ
τῶν ἕξεων κτῆσιν. τὸ μὲν οὖν ποιῆσαι ἄδικόν τι ἢ δίκαιον, οἷον μοιχεῦσαι
ἢ πατάξαι, ἐφ' ἡμῖν καὶ ῥᾴδιον, ἀλλὰ τὸ ὡδὶ ἔχοντα ταῦτα ποιεῖν
οὔτε ῥᾴδιον οὔτε ἐπ' αὐτοῖς, τουτέστιν ἀλλὰ τὸ ἀπὸ τῆς ἕξεως τῆς δικαιο-
σύνης ἢ τῆς ἀδικίας ταῦτα ποιεῖν οὐ ῥᾴδιον, ἀλλ' ὡς εἴρηται χρόνου δεῖται
15 καὶ μαθήσεως καὶ ἔθους, ἐπεὶ καὶ τὸ τεμεῖν ἢ καῦσαι ἢ φάρμακον καθαῖρον 5
δοῦναι, ῥᾴδιον καὶ ἐφ' ἡμῖν ποιῆσαι, ὅταν βουληθῶμεν, τὸ δὲ ἀπὸ ἕξεως
ἰατρικῆς οὐ ῥᾴδιον. ἀπὸ ἕξεως δέ ἐστι τὸ τεμεῖν ἢ καῦσαι ἢ φαρμακεῦσαι
τῷ εἰδέναι πότε καὶ πρὸς τίνα καὶ πόσον ἕκαστον τούτων ποιητέον· τοῦτο
γὰρ καὶ λόγου δεῖται καὶ πείρας πολλῆς, ἃ τὸν λόγον καὶ τὴν πεῖραν εὐθὺς
20 ὁπηνίκα θελήσομεν ἔχειν ἀδύνατον.

p. 1137ᵃ 9 Ὁμοίως δὲ καὶ τὸ γνῶναι τὰ δίκαια καὶ τὰ ἄδικα οὐδὲν οἴονται σοφὸν εἶναι.

Ὡς οὖν τὸ δίκαιον εἶναι ῥᾴδιόν ἐστιν, φασὶν οἱ ἄνθρωποι, διότι καὶ τὸ
τὰ δίκαια πράττειν εὐπετὲς καὶ ἕτοιμον, οὕτω καὶ τὸ γνῶναι τὰ δίκαια οὐδὲν 15
25 χαλεπόν. λέγουσι γὰρ οἱ νόμοι περὶ δικαίων καὶ ἀδίκων, τὸ δὲ γνῶναι τὰ
ὑπὸ τῶν νόμων λεγόμενα οὐδὲν σπουδαῖον, ὥστε τὸ εἰδέναι τὰ δίκαια καὶ
ἄδικα ῥᾴδιον καὶ οὐ χαλεπόν· οὐ γὰρ χαλεπὸν συνιέναι τὰ ὑπὸ τῶν νόμων
λεγόμενα. λέγει δὲ πρὸς ταῦτα ὁ Ἀριστοτέλης· οὐκ ἔστι τοῖς δικαίοις
τὸ δικαίοις εἶναι ἐν τῷ ἐξ ἀκοῆς γινώσκεσθαι ὅτι μὴ δεῖ τὴν παρακατα-
30 θήκην κατέχειν ἢ οὐ δεῖ κλέπτειν. τὸ γὰρ δίκαιον καὶ τὸ ἄδικον εἶναι τὸ
μὲν καθ' αὑτό, τὸ δὲ κατὰ συμβεβηκός. κατὰ συμβεβηκὸς γὰρ δίκαιόν 20
ἐστι τό τε ἐξ ἀκοῆς γινωσκόμενον ὅτι δίκαιόν ἐστι, καὶ τὸ πραττόμενον
δι' ἀπάτην. τὸ γὰρ τὴν παρακαταθήκην δοῦναι ἐπιβούλως ὑπὲρ τοῦ
αὖθις πλέον τι λαβεῖν καὶ μὴ ἀποδοῦναι δίκαιον μέν, ἀλλὰ κατὰ συμβεβηκός,

---

3 post διὰ τί add. δὲ a 4 ἔχει a βουληθέντι a 6 καὶ διδασκαλίας om. S
7 θελήσειν a ἐσόμεθα S 8 γεωμετρικὴν S 8 et 9 ὅταν a 12 ἔχοντας Arist.
13 ἀλλὰ τῷ Sa 16 et 17 ῥᾶον Ba 17 post ἐστι add. ἰατρικοῦ S 18 τῷ
scripsi: τὸ libri 19 προσδεῖται S ἃ] ἅτινα S: ὧν a 23 εἶναι om. Ba
24 εὐπετὸν a 27 ῥᾶον Ba τὰ ἀπὸ τῶν λόγων S 29 ἐν τῷ] τὸ Ba
30 κλέπτειν] βλέπειν (sic) B 32 τε fort. delendum et καίτοι πραττόμενον legendum
33 ἀπάτης S δοῦναι om. Ba post ἐπιβούλως add. κατέχειν B

καθὸ νόμιμον καὶ διηγορευμένον τῷ νόμῳ. καθ' αὑτὸ δὲ δίκαιόν ἐστι τὸ 76v
πραττόμενον ἀπὸ ἕξεως τῆς δικαιοσύνης, καὶ ἐκεῖνος οἷδε κυρίως τὸ δίκαιον
ὁ πράττων ἀπὸ τῆς ἕξεως. εἰ δὲ τὸ κυρίως εἰδέναι τὸ δίκαιόν ἐστι τὸ
ἀπὸ ἕξεως πράττειν, τὰς δὲ ἕξεις ἐπικτᾶσθαι χαλεπόν, οὐδὲ τὸ τὰ δίκαια 25
5 ἄρα εἰδέναι ῥᾴδιον ἀλλὰ χαλεπόν, καὶ πλέον, φησίν, ἔργον καὶ χαλεπώτερον
πρᾶγμά ἐστιν ἡ τῶν δικαίων εἴδησις τῆς τῶν ὑγιεινῶν γνώσεως, ὅσῳ καὶ
τὸ δίκαιον εἶναι τοῦ ἰατρὸν εἶναι χαλεπώτερον. ὡς γὰρ ἐπ' ἐκείνων τὰ
μὲν οἷς χρῆται ὁ ἰατρὸς πρὸς ὑγείαν ῥᾴδιον εἰδέναι, οἷον οἶνον, σῖτον, ἐλλέ-
βορον, καῦσιν, τομήν, οὐ μὴν καὶ τὸ ταῦτα εἰδέναι ἐστὶ τὸ εἰδέναι τὰ
10 ὑγιεινά, εἰ μὴ κατὰ συμβεβηκός, ἀλλὰ τὸ εἰδέναι ὅτι ταῦτά ἐστιν ὑγιεινὰ
ἐν τῷ χρῆσθαί ἐστιν αὐτοῖς ἀπὸ ἕξεως ἰατρικῆς, τοῦτο δέ ἐστι τὸ πότε 30
καὶ πῶς καὶ μέχρι πόσου προσφέρειν, ὃ οὐ ῥᾴδιον, διότι μηδὲ τὴν ἰατρικὴν
κτήσασθαι ῥᾴδιον. ὅσον δὴ ἔργον ἐστὶ καὶ δύσκολον τὸ ἰατρὸν γενέσθαι,
τοσοῦτον καὶ τὴν προσήκουσαν χρῆσιν αὐτῶν εἰδέναι.

15 p. 1137a17 Δι' αὐτὸ δὲ τοῦτο καὶ τοῦ δικαίου οἴονται εἶναι οὐδὲν ἧττον τὸ ἀδικεῖν.

Δι' ἣν αἰτίαν οἴονται οἱ ἄνθρωποι ῥᾴδιον εἶναι τὸ εἰδέναι τὰ δίκαια
καὶ τὰ ἄδικα (οἴονται δὲ ῥᾴδιον εἶναι διὰ τὸ οἴεσθαι δίκαιον καὶ ἄδικόν τινα
⟨εἶναι⟩, ὅτε θέλει, ἐπ' αὐτῷ εἶναι), διὰ ταύτην τὴν αἰτίαν ἡγοῦνται καὶ τοῦ 40
20 δικαίου μηδὲν ἧττον εἶναι τὰ ἄδικα ποιεῖν ἢ τοῦ ἀδίκου, ἀλλὰ καὶ μᾶλλον·
μᾶλλον γάρ φασι τὸν δίκαιον δύνασθαι ποιεῖν τὰ ἄδικα τοῦ ἀδίκου καὶ
ἁπλῶς τῶν πολλῶν καὶ τυχόντων (μᾶλλον γὰρ ὁ δίκαιος τοῦ τυχόντος
δύναται συγγενέσθαι γυναικὶ καὶ πατάξαι τὸν γείτονα) καὶ τὸν ἀνδρεῖον
μᾶλλον τοῦ δειλοῦ ἀφεῖναι τὴν ἀσπίδα ἐν τῷ πολέμῳ καὶ φυγεῖν. μᾶλλον
25 δέ φασιν οἱ πολλοὶ δύνασθαι τούτους ταῦτα, καθ' ὅσον αὐτὰ ἴσασι μᾶλλον·
τοῦ γὰρ τὸ ἐναντίον εἰδότος καὶ τὸ ἐναντίον εἰδέναι. ταῦτα δὲ λέγουσι 45
διὰ τὸ οἴεσθαι τὸ τὸν ἄδικόν τι ποιήσαντα εὐθὺς καὶ ἄδικον εἶναι, ἀλλὰ
μὴν τὸ ποιεῖν τὸ ἄδικον ῥᾴδιον, ὁμοίως καὶ τὸ δίκαιον, καὶ τὸ ἄδικον ἄρα
καὶ δίκαιον εἶναι ῥᾴδιον. οὐκ ἔστι δὲ ἀληθὲς τὸ τὸν δίκαιον ἢ ἄδικον
30 ποιοῦντα εὐθὺς καὶ δίκαιον ἢ ἄδικον εἶναι, οὐδὲ τὸν τὴν ἀσπίδα ῥίψαντα
δειλὸν εἶναι. ἀλλὰ τὸ ὡδὶ ἔχοντι ταῦτα ποιεῖν, οἷον ἀπὸ κακίας·
δειλὸς γὰρ ὁ διὰ δειλίαν τὴν ἀσπίδα ῥίψας καὶ ἄδικος ὁ δι' ἀδικίαν πλεονεκ-
τῶν καὶ ὅλως ὁ καθ' ἕξιν τι ποιῶν ἀγαθὴν ἢ φαύλην ἀγαθὸς ἢ φαῦλός 50
ἐστιν. εἰ δὲ τὸ ἀπὸ ἕξεως ἀδίκου τὰ ἄδικα ποιεῖν τὸ ἀδικεῖν ἐστιν, οὐ
35 μόνον οὐ ῥᾴδιον τῷ δικαίῳ τὸ ἀδικεῖν, ἀλλὰ καὶ ἀδύνατον· ὡς γὰρ εἶπεν

---

5 et 8 ῥᾶον Ba 7 τὰ Anon.: τὸ libri 8 οἷον om. Ba 12 post προσφέρειν fort. addendum δεῖ εἰδέναι οὐδὲ a 19 ἐπ' αὐτοῦ Ba 20 ἀδίκου] ἀδικεῖν a 21 φησὶ a 25 τούτου ταῦτα S αὐτὸν S 26 λέγει S 27 διὰ τοῦ a 27. 28 ἀλλὰ μὴ Ba 28 καὶ post δίκαιον om. S 31 ἔχοντα Arist. 32 ῥήψας libri ἄδικος διὰ κακίαν Ba 33 ποιῶν ἀγαθὸν ἢ φαῦλον a 35 τὸ om. Ba

ἀρχόμενος τοῦδε τοῦ βιβλίου, αἱ μὲν ἐπιστῆμαι τῶν ἐναντίων εἰσίν, οὐκέτι 76v
δὲ καὶ αἱ ἕξεις.

p. 1137a26 Ἔστι δὲ τὰ δίκαια ἐν τούτοις οἷς μέτεστι τῶν ἁπλῶς ἀγαθῶν. |

Ἦν ἂν σαφεστέρα ἡ λέξις, εἰ οὕτως πως εἶχεν· τῶν δικαίων τὸ μὲν 77r
ὡς εἴρηται διανεμητικὸν τὸ δ' ἐπανορθωτικόν, ταῦτα δὲ τὸ διανεμητικὸν καὶ τὸ ἐπανορθωτικὸν ἐν τούτοις ἐστὶ τοῖς μετέχουσι τῶν ἁπλῶς ἀγαθῶν, ἐν οἷς ἐστι καὶ ἡ εὐδαιμονία. ἁπλῶς δὲ ἀγαθά ἐστι κυρίως μὲν τὰ τῇ ἑαυτῶν φύσει ἀγαθά, οἷον αἱ ἀρεταὶ καὶ αἱ κατ' αὐτὰς ἐνέργειαι, δεύτερον δὲ ἁπλῶς ἀγαθὰ τὰ ὀργανικὰ καὶ αἱ δυνάμεις, ἀγαθὰ ὄντα τοῖς κατὰ φύσιν ἔχουσιν, οὐ τοῖς παρὰ φύσιν. τίνα δέ ἐστι τὰ ὀργανικὰ ἀγαθὰ καὶ αἱ δυνάμεις σαφηνίζων ἐπήγαγεν ἐν οἷς ἐστιν ὑπερβολὴ καὶ ἔλλειψις, ὡς πλοῦτος, τιμαί, δυναστεία πολιτική. ἐν τούτοις γὰρ ὑπερβολὴ καὶ ἔλλειψις, ἀλλ' οὐκ ἐν τοῖς ἁπλῶς ἀγαθοῖς ταῖς ἀρεταῖς· ἐν γὰρ ταῖς ἀρεταῖς ὡρισμέναις οὔσαις καὶ μεσότησιν, ὡς δέδεικται, ὑπερβολὴ καὶ ἔλλειψις οὐκ ἔστιν. ἐν οἷς δ' ἔστιν ὑπερβολὴ καὶ ἔλλειψις, ἐν τούτοις καὶ τὸ πλεονεκτεῖν καὶ μειονεκτεῖν, κατ' ἀρετὴν δὲ οὐ γίνεται πλεονεξία. οὐ γὰρ οἷόν τέ τινος ἀρετὴν λαβεῖν βιασάμενον τὸν ἔχοντα, ὡς ἐπὶ τῶν χρημάτων καὶ κτημάτων γίνεται. ἐν γὰρ τούτοις καθ' ὥραν ἀφαιρεῖται βίᾳ ὅδε τοῦδε τὸ χωρίον, τὴν ἄμπελον, τὸ νόμισμα, τὰ λοιπά· τὴν ἀνδρίαν δὲ τοῦ ἀνδρείου ἀφελέσθαι ἢ τὴν ἐπιστήμην τοῦ ἐπιστήμονος βίᾳ οὐδεὶς δύναται. ὧν οὖν ἔχουσιν οἱ ἄνθρωποι ὑπερβολὴν καὶ ἔλλειψιν, ἐν τούτοις τὰ δίκαια· τῷ γὰρ δύνασθαι τούτων τῶν ἀγαθῶν καὶ πλέον τινὰ ἔχειν καὶ ἔλαττον, περὶ τὴν τούτου νομὴν καὶ ἐπανίσωσιν τὰ δίκαιά ἐστιν, ἐπεὶ οἷς γε μηδέν ἐστι τῶν τοιούτων ἀγαθῶν, τούτοις οὐδ' ὑπερβολὴ τῶν τοιούτων οὐδ' ἔλλειψίς ἐστιν, εἰ δὲ μὴ αὗται, οὐδὲ τὸ ἐπανορθωτικὸν ἢ τὸ διανεμητικὸν δίκαιον. ἐν μὲν οὖν τοῖς θεοῖς ἐν οἷς οὐ πλοῦτος, οὐ δόξα, οὐ τιμή, οὐκ ἀρχή, οὐκ ἄλλο οὐδὲν τῶν τοιούτων ἀγαθῶν, οὐδὲ δίκαιον οὔτε τὸ διανεμητικὸν οὔτε τὸ ἐπανορθωτικὸν ὑπάρχει. ἀλλ' οὐδὲ οἷς ἔστιν, οὖσι δὲ ἀνιάτοις ὑπὸ τρυφῆς καὶ ἀκολασίας καὶ πάσης ἀσελγείας, οὐδ' ἐν τούτοις ἐστὶν δίκαιόν τι τῶν εἰρημένων. ἐν γὰρ ἀγαθοῦ τινος ἢ ὠφελίμου νομῇ ἴση κατὰ ἀναλογίαν τὸ ἐπανορθωτικὸν καὶ διανεμητικὸν δίκαιον, εἴ γε ἐπανισοῖ τὸν πλεονεκτοῦντα καὶ τὸν πλεονεκτούμενον· οἷς δὲ εἴσοδον τὸ ἀγαθὸν καὶ ὠφέλιμον οὐκ ἔχει οὐδὲ πολιτεύεσθαι δύναται, ἐν τούτοις οὐδὲ δίκαιόν τί ἐστιν. ἀλλὰ

---

1 ἀρχόμενος τοῦδε τοῦ βιβλίου] 1 p. 1129a13 τοῦδε om. a 6 νεμητικὸν Ba
7 post ἐστὶ add. ἐν S 8 ante κυρίως add. rubro καὶ B μὲν om. Ba
9 ἑαυτῶν] αὐτοῦ Ba 12 ὡς—ἔλλειψις (13) om. B ὡς om. a 15 μεσότητες a 16 δ' om. S 17 οἷόν τε τινὰ τινὸς S 18. 19 κτημάτων ὁρᾶται γινόμενον S 20 post ἄμπελον add. τινὸς Ba τὸ νόμισμα om. a
ἀνδρείαν Sa 22 τὸ γὰρ Sa 23 τινὰ] τί Ba 23. 24 περὶ τὴν τούτων δύναμιν καὶ S 28 ἀγαθὸν S οὔτε διανεμητικὸν οὔτε διορθωτικὸν Ba
30 ἐν τοιούτοις Ba 34. 66,1 ἀλλ' ἐν μὲν τοῖς S

τοῖς μὲν ἀνιάτοις οὐδὲν τῶν τοιούτων ἀγαθῶν ὠφέλιμον, τισὶ δὲ μέχρι 77r
τινός εἰσιν ὠφέλιμα, τοῖς μεταξὺ οὖσι καὶ τοῖς μὴ πάντῃ διεστραμμένοις 25
καὶ τοῖς νόμοις καὶ ἔθεσι μὴ φαύλοις πολιτευομένοις. τὰ μὲν οὖν λεγόμενα
τοιαῦτα· ἐν δὲ τῇ λέξει τῇ οἷον ἴσως τοῖς θεοῖς τὸ ἴσως πρόσκειται διὰ
5 τὸν Πλάτωνα λέγοντα ὅτι ἔστιν ἀρετὴ θεοῦ, ὥστε εἰ ἔχει ἀρετὴν ὁ θεός,
ἔσται καὶ δίκαιόν τι ἐν αὐτῷ, εἰ δὲ τοῦτο, καὶ χρήματα. ὁ μὲν οὖν Πλάτων
λέγει ἀρετὴν εἶναι ἐν τοῖς θεοῖς, Ἀριστοτέλης δὲ οὐκ ἀποδέχεται τὸ δόγμα
φάσκων ἐν ἄλλοις, ἐὰν ἡ ἀρετὴ μετρῇ τε καὶ τάττῃ τὰ πάθη, ἔστι δὲ ἐν
τοῖς θεοῖς ἀρετή, ἔσονται ἐν αὐτοῖς καὶ τὰ πάθη. 30

10 p. 1137a31 Περὶ δὲ ἐπιεικείας καὶ τοῦ ἐπιεικοῦς, πῶς ἔχει ἡ μὲν ἐπιείκεια πρὸς δικαιοσύνην.

Ἐπειδὴ ἡ ἐπιείκεια καὶ τὸ ἐπιεικὲς περὶ τὸ ἐπανορθωτικὸν δίκαιον, ὡς
μαθησόμεθα, καταγίνονται, εἰκότως εἰπὼν περὶ τοῦ τοιούτου δικαίου, τί ποτέ
ἐστι, λέγει καὶ περὶ ἐπιεικείας. καὶ ἔστι τὸ ἐπιεικὲς | οὔτε ἁπλῶς ταὐτὸν τῷ 77v
15 δικαίῳ οὔθ' ἕτερον, καὶ ἔστι τινὸς δικαίου βέλτιον τοῦ νομίμου, ὡς καὶ τὸ
φύσει δίκαιον· βέλτιον γὰρ καὶ τοῦτο τοῦ νομίμου. ἐνδεικνύμενος δὲ ὡς οὐ
πάντῃ ταὐτὸν τῷ δικαίῳ τὸ ἐπιεικές, ἐπήγαγε λέγων ὅτὲ μὲν τὸ ἐπιεικὲς
ἐπαινοῦμεν καὶ ἄνδρα τὸν τοιοῦτον λέγοντες ὡς βελτίων ἐστὶ τοῦ
δικαίου· λέγομεν δὲ τοῦτο δηλονότι ὡς ἕτερον ὑπολαμβάνοντες τὸν ἐπιεικῆ
20 τοῦ δικαίου. ἀλλὰ καὶ ὅταν ἐπὶ τὰ ἄλλα οἷον ἀνδρίαν ἢ σωφροσύνην ἢ 5
τέχνην μεταφέροντες λέγωμεν ὅτι ὁ σώφρων, εἰ τύχῃ, ἐπιεικέστερος τοῦ
ἀνδρείου ἢ οὗτος τοῦ σώφρονος, ἢ ὁ οἰκοδόμος τοῦ γεωργοῦ ἢ οὗτος τοῦ
οἰκοδόμου, ὅταν οὖν μεταφέροντες οὕτω λέγωμεν, δῆλον ὅτι τῷ ἐπιεικέστερος
χρώμεθα οὐχ ὡς τῷ δικαιότερος ἀλλ' ὡς τῷ κρείττων καὶ βελτίων ὁ
25 ἀνδρεῖος τοῦ σώφρονος ἢ οὗτος ἐκείνου. ἕτερος ἄρα ὁ ἐπιεικὴς ἐκ τούτου
φαίνεται τοῦ δικαίου καὶ τὸ ἐπιεικὲς τοῦ δικαίου. πάλιν δέ, φησίν, ἀκολου-
θοῦσι τῷ λόγῳ ἄτοπον ἂν δόξειεν εἶναι, εἰ τὸ ἐπιεικὲς ἕτερον ὂν τοῦ 10
δικαίου ἐπαινετόν ἐστιν. εἰ γὰρ ἕτερον ὂν ἐπαινετόν ἐστι, τὸ δίκαιον οὐ
σπουδαῖον οὐδ' ἐπαινετόν· εἰ δὲ τὸ δίκαιον ἐπαινετόν, τὸ ἐπιεικὲς οὐκ ἐπαι-
30 νετόν. οὕτως οὖν ἀπορήσας λέγει μηδὲν ὑπεναντίον ἔχειν τοὺς λόγους, ἀλλ'
ἀληθεύειν καὶ τὸν λέγοντα ὅτι ἕτερόν ἐστι καὶ τὸν λέγοντα μὴ εἶναι ἕτερον,
καὶ ὁμοίως τὸν λέγοντα ὅτι τὸ ἐπιεικὲς βέλτιον τοῦ δικαίου καὶ τὸν λέγοντα
μὴ εἶναι βέλτιον. ἔστι γάρ τινος δικαίου κρεῖττον, οὐ μὴν παντός, καὶ οὐχ ὡς
ἄλλο τι ὂν κατὰ γένος κρεῖττόν ἐστι τοῦ δικαίου, ἀλλὰ δίκαιον ὄν ἐστί τινος 15
35 δικαίου κρεῖττον. καὶ ἀμφοῖν σπουδαίοιν ὄντοιν κρεῖττον τὸ ἐπι-
εικές, οὐ παντὸς δικαίου, ὡς εἴρηται, λέγων τὸ ἐπιεικὲς εἶναι κρεῖττον, εἴ γε καὶ

---

2 καὶ om. S μὴ rubro add. B: om. a πάντα S 3 νόμῳ Sa φαύλως Sa
οὖν om. a 5 Πλάτωνα λέγοντα] cf. Reip. A p. 352 A, I p. 613 A 7 λέγει om. Ba
8 ἐν ἄλλοις] cf. Magna moral. B 4 p. 1200b 14 μετρητὴ Ba τάττει a
9 τὰ om. S 16 τοῦ om. a 18 ὡς om. S βέλτιον S 21 λέγομεν a
τύχει a 24 δικαιοτέρως a ἀλλ' ὡς τὸ Sa βέλτιον a 26 καὶ τὸ—δικαίου om. Ba
26. 27 ἀκολουθοῦντες Ba 30 ἀλλ'] ἀλλὰ καὶ S 31 ἕτερον (post εἶναι)—μὴ εἶναι (33)
om. B 34 ὂν prius om. Ba 36 λέγει S κρεῖττον om. Ba καὶ] δὴ S

αὐτὸ δίκαιον, ὡς εἶπεν (εἰ γάρ ἐστι τὸ ἐπιεικὲς δίκαιόν τι, ἔστι δὲ παντὸς 77v
δικαίου κρεῖττον, εἴη ἂν καὶ ἑαυτοῦ κρεῖττον· τὸ δὲ κρεῖττον χείρονος
κρεῖττον, ὥστε εἴη ἂν ἑαυτοῦ χεῖρον καὶ κρεῖττον), ἀλλ' ἔστι κρεῖττον
δικαίου τοῦ κατὰ συνθήκην καὶ νόμον· ἐπανόρθωμα γάρ ἐστιν, ὡς ἐρεῖ,
5 τοῦ τοιούτου δικαίου τὸ ἐπιεικές. ἀμφοῖν δή, φησί, τοῦ τε κατὰ συνθήκην 20
καὶ νόμον δικαίου καὶ τοῦ ἐπιεικοῦς ὄντοιν σπουδαίοιν, κρεῖττον τὸ ἐπιεικές.
εἰπὼν δὲ ὅτι τὸ ἐπιεικὲς ἐπανόρθωμα νομίμου δικαίου (τὸ γὰρ ἁμαρ-
τηθὲν αὐτοῦ ἐπανορθοῦται) δείκνυσιν ὅτι ἀναγκαῖόν ἐστιν ἁμαρτεῖν τὸν
κατὰ συνθήκην νόμον διὰ τὴν τῶν πραγμάτων ἀοριστίαν καὶ τὸ ἄλλοτε
10 ἄλλως ἐπισυμβαίνειν. ὁ μὲν γὰρ νόμος καθόλου κελεύει τὸν μὴ ἀποδιδόντα
τὴν παρακαταθήκην ἄτιμον εἶναι, τὸν ξένον, εἰ ἐπὶ τὸ τεῖχος ἀνέλθοι ἀναι-
ρεῖσθαι ὑπὸ τῶν πολιτῶν, τὸν τῇ ἀλλοτρίᾳ μιγνύμενον εὐθύνεσθαι, καὶ 25
ἔστιν ἕκαστον τούτων ἡ ἀτιμία καὶ ἡ ἀναίρεσις καὶ τὸ εὐθύνεσθαι δίκαια,
συμβαίνει δέ ποτε μὴ εἶναι δίκαια, ἀλλ' ἡμαρτημένα. τὸν γὰρ τυράννου
15 γυναῖκα διαφθείραντα καὶ διὰ τὴν τοιαύτην μοιχείαν δυνηθέντα ἀνελεῖν τὸν
τύραννον καὶ ἐλευθερώσαντα τὴν πόλιν ἕλκειν εἰς εὐθύνας πῶς οὐκ ἄν τις
διημαρτημένως δίκαιον εἴποι; ἀλλὰ καὶ τὸ πολεμίων ἐπικειμένων ἀνελθόντα
τὸν ξένον εἰς τὸ τεῖχος καὶ ἀριστεύσαντα ἀναιρεῖν σπεύδειν πόσης ἁμαρτίας 30
γέμει; τοῦ δὴ νόμου καθόλου ἀγορεύοντος ἀλλοτρίας ἀπέχεσθαι γυναικός,
20 καὶ διὰ τοῦτο εἰς εὐθύνας ἑλκομένου τοῦ τὸν τύραννον ἀνελόντος, ὁ ἐπιεικὴς
ἐπανορθοῖ τὸ ἐλλειφθέν. εἰ γὰρ ᾔδει τοῦτο ὁ νομοθέτης ὅτι γενήσεται,
προσέγραψεν ἂν τῷ νόμῳ τοῦτο, καὶ εἶχεν ἂν ὁ νόμος οὕτως· δεῖ πάσης
ἀλλοτρίας γυναικὸς ἀπέχεσθαι πλὴν τῆς τοῦ τυράννου, εἰ μέλλει διὰ τῆς
τοιαύτης μίξεως ἡ πόλις ἐλευθεροῦσθαι· καὶ δεῖ πάντα ξένον ἀνελθόντα ἐν
25 πολέμῳ εἰς τὸ τεῖχος ἀναιρεῖσθαι πλὴν τοῦ ἀριστεύσαντος. ἐν οἷς οὖν μὴ 35
οἷόν τε περὶ πάντων ὀρθῶς νομοθετῆσαι, κατὰ τῶν ὡς ἐπὶ τὸ πολὺ γινο-
μένων τοὺς νόμους τίθενται· ὡς ἐπὶ τὸ πολὺ γὰρ κακὸν τὸ μοιχεύειν καὶ
τὸ ξένον ἐπὶ τὸ τεῖχος ἀνέρχεσθαι καὶ τὴν παρακαταθήκην μὴ διδόναι, οὐ
μὴν ἀεί, ὡς εἴρηται. καὶ δῆλον ὅτι τὸ ἐπιεικὲς δίκαιον μέν (δίκαιον γὰρ
30 μὴ ἀποθανεῖν τὸν ἀριστεύσαντα μηδὲ τὸν ἀνελόντα τὸν τύραννον) καὶ βέλτιον
τοῦ κατὰ νόμον δικαίου, ἀλλ' οὐ τοῦ ἁπλῶς. λέγει δὲ ἁπλῶς δίκαιον
τὸ κατὰ φύσιν, καὶ εἴη ἂν ἐν μὲν τῇ λέξει τῇ καὶ ἥμαρτεν ἁπλῶς εἰπὼν 40
τὸ ἁπλῶς εἰρηκὼς ἀντὶ τοῦ καθόλου, ἐνταῦθα δὲ φύσει καὶ κατὰ φύσιν.
ἐν δὲ αὖ τῇ λεγούσῃ καὶ ἔστιν αὕτη φύσις ἡ τοῦ ἐπιεικοῦς τὸ φύσις
35 ἀντὶ τοῦ οὐσία καὶ τὸ εἶναι αὐτοῦ. ἔστιν οὖν ἡ φύσις ἡ τοῦ ὡς δευτέρου
ἐπιεικοῦς, ἐξ οὗ καὶ ὁ ἐπιεικὴς παρωνόμασται, ἐπανόρθωμα τοῦ ἐλλείποντος

---

1 τι om. S 2 αὐτοῦ S 7. 8 ἡμαρτηθὲν a 8 ἑαυτοῦ S 9 τὴν om. B
9. 10 ἄλλο τι ἄλλως S 11 ἀνέλθη a 12 παρὰ τῶν S 14 ante συμβαίνει lac.
xxv litt. S 14. 15 τοῦ τυράννου τὴν γυναῖκα S 17 διημαρτημένον Sa δίκας S
18 καὶ ἀριστεύσαντα εἰς τὸ τεῖχος coll. a 18. 19 πόσης ἐστὶν ἁμαρτίας γέμον S
19 ἀγορεύοντος om. S 20 τοῦ om. S ἀνελθόντος a 22 εἶπεν S 23 μέλλοι S
27. 28 καὶ τὸν ξένον Sa 29 post τὸ add. μὲν S post μέν add. καὶ a 32 τὸ
τῇ φύσει καὶ κατὰ φ. S τῇ καὶ ἡ ἁμαρτία ἁπλῶς a 33 ἐνταυθοῖ S 34 αὕτη]
αὐθις S 35 δευτέρου Anon.: οὐδέτερον B: οὐδ' ἑτέρου S: οὐδετέρου a

ἐν τῷ νόμῳ, ὅπερ ἐλλεῖπον, εἰ παρῆν, ὁ νομοθέτης προσέθηκεν ἂν τῷ 77ᵛ
νόμῳ. τοῦτο γὰρ αἴτιον καὶ τοῦ μὴ πάντα κατὰ νόμον εἶναι. τοῦ
διαμαρτάνειν τοὺς νόμους τὸ τῶν πραγμάτων ἀόριστον καὶ ἄλλοτε ἄλλως 45
ἔχειν ἐστὶν αἴτιον, καὶ τὸ μὴ πάντων νόμους τίθεσθαι μηδὲ περὶ πάντων
5 νομοθετεῖν. ὅσα γὰρ ἄλλοτε ἄλλως ἔχει καὶ πρὸς τοὺς καιροὺς μεταπίπτει,
περὶ τούτων ἀδυνατοῦσι νόμους τιθέναι, ἀλλὰ πρὸς τὰ τοιαῦτα ψηφίσμασι
